ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ
4

ΟΜΙΛΙΑΙ
ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ
(Ὁμιλίαι ΜΒ΄—ΞΔ΄)

ΚΕΙΜΕΝΟΝ—ΜΕΤΑΦΡΑΣΙΣ—ΣΧΟΛΙΑ

Ὑπὸ
ΠΑΝΑΓΙΩΤΟΥ ΠΑΛΑΜΑ
Θεολόγου

ΚΕΙΜΕΝΟΝ – ΜΕΤΑΦΡΑΣΙΣ

ΟΜΙΛΙΑ ΜΒ΄
(Γέν. 18, 16 - 33)

«Ἐξαναστάντες δὲ οἱ ἄνδρες ἐπέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας».

1. Ἐμάθομεν ἐκ τῶν χθὲς ἀνεγνωσμένων, ἀγαπητοί, τὴν ὑπερβολὴν τῆς τοῦ δικαίου φιλοξενίας· φέρε δὴ καὶ σήμερον τὰ ἑξῆς ἐπελθόντες, πάλιν καταμάθωμεν τοῦ πατριάρχου τὸ φιλόστοργον καὶ συμπαθές. Ἑκάστην γὰρ τῶν ἀρετῶν μεθ' ὑπερβολῆς ὁ δίκαιος οὗτος ἐκέκτητο. Οὐδὲ γὰρ μόνον φιλόστοργος, οὐδὲ φιλόξενος ἦν καὶ συμπαθής, ἀλλὰ καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας μετὰ δαψιλείας ἐπεδείκνυτο. Ἄν τε γὰρ ὑπομονὴν δέῃ ἐπιδείξασθαι, εὑρήσεις αὐτὸν εἰς αὐτὴν τὴν ἄκραν κορυφὴν ἀναβεβηκότα· ἄν τε ταπεινοφροσύνην, ὄψει πάλιν καὶ ἐνταῦθα οὐδενὶ παραχωροῦντα, ἀλλὰ πάντας ὑπερακοντίζοντα· κἂν πίστιν ἐπιδείξασθαι δέῃ, καὶ ἐν τούτῳ πάλιν μᾶλλον εὑρεθήσεται τῶν ἄλλων ἁπάντων εὐδοκιμῶν. Καθάπερ γὰρ εἰκών τις ἔμψυχός ἐστιν ἡ τούτου ψυχή, τὰ διάφορα τῆς ἀρετῆς χρώματα ἐν ἑαυτῇ δεικνύουσα. Ποία οὖν ἡμῖν ὑπολείπεται λοιπὸν ἀπολογία, ὅταν ἑνὸς ἀνθρώπου πάσας τὰς ἀρετὰς ἐν ἑαυτῷ περιφέροντος, ἡμεῖς οὕτως ἔρημοι τυγχάνωμεν, ὡς μηδεμίαν ἀρετὴν βούλεσθαι κατορθοῦν; Ὅτι γὰρ οὐ παρὰ τὸ μὴ δύνασθαι, ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι ἔρημοι πάντων ἐσμὲν τῶν ἀγαθῶν, σαφὴς ἀπόδειξις τὸ πολλοὺς τῶν ὁμογενῶν ἡμῖν εὑρεῖν διαλάμποντας ἐν ἀρετῇ. Καὶ αὐτὸ δὲ τοῦτο, τὸ τὸν πατριάρχην καὶ πρὸ

1. Παροιμ. 1, 9.

ΟΜΙΛΙΑ ΜΒ΄
(Γέν. 18, 16 - 33)

«Ἀφοῦ σηκώθηκαν οἱ ἐπισκέπται ἐστράφησαν πρὸς τὰ Σόδομα καὶ Γόμορρα».

1. Ἀπὸ αὐτὰ ποὺ ἀνεγνώσαμεν χθές, ἐμάθομεν ἀγαπητοί, τὸ μέγεθος τῆς φιλοξενίας τοῦ πατριάρχου. Ἐμπρὸς λοιπόν, ἀφοῦ μελετήσωμεν τὰ ἑπόμενα, ἂς μάθωμεν καὶ πάλιν τὴν φιλοστοργίαν καὶ τὰ καλὰ αἰσθήματα τοῦ πατριάρχου. Διότι ὁ δίκαιος εἶχε κάθε μίαν ἀπὸ τὰς ἀρετὰς εἰς ὑπερβολικὸν βαθμόν. Δὲν ἦτο δηλαδὴ μόνον φιλόστοργος, οὔτε φιλόξενος καὶ συμπαθής, ἀλλὰ καὶ αἱ ἄλλαι ἀρεταὶ ἐκόσμουν αὐτὸν εἰς μεγάλον βαθμόν. Διότι εἴτε ἦτο ἀνάγκη νὰ ἐπιδείξῃ ὑπομονήν, θὰ εὕρῃς αὐτὸν νὰ φθάνῃ εἰς αὐτὴν τὴν τελευταίαν κορυφήν, εἴτε ταπεινοφροσύνην θὰ τὸν ἴδῃς πάλιν καὶ ἐδῶ νὰ μὴ παραχωρῇ τὰ πρωτεῖα εἰς κανένα, ἀλλὰ νὰ ὑπερβάλλῃ τοὺς πάντας. Καὶ εἴτε ἐχρειάζετο νὰ ἐπιδείξῃ πίστιν, θὰ εὕρῃς καὶ εἰς αὐτὸ πάλιν νὰ εὐδοκιμῇ περισσότερον ἀπὸ ὅλους τοὺς ἄλλους. Διότι ἡ ψυχή του εἶναι ὡσὰν μία ἔμψυχος εἰκών, ποὺ ἔχει ὅλα τὰ χρώματα τῆς ἀρετῆς. Ποία ἀπολογία πλέον ὑπάρχει δι᾽ ἡμᾶς, ὅταν, ἐνῷ ἕνας ἄνθρωπος ἔχει νὰ ἐπιδείξῃ ὅλας τὰς ἀρετάς, ἡμεῖς ὅμως εἴμεθα τόσον ἔρημοι, ὥστε νὰ μὴ θέλωμεν νὰ κατορθώσωμεν οὔτε μίαν ἀρετήν; Τὸ ὅτι εἴμεθα ἔρημοι ἀπὸ ὅλα τὰ ἀγαθὰ δὲν ὀφείλεται εἰς τὸ ὅτι δὲν ἠμποροῦμεν, ἀλλὰ εἰς τὸ ὅτι δὲν θέλομεν, καὶ σαφὴς ἀπόδειξις αὐτοῦ εἶναι τὸ ὅτι ἠμποροῦμεν νὰ εὕρωμεν πολλοὺς συνανθρώπους μας, οἱ ὁποῖοι λάμπουν ἀπὸ τὴν ἀρετήν. Ἀλλὰ καὶ αὐτὸ τὸ ἴδιο τὸ γεγονὸς τοῦ πατριάρχου, τὸ ὅτι δηλαδὴ ἐγεννήθη πρὶν ἀπὸ τὴν ἔλευσιν τῆς χάριτος τοῦ Ἰησοῦ Χριστοῦ καὶ πρὶν ἀπὸ τὸν Μωσαϊκὸν νόμον καὶ κατώρθωσε παρ᾽ ὅλα ταῦτα νὰ φθάσῃ εἰς τόσον μεγάλον βαθμὸν ἀρετῆς ὠθούμε-

τῆς χάριτος, καὶ πρὸ τοῦ νόμου γεγονότα, οἴκοθεν καὶ ἀπὸ τῆς ἐν τῇ φύσει κειμένης γνώσεως εἰς τοσοῦτον μέτρον ἀρετῆς ἐλθεῖν, πάσης ἡμᾶς ἀπολογίας ἀποστερῆσαι δυνήσεται.

᾿Αλλ' ἴσως ἐροῦσί τινες, ὅτι πολλῆς ἀπέλαυσε τῆς παρὰ τοῦ Θεοῦ κηδεμονίας ὁ ἀνὴρ καὶ πολλὴν ἐπεδείξατο τὴν περὶ αὐτὸν πρόνοιαν ὁ τῶν ὅλων Θεός. Ναί, ὁμολογῶ· ἀλλ' εἰ μὴ πρότερος τὰ παρ' ἑαυτοῦ καὶ αὐτὸς ἐπεδείξατο, οὐκ ἂν τῶν παρὰ τοῦ Δεσπότου ἀπήλαυσε. Μὴ τοίνυν τοῦτο μόνον ὅρα, ἀλλὰ καθ' ἕκαστον ἐξετάζων καταμάνθανε, πῶς πρότερον τῆς οἰκείας ἀρετῆς ἐν πᾶσι τὴν βάσανον παρεσχηκώς, οὕτως ἠξιοῦτο τῆς παρὰ τοῦ Θεοῦ συμμαχίας. Καὶ ταῦτα πολλάκις ὑμῖν ἐδείξαμεν, ἡνίκα τὰ κατὰ τὴν μετάστασιν αὐτοῦ τὴν ἐκ γῆς τῆς πατρῴας ἐποιεῖτο, ὅπως οὐδὲ ἀπὸ προγόνων σπέρματα εὐσεβείας δεξάμενος, οἴκοθεν καὶ παρ' ἑαυτοῦ πολὺ τὸ φιλόθεον ἐπεδείκνυτο καὶ ἄνθρωπος ἄρτι τῆς Χαλδαίας μεταναστάς, ἀθρόον κελευόμενος τὴν ἀλλοτρίαν τῆς οἰκείας ἀνταλλάξασθαι, οὐκ ἐνεδοίασεν, οὐκ ἀνεβάλλετο, ἀλλ' εὐθέως ἐπλήρου τὸ ἐπιταχθέν, καὶ ταῦτα οὐκ εἰδὼς ὅπου στήσεται αὐτῷ τὰ τῆς πλάνης, καὶ ἔσπευδε καὶ ἠπείγετο, ὡς ἐπὶ ὡμολογημένοις, τοῖς ἀδήλοις, τὸ τοῦ Θεοῦ πρόσταγμα πάντων προτιμότερον ἡγούμενος.

Εἶδες πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τὰ παρ' ἑαυτοῦ εἰσέφερε καὶ διὰ τοῦτο καὶ τὰ παρὰ τοῦ Θεοῦ καθ' ἑκάστην ἐκαρποῦτο μετὰ πολλῆς τῆς δαψιλείας; Τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, ἀγαπητοί, εἰ βουλοίμεθα τῆς ἄνωθεν ἀπολαύειν εὐνοίας, ζηλώσωμεν τὸν πατριάρχην καὶ μὴ ἀναδυώμεθα πρὸς τὴν ἀρετήν, ἀλλ' ἑκάστην ἀπολαβόντες, οὕτω ταύτην μετὰ σπουδῆς μετερχώμεθα, ὡς τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν ἐπισπάσασθαι πρὸς τὴν τῆς ἀμοιβῆς ἀντίδοσιν. ῾Ο γὰρ τὰ ἀπόρρητα τῆς διανοίας ἡμῶν ἐπιστάμενος, ἐπειδὰν ἴ-

νος ἀπὸ τὸν ἐσωτερικόν του κόσμον καὶ ἀπὸ τὴν γνῶσιν ποὺ προσφέρει ἡ φύσις, θὰ ἠμπορέσῃ νὰ μᾶς ἀφαιρέσῃ κάθε δικαιολογίαν.

᾿Αλλ' ἴσως νὰ εἰποῦν μερικοί, ὅτι ὁ Θεὸς ἐφρόντισε πολὺ διὰ τὸν ἄνδρα αὐτὸν καὶ ὅτι ὁ Κύριος τοῦ παντὸς ἔδειξε μεγάλην πρόνοιαν δι' αὐτόν. Ναί, τὸ παραδέχομαι, ἐὰν ὅμως δὲν ἐπεδείκνυε πρῶτος αὐτός, ὅ,τι ἐξηρτᾶτο ἀπὸ αὐτόν, δὲν θὰ ἦτο δυνατὸν ν' ἀπολαύσῃ παρὰ τοῦ Θεοῦ ὅσα ἀπήλαυσε. Μὴ προσέχῃς λοιπὸν μόνον αὐτό, ἀλλ' ἐξετάζων τὸ κάθε ἕνα γεγονὸς χωριστὰ μάθε πῶς, ἀφοῦ προηγουμένως ἐπέδειξεν εἰς κάθε δοκιμασίαν τὴν ἀρετήν του, ἠξιώθη ἐν συνεχείᾳ τῆς συμμαχίας παρὰ τοῦ Θεοῦ. Καὶ αὐτὰ ὅλα σᾶς τὰ ἀπέδειξα πολλὰς φοράς, πῶς δηλαδὴ ὅταν μετεκινήθη ἀπὸ τὴν πατρίδα του καὶ χωρὶς νὰ εἶχε διδαχθῆ ἀπὸ τοὺς γονεῖς του τὴν εὐσέβειαν, ἐπεδείκνυεν ὅμως κατὰ συνείδησιν τὴν ἀγάπην του πρὸς τὸν Θεόν, καὶ ἐνῷ εἶχε μεταναστεύσει πρὶν ἀπὸ ὀλίγον ἀπὸ τὴν Χαλδαίαν, καὶ διετάχθη πάλιν νὰ ἀνταλλάξῃ ἀμέσως τὴν χώραν του μὲ τὴν ξένην, δὲν ἐφοβήθη, οὔτε ἐδίστασεν, ἀλλὰ ἐξεπλήρωνεν ἀμέσως τὴν ἐντολήν, καὶ αὐτὰ χωρὶς νὰ γνωρίζῃ ποῦ θὰ τελειώσῃ ἡ περιπλάνησίς του, καὶ ἔσπευδε καὶ ἐβιάζετο, ὡσὰν νὰ ἦσαν γνωστὰ τὰ ἄγνωστα, θεωρῶν προτιμότερον ἀπὸ ὅλα τὸ νὰ ἐκτελέσῃ τὴν ἐντολὴν τοῦ Θεοῦ.

Εἶδες, ὅτι ἐξ ἀρχῆς ἀκόμη προσέφερεν ὅ,τι ἠδύνατο καὶ διὰ τοῦτο καθημερινῶς ἐλάμβανε μὲ πολλὴν ἀφθονίαν τὰ ἀγαθὰ τοῦ Θεοῦ; Κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ἡμεῖς, ἀγαπητοί, νὰ ἀκολουθήσωμεν τὸ παράδειγμα τοῦ πατριάρχου, ἐὰν θέλωμεν νὰ ἔχωμεν τὴν ἐκ τοῦ οὐρανοῦ βοήθειαν καὶ νὰ μὴ ἀδιαφοροῦμεν διὰ τὴν ἀρετήν, ἀλλὰ ὅταν ἔχωμεν κάποιαν εὐκαιρίαν νὰ κάνωμεν τὰ καλὰ ἔργα μὲ τόσην προθυμίαν, ὥστε νὰ κάνωμεν ἐκεῖνον τὸν ἀκοίμητον ὀφθαλμὸν νὰ μᾶς ἀνταμείψῃ δι' αὐτήν. Καθ' ὅσον αὐτὸς ποὺ γνωρίζει τὰς κρυφάς μας σκέψεις, ἐὰν ἴδῃ, ὅτι ἐπιδεικνύομεν καλὴν διάθεσιν καὶ ὅτι φροντίζομεν διὰ νὰ ἀγωνιζώμεθα διὰ τὴν ἀρετήν, μᾶς παρέχει

δη ὑγιῆ γνώμην ἐπιδεικνυμένους καὶ πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας ἀποδύεσθαι ἐσπουδακότας, παραχρῆμα καὶ τὴν παρ' ἑαυτοῦ παρέχει ῥοπήν, ὁμοῦ καὶ τοὺς πόνους ἡμῖν ἐπικουφίζων καὶ τὸ ἀσθενὲς τῆς ἡμετέρας φύσεως ἐπιρρωννὺς καὶ δαψιλεῖς τὰς ἀμοιβὰς χορηγῶν. Καὶ ἐπὶ μὲν τῶν 'Ολυμπιακῶν ἀγώνων οὐκ ἄν ποτε εὕροις τι τοιοῦτον γινόμενον· ἀλλ' ἕστηκεν ὁ παιδοτρίβης, θεατὴς μόνον γινόμενος τῶν ἀγωνιζομένων καὶ οὐδὲν ἕτερον συνεισενεγκεῖν δυνάμενος, ἀλλ' ἀναμένων τὴν νίκην γενέσθαι· ὁ δὲ Δεσπότης ὁ ἡμέτερος οὐχ οὕτως, ἀλλὰ καὶ συναγωνίζεται, καὶ χεῖρα ὀρέγει, καὶ συνεφάπτεται, καὶ μονονουχὶ πανταχόθεν τὸν ἀντίπαλον ὑποτεταγμένον ἡμῖν παραδίδωσι, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε δυνηθῆναι ἡμᾶς καταγωνίσασθαι καὶ τὴν νίκην ἄρασθαι, ἵνα τὸν ἀμαράντινον στέφανον ἐπιθῇ τῇ ἡμετέρᾳ κεφαλῇ. «Στέφανον γάρ», φησίν, «χαρίτων δέξῃ τῇ κορυφῇ.

Καὶ ἐν μὲν τοῖς 'Ολυμπιακοῖς τούτοις ἀγῶσιν ὁ στέφανος μετὰ τὴν νίκην οὐδὲν ἕτερόν ἐστιν, ἢ φύλλα δάφνης καὶ κρότος καὶ βοὴ παρὰ τοῦ δήμου γινομένη, ἅπερ ἅπαντα, τῆς ἑσπέρας καταλαβούσης, κατεμαράνθη καὶ ἀπώλετο, ὁ δὲ ὑπὲρ τῆς ἀρετῆς καὶ τῶν ταύτης ἱδρώτων στέφανος οὐδὲν αἰσθητὸν ἔχει, οὐδὲ ἐν τῷ αἰῶνι τούτῳ συγκαταλυόμενον, ἀλλὰ διηνεκής, ἀθάνατος, ἅπασι τοῖς αἰῶσι συμπαρεκτεινόμενος. Καὶ ὁ μὲν πόνος πρὸς χρόνον βραχύν, ἡ δὲ ὑπὲρ τῶν πόνων ἀμοιβὴ τέλος οὐκ οἶδεν, οὐδὲ εἴκει τῷ χρόνῳ, οὐδὲ μαραίνεται. Καὶ ἵνα μάθητε, ἰδοὺ πόσα ἔτη διελήλυθε καὶ πόσαι γενεαί, ἐξ οὗ πατριάρχης οὗτος γέγονε· καὶ ὡς χθὲς καὶ σήμερον, οὕτω διαλάμπουσιν αὐτοῦ οἱ ὑπὲρ τῆς ἀρετῆς στέφανοι καὶ μέχρι τῆς συντελείας αὐτῆς πᾶσι τοῖς εὖ φρονοῦσι διδασκαλίας ὑπόθεσις γίνεται.

2. 'Επεὶ οὖν τοιαύτη τοῦ δικαίου τούτου ἡ ἀρετή, εἰς ζῆλον τούτου διεγερθῶμεν, καὶ ὀψὲ γοῦν ποτε τὴν

ἀμέσως τὴν βοήθειάν του μὲ τὸ νὰ μᾶς ἀνακουφίζῃ ἀπὸ τοὺς κόπους, μὲ τὸ νὰ ἐνδυναμώνῃ τὴν ἀδύναμον φύσιν μας καὶ μὲ τὸ νὰ μᾶς χορηγῇ τὰς πλουσίας ἀμοιβάς του. Παρόμοιον γεγονὸς δὲν εἶναι δυνατὸν νὰ εὕρῃς οὔτε κατὰ τοὺς Ὀλυμπιακοὺς ἀγῶνας, ἀλλὰ ὁ γυμναστὴς ἐκεῖ περιμένει μόνον ὡς ἁπλὸς θεατὴς αὐτῶν ποὺ ἀγωνίζονται καὶ δὲν ἠμπορεῖ τίποτε ἄλλο νὰ προσφέρῃ, ἐκτὸς ἀπὸ τὸ νὰ περιμένῃ ν' ἀναδειχθῇ ὁ νικητής. Ὁ ἰδικός μας ὅμως Κύριος δὲν ἐνεργεῖ κατὰ τὸν ἴδιον τρόπον, ἀλλὰ καὶ ἀγωνίζεται μαζί μας καὶ δίδει χεῖρα βοηθείας καὶ γίνεται τὸ ἴδιον μὲ ἡμᾶς καὶ μᾶς παραδίδει σχεδὸν τὸν ἀντίπαλόν μας ἡττημένον ἀπὸ κάθε ἄποψιν καὶ κάνει τὰ πάντα καὶ χρησιμοποιεῖ κάθε τρόπον, ὥστε νὰ ἠμπορέσωμεν νὰ ὑπερισχύσωμεν καὶ νὰ νικήσωμεν, διὰ νὰ θέσῃ εἰς τὴν κεφαλήν μας τὸν ἀμάραντον στέφανον. Διότι λέγει, «Ἡ κεφαλή σου θὰ δεχθῇ στέφανον πλήρη χαρίτων».

Καὶ εἰς μὲν τοὺς Ὀλυμπιακοὺς ἀγῶνας ὁ στέφανος ποὺ δέχεται ὁ νικητὴς μετὰ ἀπὸ τὸν ἀγῶνα, δὲν εἶναι τίποτε ἄλλο, παρὰ φύλλα δάφνης καὶ θόρυβος καὶ ζητωκραυγαί, αἱ ὁποῖαι προέρχονται ἀπὸ τὸ συγκεντρωμένον πλῆθος, καὶ ποὺ ὅλα γενικῶς, πρὶν ἀκόμη νυκτώσῃ, μαραίνονται καὶ χάνονται, ὁ στέφανος ὅμως τῆς ἀρετῆς καὶ τῶν ἱδρώτων ποὺ χύνονται χάριν αὐτῆς δὲν ἔχει τίποτε τὸ ὑλικόν, οὔτε καταστρέφεται κατὰ τὴν παροῦσαν ζωήν, ἀλλὰ παραμένει διαρκής, ἀθάνατος καὶ αἰώνιος. Καὶ ὁ μὲν κόπος διαρκεῖ ὀλίγον χρόνον, ἀλλ' ἡ ἀμοιβὴ τῶν κόπων δὲν τελειώνει ποτέ, οὔτε ὑποχωρεῖ μὲ τὴν πάροδον τοῦ χρόνου, οὔτε μαραίνεται. Καὶ διὰ νὰ μάθετε αὐτό, ἰδοὺ πόσα ἔτη καὶ πόσαι γενεαὶ ἐπέρασαν ἀπὸ τότε ποὺ ἔζησε ὁ πατριάρχης, ἀλλ' ὅμως οἱ στέφανοι αὐτοῦ διὰ τὴν ἀρετὴν λάμπουν, ὡσὰν νὰ ἐτέθησαν χθὲς ἢ σήμερον εἰς τὴν κεφαλήν του καὶ θὰ διδάσκουν ὅλους τοὺς σώφρονας ἀνθρώπους μέχρι τὴν συντέλειαν τοῦ κόσμου.

2. Ἀφοῦ λοιπὸν ἡ ἀρετὴ τοῦ δικαίου ἦτο τέτοιου εἴδους, ἂς ζωηρεύσωμεν τὸν ζῆλον μας δι' αὐτόν, καὶ ἂς μι-

οἰκείαν ἐπιγνόντες εὐγένειαν, τὸν πατριάρχην μιμησώμεθα καὶ ἔννοιάν τινα λάβωμεν τῆς σωτηρίας τῆς ἡμετέρας καὶ πολλὴν ἐπιμέλειαν ποιώμεθα, ὥστε μὴ τὸ σῶμα μόνον ὑγιαίνειν, ἀλλὰ καὶ τῆς ψυχῆς τὰ διάφορα νοσήματα ἰατρεύειν. Ἐὰν γὰρ βουλώμεθα νήφειν καὶ ἐγρηγορέναι, τῶν τοῦ σώματος παθῶν εὐκολώτερον τὰ τῆς ψυχῆς ἰασόμεθα νοσήματα. Οἷον γὰρ ἂν ἐνοχλῇ ἡμῖν πάθος, ἐὰν ἐθέλωμεν εὐσεβεῖ λογισμῷ ἐν νῷ ἀναλαβεῖν τὸ κριτήριον τῆς φοβερᾶς ἐκείνης ἡμέρας καὶ μὴ πρὸς τὸ παρὸν ἡδὺ ἀπιδεῖν, ἀλλὰ τὴν μετὰ ταῦτα ὀδύνην ἐγγινομένην ἡμῖν, παραχρῆμα ἀποπτήσεται καὶ ἀποπηδήσει τῆς ἡμετέρας ψυχῆς.

***Μὴ** τοίνυν ῥαθυμῶμεν, ἀλλ' εἰδότες ὅτι ἀγών ἐστι καὶ παλαίσματα, καὶ δεῖ παρατετάχθαι πρὸς τὴν μάχην, καθ' ἑκάστην ἡμέραν ἡμῶν τὸν λογισμὸν ἀκμάζοντα καὶ νεαρὸν ἔχωμεν, ἵνα τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντες, τοῦ πονηροῦ τούτου θηρίου, τοῦ ἐπιβούλου λέγω τῆς σωτηρίας τῆς ἡμετέρας, τὴν κεφαλὴν συντρῖψαι δυνηθῶμεν. **Αὐτὸς** γὰρ ἡμῖν ὁ **Δεσπότης** ἐπήγγελται λέγων· «Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ». **Νήφωμεν** τοίνυν, παρακαλῶ, ἵνα κατ' ἴχνος τοῦ πατριάρχου τούτου τὴν ἀρετὴν μετιόντες, τῶν αὐτῶν ἐκείνῳ στεφάνων ἀξιωθῆναι δυνηθῶμεν, καὶ εἰς τοὺς τούτου καταντῆσαι κόλπους καὶ διαφυγεῖν τὴν ἐν τῇ γεέννῃ κόλασιν, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῆναι. **Ἀλλ'** ἵνα πλείονα ζῆλον ἐν ὑμῖν ἐργαζώμεθα, καὶ πρὸς τὴν τοῦ δικαίου τούτου μίμησιν ὑμᾶς διεγείρωμεν, φέρε πάλιν ἐκ τῆς κατ' αὐτὸν ἱστορίας διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, ἐπελθόντες τῶν ἑξῆς τὴν ἀκολουθίαν.*

---

2. Λουκᾶ 10, 19.

μηθῶμεν τὸν πατριάρχην, ἀφοῦ συνειδητοποιήσωμεν κάποτε, ἔστω καὶ ἀργά, τὴν εὐγένειαν τῆς ψυχῆς μας καὶ ἂς ἐνδιαφερθῶμεν διὰ τὴν σωτηρίαν μας καὶ νὰ φροντίζωμεν πάρα πολύ, ὥστε νὰ μὴ ὑγιαίνῃ μόνον τὸ σῶμα, ἀλλὰ νὰ θεραπεύωμεν καὶ τὰ διάφορα νοσήματα τῆς ψυχῆς. Διότι ἐὰν θὰ θέλωμεν νὰ ἀγρυπνῶμεν καὶ νὰ προσέχωμεν, θὰ θεραπεύσωμεν τὰ νοσήματα τῆς ψυχῆς εὐκολώτερον ἀπὸ τὰ νοσήματα τοῦ σώματος. Ἐπὶ παραδείγματι ὅταν μᾶς ἐνοχλῇ κάποιο πάθος, ἐὰν θελήσωμεν ν' ἀναλογισθῶμεν μὲ εὐσεβῆ σκέψιν τὴν κρίσιν τῆς φοβερᾶς ἐκείνης ἡμέρας καὶ δὲν ἀποβλέψωμεν πρὸς τὴν προσωρινὴν ἡδονήν, ἀλλὰ πρὸς τὴν ὀδύνην ποὺ θὰ δοκιμάσωμεν μετὰ ἀπὸ τὴν ἐδῶ ζωήν, ἀμέσως αὐτὸ τὸ πάθος θὰ πετάξῃ καὶ θὰ φύγῃ ἀπὸ τὴν ἰδικήν μας ψυχήν.

Ἂς μὴ ἀδιαφορῶμεν λοιπὸν πλήρως, ἀλλὰ γνωρίζοντες, ὅτι χρειάζεται ἀγὼν καὶ πάλη καὶ ὅτι πρέπει νὰ παραταχθοῦμεν πρὸς μάχην, νὰ ἔχωμεν καθημερινῶς τὴν σκέψιν μας ἀκμαίαν καὶ δυνατήν, ὥστε, ἀφοῦ ἐπιτύχωμεν τὴν ἐκ τῶν ἄνω βοήθειαν, νὰ ἠμπορέσωμεν νὰ συντρίψωμεν τὴν κεφαλὴν τοῦ πονηροῦ τούτου θηρίου, αὐτοῦ δηλαδὴ ποὺ ἐπιβουλεύεται τὴν σωτηρίαν μας. Διότι ὁ ἴδιος ὁ Κύριός μας ὑπεσχέθη λέγων· «Ἰδοὺ σᾶς ἔδωσα ἐξουσίαν νὰ νικᾶτε καὶ νὰ καταπατῆτε τοὺς ὄφεις καὶ τοὺς σκορπιοὺς καὶ κάθε δύναμιν τοῦ ἐχθροῦ»[2]. Ἂς ἀγρυπνοῦμεν λοιπόν, παρακαλῶ, ὥστε, ἀκολουθοῦντες πιστῶς τὸ παράδειγμα καὶ τὴν ἀρετὴν τοῦ πατριάρχου, νὰ ἠμπορέσωμεν νὰ λάβωμεν τοὺς ἰδίους στεφάνους μὲ αὐτόν, νὰ καταλήξωμεν εἰς τοὺς κόλπους του, νὰ ἀποφύγωμεν τὴν γέενναν τῆς κολάσεως καὶ ν' ἀξιωθῶμεν καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν. Ἀλλὰ διὰ νὰ θέσω μέσα σας περισσότερον ἐνδιαφέρον καὶ διὰ νὰ σᾶς ὠθήσω νὰ μιμηθῆτε αὐτὸν τὸν δίκαιον, ἐμπρὸς ἂς ἐκθέσωμεν εἰς τὴν ἀγάπην σας καὶ πάλιν τὴν ἱστορίαν τὴν σχετικὴν μὲ αὐτόν, ἀφοῦ ἐξετάσωμεν τὸν εἱρμὸν τῶν ἐν συνεχείᾳ γεγονότων.

Μετὰ γὰρ τὴν δαψιλῆ φιλοξενίαν ἐκείνην, οὐ τῇ ποιότητι ἢ ποσότητι τῶν ἐδεσμάτων κρινομένην, ἀλλὰ τῇ προθυμίᾳ, τὸ δαψιλὲς τῆς γνώμης δεξάμενος παραχρῆμα τῆς φιλοξενίας τὰς ἀμοιβὰς ἐχαρίσατο. Καὶ μαθὼν τίς τε εἴη ὁ παραγεγονὼς καὶ πόση ἡ τούτου δύναμις, μέλλουσιν ἐκεῖθεν ἐπὶ τὴν Σοδόμων καταστροφὴν ὁρμᾶν ἠκολούθησεν ὁ πατριάρχης συμπροπέμπων, φησίν. Ὅρα Δεσπότου φιλανθρωπίαν, ὅση συγκαταβάσει κέχρηται, ὁμοῦ καὶ τὴν εἰς τὸν δίκαιον τιμὴν δεικνὺς καὶ ἐκκαλύψαι βουλόμενος τὴν ἀρετὴν τὴν ἐναποκειμένην αὐτοῦ τῇ ψυχῇ. «Ἐξαναστάντες δέ», φησίν, «οἱ ἄνδρες κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας». Τοὺς ἀγγέλους φησίν. Ἐνταῦθα μὲν γὰρ ἐν τῇ σκηνῇ τοῦ Ἀβραὰμ καὶ οἱ ἄγγελοι, καὶ ὁ τούτων Δεσπότης κατὰ ταὐτὸν ὤφθησαν· λοιπὸν δὲ οἱ μὲν ὡς ὑπηρέται ἀπεστέλλοντο ἐπὶ τὴν καταστροφὴν τῶν πόλεων ἐκείνων, ὁ δὲ ἔμενε, καθάπερ φίλος φίλῳ, μονονουχὶ κοινολογούμενος τῷ δικαίῳ, ἅπερ ἔμελλε ποιεῖν. Ἀπελθόντων τοίνυν ἐκείνων, «Εἶπε», φησίν, «ὁ Κύριος· οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ».

Μεγίστη τοῦ Θεοῦ ἡ συγκατάβασις καὶ πάντα λόγον ὑπερβαίνουσα ἡ εἰς τὸν δίκαιον τιμή. Ὅρα γὰρ πῶς πρὸς αὐτὸν διαλέγεται, ὡσανεὶ ἄνθρωπος ἀνθρώπῳ διαλεξόμενος, δεικνὺς ἡμῖν ὅσης οἱ ἐνάρετοι ἀξιοῦνται τῆς παρὰ τοῦ Θεοῦ τιμῆς. Καὶ ἵνα μὴ νομίσῃς τῆς τοῦ Θεοῦ μόνον εἶναι ἀγαθότητος τὴν τοσαύτην εἰς τὸν δίκαιον τιμήν, ὅρα πῶς ἡ θεία Γραφὴ διδάσκει ἡμᾶς, ὅτι αὐτὸς ἑαυτῷ ταύτης τῆς τιμῆς αἴτιος κατέστη, μετὰ πολλῆς τῆς ὑπακοῆς τοῖς παρὰ τοῦ Θεοῦ πειθόμενος ἐπιτάγμασιν. Εἰπὼν γάρ, «Οὐ μὴ κρύψω ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ», οὐκ εὐθέως λέγει τὸ μέλλον ἔσεσθαι· ἀκόλουθον γὰρ ἦν ἐπαγαγεῖν καὶ εἰπεῖν, ὅτι μέλλει τὰ Σόδομα ἐμπι-

Μετὰ λοιπὸν ἀπὸ τὴν πλουσίαν ἐκείνην φιλοξενίαν, ἡ ὁποία κρίνεται ὄχι ἀπὸ τὴν ποιότητα ἢ τὴν ποσότητα τῶν ἐδεσμάτων, ἀλλὰ ἀπὸ τὴν προθυμίαν, ἀμέσως ὁ Θεὸς ἐχάρισεν εἰς τὸν Ἀβραὰμ τὰς ἀμοιβὰς διὰ τὴν φιλοξενίαν, ἐπειδὴ ἐδέχθη τὴν μεγαλοδωρίαν τῆς ψυχῆς του. Καὶ ὅταν ἔμαθε, ποῖος ἦτο ὁ ἐπισκέπτης καὶ πόση ἦτο ἡ δύναμις αὐτοῦ, ὅταν ἐπρόκειτο νὰ φύγουν ἀπὸ ἐκεῖ, διὰ νὰ ὑπάγουν νὰ καταστρέψουν τὰ Σόδομα, ὁ πατριάρχης, λέγει, τοὺς ἠκολούθησε διὰ νὰ τοὺς προπέμψῃ. Πρόσεχε φιλανθρωπίαν Κυρίου, πόσην συγκατάβασιν δηλαδὴ χρησιμοποιεῖ, δεικνύων συγχρόνως καὶ τὴν τιμὴν ποὺ ἔκαμεν εἰς τὸν δίκαιον καὶ ἐπιθυμῶν νὰ ἀποκαλύψῃ τὴν ἀρετὴν ποὺ ἦτο κρυμμένη εἰς τὴν ψυχήν του. «Ἐγερθέντες οἱ ἐπισκέπται», λέγει, «ἐστράφησαν πρὸς τὰ Σόδομα καὶ τὰ Γόμορρα». Ἐννοεῖ δηλαδὴ τοὺς ἀγγέλους. Διότι ἐδῶ εἰς τὴν σκηνὴν τοῦ Ἀβραάμ καὶ οἱ ἄγγελοι καὶ ὁ Κύριος αὐτῶν παρουσιάσθησαν μὲ τὴν ἰδίαν μορφήν. Ἐν τῷ μεταξὺ οἱ μὲν ἀπεστάλησαν ὡσὰν ὑπηρέται διὰ νὰ καταστρέψουν τὰς πόλεις, αὐτὸς δὲ ἔμεινεν ὡς φίλος πρὸς φίλον καὶ ἀνεκοίνωσε σχεδὸν εἰς τὸν δίκαιον, αὐτὰ τὰ ὁποῖα ἐπρόκειτο νὰ κάνῃ. Ὅταν λοιπὸν ἔφυγον ἐκεῖνοι, «Εἶπε», λέγει, «ὁ Κύριος· δὲν θὰ ἀποκρύψω ἀπὸ τὸν δοῦλον μου Ἀβραὰμ αὐτά, τὰ ὁποῖα πρόκειται νὰ κάνω».

Πολὺ μεγάλη εἶναι ἡ συγκατάβασις τοῦ Θεοῦ καὶ ὑπεράνω κάθε λογικῆς ἡ πρὸς τὸν δίκαιον τιμή. Πρόσεξε μὲ ποῖον τρόπον συνομιλεῖ μὲ αὐτόν, ὡς ἄνθρωπος πρὸς ἄνθρωπον, δεικνύων εἰς ἡμᾶς πόσον πολὺ τιμῶνται ἀπὸ τὸν Θεὸν οἱ ἐνάρετοι ἄνθρωποι. Καὶ διὰ νὰ μὴ νομίσῃς, ὅτι ἡ μεγάλη αὐτὴ τιμὴ πρὸς τὸν δίκαιον προέρχεται μόνον ἀπὸ τὴν ὑπερβολικὴν ἀγαθότητα τοῦ Θεοῦ, πρόσεχε πῶς μᾶς διδάσκει ἡ ἁγία Γραφή, ὅτι ὁ ἴδιος ἔγινεν ἡ αἰτία νὰ τοῦ δοθῇ αὐτὴ ἡ τιμή, ἐπειδὴ ὑπήκουε μὲ μεγάλην προθυμίαν εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ. Διότι ὅταν εἶπεν, «Δὲν θὰ κρύψω ἀπὸ τὸν δοῦλον μου Ἀβραὰμ αὐτὰ ποὺ πρόκειται νὰ κάνω», δὲν ἀπεκάλυψεν ἀμέσως αὐτὸ ποὺ πρόκειται νὰ γίνῃ. Ἦτο φυσικὸν νὰ συνεχίσῃ καὶ νὰ εἰπῇ,

πρᾶν. 'Αλλ' ἄξιον μηδὲ ἐκεῖνο παραδραμεῖν· οὐδὲ γὰρ συλλαβὴν οὐδὲ κεραίαν παρατρέχειν χρὴ τῶν ἐν τῇ θείᾳ Γραφῇ κειμένων. Πόσης γὰρ οἴει τιμῆς εἶναι καὶ τοῦτο αὐτὸ τὸ λέγειν, «'Αβραὰμ τοῦ παιδός μου»; Πόσου φίλτρου; Πόσης διαθέσεως; Τοῦτο γὰρ μάλιστα δείκνυσι τὸ ἐξαίρετον, καὶ τὴν εἰς τὸν δίκαιον τιμήν.

Εἶτα, ὅπερ ἔλεγον, εἰπών, «Οὐ μὴ κρύψω», οὐκ εὐθέως ἐπάγει καὶ λέγει τὸ γινόμενον, ἀλλὰ τί; Ἵνα μάθωμεν, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοσαύτην περὶ αὐτὸν δείκνυται τὴν κηδεμονίαν, φησίν· «'Αβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς. Ἤδειν γάρ, ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ, καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτὸν καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου τοῦ Θεοῦ ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ Κύριος ἐπὶ 'Αβραὰμ πάντα, ἃ ἐλάλησε πρὸς αὐτόν». Βαβαί, πόσον τῆς τοῦ Δεσπότου φιλανθρωπίας τὸ μέγεθος. 'Επειδὴ μέλλει μετὰ ταῦτα ἐπάγειν τὰ κατὰ τὴν καταστροφὴν Σοδόμων, προλαβὼν νῦν παραθαρρύνει τὸν πατριάρχην, ὁμοῦ καὶ τὴν μεγίστην εὐλογίαν αὐτῷ ἐπαγγελόμενος, καὶ ὅτι εἰς πλῆθος ἔσται μέγα, καὶ διδάσκων αὐτόν, ὅτι ἀμοιβὴν ταύτην λαμβάνει τῆς φιλοθέου αὐτοῦ γνώμης. 'Εννόησον γάρ, ὅση ἐστὶν ἡ τοῦ πατριάρχου ἀρετή, ὅταν ὁ Θεὸς λέγῃ, «Ἤδειν γάρ, ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτὸν καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου». Πολλὴ τῆς ἀρετῆς ἡ ἐπίτασις· οὐ γὰρ μόνον ὑπὲρ ὧν αὐτὸς μέτεισι τὴν ἀρετήν, τὰς ἀμοιβὰς δέχεται, ἀλλὰ καὶ ὑπὲρ ὧν διετάξατο τοῖς ἐξ αὐτοῦ τεχθεῖσι, δαψιλοῦς ἀξιοῦται τῆς ἀντιδόσεως· εἰκότως· αὐτὸς γὰρ λοιπὸν ἅπασι διδάσκαλος γέγονεν. Ὁ γὰρ τὴν ἀρχὴν καὶ τὰ προοίμια παρασχών, οὗτος καὶ τῶν μετὰ ταῦτα γινομένων αἴτιος ἂν εἴη.

ὅτι σκοπεύει νὰ πυρπολήσῃ τὰ Σόδομα. Ἀξίζει ὅμως νὰ μὴ προσπεράσωμεν καὶ αὐτὸ χωρὶς προσοχήν, διότι πρέπει νὰ μὴ περάσῃ οὔτε μία συλλαβὴ τῆς ἁγίας Γραφῆς χωρὶς νὰ τὴν ἐξετάσωμεν, οὔτε ἕνα κόμμα. Πόσην νομίζεις τιμὴν δὲν περιέχουν καὶ αὐτοὶ οἱ ἴδιοι οἱ λόγοι του, «Ἀπὸ τὸν Ἀβραὰμ τὸν δοῦλον μου»; πόσην ἀγάπην; πόσην καλὴν διάθεσιν; Διότι αὐτὸ ἀποδεικνύει τὴν ἐξαίρεσιν καὶ τὴν πρὸς τὸν δίκαιον τιμήν.

Ἔπειτα, ὅπως προηγουμένως ἔλεγον, ὅταν εἶπεν ὁ Θεὸς «Δὲν θὰ ἀποκρύψω», δὲν προσθέτει ἀμέσως, ἀναφέρων αὐτὸ ποὺ πρόκειται νὰ γίνῃ, ἀλλὰ τί λέγει; Διὰ νὰ μάθωμεν, ὅτι δὲν δεικνύει δι᾿ αὐτὸν ὁ Θεὸς τυχαῖα καὶ ἄσκοπα τόσην φροντίδα, λέγει· «Ὁ Ἀβραὰμ θὰ γίνῃ γενάρχης μεγάλου καὶ ἰσχυροῦ λαοῦ καὶ δι᾿ αὐτοῦ θὰ εὐλογηθοῦν ὅλοι οἱ λαοὶ τῆς γῆς. Διότι ἐγνώριζον ὅτι θὰ διδάξῃ εἰς τοὺς υἱούς του καὶ εἰς τὴν οἰκίαν του νὰ διαφυλάξουν τὰς ἐντολὰς τοῦ Κυρίου τοῦ Θεοῦ, διὰ νὰ ἐφαρμόσουν δικαίαν κρίσιν, ὥστε νὰ ἐκπληρώσῃ εἰς αὐτόν, ὅσα τοῦ ὑπεσχέθη». Ὦ! πόσον εἶναι τὸ μέγεθος τῆς φιλανθρωπίας του. Ἐπειδὴ ἐπρόκειτο νὰ τοῦ γνωρίσῃ τὰ σχετικὰ μὲ τὴν καταστροφὴν τῶν Σοδόμων προφθάνει καὶ ἐνθαρρύνει τὸν πατριάρχην μὲ τὸ νὰ ὑποσχεθῇ εἰς αὐτὸν τὴν μεγίστην εὐλογίαν καὶ ὅτι θὰ γίνῃ γενάρχης πολλῶν λαῶν καὶ ὅτι λαμβάνει αὐτὴν τὴν ἀμοιβὴν διὰ τὴν θεοσεβῆ σκέψιν του. Σκέψου δηλαδὴ πόση εἶναι ἡ ἀρετὴ τοῦ πατριάρχου, ὅταν λέγῃ ὁ Θεός, «Διότι ἐγνώριζον, ὅτι θὰ διδάξῃ εἰς τοὺς υἱούς του καὶ εἰς τὴν οἰκίαν του νὰ διαφυλάξουν τὰς ἐντολὰς τοῦ Κυρίου». Πολὺ μεγάλο τὸ μέγεθος τῆς ἀρετῆς, διότι δὲν ἀμείβεται μόνον, ἐπειδὴ ἦτο ἐνάρετος, ἀλλὰ καὶ ἐπειδὴ δίδει ἐντολὴν εἰς τοὺς ἀπογόνους του νὰ διαφυλάξουν τὰς ἐντολὰς τοῦ Κυρίου, διὰ τοῦτο γίνεται ἄξιος πλουσίας ἀνταποδόσεως· καὶ κατὰ πολὺ φυσικὸν λόγον· διότι αὐτὸς ἔγινεν ἐν συνεχείᾳ ὁ διδάσκαλος ὅλων. Αὐτὸς ποὺ ἔκαμε τὴν ἀρχὴν καὶ τὰ προοίμια, αὐτὸς ὁ ἴδιος θὰ ἦτο ὁ αἴτιος καὶ τῶν ἐν συνεχείᾳ γεγονότων.

3. Καὶ ὅρα τοῦ Δεσπότου τὴν ἀγαθότητα. Οὐ μόνον ὑπὲρ τῆς ἐν τῷ παρελθόντι ἀρετῆς ἀμείβεται τὸν δίκαιον, ἀλλὰ καὶ ὑπὲρ τῆς μελλούσης. «Ἤδειν γάρ», φησίν, «ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ». Ἐπειδή, φησί, προγινώσκω τοῦ δικαίου τὴν γνώμην, διὰ τοῦτο προλαμβάνω ταῖς ἀμοιβαῖς. Οἶδε γὰρ τὰ ἀπόρρητα τῆς διανοίας ἡμῶν, καὶ ὅταν θεάσηται τὰ δέοντα βουλευομένους καὶ ὑγιῆ τὴν γνώμην ἐπιδεικνυμένους, καὶ χεῖρα ὀρέγει, καὶ πρὸ τῶν πόνων ἀμείβεται, προθυμοτέρους ταύτῃ κατασκευάζων· καὶ τοῦτο ἂν εὕροις ἐπὶ τῶν δικαίων ἁπάντων γινόμενον. Εἰδὼς γὰρ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, ὥστε μὴ ἀπαγορεῦσαι πρὸς τὰ δυσχερῆ, μεταξὺ τῶν πόνων πολλάκις τὴν παρ' ἑαυτοῦ ἀντίληψιν καὶ τὰς ἀμοιβὰς παρέχει, ὥστε καὶ τὸν πόνον ἐπικουφίσαι, καὶ τὴν ὁρμὴν ἐπιτεῖναι.

«Ἤδειν γάρ», φησίν, «ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ, καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου». Οὐ μόνον περὶ αὐτοῦ προλέγει ὅτι «Συντάξει», ἀλλὰ καὶ περὶ τῶν υἱῶν αὐτοῦ, ὅτι «Φυλάξουσι τὰς ὁδοὺς Κυρίου», τὸν Ἰσαάκ, τὸν Ἰακὼβ αἰνιττόμενος. «Τὰς ὁδοὺς Κυρίου», τοῦτ' ἔστι τὰ προστάγματα, τὰς ἐντολάς. «Ποιεῖν» γάρ, φησί, «δικαιοσύνην καὶ κρίσιν»· μηδὲν τοῦ δικαίου προτιμᾶν, ἐκτὸς γίνεσθαι πάσης ἀδικίας. Τοῦτο γὰρ ἡ μεγίστη ἀρετή· διά τοι τοῦτο πάντα εἰς ἔργον ἐκβήσεται, ὅσα ἐλάλσε Κύριος πρὸς αὐτόν. Οἶμαι δὲ καὶ ἕτερόν τι αἰνίττεσθαι αὐτὸν διὰ τοῦ λέγειν, «Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ», ἀντὶ τοῦ, σὺ μὲν ὁ τὴν ἀρετὴν ἑλόμενος, καὶ τοῖς ἐμοῖς προστάγμασι πειθόμενος καὶ τὴν ὑπακοὴν ἐπιδεικνύμενος, εἰς ἔθνος μέγα καὶ πολὺ γενήσῃ· οἱ δὲ παράνομοι οὗτοι οἱ κατὰ τὴν τῶν Σοδόμων χώραν οἰκοῦντες, ἀφανισθήσονται ἅπαντες. Ὥσπερ γὰρ ἡ ἀρετὴ σωτηρίας ὑπόθεσις γίνεται τοῖς ταύτην μετιοῦσιν, οὕτως ἡ πονηρία ἀφανισμοῦ αἰτία καθίσταται. Εἶτα ἐπειδὴ καὶ διὰ τῆς εὐλογίας καὶ διὰ τῶν ἐπαί-

3. Καὶ πρόσεχε τὴν ἀγαθότητα τοῦ Κυρίου. Δὲν ἀμείβει τὸν δίκαιον μόνον διά τὴν ἀρετὴν τοῦ προηγουμένου βίου του, ἀλλὰ καὶ διὰ τὸν μέλλοντα. Διότι λέγει, «Ἐγνώριζα, ὅτι θὰ διδάξῃ τοὺς υἱούς του». Ἐπειδή, λέγει, γνωρίζω τὴν σκέψιν τοῦ δικαίου ἐκ τῶν προτέρων διὰ τοῦτο καὶ τὸν ἀμείβω ἐκ τῶν προτέρων. Διότι γνωρίζει τὰ ἀπόκρυφα τῆς ψυχῆς μας καὶ ὅταν ἰδῇ, ὅτι σκοπεύομεν νὰ κάνωμεν αὐτὸ ποὺ πρέπει καὶ ὅτι δεικνύομεν καλὴν διάθεσιν δίδει χεῖρα βοηθείας καὶ μᾶς ἀμείβει πρὶν ἀκόμη κοπιάσωμεν καὶ μᾶς κάνει μὲ αὐτὸν τὸν τρόπον προθυμοτέρους· καὶ αὐτὸ εἶναι δυνατὸν νὰ εὕρῃς νὰ γίνεται πρὸς ὅλους τοὺς δικαίους. Ἐπειδὴ δηλαδὴ γνωρίζει τὴν ἀδυναμίαν τῆς ἀνθρωπίνης φύσεως καὶ διὰ νὰ μὴ κουρασθῇ αὐτὴ ἀπὸ τὰς δυσκολίας πολλὰς φορὰς κατὰ τὴν διάρκειαν τῶν κόπων παρέχει τὴν βοήθειάν του καὶ τὰς ἀμοιβάς του, ὥστε καὶ τὸν κόπον νὰ ἀνακουφίσῃ καὶ νὰ ἐνισχύσῃ τὴν ὁρμήν.

«Διότι ἐγνώριζα», λέγει, «ὅτι θὰ διδάξῃ εἰς τοὺς υἱούς του νά διαφυλάξουν τάς ἐντολὰς τοῦ Κυρίου». Δὲν λέγει μόνον διὰ τὸν ἴδιον τὸν Ἀβραὰμ ὅτι «θά διδάξῃ», ἀλλὰ ὁμιλεῖ καὶ διὰ τοὺς υἱούς του, ὅτι «θὰ διαφυλάξουν τὰς ἐντολὰς τοῦ Κυρίου», ἐννοῶν τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ. «Τὰς ὁδοὺς τοῦ Κυρίου», δηλαδὴ τὰ προστάγματα καὶ τὰς ἐντολὰς αὐτοῦ. Διότι λέγει, «ὥστε νὰ ἐφαρμόσουν δικαίαν κρίσιν». Διότι τοῦτο εἶναι ἡ πιὸ μεγάλη ἀρετὴ καὶ δι' αὐτὸ ἀκριβῶς θὰ πραγματοποιηθοῦν ὅλα, ὅσα εἶπεν ὁ Κύριος πρὸς αὐτόν. Νομίζω ὅμως, ὅτι καὶ κάτι ἄλλο ὑπαινίσσεται μὲ τὸ νὰ λέγῃ «Ὁ Ἀβραὰμ θὰ γίνῃ γενάρχης μεγάλου καὶ ἰσχυροῦ λαοῦ», ἀντὶ νὰ εἰπῇ· σὺ ὁ ὁποῖος προετίμησες τὴν ἀρετὴν καὶ πιστεύεις εἰς τὰ προστάγματά μου καὶ ὑπακούεις διαρκῶς, θὰ γίνῃς γενάρχης μεγάλου καὶ ἰσχυροῦ λαοῦ. Οἱ παράνομοι ὅμως αὐτοί, οἱ ὁποῖοι κατοικοῦν τὰ Σόδομα θὰ ἐξαφανισθοῦν ὅλοι. Διότι ὅπως ἀκριβῶς γίνεται ἡ ἀρετὴ ἀφορμὴ σωτηρίας δι' αὐτοὺς ποὺ ἀσκοῦν αὐτήν, κατὰ τὸν ἴδιον τρόπον καὶ ἡ κακία γίνεται αἰτία ἀφανισμοῦ. Ἔπειτα, ἀφοῦ ἔδωσε περισσότερον θάρ-

νων εἰς πλείονα παρρησίαν ἤγαγε τὸν δίκαιον, ἄρχεται τῆς ὑποθέσεως, καί φησι· «Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. Καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ». Φοβερὰ τὰ εἰρημένα. «Κραυγὴ Σοδόμων», φησί, «καὶ Γομόρρας». Καίτοι καὶ ἕτεραι πόλεις μετ' αὐτῶν ἠφανίσθησαν, ἀλλ' ἐπειδὴ αὗται ἦσαν αἱ περιφανέστεραι, τούτων ἐμνημόνευσεν. «Πεπλήθυνται πρός με καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα».

Ὅρα τῶν κακῶν τὴν ἐπίτασιν. Οὐ μόνον πολὺ τὸ πλῆθος τῆς κραυγῆς, ἀλλὰ καὶ τῆς ἀδικίας. Τὸ γάρ, «Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται», οἶμαι σημαίνειν, ὅτι μετὰ τῆς παρανομίας ἐκείνης τῆς ἀφάτου καὶ πάσης συγγνώμης ἀπεστερημένης, καὶ ἑτέρας ἀδικίας πολλὰς ἐπεδείκνυντο, οἱ δυνατώτεροι κατεξανιστάμενοι τῶν ἀσθενεστέρων, οἱ πλούσιοι τῶν πενήτων. Οὐ μόνον τοίνυν, φησί, πολὺ τῆς κραυγῆς τὸ πένθος, ἀλλὰ καὶ αἱ ἁμαρτίαι αὐτῶν οὐχ αἱ τυχοῦσαί εἰσιν, ἀλλὰ καὶ μεγάλαι, καὶ σφόδρα μεγάλαι. Ξένον γὰρ τρόπον παρανομίας ἐπενόησαν, καὶ ἀλλοκότους καὶ ἀθέσμους τῶν μίξεων νόμους ἐφεῦρον καὶ τοσαύτη τῆς κακίας ἡ φορά, ὡς ἅπαντας τῆς λύμης ἀναπλησθῆναι πάσης καὶ μηδεμίαν λοιπὸν διόρθωσιν αὐτοὺς ἐπιδέχεσθαι, ἀλλ' ἀφανισμοῦ δεῖσθαι παντελοῦς· οὐδὲ γὰρ ἰατρείαν λοιπὸν ἐπιδέχεται τὰ τούτων πάθη ἀνίατα γεγονότα. Εἶτα παιδεύων ἅπασαν τῶν ἀνθρώπων τὴν φύσιν, κἂν μεγάλα ᾖ σφόδρα τὰ ἁμαρτήματα καὶ ὡμολογημένα, μὴ πρότερον τὰς ψήφους ἐκφέρειν, πρὶν ἂν ἐναργεῖς ἀποδείξεις γένωνται, φησί· «Καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται τὴν ἐρχομένην πρός με, εἰ δὲ μή, ἵνα γνῶ». Τί βούλεται τῆς λέξεως ἡ συγκατάβασις; «Καταβάς», φησίν, «ὄψομαι». Τόπον γὰρ

ρος εἰς τὸν δίκαιον μὲ τὴν εὐλογίαν καὶ τοὺς ἐπαίνους, ἀρχίζει τὴν ὑπόθεσιν καὶ λέγει· «Κραυγαὶ φθάνουν πρὸς ἐμὲ προερχόμεναι ἀπὸ τὰ Σόδομα καὶ Γόμορρα, αἱ ἁμαρτίαι των εἶναι πολὺ μεγάλαι. Θὰ καταβῶ λοιπόν, διὰ νὰ ἴδω, ἐὰν αἱ ἁμαρτίαι γίνωνται, ὅπως ἀνέρχονται αἱ κραυγαὶ αὐτῶν πρὸς ἐμέ, εἰ δ' ἄλλως διὰ νὰ μάθω». Φοβερὰ αὐτὰ ποὺ ἐλέχθησαν «Κραυγαὶ ἀπὸ τὰ Σόδομα καὶ Γόμορρα», λέγει. Ἂν καὶ κατεστράφησαν καὶ ἄλλαι πόλεις μαζὶ μὲ αὐτὰς ἀναφέρει μόνον αὐτάς, ἐπειδὴ αὐταὶ ἦσαν αἱ κυριώτεραι. «Πολλαὶ κραυγαὶ φθάνουν πρὸς ἐμὲ καὶ αἱ ἁμαρτίαι αὐτῶν εἶναι πολὺ μεγάλαι».

Πρόσεχε τὸ μέγεθος τῶν κακῶν. Δὲν ἦτο μόνον μεγάλο τὸ πλῆθος τῆς κραυγῆς, ἀλλὰ καὶ τῆς ἀδικίας. Διότι τὸ «Κραυγαὶ φθάνουν πρὸς ἐμέ, προερχόμεναι ἀπὸ τὰ Σόδομα καὶ Γόμορρα», νομίζω σημαίνει, ὅτι μαζὶ μὲ τὴν ἄφατον ἐκείνην παρανομίαν, ἡ ὁποία ἦτο ἀναξία κάθε συγγνώμης, διέπραττον καὶ ἄλλας ἀδικίας μὲ τὸ νὰ τυραννοῦν οἱ ἰσχυρότεροι τοὺς ἀσθενεστέρους καὶ οἱ πλούσιοι τοὺς πτωχούς. Δὲν ἦτο μόνον λοιπόν, λέγει, μεγάλη ἡ κραυγὴ τοῦ πένθους, ἀλλὰ καὶ αἱ ἁμαρτίαι αὐτῶν δὲν ἦσαν αἱ τυχοῦσαι, ἀλλὰ μεγάλαι καὶ μάλιστα πολὺ μεγάλαι. Διότι ἐπενόησαν παράξενον τρόπον παρανομίας καὶ ἐφεῦρον νόμους ἀλλοκότους καὶ ἀνεπιτρέπτους διὰ τὰς σαρκικὰς ἐπαφὰς αὐτῶν καὶ τόση ἦτο ἡ δύναμις τῆς κακίας των, ὥστε ὅλοι εἶχον κυριευθῆ ἀπὸ τὸ κακὸν καὶ δὲν ἐπεδέχοντο καμμίαν διόρθωσιν, ἀλλ' ἐχρειάζοντο ὁλοκληρωτικὴν καταστροφήν, διότι τὰ πάθη των δὲν ἐπεδέχοντο καμμίαν θεραπείαν, ἀφοῦ εἶχον γίνει ἀθεράπευτα. Ἔπειτα διδάσκων ὁλόκληρον τὴν ἀνθρωπότητα νὰ μὴ καταδικάζῃ κάποιον προηγουμένως, ἐὰν δὲν ὑπάρξουν σαφεῖς ἀποδείξεις, ἔστω καὶ ἂν εἶναι τὰ ἁμαρτήματα πολὺ μεγάλα καὶ παραδεκτά, λέγει· «Θὰ κατέλθω λοιπόν, διὰ νὰ ἰδῶ, ἐὰν αἱ ἁμαρτίαι αὐτῶν γίνωνται, ὅπως ἀνέρχονται αἱ κραυγαὶ αὐτῶν πρὸς ἐμέ, εἰ δ' ἄλλως διὰ νὰ μάθω». Τί θέλει νὰ δείξῃ μὲ τὰς λέξεις, αἱ ὁποῖαι περιέχουν τόσην συγκατάβασιν; «Θὰ κατέλθω διὰ νὰ ἴδω», λέγει. Μεταβαίνει

ἐκ τόπου μεταβαίνει ὁ τῶν ὅλων Θεός; Οὐχί, μὴ γένοιτο. Οὐ τοῦτο λέγει, ἀλλ' ὅπερ πολλάκις ἔφην, τῇ παχύτητι τῆς λέξεως ἡμᾶς παιδεῦσαι βούλεται, ὅτι δεῖ πολλῇ τῇ ἀκριβείᾳ κεχρῆσθαι, καὶ μήτε ἀπὸ ἀκοῆς καταδικάζειν τοὺς ἡμαρτηκότας, μήτε ἄνευ ἀποδείξεως τὰς ψήφους ἐκφέρειν.

'Ακούωμεν ταῦτα ἅπαντες. Οὐ γὰρ μόνον οἱ τὸν δικαστικὸν θρόνον ἐπέχοντες, τοῦτον παραφυλάττεσθαι ὀφείλουσι τὸν νόμον, ἀλλὰ καὶ ἡμῶν ἕκαστος μηδέποτε ἀπὸ ψιλῆς διαβολῆς κατακρίνειν τὸν πλησίον. Διὰ γὰρ τοῦτο καὶ μετὰ ταῦτα ὁ μακάριος οὗτος Μωϋσῆς ἐνηχούμενος ὑπὸ τοῦ Πνεύματος παρῄνει, λέγων· «'Ακοὴν ματαίαν μὴ παραδέξῃ». Καὶ ὁ μακάριος δὲ Παῦλος γράφων ἐβόα· «Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου;». Καὶ ὁ Χριστὸς διατασσόμενος τοῖς μαθηταῖς καὶ διδάσκων τῶν 'Ιουδαίων τὸ πλῆθος, τοὺς γραμματέας αὐτῶν καὶ Φαρισαίους, ἔλεγε· «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε». Τί γάρ, φησί, πρὸς καιροῦ ἁρπάζεις τὸ τοῦ δικαστοῦ ἀξίωμα; Τί προλαμβάνεις τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; Βούλει κριτὴς εἶναι; Σαυτοῦ γίνου, καὶ τῶν σοὶ πεπλημμελημένων. Οὐδεὶς ὁ κωλύων. Οὕτω γὰρ καὶ τὰ ἡμαρτημένα σοι διορθώσῃ καὶ οὐδεμίαν ἐκ τοῦ πράγματος ὑποστήσῃ βλάβην. 'Εὰν δὲ τὰ κατὰ σαυτὸν καταλιπὼν ἑτέρους καθέζῃ κρίνων, μείζονα σαυτῷ τὰ φορτία τῶν ἁμαρτημάτων συλλέγων οὐκ αἰσθάνῃ. Δι' ὅ, παρακαλῶ, φεύγωμεν πάντῃ τὸ καταδικάζειν τοὺς πλησίον. Εἰ γὰρ καὶ τῆς ἐξουσίας τῆς δικαστικῆς οὐ μετέχεις, ἀλλὰ τῇ γνώμῃ κατέκρινας καὶ ὑπεύθυνον τῷ ἁμαρτήματι πεποίηκας, οὐδεμίαν ἀπόδειξιν δεξάμενος, ἀλλὰ πολλάκις ἐξ ὑποψίας καὶ διαβολῆς ψιλῆς. Διὰ γὰρ τοῦτο καὶ ὁ μακάριος Δαυὶδ ἐβόα λέγων· «Τὸν καταλαλοῦντα λάθρᾳ τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον».

4. Εἶδες ἀρετῆς ὑπερβολήν; Οὐ μόνον οὐ παρε-

---

3. 'Εξ. 23, 1.
4. Ρωμ. 14, 10.
5. Ματθ. 7, 1.
6. Ψαλμ. 100, 1.

ἀπὸ τόπον εἰς τόπον ὁ Θεὸς τοῦ παντός; Ὄχι, μὴ γένοιτο. Δὲν ἐννοεῖ αὐτό, ἀλλ' αὐτὸ ποὺ εἶπα πολλὰς φοράς, ὅτι δηλαδὴ θέλει νὰ μᾶς διδάξῃ μὲ τὴν παχυλὴν αὐτὴν λέξιν, ὅτι πρέπει νὰ εἴμεθα πολὺ προσεκτικοὶ καὶ νὰ μὴ καταδικάζωμεν τοὺς ἁμαρτωλοὺς μόνον μὲ τὸ νὰ ἀκούσωμεν κάτι, οὔτε νὰ λαμβάνωμεν ἀποφάσεις χωρὶς ἀποδείξεις.

Ἂς τὰ ἀκούωμεν αὐτὰ ὅλοι. Διότι δὲν ὀφείλουν νὰ φυλάττουν τὸν νόμον μόνον αὐτοὶ ποὺ κατέχουν τὰς δικαστικὰς ἕδρας, ἀλλὰ καὶ ὁ καθεὶς ἀπὸ ἡμᾶς πρέπει νὰ μὴ κατακρίνῃ τὸν πλησίον του ἀπὸ μίαν μικρὰν κατηγορίαν. Διὰ τοῦτο καὶ ὁ μακάριος Μωυσῆς μετὰ ἀπὸ αὐτὰ ὁδηγούμενος ὑπὸ τοῦ ἁγίου Πνεύματος συνεβούλευε λέγων· «Μὴ δέχεσαι ψευδῆ πληροφορίαν»[3]. Καὶ ὁ μακάριος Παῦλον γράφων διεκήρυττε· «Σὺ δὲ διατί κατακρίνεις τὸν ἀδελφόν σου;»[4]. Καὶ ὁ Χριστὸς δίδων ἐντολὰς εἰς τοὺς μαθητάς του καὶ διδάσκων τὸ πλῆθος τῶν Ἑβραίων, τοὺς γραμματεῖς αὐτῶν καὶ τοὺς Φαρισαίους, ἔλεγε· «Μὴ κατακρίνετε, διὰ νὰ μὴ κατακριθῆτε»[5]. Διατί, λέγει, ἁρπάζεις τὸ ἀξίωμα τοῦ δικαστοῦ πρὶν ἀπὸ τὴν ὥραν; διατί προλαμβάνεις ἐκείνην τὴν φοβερὰν ἡμέραν; Θέλεις νὰ εἶσαι κριτής; Νὰ κρίνῃς τὸν ἑαυτόν σου καὶ τὰ ἁμαρτήματά σου. Δὲν σὲ ἐμποδίζει κανείς. Καθ' ὅσον μὲ αὐτὸν τὸν τρόπον θὰ διορθώσῃς τὰ σφάλματά σου καὶ δὲν θὰ ὑποστῇς καμμίαν βλάβην ἀπὸ τὴν ἐνέργειαν αὐτήν. Ἐὰν ὅμως ἀφήνῃς τὸν ἑαυτόν σου καὶ κρίνει τοὺς ἄλλους, δὲν καταλαβαίνεις, ὅτι συγκεντρώνεις διὰ τὸν ἑαυτόν σου μεγαλύτερα φορτία ἁμαρτημάτων; Διὰ τοῦτο, παρακαλῶ, νὰ ἀποφεύγωμεν τελείως νὰ καταδικάζωμεν τοὺς συνανθρώπους μας. Διότι ἂν καὶ δὲν εἶσαι δικαστής, ὅμως κατακρίνεις μὲ τὴν σκέψιν σου καὶ καθιστᾷς κάποιον ὑπεύθυνον ἑνὸς ἁμαρτήματος, χωρὶς νὰ ἔχῃς καμμίαν ἀπόδειξιν, ἀλλὰ πολλὰς φορὰς ἀπὸ κάποιαν ὑποψίαν ἢ φθηνὴν δικαιολογίαν. Διὰ τοῦτο λοιπὸν καὶ ὁ μακάριος Δαβὶδ διεκήρυττε καὶ ἔλεγεν· «Ἀπεμάκρυνα ἀπὸ ἐμπρός μου αὐτὸν ποὺ κατέκρινε κρυφίως τὸν πλησίον του»[6].

4. Εἶδες ὑπερβολικὴν ἀρετήν; Ὄχι μόνον δὲν παρε-

δέχετο αὐτὸς τὰ λεγόμενα, ἀλλὰ καὶ ἀπήλαυνε τὸν τοῦ ἀδελφοῦ καταλαλεῖν βουλόμενον. Ἐὰν τοίνυν βουλώμεθα καὶ ἡμεῖς ἐλαττοῦν τὰ ἑαυτοῖς ἐπταισμένα, τοῦτο μάλιστα πάντων φυλαττώμεθα, μήτε καταψηφίζεσθαι τῶν ἀδελφῶν τῶν ἡμετέρων, μήτε τοὺς καταλαλεῖν ἐπιχειροῦντας προσίεσθαι, μᾶλλον δὲ κατὰ τὸν προφήτην ἀπελαύνειν καὶ πάντῃ ἀποστρέφεσθαι. Τοῦτο γὰρ οἶμαι καὶ τὸν προφήτην Μωϋσῆν δηλοῦν διὰ τοῦ λέγειν, «Ἀκοὴν ματαίαν μὴ παραδέξῃ». Διά τοι τοῦτο καὶ νῦν ὁ τῶν ὅλων Δεσπότης τοσαύτῃ παχύτητι λέξεως ἐχρήσατο πρὸς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν, καί φησι· «Καταβὰς ὄψομαι». Τί γάρ; Οὐκ ἠπίστατο; Οὐκ ᾔδει τὸ μέγεθος τῶν ἁμαρτημάτων; Οὐκ ἐγίνωσκε τὸ ἀδιόρθωτον τῶν ἐπταισμένων; Ἀλλ' ὥσπερ ἀπολογίαν τινὰ συντιθεὶς τοῖς μετὰ ταῦτα ἀναισχύντως ἐγκαλεῖν βουλομένοις καὶ δεικνὺς αὐτῶν τὸ ἀκάθεκτον καὶ τὴν πολλὴν σπάνιν τῆς ἀρετῆς, τοσαύτῃ κέχρηται τῇ μακροθυμίᾳ. Τάχα δὲ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ὥστε καὶ τῷ δικαίῳ ἀφορμὴν παρασχεῖν δεῖξαι τῆς γνώμης αὐτοῦ τὸ συμπαθὲς καὶ τὸ φιλόστοργον.

Οἱ μὲν οὖν ἄγγελοι, καθάπερ ἔφθην εἰπών, ἀπῆλθον εἰς τὰ Σόδομα· ὁ δὲ πατριάρχης εἱστήκει ἐναντίον Κυρίου. «Καὶ ἐγγίσας», φησίν, «Ἀβραὰμ εἶπε· μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής;». Ὢ τῆς τοῦ δικαίου παρρησίας, μᾶλλον δέ, ὢ ψυχῆς συμπάθεια· ὅπως τῇ τῆς συμπαθείας μέθῃ καρωθεὶς οὐδὲ ὃ λέγει συνίησι. Καὶ δεικνύουσα ἡ θεία Γραφή, ὅτι μετὰ φόβου πολλοῦ καὶ τρόμου τὴν ἱκεσίαν ποιεῖται, φησίν· «Ἐγγίσας Ἀβραὰμ εἶπε· μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς;». Τί ποιεῖς, ὦ μακάριε πατριάρχα; Τῆς παρὰ σοῦ δεῖται παρακλήσεως ὁ Δεσπότης, ὥστε μὴ τοῦτο ποιῆσαι; Ἀλλὰ μὴ τοῦτο νοήσωμεν· οὐδὲ γὰρ ὡς τοῦ Δε-

δέχετο ὁ ἴδιος αὐτὰ ποὺ λέγομεν, ἀλλὰ καὶ ἀπεμάκρυνεν αὐτὸν ποὺ ἤθελε νὰ κατηγορῇ τὸν ἀδελφόν του. Ἐὰν λοιπὸν θέλωμεν καὶ ἡμεῖς νὰ μειώσωμεν τὰς ἁμαρτίας μας, νὰ ἔχωμεν ὡς ἀρχὴν τοῦτο κατ' ἐξοχήν, οὔτε δηλαδὴ νὰ κατακρίνωμεν τοὺς ἀδελφούς μας, οὔτε νὰ συναναστρεφώμεθα αὐτοὺς ποὺ προσπαθοῦν νὰ κατηγοροῦν τοὺς ἄλλους ἢ μᾶλλον κατὰ τὸν προφήτην νὰ τοὺς ἀποστρεφώμεθα τελείως. Καθ' ὅσον νομίζω, ὅτι καὶ ὁ προφήτης Μωυσῆς τὸ ἴδιο πρᾶγμα δηλώνει μὲ τὸ νὰ λέγῃ, «Νὰ μὴ παραδεχθῇς ψευδῆ κατηγορίαν». Διὰ τοῦτο βεβαίως καὶ ὁ Κύριος τοῦ παντὸς ἐχρησιμοποίησε πρὸς ὠφέλειαν τῶν ψυχῶν μας τόσον παχεῖαν λέξιν, καὶ λέγει· «Θὰ καταβῶ διὰ νὰ ἰδῶ». Τί λοιπόν; Δὲν ἐγνώριζε; δὲν ἐγνώριζε τὸ μέγεθος τῶν ἁμαρτιῶν; δὲν ἐγνώριζεν, ὅτι τὰ ἁμαρτήματά των δὲν διωρθώνοντο. Ἀλλ' ὡσὰν νὰ ἀπελογεῖτο πρὸς αὐτούς, ποὺ θὰ ἤθελον μελλοντικὰ νὰ τὸν κατηγορήσουν χωρὶς νὰ ἐντρέπωνται καὶ ἀποδεικνύων τὴν τραχύτητα αὐτῶν καὶ τὴν πολλὴν ἔλλειψιν τῆς ἀρετῆς, χρησιμοποιεῖ τόσην μακροθυμίαν. Ἴσως ὅμως ὄχι μόνον δι' αὐτὸ ἀλλὰ διὰ νὰ δώσῃ καὶ εἰς τὸν δίκαιον ἀφορμὴν νὰ ἀποδείξῃ τὴν καλήν του διάθεσιν καὶ τὴν φιλοστοργίαν του.

Οἱ ἄγγελοι λοιπόν, ὅπως εἶπον καὶ προηγουμένως, ἔφυγον πρὸς τὰ Σόδομα, ἐνῷ ὁ πατριάρχης ἵστατο ἔναντι τοῦ Κυρίου. «Καὶ ἀφοῦ», λέγει, «ἐπλησίασεν ὁ Ἀβραὰμ εἶπε· Θὰ καταστρέψῃς καὶ τὸν δίκαιον μαζὶ μὲ τὸν ἀσεβῆ καὶ θὰ ἔχῃ ὁ δίκαιος τὴν ἰδίαν τύχην μὲ τὸν ἀσεβῆ;». Ὢ παρρησία τοῦ δικαίου, ἢ μᾶλλον, ὢ συμπάθεια ψυχῆς. Ἐναρκώθη ἀπὸ τὴν μέθην τῆς συμπαθείας τόσον, ὥστε δὲν ἀντελαμβάνεται αὐτὸ ποὺ λέγει. Καὶ ἡ ἁγία Γραφὴ ἐπιθυμοῦσα νὰ φανερώσῃ, ὅτι παρεκάλει μὲ μεγάλον φόβον καὶ τρόμον, λέγει· «Ἀφοῦ ἐπλησίασεν ὁ Ἀβραὰμ εἶπε· Θὰ καταστρέψῃς καὶ τὸν δίκαιον μαζὶ μὲ τὸν ἀσεβῆ;». Τί κάνεις, μακάριε πατριάρχα; Τὴν ἰδικήν σου παράκλησιν χρειάζεται ὁ Κύριος, διὰ νὰ μὴ κάνῃ αὐτό; Ἀλλ' ἃς μὴ σκεφθῶμεν κατ' αὐτὸν τὸν τρόπον· διότι ὁ πατριάρχης δὲν λέγει αὐτὰ μὲ τὴν σκέψιν, ὅτι ὁ Κύριος σκοπεύει νὰ

σπότου τοῦτο ποιεῖν μέλλοντος λέγει, ἀλλ' ἐπειδὴ ἐξ εὐθείας διὰ τὸν ἀδελφιδοῦν εἰπεῖν οὐκ ἐθάρρει, κοινὴν ὑπὲρ ἁπάντων ποιεῖται τὴν ἱκεσίαν, βουλόμενος μετὰ τῶν ἄλλων καὶ τοῦτον διασῶσαι καὶ μετὰ τούτου καὶ τοὺς ἄλλους ἐξαρπάσαι· καὶ ἄρχεται τῆς παρακλήσεως, καί φησιν· «Ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολέσεις αὐτούς; Οὐκ ἀνήσεις ἅπαντα τὸν τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ; Μηδαμῶς· οὐ ποιήσεις τὸ ῥῆμα τοῦτο, τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. Μηδαμῶς. Ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν;».

Ὅρα πῶς καὶ ἐν τῇ ἱκεσίᾳ δείκνυσιν αὐτοῦ τῆς γνώμης τὸ φιλόθεον καὶ κριτὴν πάσης τῆς γῆς ὁμολογεῖ καὶ ἀξιοῖ μὴ συναπολέσαι δίκαιον μετὰ ἀσεβοῦς. Εἶτα ὁ ἥμερος καὶ φιλάνθρωπος Θεὸς ἐπινεύει τῇ αἰτήσει καί φησι· ποιῶ ὅπερ εἴρηκας καὶ δέχομαί σου τὴν παράκλησιν. «Ἐὰν εὑρεθῶσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, δι' ἐκείνους ἀφήσω πάντα τὸν τόπον». Χαρίζομαι, φησί, τοῖς πεντήκοντα δικαίοις, ἐὰν εὑρεθῶσι, τῶν λοιπῶν τὴν σωτηρίαν, καὶ τὴν αἴτησιν τὴν σὴν εἰς ἔργον ἀγάγω. Ἀλλ' ἴδωμεν τὸν δίκαιον τοῦτον, ὅπως παρρησίας ἐπιλαβόμενος καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν εἰδώς, πάλιν δευτέραν αἴτησιν προσάγει καί φησι· «Νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν Κύριόν μου· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός». Μὴ νομίσῃς, φησί, Δέσποτα, ἀγνοεῖν με ἐμαυτὸν καὶ ὑπερβαίνειν με τὸ μέτρον καὶ τοσαύτῃ κεχρῆσθαι τῇ παρρησίᾳ. Οἶδα γὰρ ὅτι γῆ εἰμι καὶ σποδός· ἀλλ' ὥσπερ τοῦτο οἶδα καὶ σαφῶς ἐπίσταμαι, οὕτως οὐδὲ ἐκεῖνο ἀγνοῶ, ὅτι πολὺ τὸ μέγεθος τῆς σῆς φιλανθρωπίας καὶ ὅτι πλούσιος εἶ ἐν ἀγαθότητι καὶ βούλει πάντας ἀνθρώπους σωθῆναι. Ὁ γὰρ ἐκ τοῦ μὴ ὄντος παραγαγών,

πραγματοποιήσῃ αὐτό, ἀλλ' ἐπειδὴ δὲν εἶχε τὸ θάρρος νὰ ὁμιλήσῃ κατ' εὐθεῖαν διὰ τὸν ἀνεψιόν του τὸν Λώτ, διὰ τοῦτο παρακαλεῖ δι' ὅλους, ἐπιθυμῶν νὰ σωθῇ μαζὶ μὲ τοὺς ἄλλους καὶ αὐτὸς καὶ μαζὶ μὲ αὐτὸν νὰ σώσῃ καὶ τοὺς ἄλλους ἀπὸ τὴν καταστροφήν. Καὶ ἀρχίζει τὴν παράκλησιν καὶ λέγει· «Ἐὰν ὑπάρχουν πεντήκοντα δίκαιοι εἰς τὴν πόλιν θὰ τοὺς καταστρέψῃς; Δὲν θὰ σώσῃς ὁλόκληρον τὸν τόπον χάριν τῶν πεντήκοντα δικαίων, ἐὰν αὐτοὶ ὑπάρχουν εἰς αὐτήν; Μή παρακαλῶ, μὴ πραγματοποιήσῃς αὐτοὺς τοὺς λόγους, τὸ νὰ φονεύσῃς δηλαδὴ τὸν δίκαιον μαζὶ μὲ τὸν ἀσεβῆ καὶ νὰ ἔχῃ ὁ δίκαιος τὴν ἰδίαν τύχην μὲ τὸν ἀσεβῆ. Κατ' οὐδένα τρόπον μὴ τὸ κάνῃς αὐτό. Ἐσὺ ποὺ κρίνεις ὁλόκληρον τὴν γῆν δὲν θὰ κρίνῃς δικαίως;».

Πρόσεχε πῶς καὶ κατὰ τὴν παράκλησιν δεικνύει τὴν εὐσέβειαν τῆς ψυχῆς του καὶ ὁμολογεῖ, ὅτι εἶναι ὁ κριτὴς ὁλοκλήρου τῆς γῆς καὶ ζητεῖ νὰ μὴ καταστραφῇ καὶ ὁ δίκαιος μαζὶ μὲ τὸν ἀσεβῆ. Ἔπειτα ὁ πρᾶος καὶ φιλάνθρωπος Θεὸς συμφωνεῖ μὲ τὴν παράκλησιν τοῦ πατριάρχου καὶ λέγει. Κάνω αὐτό, τὸ ὁποῖον εἶπες καὶ δέχομαι τὴν παράκλησίν σου. «Ἐὰν εὑρεθοῦν πενήντα δίκαιοι εἰς τὴν πόλιν θὰ σώσω τὸν τόπον ὁλόκληρον χάριν αὐτῶν». Ἐὰν εὑρεθοῦν, λέγει, πενήντα δίκαιοι, χάριν αὐτῶν θὰ χαρίσω καὶ εἰς τοὺς ὑπολοίπους τὴν σωτηρίαν καὶ θὰ πραγματοποιήσω τὴν παράκλησίν σου. Ἂς ἴδωμεν ὅμως τὸν δίκαιον αὐτόν, πῶς ἂν καὶ ἔλαβε παρρησίαν, καὶ ἐγνώριζε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ τὸν παρακαλεῖ καὶ πάλιν διὰ δευτέραν φορὰν καὶ λέγει· «Τώρα ἤρχισα καὶ θὰ ὁμιλήσω πρὸς τὸν Κύριόν μου. Ἐγὼ εἶμαι χῶμα καὶ στάχτη». Μὴ νομίσῃς, Κύριε, λέγει, ὅτι ἀγνοῶ τὸ τί εἶμαι καὶ ὅτι ὑπερβαίνω τὸ μέτρον καὶ λαμβάνω τόσον θάρρος. Διότι γνωρίζω, ὅτι εἶμαι χῶμα καὶ στάχτη. Ἀλλ' ὅπως ἀκριβῶς ἔχω ὑπ' ὄψιν μου αὐτὸ καὶ μάλιστα τὸ γνωρίζω πολὺ καλά, κατὰ τὸν ἴδιον τρόπον δὲν ἀγνοῶ, ὅτι εἶναι μεγάλο τὸ μέγεθος τῆς φιλανθρωπίας σου καὶ ὅτι εἶσαι πλήρης ἀγαθότητος καὶ θέλεις νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι. Διότι σὺ ποὺ ἐδημιούργησες τοὺς ἀνθρώπους ἀπὸ τὸ μη-

πῶς ἄν ποτε γενομένους ἀπολέσῃς, εἰ μὴ πολλὴ τῶν ἁμαρτημάτων ἦν ἡ φορά; Δι' ὃ δέομαι πάλιν καὶ ἀξιῶ, «Ἐὰν ἐλάττους τῶν πεντήκοντα εὑρεθῶσι καὶ τεσσαράκοντα πέντε ὦσιν ἐν τῇ πόλει δίκαιοι, οὐ σώσεις τὴν πόλιν; Καὶ εἶπεν· ἐὰν εὑρεθῶσι τεσσαράκοντα πέντε, οὐ μὴ ἀπολέσω».

Τίς ἂν κατ' ἀξίαν τὸν τῶν ὅλων Θεὸν ὑμνήσειε τῆς τοσαύτης μακροθυμίας καὶ συγκαταβάσεως, ἢ τὸν δίκαιον μακαρίσειε τοσαύτης ἀπολαύσαντα παρρησίας; «Καὶ προσέθηκε», φησίν, «ἔτι λαλῆσαι, καὶ εἶπεν· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαράκοντα; Καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τεσσαράκοντα». Εἶτα λοιπὸν ὥσπερ αἰδεσθεὶς τοῦ Θεοῦ τὴν ἄφατον μακροθυμίαν ὁ δίκαιος καὶ δεδιὼς μήποτε καὶ δόξῃ ὑπερβαίνειν καὶ πέρα τοῦ μέτρου τὴν ἱκεσίαν ποιεῖσθαι, φησί· «Μή τι, Κύριε, ἐὰν λαλήσω· ἐὰν εὑρεθῶσιν ἐκεῖ τριάκοντα;». Ἐπειδὴ εἶδεν ἕτοιμον πρὸς φιλανθρωπίαν, οὐκ ἔτι κατὰ μικρὸν καθυφίησιν, οὐδὲ πέντε δικαίους παραλιπών, ἀλλὰ δέκα, οὕτω προσάγει τὴν παράκλησιν καί φησιν· «Ἐὰν εὑρεθῶσιν ἐκεῖ τριάκοντα; Καὶ εἶπεν· οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ τριάκοντα». Σκόπει πόση τοῦ δικαίου ἡ εὐτονία· καθάπερ αὐτὸς μέλλων ὑπεύθυνος τῇ ψήφῳ γίνεσθαι, οὕτω πολλὴν τίθεται τὴν σπουδὴν ἐξαρπάσαι τῆς μελλούσης ἐπάγεσθαι τιμωρίας τὸ τῶν Σοδομιτῶν ἔθνος. «Καὶ εἶπεν· ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν Κύριον, ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ εἴκοσι; Καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν εἴκοσι». Πάντα λόγον ὑπερβαίνει καὶ πᾶσαν ἔννοιαν ἡ τοῦ Δεσπότου ἀγαθότης. Τίς γὰρ ἡμῶν τῶν ἐν μέσῳ μυρίων κακῶν στρεφομένων εἵλετό ποτε κατὰ τῶν ὁμογενῶν ψῆφον ἐκφέρων τοσαύτῃ χρήσασθαι συγκαταβάσει καὶ φιλανθρωπίᾳ;

δέν, πῶς θὰ ἠμπορέσῃς νὰ τοὺς καταστρέψῃς, ἐὰν τὰ ἁμαρτήματά των δὲν εἶναι πολὺ σοβαρά; Διὰ τοῦτο σὲ παρακαλῶ καὶ σὲ ἱκετεύω καὶ πάλιν, «Ἐὰν εὑρεθοῦν ὀλιγώτεροι ἀπὸ πενήντα καὶ ὑπάρχουν εἰς τὴν πόλιν σαράντα πέντε δίκαιοι, δὲν θὰ σώσῃς τὴν πόλιν; Καὶ ὁ Θεὸς εἶπε· Δὲν θὰ καταστρέψω τὴν πόλιν, ἐὰν εὑρεθοῦν σαράντα πέντε δίκαιοι».

Ποῖος θὰ ἠμποροῦσε νὰ ὑμνήσῃ ἐπαξίως τὸν Θεὸν τοῦ παντὸς διὰ τὴν τόσον μεγάλην μακροθυμίαν καὶ συγκατάβασίν του, ἢ νὰ μακαρίσῃ τὸν δίκαιον διὰ τὴν τόσην παρρησίαν ποὺ εἶχεν ἀπολαύσει; «Καὶ ἐτόλμησεν ὁ Ἀβραάμ», λέγει «νὰ προσθέσῃ εἰς τὰ ὅσα εἶχεν εἰπεῖ καὶ εἶπεν· ἐὰν εὑρεθοῦν ἐκεῖ σαράντα δίκαιοι; Καὶ ὁ Θεὸς ἀπήντησε· δὲν θὰ τὴν καταστρέψω χάριν τῶν σαράντα». Εἰς τὴν συνέχειαν λοιπὸν ὁ δίκαιος αἰσθανθεὶς κατὰ κάποιον τρόπον ἐντροπὴν διὰ τὴν ἀπερίγραπτον μακροθυμίαν τοῦ Θεοῦ καὶ φοβούμενος μήπως καὶ φανῇ ὅτι ὑπερβαίνει τὰ ὅρια καὶ ὅτι παρακαλεῖ ὑπερμέτρως, λέγει· «Οὔτε, Κύριε, καὶ ἂν εἰπῶ καὶ κάτι ἀκόμη· Ἐὰν εὑρεθοῦν ἐκεῖ τριάντα δίκαιοι;». Ἐπειδὴ ἀντελήφθη, ὅτι ἦτο πρόθυμος ὁ Θεὸς νὰ ἐπιδείξῃ φιλανθρωπίαν, δὲν ἐλαττώνει ὀλίγον κατ᾽ ὀλίγον τοὺς δικαίους, οὔτε παραλείπει πέντε, ἀλλὰ δέκα καὶ παρακαλεῖ πάλιν καὶ λέγει· «Ἐὰν εὑρεθοῦν ἐκεῖ τριάντα δίκαιοι; Καὶ ὁ Θεὸς εἶπεν. Δὲν θὰ τοὺς καταστρέψω, ἐὰν εὕρω ἐκεῖ τριάντα δικαίους». Πρόσεχε πόση εἶναι ἡ ἐπιμονὴ τοῦ δικαίου. Ὡσὰν νὰ ἐπρόκειτο νὰ δικασθῇ ὁ ἴδιος, ἔτσι προσπαθεῖ μὲ κάθε τρόπον νὰ σώσῃ τοὺς Σοδομίτας ἀπὸ τὴν τιμωρίαν, ποὺ πρόκειται νὰ τοὺς ἐπιβάλῃ. «Καὶ εἶπεν ὁ Ἀβραάμ. Ἐπειδὴ ἔχω τὸ θάρρος νὰ ἐρωτήσω πρὸς τὸν Κύριον καὶ πάλιν ἂς μοῦ εἰπῇ. Ἐὰν εὑρεθοῦν ἐκεῖ εἴκοσι δίκαιοι; Καὶ ὁ Θεὸς εἶπεν. Δὲν θὰ τοὺς καταστρέψω χάριν τῶν εἴκοσι». Ὑπερβαίνει κάθε λογικὴν καὶ κάθε σκέψιν ἡ ἀγαθότης τοῦ Κυρίου. Διότι ποῖος ἀπὸ ἡμᾶς ποὺ ζῶμεν μέσα εἰς τὴν κακίαν, προετίμησε ποτὲ νὰ δείξῃ τόσην συγκατάβασιν καὶ προθυμίαν, ὅταν πρόκειται νὰ κρίνῃ τοὺς συνανθρώπους του;

5. Ἀλλ' ὅμως ὁ δίκαιος οὗτος ὁρῶν τὸν πλοῦτον τῆς τοῦ Θεοῦ φιλανθρωπίας οὐχ ἵσταται, ἀλλὰ πάλιν φησί· «Μή τι, Κύριε, ἐὰν λαλήσω ἔτι ἅπαξ;». Ἐπειδὴ γὰρ ἄφατος ἦν ἡ μακροθυμία, διὰ τοῦτο δεδοικὼς μὴ καὶ εἰς ἀγανάκτησιν τὴν κατ' αὐτοῦ κινήσειε τὸν παρακαλούμενον, φησί· «Μή τι, Κύριε;». Μὴ προπετές τι ποιῶ; Μὴ ἀναίσχυντόν τι ἐπιδείκνυμι; Μὴ καταγνώσεως ἄξιον πρᾶγμα διαπράττομαι, ἐὰν λαλήσω ἔτι ἅπαξ; Μετὰ τῆς πολλῆς ἐκείνης ἀγαθότητος ἔτι μίαν ἱκεσίαν δέξαι παρ' ἐμοῦ. «Ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ δέκα; Καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα». Καὶ ἐπειδὴ προλαβὼν εἶπεν, «Ἔτι ἅπαξ λαλήσω· Ἀπῆλθε», φησί, «Κύριος, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ· καὶ Ἀβραὰμ ὑπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ».

Εἴδετε τοῦ Δεσπότου τὴν συγκατάβασιν; Εἴδετε τοῦ δικαίου τὴν φιλοστοργίαν; Ἐμάθετε ὅση ἡ ἰσχὺς τῶν τὴν ἀρετὴν μετιόντων; Ἐὰν γὰρ εὑρεθῶσι, φησί, δέκα δίκαιοι, δι' ἐκείνους πᾶσι τὴν συγχώρησιν τῶν ἡμαρτημένων δωροῦμαι. Οὐ καλῶς ἔλεγον, ὅτι ταῦτα πάντα ἐγένετο, ἵνα μηδεμία καταλίπηται τοῖς μετὰ ταῦτα ἀναισχυντοῦσιν ἀντιλογίας ἀφορμή; Εἰσὶ γὰρ πολλοὶ τῶν μεμηνότων, ἀκόλαστον γλῶτταν ἔχοντες καὶ αἰτιᾶσθαι βουλόμενοι καὶ λέγοντες· τίνος ἕνεκεν ἐνεπρήσθη τὰ Σόδομα; Εἰ μακροθυμίας ἀπήλαυσαν, ἴσως ἂν μετενόησαν. Διὰ τοῦτο δείκνυσί σοι τῆς κακίας τὴν ἐπίτασιν καὶ ὅτι ἐν τοσούτῳ πλήθει τοσαύτη ἦν σπάνις ἀρετῆς, ὡς ἑτέρου κλυδωνίου τοιούτου δεῖσθι, οἷον πρότερον κατέλαβε τὴν οἰκουμένην. Ἀλλ' ἐπειδὴ ὑπόσχεσίς ἐστι τοῦ Θεοῦ, ὥστε μηκέτι τοιαύτην ἐπενεχθῆναι τιμωρίαν, διὰ τοῦτο ἕτερον τρόπον τιμωρίας ἐπάγει, ὁμοῦ κἀκείνους ὑπὸ τὴν τιμωρίαν ἄγων καὶ τοῖς ἑξῆς ἅπασι διηνεκῆ τὴν διδασκαλίαν παρεχόμενος. Ἐπειδὴ γὰρ ἀνέτρεψαν τοὺς τῆς φύσεως νόμους καὶ ξένας καὶ παρανόμους ἐπενόησαν

5. Ἀλλ' ὅμως ὁ δίκαιος αὐτὸς ἐπειδὴ ἔβλεπε τὴν ἀπεριόριστον φιλανθρωπίαν τοῦ Θεοῦ δὲν σταματᾷ, ἀλλὰ λέγει πάλιν· «Μήπως θὰ ὀργισθῇς, Κύριε, ἐὰν ἐρωτήσω ἀκόμη μίαν φοράν;». Ἐπειδὴ δηλαδὴ ἦτο ἀπερίγραπτος ἡ μακροθυμία τοῦ Θεοῦ, διὰ τοῦτο φοβούμενος μήπως κάνῃ τὸν παρακαλούμενον νὰ ἀγανακτήσῃ, λέγει· «Μήπως ὀργισθῇς, Κύριε;». Μήπως κάνω κάτι τὸ παράλογον; μήπως ἐπιδεικνύω ἀναίσχυντον συμπεριφοράν; μήπως κάνω κάτι τὸ ἀξιοκατάκριτον, ἐὰν θὰ ὁμιλήσω ἀκόμη μίαν φοράν; Δέξου ἀπὸ ἐμὲ ἀκόμη μίαν παράκλησιν μὲ ἐκείνην τὴν μεγάλην σου ἀγαθότητα. «Ἐὰν εὑρεθοῦν ἐκεῖ δέκα δίκαιοι; Καὶ ὁ Κύριος εἶπε· Δὲν θὰ τοὺς καταστρέψω χάριν τῶν δέκα». Καὶ ἐπειδὴ προηγουμένως εἶπεν, «ἐὰν θὰ ἐρωτήσω ἀκόμη μίαν φοράν», «ἀνεχώρησεν ὁ Κύριος, μόλις ἔπαυσε νὰ ὁμιλῇ μὲ τὸν Ἀβραάμ. Καὶ ὁ Ἀβραὰμ ἐπέστρεψεν εἰς τὴν σκηνήν του».

Εἴδατε τὴν συγκατάβασιν τοῦ Κυρίου; εἴδατε τὴν φιλοστοργίαν τοῦ δικαίου; ἐμάθατε πόση εἶναι ἡ δύναμις τῶν ἐναρέτων ἀνθρώπων; Διότι λέγει, ἐὰν εὑρεθοῦν δέκα δίκαιοι χάριν αὐτῶν θὰ συγχωρήσῃ ὅλας τὰς ἁμαρτίας. Δὲν εἶχον δίκαιον ποὺ ἔλεγον προηγουμένως, ὅτι ὅλα αὐτὰ ἔγιναν διὰ νὰ μὴ ὑπάρχῃ καμμία ἀφορμὴ ἀντιλογίας εἰς ὅλους ἐκείνους ποὺ ζοῦν μὲ ἀναίσχυντον τρόπον; Διότι ὑπάρχουν πολλοὶ παράφρονες ποὺ ἔχουν ἀσυγκράτητον γλῶσσαν καὶ θέλουν νὰ κατηγοροῦν καὶ λέγουν· Διὰ ποῖον λόγον κατεκάησαν τὰ Σόδομα; Ἐὰν εἶχεν ἐπιδείξει μακροθυμίαν ὁ Θεός, ἴσως νὰ μετενόουν. Διὰ τοῦτο σοῦ ἀποδεικνύει τὸ μέγεθος τῆς κακίας καὶ ὅτι ἂν καὶ ὑπῆρχε τόσον πλῆθος ἀνθρώπων, τόση ἦτο ἡ ἔλλειψις τῆς ἀρετῆς, ὥστε ἐχρειάζετο ἕνας νέος κατακλυσμὸς ὅμοιος μὲ ἐκεῖνον ποὺ εἶχε καλύψει ὁλόκληρον τὴν γῆν. Ἐπειδὴ ὅμως ὁ Θεὸς εἶχεν ὑποσχεθῇ νὰ μὴ ἐπιφέρῃ οὐδέποτε ἄλλοτε παρομοίαν τιμωρίαν, διὰ τοῦτο ἐπιβάλει διαφορετικὴν τιμωρίαν καὶ τιμωρεῖ συγχρόνως ἐκείνους, ἀλλὰ καὶ διδάσκει συνεχῶς ὅλους τοὺς μεταγενεστέρους. Ἐπειδὴ δηλαδὴ ἀνέτρεψαν τοὺς φυσικοὺς νόμους καὶ ἐπενόησαν

μίξεις, διὰ τοῦτο ξένον τιμωρίας τὸν τρόπον ἐπήγαγε, διὰ τὴν ἐκείνων παρανομίαν, καὶ τῆς γῆς τὴν γαστέρα πηρώσας, καὶ καταλιπὼν ὑπόμνημα διηνεκὲς ταῖς μετὰ ταῦτα γενεαῖς, ὥστε μὴ τοῖς αὐτοῖς ἐπιχειρεῖν, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσωσι. Καὶ ἔξεστι τῷ βουλομένῳ εἰς τοὺς τόπους ἀφικνεῖσθαι ἐκείνους καὶ δρᾶν αὐτήν, ὡς εἰπεῖν, τὴν γῆν βοῶσαν καὶ δεικνύουσαν τῆς τιμωρίας τὰ ἴχνη καὶ μετὰ τοσούτων ἐτῶν ἀριθμόν, ὡς χθὲς καὶ πρῴην ἐπαχθείσης τῆς τιμωρίας, οὕτω καταφανὴς ἡ ἀγανάκτησις δείκνυται.

Δι' ὅ, παρακαλῶ, ἐξ ὧν ἕτεροι τὴν δίκην ἔδοσαν, ἡμεῖς σωφρονιζόμεθα. 'Αλλ' ἴσως εἴποι τις ἄν· τί οὖν; 'Επειδὴ ἐκεῖνοι οὕτως ἐκολάσθησαν, οὐκ εἰσὶ καὶ νῦν πολλοὶ τὰ αὐτὰ ἐκείνοις παρανομοῦντες καὶ μὴ κολαζόμενοι; Ναί· ἀλλὰ τοῦτο μᾶλλον τιμωρίαν προξενήσει τοῖς τοιαῦτα παρανομοῦσι. Ὅταν γὰρ μήτε ἐκ τῶν εἰς ἐκείνους συμβεβηκότων σωφρονιζώμεθα, μήτε ἀπὸ τῆς μακροθυμίας τοῦ Θεοῦ κερδαίνωμέν τι, ἐννόησον καὶ ὅπως ἐκεῖνο τὸ ἄσβεστον πῦρ σφοδρότερον ἑαυτοῖς ὑπανάπτωμεν καὶ τὸν σκώληκα πικρὸν ἐργαζώμεθα. Ἄλλως δέ, ἐπειδὴ πολλοὶ διὰ τὴν τοῦ Θεοῦ χάριν εἰσὶ καὶ νῦν ἐνάρετοι, δυσωπεῖν δυνάμενοι τὸν Δεσπότην, καθάπερ τότε ὁ πατριάρχης, εἰ καὶ ἡμεῖς ἐκ τοῦ τὰ καθ' ἑαυτοὺς σκοπεῖν, καὶ πρὸς τὴν ραθυμίαν ἀφορᾶν τὴν ἡμετέραν, νομίζομεν πολλὴν εἶναι τὴν σπάνιν τῆς ἀρετῆς· ὅμως διὰ τὴν ἐκείνων ἀρετὴν τὴν περὶ τούτους μακροθυμίαν ἐπιδείκνυται. Καὶ ἵνα μάθῃς, ὅτι ἡ τῶν τοιούτων παρρησία τῆς μακροθυμίας ἡμῖν πρόξενος γίνεται, ἄκουσον ἐξ αὐτῆς ταύτης τῆς ἱστορίας, τί φησι πρὸς τὸν πατριάρχην, ὅτι «'Εὰν δέκα δικαίους εὕρω, οὐ μὴ ἀπολέσω τὴν πόλιν». Καὶ τί λέγω δέκα δικαίους; Οὐδεὶς εὑρέθη ἐκεῖ τῆς παρανομίας ἐκτός, εἰ μὴ μόνος Λὼτ ὁ δίκαιος, καὶ αἱ τούτου δύο θυγατέρες. Ἡ γὰρ γυνὴ δι' αὐ-

παράξενους καὶ παρανόμους τρόπους συνουσίας, διὰ τοῦτο ἐπέβαλε νέον τρόπον τιμωρίας, ἐξ αἰτίας τῆς παρανομίας ἐκείνων καὶ κατέκαυσε τὴν γῆν καὶ ἄφησε αὐτὴν παντοτινὴν διαθήκην εἰς τὰς μεταγενεστέρας γενεὰς νὰ μὴ κάνουν τὰ ἴδια ἁμαρτήματα, διὰ νὰ μὴ τιμωρηθοῦν μὲ τὸν ἴδιον τρόπον. Καὶ ἠμπορεῖ, ὅποιος θέλει νὰ μεταβῇ εἰς ἐκείνην τὴν περιοχὴν καὶ νὰ ἰδῇ τὴν ἰδίαν τὴν γῆν, ἡ ὁποία σχεδὸν φωνάζει καὶ φανερώνει τὰ ἴχνη τῆς τιμωρίας, καὶ μάλιστα μετὰ ἀπὸ τόσα ἔτη τόσον καταφανὴς εἶναι ἡ ἀγανάκτησις τοῦ Θεοῦ, ὥστε νομίζεις, ὅτι ἡ τιμωρία ἐπεβλήθη μόλις χθές.

Διὰ τοῦτο, παρακαλῶ, νὰ συνετιζώμεθα ἡμεῖς ἀπὸ αὐτὰ διὰ τὰ ὁποῖα ἐτιμωρήθησαν οἱ ἄλλοι. Ἴσως ὅμως νὰ ἔλεγε κάποιος. Τί λοιπόν; ἐπειδὴ ἐτιμωρήθησαν ἐκεῖνοι μὲ τέτοιον τρόπον, δὲν ὑπάρχουν καὶ τώρα πολλοὶ ποὺ διαπράττουν τὰ ἴδια ἁμαρτήματα μὲ ἐκείνους καὶ ὅμως δὲν τιμωροῦνται; Ναί· ὅμως αὐτὸ θὰ προκαλέσῃ μεγαλυτέραν τιμωρίαν εἰς αὐτοὺς ποὺ πίπτουν εἰς τὰ ἴδια παραπτώματα. Ὅταν δὲν συνετιζώμεθα οὔτε ἀπὸ τὰ ὅσα συνέβησαν εἰς ἐκείνους, οὔτε κερδίζωμεν κάτι ἀπὸ τὴν μακροθυμίαν τοῦ Θεοῦ, σκέψου, ὅτι καθιστοῦμεν σφοδρότερον ἐκεῖνο τὸ ἄσβεστον πῦρ ἐναντίον μας καὶ κάνομεν τὸν σκώληκα φοβερώτερον. Ἄλλωστε, ἐπειδὴ καὶ τώρα ὑπάρχουν πολλοὶ ἐνάρετοι μὲ τὴν χάριν τοῦ Θεοῦ, ποὺ ἠμποροῦν νὰ ἐξευμενίζουν τὸν Κύριον, ὅπως ἀκριβῶς τότε ὁ πατριάρχης, ἂν καὶ ἡμεῖς, ἐξετάζοντες μόνον τὸν ἑαυτόν μας καὶ ἀποβλέποντες εἰς τὴν ἀδιαφορίαν μας, νομίζομεν ὅτι ὑπάρχει μεγάλη ἔλλειψις ἀρετῆς, ὅμως ὁ Θεὸς μακροθυμεῖ δι' αὐτοὺς χάριν τῆς ἀρετῆς ἐκείνων. Καὶ διὰ νὰ μάθῃς, ὅτι ἡ παρρησία τῶν ἐναρέτων αὐτῶν γίνεται ἀφορμὴ τῆς μακροθυμίας, ἄκουσε, τί λέγει πρὸς τὸν πατριάρχην, ἀπὸ αὐτὴν τὴν ἰδίαν τὴν ἱστορίαν, ὅτι «Ἐὰν εὕρω δέκα δικαίους, δὲν θὰ καταστρέψω τὴν πόλιν». Καὶ διατὶ λέγω δέκα δικαίους; Δὲν ὑπῆρχεν ἐκεῖ κανεὶς ποὺ νὰ μὴ εἶχε παρανομήσει ἐκτὸς μόνον ἀπὸ τὸν δίκαιον Λὼτ καὶ τὰς δύο θυγατέρας του. Διότι ἡ γυναῖκα του, ἡ ὁποία διέφυγε

τὸν ἴσως τὴν ἐν τῇ πόλει τιμωρίαν διαφυγοῦσα, ὕστερον τὴν δίκην ἔδωκε δι' οἰκείαν ῥαθυμίαν.

Νυνὶ δὲ διὰ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, ἐπειδὴ ἐπέδωκε τὰ τῆς εὐσεβείας, πολλοὶ καὶ ἐν μέσαις ταῖς πόλεσι λανθάνοντές εἰσι, δυνάμενοι δυσωπεῖν τὸν Θεόν, καὶ ἐν ὄρεσι καὶ σπηλαίοις ἕτεροι, καὶ ἡ τῶν ὀλίγων τούτων ἀρετὴ τὴν τῶν πολλῶν κακίαν ἀποκρύψαι δύναται· ἐπειδὴ πολλὴ τοῦ Δεσπότου ἡ ἀγαθότης, καὶ πολλάκις οἶδε δι' ὀλίγους δικαίους τῶν πολλῶν χαρίζεσθαι τὴν σωτηρίαν. Καὶ τί λέγω δι' ὀλίγους δικαίους; Πολλάκις, ὅταν μὴ εὑρεθῇ ἐν τῷ παρόντι βίῳ δίκαιος, διὰ τὴν τῶν τετελευτηκότων ἀρετὴν τῶν ζώντων κήδεται καὶ βοᾷ λέγων· «Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμέ, καὶ διὰ Δαυὶδ τὸν παῖδα μου». Εἰ καὶ αὐτοί, φησίν, ἀνάξιοί εἰσι τοῦ σώζεσθαι, καὶ οὐδεμίαν ἀφορμὴν ἔχουσι σωτηρίας, ἀλλ' ἐπειδὴ τὸ φιλανθρωπεύεσθαι σύνηθες ἐμοὶ καὶ περὶ τὸ ἐλεεῖν εἰμι ἕτοιμος καὶ ἐξαρπάζειν τῶν δεινῶν, δι' ἐμαυτὸν ποιήσω καὶ διὰ τὸν παῖδά μου Δαυὶδ ὑπερασπισμόν· καὶ ὁ πρὸ τοσούτων ἐτῶν τοῦ βίου μεταστάς, οὗτος αἴτιος τῆς σωτηρίας γίνεται τοῖς ὑπὸ τῆς οἰκείας ῥαθυμίας προδεδομένοις.

Εἶδες φιλανθρωπίαν Δεσπότου, πῶς τιμᾷ τοὺς ἐν ἀρετῇ διαλάμποντας, πῶς αὐτοὺς προτίθησι καὶ ἀνταξίους δείκνυσι παντὸς τοῦ πλήθους; Διὰ τοῦτο καὶ Παῦλος ἔλεγε· «Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος». Οὗτος ἅπας, φησίν, ὁ κόσμος, ὁ κατὰ τὴν οἰκουμένην ἅπασαν, οὐκ ἂν εἴη ἰσοστάσιος τούτων τῶν ἐν θλίψεσι, τῶν ἐν κακουχίαις, τῶν γυμνητευόντων, τῶν περιιόντων, τῶν ἐν σπηλαίοις διαγόντων διὰ τὸν Θεόν.

6. Ὅταν οὖν ἴδῃς, ἀγαπητέ, ἄνδρα εὐτελὲς μὲν

---

7. Δ' Βασ. 19, 34.
8. Ἑβρ. 11, 37 - 38.

τὴν τιμωρίαν εἰς τὴν πόλιν ἴσως ἐξ αἰτίας ἐκείνου, ἐτιμωρήθη ἔπειτα διὰ τὴν ἀδιαφορίαν της.

Σήμερον ὅμως λόγῳ τῆς ἀνεκφράστου φιλανθρωπίας τοῦ Θεοῦ, ἐπειδὴ ηὐξήθη ἡ εὐσέβεια, ὑπάρχουν πολλοὶ καὶ μέσα εἰς τὰς πόλεις ποὺ εἶναι ἄγνωστοι, ποὺ ἠμποροῦν νὰ ἐξευμενίζουν τὸν Θεόν, καὶ ἄλλοι ποὺ ζοῦν εἰς τὰ ὄρη καὶ τὰ σπήλαια, καὶ ἡ ἀρετὴ τῶν ὀλίγων αὐτῶν ἠμπορεῖ νὰ καλύψῃ τὴν κακίαν τῶν πολλῶν· διότι εἶναι μεγάλη ἡ ἀγαθότης τοῦ Κυρίου καὶ γνωρίζει πολλὰς φορὰς νὰ χαρίζῃ τὴν σωτηρίαν εἰς τοὺς πολλοὺς χάριν τῶν ὀλίγων δικαίων. Καὶ τί λέγω δι' ὀλίγους δικαίους; Πολλὰς φοράς, ὅταν δὲν εὑρεθῇ κατὰ τὸν παρόντα βίον δίκαιος, ἐνδιαφέρεται διὰ τοὺς ζῶντας λόγῳ τῆς ἀρετῆς τῶν ἀποθανόντων καὶ φωνάζει καὶ λέγει· «Θὰ ὑπερασπίσω τὴν πόλιν αὐτὴν δι' ἐμὲ καὶ χάριν τοῦ δούλου μου Δαβίδ»[7]. Ἂν καὶ αὐτοί, λέγει, εἶναι ἀνάξιοι νὰ σωθοῦν καὶ δὲν ἔχουν καμμίαν ἀφορμὴν νὰ σωθοῦν, ὅμως ἐπειδὴ συνηθίζω νὰ εἶμαι φιλάνθρωπος καὶ εἶμαι πρόθυμος νὰ ἐλεῶ καὶ νὰ σώζω ἀπὸ τὰς δυσκόλους περιστάσεις, θὰ δώσω τὴν προστασίαν μου διὰ τὸν ἑαυτόν μου καὶ διὰ τὸν δοῦλον μου Δαβίδ. Καὶ αὐτὸς ποὺ ἔχει ἀποθάνει πρὶν ἀπὸ τόσα ἔτη γίνεται αἴτιος τῆς σωτηρίας αὐτῶν, οἱ ὁποῖοι ἐπροδόθησαν ἀπὸ τὴν ἰδικήν των ἀδιαφορίαν.

Εἶδες φιλανθρωπίαν Κυρίου, μὲ ποῖον τρόπον δηλαδὴ τιμᾷ τοὺς ἐναρέτους ἀνθρώπους καὶ πόσον τοὺς προτιμᾷ καὶ τοὺς ἀποδεικνύει, ὅτι ἔχουν μεγαλυτέραν ἀξίαν ἀπὸ ὅλον τὸ πλῆθος; Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Καὶ εἶχον ὡς ἐνδύματα δέρματα προβάτων καὶ αἰγῶν, στερούμενοι, στενοχωρούμενοι καὶ κακουχούμενοι. Μὲ αὐτοὺς δὲν συγκρίνεται ὁ κόσμος»[8]. Ὅλος αὐτὸς ὁ κόσμος, λέγει, ὁ ὁποῖος εὑρίσκεται εἰς ὁλόκληρον τὴν οἰκουμένην, δὲν ἠμπορεῖ νὰ συγκριθῇ μὲ ὅλους αὐτοὺς ποὺ ἔζησαν μέσα εἰς τὰς θλίψεις, εἰς τὰς κακουχίας, γυμνοί, περιπλανώμενοι καὶ κατοικοῦντες εἰς τὰ σπήλαια ἐξ αἰτίας τῆς ἀγάπης των πρὸς τὸν Θεόν.

6. Ὅταν λοιπόν, ἀγαπητέ, ἰδῇς ἄνδρα ποὺ νὰ εἶναι

σχῆμα ἔξωθεν περικείμενον, ἀρετὴν δὲ ἔνδοθεν περιϐεϐλημένον, μὴ ἐξευτελίσῃς τοῦτον διὰ τὸ φαινόμενον, ἀλλὰ τὸν τῆς ψυχῆς πλοῦτον καταμάνθανε καὶ τὴν ἔνδον περιφάνειαν καὶ τότε ὄψει πανταχόθεν τὴν ἀρετὴν λάμπουσαν. Τοιοῦτος ἦν ὁ μακάριος Ἠλίας· μηλωτὴν μόνον εἶχε, καὶ ὁ τὴν πορφυρίδα περιϐεϐλημένος Ἀχαὰϐ τῆς ἐκείνου μηλωτῆς ἐδεῖτο. Εἶδες τοῦ μὲν Ἀχαὰϐ τὴν πενίαν, τοῦ δὲ Ἠλία τὸν πλοῦτον; Ὅρα καὶ τῆς δυνάμεως ὅσον τὸ μέσον. Ἡ μηλωτὴ τούτου τὸν οὐρανὸν ἀπέκλεισε, τῶν ὑετῶν ἔστησε τὴν φοράν, καὶ ἡ γλῶσσα τοῦ προφήτου χαλινὸς ἐγένετο τῷ οὐρανῷ, καὶ ἐπὶ τρία ἔτη καὶ μῆνας ἕξ ὑετὸς οὐκ ἐγένετο· καὶ ὁ τὴν ἁλουργίδα καὶ τὸ διάδημα περικείμενος περιῄει τὸν προφήτην ἐπιζητῶν, καὶ οὐδὲν δυνάμενος κερδᾶναι ἐκ τῆς τοιαύτης δυναστείας. Ἀλλ' ὅρα Δεσπότου φιλανθρωπίαν. Ἐπειδὴ εἶδεν ἀπὸ ζήλου καὶ πολλῆς θερμότητος τὸν προφήτην κινηθέντα, καὶ τὴν μεγάλην ταύτην τιμωρίαν ἐπαγαγόντα κατὰ πάσης τῆς γῆς, ὥστε μὴ καὶ αὐτὸν συναπολαῦσαι τῆς τιμωρίας, καὶ ὁμοίως τῇ ἐκείνων πονηρίᾳ κολάζεσθαι, φησὶ πρὸς αὐτόν· «Ἐγερθεὶς πορεύθητι εἰς Σαρεπτὰ τῆς Σιδωνίας. Ἐκεῖ γὰρ ἐντελοῦμαι γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε. Καὶ ἀναστὰς ἐπορεύθη».

Ὅρα τοῦ Πνεύματος τὴν χάριν, ἀγαπητέ. Καὶ γὰρ καὶ χθὲς εἰς φιλοξενίαν ἡμῖν ὁ λόγος ἅπας κατέληξε, καὶ σήμερον ἰδοὺ ὁ φιλόξενος αὕτη χήρα εἰς τέλος ἡμῖν ἄγειν τὸν λόγον μέλλει. Καὶ παρεγένετο, φησί, πρὸς τὴν χήραν, καὶ εὗρεν αὐτὴν συλλέγουσαν ξύλα, καί φησι πρὸς αὐτήν· δός μοι μικρὸν ὕδωρ, καὶ πίομαι. Ἡ δὲ ὑπήκουσε. Καί φησι πρὸς αὐτὴν πάλιν· ποίησόν μοι ἐγκρυφίας, καὶ φάγομαι. Ἡ δὲ λοιπὸν ἐκκαλύπτει αὐτῆς τὴν ὑπερϐάλλουσαν πενίαν, μᾶλλον δὲ τὸν ἄφατον πλοῦτον· ἡ γὰρ τῆς πενίας ἐπίτασις ἐδείκνυ τοῦ πλούτου τὸ μέγεθος. Ἡ δὲ φησιν· «Οὐκ ἔτι τῇ δούλῃ σου, εἰ μὴ δρὰξ ἀλεύρου, καὶ ὀλίγον ἔ-

9. Α΄ Βασ. 17, 9 - 10.

ἐξωτερικὰ μὲν ἐνδεδυμένος μὲ εὐτελῆ ἐνδύματα, ἐνῷ ἡ ψυχή του εἶναι πλήρης ἀρετῆς, μὴ τὸν περιφρονήσῃς δι' αὐτὰ ποὺ βλέπεις, ἀλλὰ ζήτησε νὰ μάθῃς τὸν ψυχικόν του πλοῦτον καὶ τὴν ἐσωτερικήν του λαμπρότητα καὶ τότε θὰ ἴδῃς τὴν ἀρετὴν νὰ λάμπῃ ἀπὸ παντοῦ. Τέτοιος ἄνθρωπος ἦτο ὁ μακάριος Ἠλίας· μίαν μηλωτὴν μόνον εἶχε καὶ ὅμως ὁ Ἀχαάβ, ποὺ ἐφόρει τὴν βασιλικὴν πορφύραν, εἶχεν ἀνάγκην ἀπὸ τὴν προβειὰν ἐκείνου. Εἶδες τὴν πενίαν τοῦ Ἀχαὰβ καὶ τὸν πλοῦτον τοῦ Ἠλία; Πρόσεχε καὶ πόση διαφορὰ δυνάμεως ὑπῆρξε μεταξὺ αὐτῶν. Ἡ προβειὰ τοῦ Ἠλία ἔκλεισε τὸν οὐρανόν, ἐσταμάτησε τὰς βροχὰς καὶ ἡ γλῶσσα τοῦ προφήτου ἔγινε χαλινὸς εἰς τὸν οὐρανὸν καὶ ἐπὶ τρία ἔτη καὶ ἓξ μῆνας δὲν ἔβρεξε καθόλου. Καὶ αὐτὸς ποὺ εἶχε τὸν βασιλικὸν μανδύαν καὶ τὸ στέμμα ἔσπευδε νὰ εὕρῃ τὸν προφήτην καὶ δὲν ἠμποροῦσε νὰ ἐπιτύχῃ τίποτε μὲ τὴν τόσον μεγάλην ἐξουσίαν του. Πρόσεχε ὅμως τὴν φιλανθρωπίαν τοῦ Κυρίου. Ἐπειδὴ εἶδεν, ὅτι ὁ προφήτης ἐκινήθη ἀπὸ ζῆλον καὶ ὑπερβολικὸν ἐνθουσιασμὸν καὶ προεκάλεσε τὴν μεγάλην αὐτὴν τιμωρίαν εἰς ὅλην τὴν γῆν, διὰ νὰ μὴ ὑποστῇ καὶ ὁ ἴδιος τὴν τιμωρίαν καὶ νὰ μὴ τιμωρηθῇ μὲ τὸν ἴδιον τρόπον ἐξ αἰτίας τῆς πονηρίας ἐκείνων, λέγει πρὸς αὐτόν· «Σήκω καὶ πήγαινε εἰς τὰ Σαρεπτὰ τῆς Σιδωνίας. Διότι θὰ διατάξω νὰ σὲ διατρέφῃ ἐκεῖ μία χήρα γυναῖκα. Καὶ ἐσηκώθη καὶ ἐπῆγεν»[9].

Πρόσεχε, ἀγαπητέ, τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Καθ' ὅσον καὶ χθὲς ἡ ὁμιλία μας κατέληξεν εἰς τὴν φιλοξενίαν καὶ ἰδοὺ σήμερον πάλιν ἡ φιλόξενος αὐτὴ χήρα πρόκειται νὰ δώσῃ τέλος εἰς τὴν ὁμιλίαν μας. Καὶ ἔφθασε, λέγει, εἰς τὴν χήραν καὶ τὴν εὗρε νὰ μαζεύῃ ξύλα καὶ λέγει πρὸς αὐτήν. Δός μου ὀλίγον ὕδωρ διὰ νὰ πιῶ. Καὶ αὐτὴ ὑπήκουσε. Καὶ λέγει πάλιν πρὸς αὐτήν. Νὰ ζυμώσῃς ἄρτον διὰ νὰ φάγω. Αὐτὴ φανερώνει τὴν ὑπερβολικήν της πενίαν, ἢ μᾶλλον τὸν ἀπερίγραπτον πλοῦτον αὐτῆς. Καθ' ὅσον τὸ μέγεθος τῆς πενίας της ἐφανέρωνε τὸ μέγεθος τοῦ πλούτου της. Λέγει λοιπὸν αὐτή· Δὲν ἔχει τίποτε ἡ δούλη σου, ἐκτὸς ἀπὸ μίαν φούκταν ἀλεύρου

λαιον ἐν τῷ καμψάκῃ, καὶ φαγόμεθα, ἐγώ τε καὶ τὰ παιδία, καὶ ἀποθανούμεθα». Ἐλεεινὰ τὰ ῥήματα, καὶ αὐτὴν λιθίνην ψυχὴν ἱκανὰ ἐπικάμψαι. Οὐδεμία λοιπόν, φησίν, ἔσται ἐλπὶς σωτηρίας. Ἐπὶ θύραις τὰ τοῦ θανάτου. Τοῦτο μόνον ἡμῖν ὑπολέλειπται πρὸς ζωήν, ὃ μόλις ἀρκέσει ἐμοὶ καὶ τοῖς παιδίοις. Ὅπερ ἦν μοι δυνατόν, πεποίηκα· τοῦ ὕδατος μετέδωκα.

Ἀλλ' ἵνα μάθωμεν καὶ τῆς γυναικὸς τὸ φιλόξενον, καὶ τοῦ δικαίου τὴν πολλὴν παρρησίαν, ὅρα τί γίνεται. Ἐπειδὴ ἔμαθεν ὁ προφήτης πάντα μετὰ ἀκριβείας, ἵνα ἐκκαλύψῃ ἡμῖν τὴν ἀρετὴν τῆς γυναικὸς(ὁ γὰρ Θεὸς εἰπών, ὅτι «Ἐντέταλμαι γυναικὶ τοῦ διατρέφειν σε», αὐτὸς ἦν ὁ διὰ τοῦ προφήτου ἐνεργῶν), καὶ φησι πρὸς αὐτήν· «Ποίησον ἐμοὶ πρῶτον, καὶ φάγομαι, καὶ τότε τοῖς τέκνοις σου». Ἀκούετε, γυναῖκες, αἱ πλούτῳ περιρρεόμεναι, καὶ εἰς μυρία ἀνόνητα καταναλίσκουσαι τὴν οἰκείαν περιουσίαν, καὶ οὐδὲ μετὰ τὴν οἰκείαν ἀπόλαυσιν πολλάκις καταδεχόμεναι ὀβολοὺς δύο προέσθαι τοῖς δεομένοις, ἢ ἀνδρί τινι τῶν ἐναρέτων διὰ τὸν Θεὸν πενομένῳ. Αὕτη δὲ οὐδὲν ἕτερον κεκτημένη, ἢ τὴν δράκα τοῦ ἀλεύρου, καὶ μέλλουσα κατὰ μικρόν, ὅσον κατὰ τὸν ἑαυτῆς λογισμόν, τῶν παίδων τὸν θάνατον ὁρᾶν, ἀκούσασα παρὰ τοῦ προφήτου, ὅτι «Ἐμοὶ πρῶτον ποίησον, καὶ τότε σοι καὶ τοῖς παιδίοις σου, οὐκ ἐδυσχέρανεν, οὐκ ἠμέλλησεν, ἀλλ' ἐποίει τὸ ἐπιταχθέν, παιδεύουσα πάντας ἡμᾶς προτιμᾶν τῆς οἰκείας ἀναπαύσεως τοὺς τοῦ Θεοῦ δούλους καὶ μὴ ἁπλῶς παρατρέχειν τὰ τοιαῦτα κέρδη, ἀλλ' εἰδέναι ὅτι πολλὴ ἡ ὑπὲρ τούτων ἀντίδοσις ἔσται.

Ὅρα γοῦν ταύτην τὴν χήραν, ἀντὶ μιᾶς δρακὸς ἀλεύρου καὶ ὀλίγου ἐλαίου πῶς διηνεκῆ ἅλωνα ἐκτήσατο. Μετὰ γὰρ τὸ τραφῆναι τὸν προφήτην, οὔτε ἡ

10. Ἀνάγνωθι Α΄ Βασ. κεφ. 17.

καὶ ὀλίγον ἔλαιον εἰς τό δοχειάκι. Θὰ φάγωμεν αὐτὰ ἐγὼ καὶ τὰ τέκνα μου καὶ ἔπειτα θὰ ἀποθάνωμεν. Γεμᾶτοι ἀπὸ πόνον εἶναι αὐτοὶ οἱ λόγοι καὶ ἱκανοὶ νὰ λυγίσουν καὶ λιθίνην καρδίαν. Δέν ὑπάρχει λοιπὸν καμμία ἐλπὶς σωτηρίας. Ὁ θάνατος εὑρίσκεται εἰς τὴν θύραν. Αὐτὸ μόνον μᾶς ἔμεινε, διὰ νὰ ζήσωμεν, τὸ ὁποῖον μετὰ δυσκολίας φθάνει δι' ἐμὲ καὶ τὰ τέκνα μου. Αὐτὸ τὸ ὁποῖον ἠμποροῦσα νὰ κάνω τὸ ἔχω κάνει ἤδη, σοῦ ἔδωσα δηλαδὴ νερό[1].

Διὰ νὰ γνωρίσωμεν ὅμως καὶ τὴν φιλοξενίαν τῆς γυναικὸς καὶ τὸ μεγάλο θάρρος τοῦ δικαίου, πρόσεχε τί γίνεται. Ἐπειδὴ ἔμαθεν ὁ προφήτης Ἠλίας τὰ πάντα μὲ κάθε λεπτομέρειαν, διὰ νὰ ἀποκαλύψῃ εἰς ἡμᾶς τὴν ἀρετὴν τῆς γυναικὸς (διότι ὁ Θεός, ὁ ὁποῖος εἶπεν, «Ἔδωσα ἐντολὴν εἰς κάποιαν γυναῖκα νὰ σέ διατρέφῃ», αὐτὸς ἦτο ποὺ ἐνήργει μέσῳ τοῦ προφήτου), λέγει πρὸς αὐτήν. Ἑτοίμασε νὰ φάγω ἐγὼ πρῶτον καὶ ἔπειτα τὰ τέκνα σου. Ἀκούετε αὐτό, γυναῖκες, σεῖς ποὺ λούεσθε μέσα εἰς τόν πλοῦτον καὶ καταναλίσκετε τὴν περιουσίαν σας εἰς ἀναρίθμητα ἀνώφελα πράγματα καὶ δὲν καταδέχεσθε νὰ δώσετε εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην ἢ εἰς κάποιον ἐνάρετον ἄνθρωπον, ποὺ εἶναι πτωχὸς χάριν τοῦ Θεοῦ, δύο ὀβολοὺς οὔτε ἀκόμη καὶ μετὰ ἀπὸ τὴν διασκέδασίν σας. Αὐτὴ ὅμως ἂν καὶ δὲν εἶχε τίποτε ἄλλο παρὰ μίαν φούκταν ἀλεύρου καὶ ἐπρόκειτο συντόμως νὰ ἰδῇ τά τέκνα της νὰ ἀποθνήσκουν, κατὰ τὴν ἰδικήν της σκέψιν, ὅταν ἤκουσε τὸν προφήτην νὰ λέγῃ, ἑτοίμασε νὰ φάγω ἐγὼ πρῶτον καὶ ἔπειτα τὰ τέκνα σου, δὲν ἐδίστασεν, οὔτε ἔδειξεν ἀδιαφορίαν, ἀλλ' ἔκαμεν αὐτὸ ποὺ τῆς εἶπε, καὶ ἐδίδαξε μὲ αὐτὸ εἰς ὅλους ἡμᾶς, ὅτι πρέπει νὰ προτιμῶμεν νὰ ἐξυπηρετοῦμεν τοὺς δούλους τοῦ Θεοῦ παρὰ τὴν ἰδικήν μας καλοπέρασιν καὶ νὰ μὴ προσπερνῶμεν ἔτσι τυχαῖα τὰ κέρδη ποὺ προέρχονται ἀπὸ αὐτὴν τὴν ἐνέργειαν, ἀλλὰ νὰ γνωρίζωμεν καλῶς, ὅτι θὰ ἔχωμεν δι' ὅλα αὐτὰ πολὺ μεγάλην ἀνταμοιβήν.

Πρόσεχε λοιπὸν πῶς αὐτὴ ἡ χήρα ἀπέκτησεν ἕνα ὁλόκληρον ἀλώνι ὡς ἀντάλλαγμα, ἐπειδὴ προσέφερε μίαν φούκταν ἀλεύρου καὶ ὀλίγον ἔλαιον. Καθ' ὅσον μετὰ ἀπὸ τὴν

δρὰξ τοῦ ἀλεύρου ἐπέλειψεν, οὔτε ὁ καμψάκης τοῦ ἐλαίου, πάσης τῆς γῆς λιμῷ διαφθειρομένης. Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι οὐδὲ μόχθων ἐδεῖτο λοιπόν, ἀλλ' εἶχεν ἕτοιμον διηνεκῶς τὸ ἄλευρον καὶ τὸ ἔλαιον, καὶ οὔτε γεωργίας ἔχρῃζεν, οὔτε τῆς τῶν βοῶν συνεργίας, οὔτε ἑτέρας τινὸς ἐπιμελείας, ἀλλὰ παρὰ φύσιν ἦν ἰδεῖν ἅπαντα συμβαίνοντα. Καὶ τοῦ βασιλέως τοῦ τὸ διάδημα περικειμένου ἐν ἀμηχανίᾳ ὄντος, καὶ λιμῷ διαφθειρομένου, χήρα ἡ πενιχρά, ἡ πάντων ἐστερημένη, ἐπειδὴ τὸν προφήτην ὑπεδέξατο, ἐν εὐπορίᾳ ἐτύγχανε διηνεκεῖ. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· «Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται». Εἶδες χθὲς οἵων ὁ πατριάρχης ἠξιώθη, δαψιλῆ τὴν φιλοξενίαν ἐπιδειξάμενος καὶ μετὰ πολλῆς τῆς θερμότητος· ὅρα καὶ ταύτην τὴν Σιδωνίαν ἀθρόον πλοῦτον ἄφατον κτησαμένην. Ἡ γὰρ γλῶσσα τοῦ προφήτου, ἡ τοῦ οὐρανοῦ τὰς ἡνίας ἐπισχοῦσα, αὕτη τοῦ ἀλεύρου τὴν δράκα πηγάσαι ἐποίησε καὶ τοῦ ἐλαίου τὴν καμψάκην.

7. Ταύτην πάντες μιμείσθωσαν καὶ ἄνδρες καὶ γυναῖκες. Ἐγὼ μὲν γὰρ ἐβουλόμην εἰς τὸν τοῦ προφήτου ζῆλον ὑμᾶς ἐναγαγεῖν καὶ τῆς ἀρετῆς τὴν μίμησιν· ἀλλ' ἐπειδὴ τοῦτο ὑπέρογκον ὑμῖν δοκεῖ εἶναι, καίτοι κἀκεῖνος ἄνθρωπος ἦν καὶ σάρκα περιέκειτο, καθὼς καὶ ἡμεῖς, καὶ τῆς αὐτῆς ἡμῖν μετεῖχε φύσεως· ἀλλ' ἐπειδὴ τὰ παρ' ἑαυτοῦ μετὰ δαψιλείας εἰσήνεγκε καὶ τὴν ἀρετὴν εἵλετο, ἠξιώθη καὶ τῆς ἄνωθεν χάριτος· ἀλλὰ τέως κἂν τὴν γυναῖκα ταύτην μιμησώμεθα, καὶ τότε κατὰ μικρὸν ἥξομεν καὶ ἐπὶ τὴν τοῦ προφήτου μίμησιν. Μιμησώμεθα τοίνυν τὴν ταύτης φιλοξενίαν καὶ μηδεὶς λοιπὸν πενίαν προβαλλέσθω. Οἷος γὰρ ἂν ᾖ πένης, οὐκ ἂν εἴη ταύτης πενέστερος, ἣ πρὸς μίαν ἡμέραν μόνον ἐκέκτητο τροφήν,

11. Ματθ. 10, 41.

διατροφὴν τοῦ προφήτου οὔτε ἡ φούκτα τοῦ ἀλεύρου ἔλειψεν, οὔτε τὸ μικρὸν δοχεῖον τοῦ ἐλαίου ἐξηντλεῖτο, ἐνῷ ὁλόκληρη ἡ χώρα ὑπέφερεν ἀπὸ τὴν πεῖναν. Καὶ τὸ περισσότερον παράξενον καὶ παράδοξον ἦτο τὸ ὅτι δὲν ἐχρειάζετο πλέον οὔτε νὰ κοπιάσῃ, ἀλλὰ ἦσαν ἕτοιμα διαρκῶς καὶ τὸ ἀλεύρι καὶ τὸ ἔλαιον καὶ δὲν ἐχρειάζετο οὔτε ἡ καλλιέργεια, οὔτε ἡ βοήθεια τῶν βωδιῶν, οὔτε καμμία ἄλλη φροντίς, ἀλλ' ἠμποροῦσε νὰ ἰδῇ κανεὶς ὅτι ὅλα συνέβαινον κατὰ ὑπερφυσικὸν τρόπον. Καὶ ἐνῷ ὁ βασιλεὺς ποὺ περιεβάλλετο μὲ τὸ διάδημα, εὑρίσκετο εἰς ἀμηχανίαν καὶ ὑπέφερεν ἀπὸ τὴν πεῖναν, ἡ πτωχοτάτη χήρα, ἡ ὁποία ἐστερεῖτο τὰ πάντα, εἶχε συνεχῆ εὐπορίαν, ἐπειδὴ ὑπεδέχθη τὸν προφήτην. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· «Ἐκεῖνος ποὺ ὑποδέχεται κάποιον καὶ τὸν φιλοξενεῖ ὡς προφήτην, θὰ ἀμειφθῇ ὅπως καὶ ὁ προφήτης»[11]. Εἶδες χθές, ποίας ἀμοιβὰς ἔλαβεν ὁ πατριάρχης μὲ τὸ νὰ φιλοξενήσῃ μὲ μεγάλην καὶ πλουσίαν θέρμην τὸν Θεόν· βλέπε τώρα, ὅτι καὶ αὐτὴ ἡ χήρα ἀπὸ τὴν Σιδῶνα ἀπέκτησεν ἀμέσως ἀνυπολόγιστον περιουσίαν. Διότι ἡ γλῶσσα τοῦ προφήτου, ποὺ εἶχε κάνει τὸν οὐρανὸν νὰ μὴ βρέξῃ, αὐτὴ ἡ ἰδία ἔκανε νὰ πολλαπλασιάζεται ἡ φούκτα τοῦ ἀλεύρου καὶ τὸ ὀλίγον ἔλαιον τοῦ δοχείου.

7. Ἂς μιμηθοῦν αὐτὴν ὅλοι καὶ οἱ ἄνδρες καὶ αἱ γυναῖκες. Ἐγὼ βέβαια ἤθελον νὰ σᾶς ὁδηγήσω νὰ γίνεται ζηλωταὶ τοῦ προφήτου καὶ νὰ μιμηθῆτε τὴν ἀρετήν του, ἐπειδὴ ὅμως νομίζω, ὅτι τοῦτο εἶναι ὑπερβολικὸν διὰ σᾶς, ἂν καὶ ἦτο ἄνθρωπος καὶ ἐκεῖνος καὶ εἶχε σάρκα, ὅπως καὶ ἡμεῖς, καὶ εἶχε τὴν ἰδίαν μὲ ἡμᾶς φύσιν, ἀλλ' ἐπειδὴ ἔκανεν, ὅ,τι ἐξηρτᾶτο ἀπὸ αὐτὸν μὲ μεγάλην προθυμίαν καὶ ἐπειδὴ προετίμησε τὴν ὁδὸν τῆς ἀρετῆς, ἔγινεν ἄξιος νὰ λάβῃ τὴν ἐκ τῶν ἄνω χάριν. Ἐὰν ὅμως μιμηθῶμεν αὐτὴν τὴν γυναῖκα, τότε ὀλίγον κατ' ὀλίγον θὰ μιμηθῶμεν καὶ τὸν ἴδιον τὸν προφήτην. Ἂς μιμηθῶμεν λοιπὸν τὴν φιλοξενίαν αὐτῆς καὶ ἂς μὴ προβάλλῃ κανεὶς τὴν πενίαν ὡς δικαιολογίαν. Διότι, ἐὰν κάποιος εἶναι πτωχός, δὲν εἶναι δυνατὸν νὰ εἶναι πτωχότερος ἀπὸ ἐκείνην, ἡ ὁποία εἶχε τροφὴν μόνον διὰ μίαν ἡμέραν, καὶ ὅμως δὲν ἐδίστα-

καὶ οὐδὲ οὕτως ὀκνηροτέρα γέγονε περὶ τὴν τοῦ δικαίου αἴτησιν, ἀλλὰ πολλῇ τῇ προθυμίᾳ χρησαμένη ταχεῖαν τὴν ἀμοιβὴν ἐκομίσατο. Τοιαῦτα γὰρ τὰ παρὰ τοῦ Θεοῦ. Ἀντὶ μικρῶν ἔθος αὐτῷ μεγάλα δωρεῖσθαι. Τί γάρ, εἰπέ μοι, τοσοῦτον εἰσήνεγκεν, ὅσον ἐκομίσατο;

Ἀλλ' ὁ Δεσπότης ὁ ἡμέτερος οὐ τῇ ποσότητι προσέχειν εἴωθεν, ἀλλὰ τῇ δαψιλείᾳ τῆς γνώμης καὶ ἀπὸ ταύτης καὶ τὰ μικρὰ μεγάλα γίνεται καὶ τὰ μεγάλα πολλάκις ἐξευτελίζεται, ὅταν μὴ ἱλαρᾷ τῇ προθυμίᾳ ἐπιτελῆται τὰ γινόμενα. Διὰ τοῦτο καὶ ἡ χήρα ἐκείνη ἡ ἐν τῷ εὐαγγελίῳ, πολλῶν πολλὰ βαλόντων ἐν τῷ γαζοφυλακίῳ, δύο λεπτὰ βαλοῦσα πάντας ὑπερηκόντισεν, οὐκ ἐπειδὴ πλείονα τῶν ἄλλων ἔβαλεν, ἀλλ' ὅτι δαψιλῆ τὴν γνώμην ἐπεδείξατο. Οἱ μὲν γὰρ ἄλλοι, φησίν, ἐκ τοῦ περισσεύοντος αὐτοῖς τοῦτο ἐποίουν· αὕτη δὲ ἅπαντα ἅπερ ἐκέκτητο ἔβαλεν. Ὅλον γὰρ τὸν βίον αὐτῆς ἔβαλε. Κἂν τὰς γυναῖκας μιμησώμεθα οἱ ἄνδρες καὶ μὴ ἐλάττους αὐτῶν ὀφθῶμεν, ἀλλὰ σπουδάσωμεν μὴ μόνον πρὸς τὴν οἰκείαν ἀπόλαυσιν πᾶσαν τὴν οὐσίαν καταναλίσκειν, ἀλλὰ καὶ τῶν δεομένων πολλὴν ποιεῖσθαι πρόνοιαν καὶ μετὰ προθυμίας καὶ φαιδρότητος τοῦτο ποιεῖν. Καὶ γὰρ ὁ γεωργὸς εἰς τὴν γῆν καταβάλλων τὰ σπέρματα, οὐ μετὰ στυγνότητος τοῦτο ἐργάζεται, ἀλλὰ χαίρων καὶ γεγηθώς, καὶ ἤδη τῇ προσδοκίᾳ τὰ δράγματα βλέπειν νομίζων, οὕτως εἰς τὴν γῆν ἀφίησι τὰ σπέρματα.

Καὶ σὺ τοίνυν, ἀγαπητέ, μὴ πρὸς τὸν λαμβάνοντα ὅρα μόνον, μηδὲ πρὸς τὴν δαπάνην τὴν γινομένην, ἀλλ' ἐννόει ὅτι οὗτος μέν ἐστιν ὁ ὁρώμενος, ὁ παρὰ σοῦ δεχόμενος, ἕτερος δὲ ὁ τὰ εἰς ἐκεῖνον γινόμενα οἰκειούμενος, καὶ οὐχ ὁ τυχών, ἀλλ' ὁ τῶν ὅλων Δεσπότης, ὁ τῶν ἁπάντων Κύριος, ὁ οὐρανοῦ καὶ γῆς ποιητής· καὶ ὅτι ἡ δαπάνη αὕτη πρόσοδος γίνεται καὶ οὐ μόνον οὐκ ἐλαττοῖ σου τὴν οὐσίαν, ἀλλὰ καὶ πλεονάζει μᾶλλον, ἐὰν σὺ μετὰ πίστεως τοῦτο ἐργάζῃ καὶ

σε καθόλου νὰ ἐκπληρώση αὐτὸ ποὺ τῆς ἐζήτησεν ὁ προφήτης, ἀλλ' ἀφοῦ ἔδειξε μεγάλην προθυμίαν, ἔλαβεν ἀμέσως καὶ τὴν ἀνταμοιβήν. Διότι τέτοια εἶναι αὐτὰ ποὺ μᾶς παραχωρεῖ ὁ Θεός. Συνηθίζει δηλαδὴ αὐτὸς νὰ μᾶς χαρίζῃ μεγάλας ἀμοιβὰς διὰ τὰ ὀλίγα ποὺ προσφέρομεν. Διότι εἰπέ μου, μήπως ἔδωσε τόσα, ὅσα ἔλαβεν;

Ὁ ἰδικός μας ὅμως Κύριος δὲν συνηθίζει νὰ προσέχῃ εἰς τὴν ποσότητα ἀλλὰ εἰς τὴν πολὺ καλὴν διάθεσιν καὶ ἐξ αἰτίας αὐτῆς καὶ τὰ μικρὰ γίνονται μεγάλα καὶ πολλὰς φορὰς καὶ τὰ μεγάλα θεωροῦνται μηδαμινά, ὅταν, αὐτὰ ποὺ γίνονται, δὲν γίνωνται μὲ εὐχάριστον διάθεσιν. Διὰ τοῦτο καὶ ἡ χήρα ἐκείνη τοῦ εὐαγγελίου, ἂν καὶ πολλοὶ εἶχον ρίψει πολλὰ χρήματα εἰς τὸ θησαυροφυλάκιον, ἐνῷ αὐτὴ ἔρριψε δύο λεπτά, τοὺς ὑπερέβαλεν ὅλους, ὄχι ἐπειδὴ ἔρριψε περισσότερα ἀπὸ τοὺς ἄλλους, ἀλλὰ διότι ἐπέδειξε πρόθυμον διάθεσιν. Καθ' ὅσον οἱ μὲν ἄλλοι, λέγει, ἔρριπτον ἀπὸ τὸ περίσσευμά των, ἐνῷ ἐκείνη ἔρριψεν ὅλα, ὅσα εἶχεν. Αὐτὴ δηλαδὴ προσέφερεν ὅλην τὴν ζωήν της. Ἂς μιμηθοῦμεν ἡμεῖς οἱ ἄνδρες τὰς γυναῖκας καὶ ἂς μὴ φανοῦμεν κατώτεροι ἀπὸ αὐτάς, ἀλλὰ νὰ φροντίσωμεν νὰ μὴ δαπανοῦμεν ὁλόκληρον τὴν περιουσίαν μας μόνον διὰ τὴν ἰδικήν μας ἀπόλαυσιν, ἀλλὰ νὰ ἐνδιαφερώμεθα πολὺ καὶ δι' αὐτούς, ποὺ ἔχουν ἀνάγκην, καὶ νὰ κάνωμεν τοῦτο μὲ προθυμίαν καὶ εὐχαρίστησιν. Καθ' ὅσον καὶ ὁ γεωργός, ὅταν ρίπτῃ τοὺς σπόρους εἰς τὴν γῆν, δὲν κάνει αὐτὸ μὲ δυσαρέσκειαν, ἀλλὰ μὲ χαρὰν καὶ ἀγαλλίασιν, ἐπειδὴ πιστεύει, ὅτι βλέπει ἤδη τὰ δέματα ἀπὸ τὰ στάχυα καὶ ἔτσι ρίπτει τοὺς σπόρους εἰς τὸ χῶμα.

Καὶ σὺ λοιπόν, ἀγαπητέ, νὰ μὴ βλέπῃς μόνον τὸν λαμβάνοντα οὔτε τὴν δαπάνην, ἡ ὁποία γίνεται, ἀλλὰ νὰ σκεφθῇς, ὅτι αὐτὸς ποὺ δέχεται τὴν προσφοράν σου εἶναι ὁρατός, αὐτὸς ὅμως ποὺ οἰκειοποιεῖται τὴν προσφοράν σου εἶναι ἄλλος, καὶ ὄχι ὁ τυχών, ἀλλ' ὁ Κύριος τῶν πάντων, ὁ δημιουργὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς. Καὶ νὰ σκεφθῇς ἀκόμη, ὅτι ἡ δαπάνη αὐτὴ γίνεται ἰδικόν σου ἔσοδον καὶ ὄχι μόνον δὲν μειώνει τὴν περιουσίαν σου, ἀλλὰ καὶ τὴν πολλαπλασιάζει, ἐὰν κάνῃς τοῦτο μὲ πίστιν καὶ εὐχάρι-

ἱλαρᾶς τῆς προθυμίας. Εἴπω τὸ κεφάλαιον τῶν ἀγαθῶν· μετὰ τῆς προσόδου τῆς ἀπὸ τῆς δαπάνης ταύτης γινομένης καὶ ἁμαρτημάτων συγχωρήσεώς σοι πρόξενος γίνεται, οὗ τί ἂν γένοιτο ἶσον;

Εἰ τοίνυν βουλοίμεθα εἰδέναι πλουτεῖν τὸν ἀληθῆ πλοῦτον καὶ μετὰ τοῦ πλούτου καὶ τῶν ἁμαρτημάτων τὴν συγχώρησιν εὕρασθαι, ἐκχέωμεν τὰ ὄντα εἰς τὰς τῶν δεομένων χεῖρας, προαποστείλωμεν αὐτὰ εἰς τὸν οὐρανόν, ἔνθα οὐδὲ κλέπτης, οὐδὲ ληστής, οὐ τοιχωρύχος, οὐκ οἰκέτου κακουργία, οὐκ ἄλλο οὐδὲν λυμήνασθαι δυνήσεται τὸν πλοῦτον τὸν ἡμέτερον. Τὸ γὰρ χωρίον ἐκεῖνο πάσης τοιαύτης βλάβης ἀνώτερον. Μόνον μὴ μετὰ κενοδοξίας τοῦτο ποιῶμεν, ἀλλὰ κατὰ τοὺς ὑπ' αὐτοῦ δεδομένους νόμους, ὥστε μὴ τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον καρπώσασθαι, ἀλλὰ τὸν παρὰ τοῦ κοινοῦ πάντων Δεσπότου, ἵνα μὴ καὶ τὴν δαπάνην ὑπομείνωμεν καὶ τοῦ κέρδους ἀποστερηθῶμεν. Ὥσπερ γὰρ πάσαις ταῖς ἄλλαις ἐπιβουλαῖς ἀνάλωτός ἐστιν ὁ πλοῦτος, ὁ ἐκεῖ μετατιθέμενος διὰ τῆς τῶν πενήτων χειρός, οὕτω κενοδοξίᾳ μόνη ἀναλίσκεται· καὶ ὅπερ ἐστὶν ἐνταῦθα ὁ σὴς καὶ ὁ σκώληξ πρὸς τὴν τῆς ἐσθῆτος διαφθοράν, τοῦτο κενοδοξία γίνεται πρὸς τὸν ἀπὸ τῆς ἐλεημοσύνης συλλεγόμενον πλοῦτον.

Δι' ὅ, παρακαλῶ, μὴ μόνον ποιῶμεν τὴν ἐλεημοσύνην, ἀλλὰ καὶ μετὰ ἀσφαλείας ταύτην ἐργαζώμεθα, ἵνα ἀντὶ μικρῶν μεγάλα καρπωσώμεθα ἀγαθά, καὶ ἀντὶ τῶν ἐπικήρων τὰ ἄφθαρτα, καὶ ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, καὶ μετὰ τούτων ἁπάντων καὶ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων τυχεῖν δυνηθῶμεν, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

στον προθυμίαν. Θ' ἀναφέρω καὶ τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν. Μαζὶ μὲ τὸ ἔσοδον, τὸ ὁποῖον κερδίζεις μὲ τὴν δαπάνην αὐτήν, γίνεται ἡ αἰτία νὰ σοῦ συγχωρηθοῦν αἱ ἁμαρτίαι σου. Μὲ αὐτὸ ποῖον ἀγαθὸν θὰ ἠμποροῦσε νὰ συγκριθῇ;

Ἐὰν λοιπὸν θέλωμεν νὰ γνωρίσωμεν τὸν ἀληθινὸν πλοῦτον καὶ μαζὶ μὲ τὸν πλοῦτον νὰ λάβωμεν καὶ τὴν συγχώρεσιν τῶν ἁμαρτιῶν μας, ἂς παραδίδωμεν αὐτὰ ποὺ ἔχομεν εἰς αὐτοὺς ποὺ τὰ χρειάζονται καὶ ἂς ἀποστείλωμεν αὐτὰ ἐκ τῶν προτέρων εἰς τοὺς οὐρανούς, ὅπου δὲν ὑπάρχει οὔτε κλέπτης, οὔτε ληστής, οὔτε διαρρήκτης, οὔτε ἐπιβουλὴ δούλου, οὔτε τίποτε ἄλλο ποὺ θὰ ἠμπορέσῃ νὰ βλάψῃ τὸν πλοῦτόν μας. Καθ' ὅσον ἐκεῖνος ὁ τόπος εἶναι ἀπομακρυσμένος ἀπὸ κάθε τέτοιου εἴδους βλάβην. Μόνον νὰ μὴ κάνωμεν αὐτὸ παρακινούμενοι ἀπὸ τὴν κενοδοξίαν, ἀλλὰ νὰ γίνεται συμφώνως πρὸς τὰς ἐντολὰς ποὺ μᾶς ἔδωσεν ἐκεῖνος, ὥστε νὰ μὴ λάβωμεν τὸν ἔπαιναν ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ ἀπὸ τὸν κοινὸν Κύριον τοῦ παντός, διὰ νὰ μὴ συμβῇ καὶ νὰ ὑποστῶμεν τὴν δαπάνην καὶ νὰ χάσωμεν καὶ τὸ κέρδος. Διότι ὅπως ἀκριβῶς εἶναι ἀπρόσβλητος ἀπὸ ὅλας τὰς ἄλλας ἐπιβουλὰς ὁ πλοῦτος ποὺ μεταφέρεται εἰς τὸν οὐρανὸν μέσῳ τῶν πτωχῶν, ἔτσι καὶ καταστρέφεται μόνον ἀπὸ τὴν κενοδοξίαν. Καὶ ὅ,τι εἶναι ἐδῶ εἰς τὴν γῆν ὁ σκόρος καὶ οἱ σκώληκες διὰ τὴν καταστροφὴν τῶν ἐνδυμάτων, τὸ ἴδιον εἶναι καὶ ἡ κενοδοξία διὰ τὸν πλοῦτον, ποὺ συλλέγομεν ἀπὸ τὴν ἐλεημοσύνην.

Διὰ τοῦτο παρακαλῶ νὰ μὴ κάνωμεν μόνον ἐλεημοσύνην ἀλλὰ νὰ τὴν κάνωμεν ὅπως πρέπει, ὥστε νὰ ἀποκτήσωμεν, ἀντὶ τῶν ὀλίγων ποὺ προσεφέραμεν, μεγάλα ἀγαθὰ καὶ ἀντὶ τῶν γηΐνων τὰ ἄφθαρτα καὶ ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια καὶ μαζὶ μὲ ὅλα αὐτὰ νὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ νὰ ἀποκτήσωμεν τὰ ἀνέκφραστα ἐκεῖνα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ τὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ συγχρόνως εἰς τὸ ἅγιον καὶ Ζωοποιὸν Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΓ΄

«Ἦλθον δέ», φησίν, «οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας».

1. Καθάπερ λειμών τις εὐανθὴς διάφορα καὶ ποικίλα τὰ ἄνθη ἐν ἑαυτῷ δείκνυσιν, οὕτως ἡ θεία Γραφὴ τῶν δικαίων τὰς ἀρετὰς ἡμῖν δείκνυσιν, οὐχ ἵνα καθάπερ ἐπὶ τῶν ἀνθῶν πρὸς βραχὺ μόνον ἀπολαύσωμεν τῆς εὐωδίας, ἀλλ' ἵνα διηνεκῆ τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσώμεθα. Ἐκεῖ μὲν γὰρ μόνον ἐδεξάμεθα τῇ χειρὶ τὰ ἄνθη, καὶ μετ' ὀλίγον αὐτὰ μαρανθέντα τὴν οἰκείαν χάριν ἠμαύρωσεν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἐπειδὰν δεξώμεθα διὰ τῆς ἀκοῆς τὰς ἀρετὰς τῶν δικαίων, καὶ εἰς τοὺς κόλπους τῆς διανοίας ἡμῶν αὐτὰς ἐναποθώμεθα, διὰ παντὸς τοῦ χρόνου τῆς τούτων εὐωδίας ἀπολαύειν δυνάμεθα, ἐὰν ἐθέλωμεν. Φέρε οὖν, ἐπειδὴ τοιαύτη τῶν ἐν τῇ θείᾳ Γραφῇ κειμένων ἁγίων ἡ εὐωδία, σήμερον τοῦ Λὼτ τὴν εὐωδίαν καταμάθωμεν, ἵνα γνῶμεν ἀκριβῶς, ὅπως εἰς ἄκραν τῆς ἀρετῆς τὴν κορυφὴν ἡ τοῦ πατριάρχου συνουσία τὸν δίκαιον τοῦτον ἀνήγαγε, καὶ κατ' ἴχνος αὐτοῦ καὶ αὐτὸς τὴν οἰκείαν φιλοξενίαν διὰ τῶν ἔργων ἐπιδείκνυται. Ἀλλ' ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γένηται, ἄξιον αὐτῶν τῆς Γραφῆς ἐπακοῦσαι τῶν ῥημάτων.

«Ἦλθον δέ», φησίν, «οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας». Τίνος ἕνεκεν οὕτως ἤρξατο, «Ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας»; Ἐπειδὴ μετὰ

ΟΜΙΛΙΑ ΜΓ΄

«Κατὰ τὴν ἑσπέραν», λέγει, «ἦλθον οἱ δύο ἄγγελοι εἰς τὰ Σόδομα».

1. Ὅπως ἀκριβῶς ἓν ἀνθισμένον λειβάδι ἔχει νὰ παρουσιάση εἰς τὸν χῶρον του διάφορα καὶ ποικίλα ἄνθη, κατὰ τὸν ἴδιον τρόπον καὶ ἡ θεία Γραφὴ μᾶς παρουσιάζει τὰς ἀρετὰς τῶν δικαίων, ὄχι διὰ ν' ἀπολαύσωμεν, ὅπως συμβαίνει μὲ τὰ ἄνθη, διὰ σύντομον μόνον χρόνον τὴν εὐωδίαν, ἀλλὰ διὰ νὰ ἀποκομίζωμεν συνεχῶς ὠφελείας ἀπὸ αὐτάς. Καθ' ὅσον ἐκεῖ, ἀφοῦ ἐσυλλέξαμεν ἁπλῶς μὲ τὰ χέρια μας τὰ ἄνθη, καὶ ἐμαράνθησαν μετὰ ἀπὸ ὀλίγον, ἔχασαν τὴν ὀμορφιάν των, ἐνῶ ἐδῶ δὲν συμβαίνει τὸ ἴδιον, ἀλλ' ἅπαξ καὶ δεχθοῦμεν διὰ τῆς ἀκοῆς τάς ἀρετὰς τῶν δικαίων καὶ τὰς ἐναποθέσωμεν εἰς τοὺς κόλπους τῆς διανοίας μας, ἠμποροῦμεν, ἐὰν θέλωμεν, ν' ἀπολαμβάνωμεν τὴν εὐωδίαν αὐτῶν εἰς ὅλην τὴν ζωήν μας. Ἐμπρὸς λοιπόν, ἐπειδὴ τέτοια εἶναι ἡ εὐωδία τῶν ἁγίων πού ὑπάρχουν μέσα εἰς τὴν θείαν Γραφήν, σήμερον ἂς γνωρίσωμεν τὴν εὐωδίαν τοῦ Λώτ, διὰ νὰ γνωρίσωμεν ἀκριβῶς, πῶς ἀνεβίβασε τὸν δίκαιον αὐτὸν εἰς τὴν ἄκραν κορυφὴν τῆς ἀρετῆς ἡ συναναστροφή του μὲ τὸν πατριάρχην, καὶ πῶς καὶ αὐτὸς παρουσιάζει μὲ τὰ ἔργα του τὴν φιλοξενίαν του ἀκολουθῶντας τὰ ἴχνη αὐτοῦ. Ἀλλὰ γιὰ νὰ γίνῃ σαφέστερος ὁ λόγος, ἀξίζει ν' ἀκούσωμεν τὰ ἴδια τὰ λόγια τῆς Γραφῆς.

«Ἦλθον δέ», λέγει, «οἱ δύο ἄγγελοι εἰς τὰ Σόδομα τὴν ἑσπέραν». Γιὰ ποῖον λόγον ἤρχισε ἔτσι τὸν λόγον, «Ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς τὰ Σόδομα τὴν ἑσπέραν»;

τὸ ἐπιξενωθῆναι τῷ πατριάρχῃ, ἐξαναστάντων αὐτῶν ἐκεῖθεν, ὁ μὲν κηδεμὼν καὶ φιλάνθρωπος Θεὸς τὴν οἰκείαν ἀγαθότητα μιμούμενος, καὶ σχήματι ἀνθρώπου τότε ὀφθεὶς παρέμενε τῷ πατριάρχῃ διαλεγόμενος, καθάπερ χθὲς ἠκούσατε, βουλόμενος ἅπαντας ἡμᾶς διδάξαι καὶ τῆς ἑαυτοῦ μακροθυμίας τὴν ὑπερβολήν, καὶ τοῦ πατριάρχου τὸ φιλόστοργον, οἱ δὲ ἄγγελοι ὥρμησαν ἐπὶ τὰ Σόδομα· τὴν ἀκολουθίαν ἑαυτῆς διατηροῦσα ἡμῖν ἡ θεία Γραφὴ νῦν φησιν· «Ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας», τὸ ἐπιταχθὲν πληρώσοντες. Καὶ ὅρα ἀκρίβειαν καὶ παρατήρησιν τῆς θείας Γραφῆς, πῶς καὶ τὸν καιρὸν ἡμῖν ἐσήμανε, καθ' ὃν παρεγένοντο· «Ἑσπέρας» γάρ φησι. Καὶ τίνος ἕνεκεν τὸν καιρὸν ἐδήλωσε; καὶ διὰ τί κατὰ τὴν ἑσπέραν παρεγένοντο; Ἵνα τὴν πολλὴν ἡμῖν ἐπίτασιν δείξῃ τῆς τοῦ Λὼτ φιλοξενίας. Καθάπερ γὰρ ὁ πατριάρχης κατὰ τὸν τῆς μεσημβρίας καιρὸν καθήμενος ἐπετήρει τοὺς παριόντας, καὶ ἔργον ἐποιεῖτο τὴν τούτων θήραν, καὶ ἐπέτρεχε καὶ μετὰ περιχαρείας τοὺς ὁδίτας ὑπεδέχετο, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος, ἐπειδὴ ᾔδει τῆς κακίας τῶν ἐν Σοδόμοις οἰκούντων τὴν πονηρίαν, οὐδὲ τὸν τῆς ἑσπέρας καιρὸν παρεπέμπετο, ἀλλὰ μέχρι τούτου παρέμενε, μήπου θησαυρός τις αὐτῷ παρεμπέσῃ, καὶ τὸν ἀπὸ τῆς φιλοξενίας καρπὸν δρέψασθαι δυνηθῇ.

Ἀληθῶς θαυμάσαι ἔστι μετὰ πολλῆς τῆς ὑπερβολῆς τοῦ δικαίου τούτου τὴν ἀρετήν, ὅτι ἐν μέσῳ τοιούτων παρανόμων ἀναστρεφόμενος, οὐ μόνον οὐ γέγονε ῥᾳθυμότερος, ἀλλὰ καὶ πολλῷ πλείονα τὴν ἀρετὴν ἐπεδείκνυτο. Καὶ πάντων, ὡς εἰπεῖν, κατὰ κρημνῶν φερομένων, οὗτος μόνος ἐν τοσούτῳ πλήθει τὴν εὐθεῖαν ὥδευεν ὁδόν. Ποῦ νῦν εἰσιν οἱ λέ-

Ἐπειδή, μετὰ τὴν φιλοξενίαν ἀπὸ τόν πατριάρχην, ἀφοῦ ἀνεχώρησαν αὐτοὶ ἀπὸ ἐκεῖ, ὁ μέν φιλόστοργος καὶ φιλάνθρωπος Θεός, μιμούμενος τὴν ἀγαθότητά του καὶ παρουσιασθεὶς τότε μὲ μορφὴν ἀνθρώπου, παρέμενε ἐκεῖ συνομιλῶν μὲ τὸν πατριάρχην, ὅπως ἀκριβῶς ἠκούσατε χθές, θέλων νὰ διδάξῃ ὅλους ἡμᾶς καὶ τὸ ὑπερβολικὸν μέγεθος τῆς μακροθυμίας του, καὶ τοῦ πατριάρχου τὴν φιλοστοργίαν, οἱ δὲ ἄγγελοι ἀνεχώρησαν διὰ τὰ Σόδομα· τώρα δέ, παρουσιάζουσα εἰς ἡμᾶς ἡ θεία Γραφὴ τὴν συνέχειάν της, λέγει, «Ἦλθον δὲ οἱ δύο ἄγγελοι τὴν ἑσπέραν εἰς τὰ Σόδομα», διὰ νὰ πραγματοποιήσουν τὴν προσταγὴν ποὺ τοὺς ἐδόθη. Καὶ πρόσεχε τὴν ἀκριβολογίαν καὶ τὴν λεπτομερῆ ἐξέτασιν τῆς θείας Γραφῆς, πῶς ἐπεσήμανε καὶ τὴν ὥραν ποὺ ἔφθασαν ἐκεῖ, διότι λέγει, «Τὴν ἑσπέραν». Καὶ διὰ ποῖον λόγον ἀνέφερε τὴν ὥραν; καὶ διατί ἔφθασαν κατὰ τὴν ἑσπέραν; Διὰ νὰ μᾶς δείξῃ τὸ μέγεθος τῆς φιλοξενίας τοῦ Λώτ. Διότι, ὅπως ἀκριβῶς ὁ πατριάρχης ἐκάθετο κατὰ τὰς μεσημβρινὰς ὥρας καὶ παρετήρει τοὺς περαστικοὺς καὶ ἡ φροντίς του ἦτο νὰ θηρεύσῃ αὐτοὺς καὶ ὑπεδέχετο τοὺς διαβάτας μὲ μεγάλην προθυμίαν καὶ μεγάλην χαράν, κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ὁ δίκαιος αὐτός, ἐπειδὴ ἐγνώριζε τὸ ὑπερβολικὸν μέγεθος τῆς κακίας τῶν κατοίκων τῶν Σοδόμων, οὔτε κατὰ τὴν ὥραν τῆς ἑσπέρας ἔδειχνεν ἀδιαφορίαν, ἀλλὰ μέχρι τὴν ὥραν αὐτὴν ἐπερίμενε, μὴ τυχὸν τοῦ διαφύγῃ κάποιος θησαυρός, καὶ διὰ νά ἠμπορέσῃ νὰ δρέψῃ καὶ τὸν καρπὸν ποὺ προέρχεται ἀπὸ τὴν φιλοξενίαν.

Πράγματι, ἀξίζει νὰ θαυμάσῃ κανεὶς εἰς μεγάλον βαθμὸν τὴν ἀρετὴν τοῦ δικαίου αὐτοῦ, διότι, ἂν καὶ ἐζοῦσε ἀνάμεσα εἰς τέτοιου εἴδους παρανόμους, ὄχι μόνο δὲν ἔγινε πιὸ ἀδιάφορος, ἀλλά καὶ ἐπαρουσίαζε πολὺ πιὸ μεγαλυτέραν ἀρετήν. Καὶ ἐνῷ ὅλοι, ὅπως θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, ἐβάδιζον πρὸς τὸν κρημνόν, αὐτὸς μόνος, μέσα ἀπὸ τόσον πλῆθος, ἐβάδιζε τὴν εὐθεῖαν ὁδόν. Ποῦ εἶναι τώρα ἐκεῖνοι ποὺ λέγουν, ὅτι δὲν εἶναι δυνα-

γοντες, ὅτι οὐχ οἷόν τε ἐν μέσῃ πόλει στρεφόμενόν τινα διασῶσαι τὴν ἀρετήν, ἀλλ' ἀναχωρήσεως δεῖ, καὶ τῆς ἐν τοῖς ὄρεσι διατριβῆς, καὶ οὐ δυνατὸν τὸν οἰκίας προεστῶτα, καὶ γυναῖκα ἔχοντα, καὶ παίδων ἐπιμελούμενον καὶ οἰκετῶν, ἐνάρετον εἶναι; Ὁράτωσαν τοίνυν τὸν δίκαιον τοῦτον μετὰ γυναικὸς καὶ παιδίων καὶ οἰκετῶν, καὶ ἐν πόλει διάγοντα, καὶ μεταξὺ τοσούτων πονηρῶν καὶ παρανόμων διατρίβοντα, καὶ καθάπερ σπινθῆρά τινα ἐν μέσῳ πελάγει διαλάμποντα, καὶ οὐ μόνον οὐ σβεννύμενον, ἀλλὰ καὶ λαμπρότερον τὸ φῶς δεικνύοντα. Καὶ ταῦτα λέγω, οὐ κωλύων τὴν ἀναχώρησιν τὴν ἀπὸ τῶν πόλεων, καὶ τὴν ἐν τοῖς ὄρεσι καὶ ταῖς ἐρημίαις διατριβὴν ἀπαγορεύων, ἀλλὰ δεικνὺς ὅτι τῷ βουλομένῳ νήφειν καὶ ἐγρηγορέναι οὐδὲν τούτων κώλυμα γίνεται.

Ὥσπερ οὖν τὸν ῥᾴθυμον καὶ ἀναπεπτωκότα οὐδὲ ἡ ἔρημος ὠφελῆσαί τι δύναται, οὐδὲ γὰρ ὁ τόπος ἐστὶν ὁ τὴν ἀρετὴν κατορθῶν, ἀλλ' ἡ γνώμη καὶ ὁ τρόπος, οὕτω τὸν νήφοντα καὶ διεγηγερμένον οὔτε τὸ ἐν μέσῃ τῇ πόλει διατρίβειν καταβλάψαι τι δυνήσεται. Καὶ διὰ τοῦτο ἐβουλόμην, καθάπερ τὸν μακάριον τοῦτον, τοὺς ἐναρέτους μάλιστα ἐν μέσῳ τῶν πόλεων εἶναι, ἵνα καθάπερ ζύμη τοῖς ἄλλοις γινόμενοι, πολλοὺς εἰς τὸν οἰκεῖον ζῆλον ἐνάγωσιν. Ἀλλ' ἐπειδὴ δυσχερὲς τοῦτο καταφαίνεται εἶναι, κἂν ἐκεῖνο γινέσθω. «Παράγει γὰρ λοιπὸν τὸ σχῆμα τοῦ κόσμου τούτου», καὶ βραχὺς ὁ παρὼν βίος· καὶ εἰ μὴ νῦν, ὡς ἔτι ἐν τῷ σκάμματι ἑστήκαμεν, τῶν πόνων τῆς ἀρετῆς ἁψώμεθα, καὶ τὰ δίκτυα τῆς κακίας διαφύγωμεν, ὕστερον μάτην ἑαυτοὺς αἰτιασόμεθα, ὅτε οὐδὲν ὄφελος τῆς μεταγνώσεως. Ἕως μὲν γὰρ ἂν ὦμεν ἐν τῇ παρούσῃ ζωῇ, δυνατὸν μεταγνόντας τοῦ ἐντεῦ-

1. Α' Κορ. 7, 31.

τὸν κάποιος, ζῶν μέσα εἰς τὴν πόλιν, νὰ παραμείνῃ ἐνάρετος, ἀλλὰ πρέπει ν' ἀναχωρήσῃ ἀπ' αὐτὴν καὶ νὰ ὑπάγῃ νὰ ζήσῃ εἰς τὰ ὄρη, καὶ ὅτι δὲν εἶναι δυνατόν, ἐκεῖνος ποὺ φροντίζει διὰ οἰκίαν καὶ ἔχει γυναῖκα καὶ φροντίζει διὰ τέκνα καὶ δούλους, νὰ εἶναι ἐνάρετος; Ἃς προσέξουν λοιπὸν τὸν δίκαιον αὐτόν, πού, ἐνῷ ἔχει γυναῖκα καὶ τέκνα καὶ δούλους καὶ ζῇ μέσα εἰς πόλιν καὶ μάλιστα ἀνάμεσα εἰς τόσους πονηροὺς καὶ παρανόμους, ὅμως διαλάμπει εἰς τὸ μέσον τοῦ πελάγους ὡσὰν ἀκριβῶς κάποιος σπινθήρ, ὁ ὁποῖος ὄχι μόνον δὲν σβήνει, ἀλλὰ καὶ παρουσιάζει τὸ φῶς του λαμπρότερον. Καὶ αὐτὰ τὰ λέγω ὄχι διὰ νὰ ἐμποδίσω τὴν ἀναχώρησιν ἀπὸ τὰς πόλεις καὶ διὰ νὰ ἀπαγορεύσω τὴν ζωὴν εἰς τὰ ὄρη καὶ τὰς ἐρημίας, ἀλλὰ διὰ νὰ δείξω ὅτι ἐκεῖνος ποὺ θέλει νὰ εἶναι προσεκτικὸς καὶ ἐπάγρυπνος, τίποτε ἀπὸ αὐτὰ δὲν τοῦ γίνεται ἐμπόδιον.

Ὅπως ἀκριβῶς λοιπὸν τὸν ἀδιάφορον καὶ ἀποθαρρυμένον δὲν ἠμπορεῖ οὔτε ἡ ἔρημος νὰ τὸν ὠφελήσῃ εἰς κάτι, καθόσον δὲν εἶναι ὁ τόπος ἐκεῖνος ποὺ κατορθώνει τὴν ἀρετήν, ἀλλ' ἡ διάθεσις καὶ ὁ τρόπος ζωῆς, ἔτσι ἐκεῖνον ποὺ εἶναι προσεκτικὸς καὶ ἐπαγρυπνεῖ δὲν ἠμπορεῖ νὰ τοῦ προξενήσῃ κάποιαν βλάβην τὸ νὰ ζῇ μέσα εἰς τὴν πόλιν. Καὶ διὰ τοῦτο θὰ ἐπιθυμοῦσα, ὅπως ἀκριβῶς ὁ μακάριος αὐτός, οἱ ἐνάρετοι νὰ ζοῦν πρὸ πάντων μέσα εἰς τὰς πόλεις, ὥστε γινόμενοι διὰ τοὺς ἄλλους ὡσὰν ζύμη, νὰ προσελκύουν τοὺς πολλοὺς νὰ μιμηθοῦν τὸν ζῆλον των. Ἀλλ' ἐπειδὴ αὐτὸ φαίνεται ὅτι εἶναι πάρα πολὺ δύσκολον, ἂς γίνῃ ἔστω καὶ ἐκεῖνο. «Διότι φεύγει καὶ χάνεται ἡ ἐξωτερικὴ μορφὴ τοῦ κόσμου αὐτοῦ»[1], καὶ εἶναι σύντομη ἡ παροῦσα ζωή· καὶ ἐὰν δὲν ἐπιδιώξωμεν τώρα τοὺς κόπους τῆς ἀρετῆς, ἐν ὅσῳ εὑρισκόμεθα μέσα εἰς τὸ σκάμμα τῶν ἀγώνων, καὶ δὲν διαφύγωμεν τὰ δίκτυα τῆς κακίας, ἀργότερα ἄδικα θὰ κατηγορήσωμεν τοὺς ἑαυτούς μας, ὅταν δὲν θὰ ὑπάρχῃ κανένα ὄφελος ἀπὸ τὴν μεταμέλειάν μας. Διότι ἐν ὅσῳ θὰ εὑρισκώμεθα εἰς τὴν παροῦσαν ζωήν, εἶναι δυνατόν, ἀφοῦ μετανοήσωμεν,

θεν ἀπόνασθαι κέρδους, καὶ τὰ πρότερα ἀπονιψαμένους ἁμαρτήματα τῆς τοῦ Δεσπότου φιλανθρωπίας ἀξιωθῆναι, εἰ δὲ τὸν παρόντα καιρὸν προϊέμενοι ἀθρόον προαναρπασθείημεν, μετανοήσομεν μὲν καὶ τότε, οὐδεμίαν δὲ ὄνησιν ἐκ τούτου ἕξομεν. Καὶ ἵνα μάθῃς, ἄκουε τοῦ προφήτου λέγοντος. «Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;»· καὶ πάλιν· «Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;».

Οὐδείς, φησίν, ἔσται ἐκεῖ λοιπὸν ὁ ἐξαιρούμενος τὸν ὑπὸ τῆς οἰκείας ῥαθυμίας προδεδομένον, οὔτε ἂν ἀδελφὸς ᾖ, οὔτε ἂν πατήρ, οὔτε ἂν μήτηρ. Καὶ τί λέγω, ἀδελφός, καὶ πατήρ, καὶ μήτηρ; Οὔτε αὐτοὶ οἱ δίκαιοι οἱ παρρησίαν πολλὴν κεκτημένοι τότε συμβαλέσθαι τι δυνήσονται ἡμῖν, εἰ νῦν ῥαθυμήσαιμεν. «Ἐὰν στῇ» γάρ, φησί, «Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν οὐ μὴ ἐξέλωνται». Καὶ ὅρα τῆς ἀπειλῆς τὸ μέγεθος, καὶ οἵους δικαίους εἰς μέσον παρήγαγεν. Ἐπειδὴ οὗτοι γὰρ κατὰ καιρὸν καὶ ἑτέροις σωτηρίας ὑπόθεσις γεγόνασιν· ὅ τε γὰρ Νῶε, τοῦ φοβεροῦ κλυδωνίου ἐκείνου τὴν οἰκουμένην κατειληφότος, καὶ τὴν γυναῖκα καὶ τοὺς υἱοὺς ἔσωσε· καὶ ὁ Ἰὼβ ὁμοίως καὶ ἑτέροις σωτηρίας ὑπόθεσις γέγονε· καὶ ὁ Δανιὴλ δὲ πολλοὺς ἐξήρπασε θανάτου, ἡνίκα ὁ βάρβαρος ἐκεῖνος ἐπιζητῶν τὰ ὑπὲρ ἀνθρωπίνην φύσιν τυγχάνοντα, ἀνελεῖν ἐπεχείρει τοὺς Χαλδαίους, καὶ τοὺς Μάγους καὶ τοὺς Γαζαρηνούς.

2. Καὶ ἵνα μὴ νομίσωμεν ὅτι καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἔσται τινὰ τοιαῦτα, καὶ οἱ ἐνάρετοι καὶ παρρησίαν ἔχοντες τοὺς μετὰ ῥαθυμίας ἐνταῦθα διάγοντας ἐλευθερῶσαι τῆς ἐκεῖ τιμωρίας δυνήσονται τοὺς αὐτῶν ἐπιτηδείους, διὰ τοῦτο τοὺς δικαίους τούτους

---

2. Ψαλμ. 6, 6.
3. Ψαλμ. 48, 8.
4. Πρβλ. Ἰεζ. 14, 20.

νὰ ἐπωφεληθοῦμεν τὸ κέρδος ποὺ προέρχεται ἀπὸ τὴν μετάνοιαν, καί, ἀφοῦ ἀποπλύνωμεν τὰ προηγούμενα ἁμαρτήματά μας, νὰ ἀξιωθοῦμεν τῆς φιλανθρωπίας τοῦ Κυρίου, ἐὰν ὅμως χάσωμεν τὸν παρόντα καιρὸν καὶ ἁρπαγοῦμεν τελείως ἐξαφνικὰ ἀπὸ τὸν θάνατον, καὶ μετανοήσωμεν μὲν τότε, δὲν θὰ ἔχωμεν ὅμως ἀπὸ τὴν μετάνοιάν μας αὐτὴν καμμίαν ὠφέλειαν. Καὶ διὰ νὰ τὸ ἀντιληφθῇς αὐτὸ ἄκουε τὸν προφήτη ποὺ λέγει, «Μέσα εἰς τὸν Ἅδην ποῖος θὰ σοῦ προσφέρῃ ὕμνον εὐχαριστίας;»[2]· καὶ πάλιν· «Ἀδελφὸς δὲν ἠμπορεῖ νὰ σώσῃ τὸν ἀδελφόν του ἀπὸ τὸν θάνατον, θὰ τὸν σώσῃ ὁ τυχὼν ἄνθρωπος;»[3].

Κανένας, λέγει, δὲν ὑπάρχει ἐκεῖ πλέον ποὺ νὰ ἠμπορεῖ νὰ σώσῃ ἐκεῖνον ποὺ ἔχει προδοθῇ ἀπὸ τὴν ἀδιαφορίαν του, οὔτε ἀδελφὸς ἂν εἶναι, οὔτε ἂν εἶναι πατέρας, οὔτε ἂν εἶναι μητέρα. Καὶ διατί λέγω ἀδελφὸς καὶ πατέρας καὶ μητέρα; Οὔτε οἱ ἴδιοι οἱ δίκαιοι ποὺ ἔχουν μεγάλην παρρησίαν ἀπέναντι εἰς τὸν Κύριον, θὰ ἠμπορέσουν τότε νὰ μᾶς βοηθήσουν, ἐὰν τώρα συμβῇ νὰ ἀδιαφορήσωμεν. Διότι λέγει, «Ἐὰν παρουσιασθῇ ὁ Νῶε καὶ ὁ Ἰὼβ καὶ ὁ Δανιήλ, δὲν θὰ ἠμπορέσουν νὰ σώσουν τοὺς υἱούς των καὶ τὰς θυγατέρας των»[4]. Καὶ πρόσεχε τὸ μέγεθος τῆς ἀπειλῆς, καὶ ποίους δικαίους ἀνέφερε. Ἐπειδὴ δηλαδὴ αὐτὰ κατὰ καιροὺς ἔγιναν ἀφορμὴ σωτηρίας καὶ δι' ἄλλους· διότι καὶ ὁ Νῶε ἔσωσε καὶ τὴν γυναῖκα του καὶ τοὺς υἱούς του, ὅταν ὁ φοβερὸς ἐκεῖνος κατακλυσμὸς κατέλαβε τὴν οἰκουμένην, καὶ ὁ Ἰὼβ ὁμοίως ἔγινεν ἀφορμὴ σωτηρίας δι' ἄλλους, καὶ ὁ Δανιὴλ δὲ πολλοὺς ἐξήρπασεν ἀπὸ τὸν θάνατον, ὅταν ὁ βάρβαρος ἐκεῖνος ἐπιδιώκων τὰ πράγματα ἐκεῖνα ποὺ ὑπερβαίνουν τὴν ἀνθρωπίνην φύσιν, ἐπιχειροῦσε νὰ φονεύσῃ τοὺς Χαλδαίους καὶ τοὺς Μάγους καὶ τοὺς Γαζαρηνούς.

2. Καὶ διὰ νὰ μὴ νομίσωμεν ὅτι καὶ κατὰ τὸν μελλοντικὸν αἰῶνα θὰ συμβοῦν παρόμοια γεγονότα, καὶ οἱ ἐνάρετοι καὶ ἐκεῖνοι ποὺ ἔχουν παρρησίαν θὰ ἠμπορέσουν νὰ ἐλευθερώσουν ἀπὸ τὴν ἐκεῖ τιμωρίαν τοὺς συγγενεῖς των ποὺ ζοῦν ἐδῶ μὲ ἀδιαφορίαν, διὰ τοῦτο μᾶς ἀνέφε-

παρήγαγεν ἡμῖν, τὸν φόβον ἡμῖν ἀνατεινόμενος, καὶ παιδεύων ἐν τοῖς οἰκείοις κατορθώμασι μετὰ τὴν ἄνωθεν χάριν τὰς ἐλπίδας τῆς σωτηρίας ἡμῶν ἔχειν, καὶ μήτε ἐπὶ προγόνων ἀρετῇ μέγα φρονεῖν, εἰ αὐτοὶ ἐν κακίᾳ τυγχάνομεν ὄντες, μήτε ἐπ' ἄλλῳ τινί, ἀλλ' ἓν τοῦτο μόνον σπουδάζειν· κἂν προγόνους ὦμεν ἐναρέτους ἐσχηκότες, μιμεῖσθαι αὐτῶν τὴν ἀρετήν· κἂν τὸ ἐναντίον πάλιν συμβαίη, καὶ φαύλων ὦμεν προγόνων, μὴ νομίζειν ἐκ τούτου τι παραβλάπτεσθαι, ἀλλὰ πρὸς τοὺς τῆς ἀρετῆς πόνους ἐπαποδύεσθαι· οὐδὲν γὰρ ἡμῖν ἐκ τούτου βλάβος ἔσται. Ἕκαστος γὰρ ἐξ ὧν διεπράξατο, ἢ στεφανοῦται, ἢ κατακρίνεται, καθάπερ καὶ ὁ μακάριος Παῦλός φησιν· «Ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν»· καὶ πάλιν, «Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ».

Ἅπερ ἅπαντα εἰδότες καὶ πᾶσαν ῥᾳθυμίαν ἀποτιναξάμενοι, πολὺν τῆς ἀρετῆς ποιησώμεθα λόγον. Καὶ ὡς ἔτι ἐν τῷ σκάμματί ἐσμεν, πρὶν ἢ διαλυθῆναι τὸ θέατρον, φροντίσωμεν ἡμῶν τῆς σωτηρίας, ἵνα ἐν τῷ βραχεῖ τούτῳ χρόνῳ τὴν ἀρετὴν μετελθόντες, ἐν τῷ διηνεκεῖ αἰῶνι τὰς ὑπὲρ ταύτης ἀμοιβὰς κομισώμεθα· καθάπερ καὶ ὁ δίκαιος οὗτος, ὁ μεταξὺ τοσούτων πονηρῶν οἰκῶν καὶ οὐδένα ἔχων ζηλοῦντα αὐτοῦ τὴν ἀρετήν, ἀλλὰ καὶ πάντας ὁρῶν χλευάζοντας, κωμῳδοῦντας, οὐ μόνον ὀκνηρότερος οὐκ ἐγένετο, ἀλλὰ καὶ οὕτω διέλαμψεν, ὡς καταξιωθῆναι καὶ ἀγγέλους ὑποδέξασθαι· καὶ πάντων ἄρδην ἀπολλυμένων, αὐτὸς μόνος σὺν τοῖς θυγατράσι διέφυγε τὴν ἐπενεχθεῖσαν δίκην. Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανέλθωμεν.

«Ἦλθον δέ», φησίν, «οἱ δύο ἄγγελοι εἰς Σόδο-

---

5. Β' Κορ. 5, 10.
6. Ρωμ. 2, 6.

ρεν αὐτοὺς τοὺς δικαίους, ἐπαυξάνων τὸν φόβον εἰς ἡμᾶς καὶ διὰ νὰ μᾶς διδάξῃ νὰ στηρίζωμεν τὰς ἐλπίδας τῆς σωτηρίας μας εἰς τὰ κατορθώματά μας καὶ εἰς τὴν οὐράνιον χάριν, καὶ οὔτε νὰ μεγαλοφρονοῦμεν διὰ τὴν ἀρετὴν τῶν προγόνων μας, ἐὰν ἡμεῖς οἱ ἴδιοι ζῶμεν μέσα εἰς τὴν κακίαν, οὔτε νὰ στηρίζωμεν τὴν ἐλπίδα μας εἰς κάτι ἄλλο, ἀλλὰ δι' ἓν μόνον πρᾶγμα νὰ φροντίζωμεν· καὶ ἂν ἀκόμη ἔχωμεν ἐναρέτους προγόνους, νὰ μιμούμεθα τὴν ἀρετὴν αὐτῶν· ἐὰν πάλιν συμβαίνῃ τὸ ἀντίθετον καὶ ἔχωμεν φαύλους προγόνους νὰ μὴ νομίζωμεν ὅτι βλαπτόμεθα εἰς κάτι ἐξ αἰτίας αὐτοῦ, ἀλλὰ νὰ ἐπιδιδώμεθα εἰς τοὺς κόπους τῆς ἀρετῆς· καθ' ὅσον καμμία βλάβη δὲν θὰ μᾶς συμβῇ ἐξ αὐτοῦ. Διότι ὁ καθένας στεφανώνεται ἢ καταδικάζεται ἀπὸ ἐκεῖνα ποὺ ἔπραξεν, ὅπως ἀκριβῶς λέγει καὶ ὁ μακάριος Παῦλος, «Διὰ νὰ ἀπολαύσῃ ὁ καθένας τὰ ὅσα ἔπραξε μὲ τὸ σῶμα, εἴτε αὐτὰ ἦσαν ἀγαθόν, εἴτε κακόν»[5]· καὶ πάλιν, «Ὁ ὁποῖος θὰ ἀποδώσῃ εἰς τὸν καθένα σύμφωνα μὲ τὰ ἔργα του»[6].

Γνωρίζοντες ὅλα αὐτά, ἀφοῦ ἀποτινάξωμεν ἀπὸ ἐπάνω μας κάθε ἀδιαφορίαν, ἂς ἐπιδείξωμεν μεγάλην φροντίδα διὰ τὴν ἀρετήν. Καὶ ἐν ὅσῳ ἀκόμη εὑρισκόμεθα μέσα εἰς τὸ σκάμμα τῶν ἀγώνων, πρὶν ἀκόμη διαλυθῇ τὸ θέατρον, ἂς φροντίσωμεν διὰ τὴν σωτηρίαν μας, ὥστε, ἀφοῦ κατὰ τὸν σύντομον αὐτὸν χρόνον ἀσκήσωμεν τὴν ἀρετήν, νὰ λάβωμεν κατὰ τὸν ἀτελείωτον αἰῶνα τὰς ἀμοιβὰς ὑπὲρ αὐτῆς, ὅπως ἀκριβῶς καὶ ὁ δίκαιος αὐτός, ἐνῷ ἐκατοικοῦσεν ἀνάμεσα εἰς τόσους κακοὺς καὶ δὲν εἶχε κανένα ποὺ νὰ ἐμιμεῖτο τὴν ἀρετήν του, ἀλλ' ἀντίθετα ἔβλεπε καὶ ὅλους νὰ τὸν χλευάζουν καὶ νὰ τὸν διακωμωδοῦν, ὄχι μόνον δὲν ἔγινε ὀκνηρότερος, ἀλλὰ καὶ τόσον πολὺ διέλαμψεν, ὥστε νὰ ἀξιωθῇ νὰ ὑποδεχθῇ καὶ ἀγγέλους πρὸς φιλοξενίαν· καὶ ἐνῷ ὅλοι ἐχάθησαν μέσα εἰς μίαν στιγμήν, αὐτὸς μόνος μαζὶ μὲ τὰς θυγατέρας του διέφυγε τὴν τιμωρίαν ποὺ ἐπεβλήθη. Ἀλλ' ἂς ἐπανέλθωμεν εἰς τὴν συνέχειαν τῆς διηγήσεως.

«Ἦλθον δὲ», λέγει, «οἱ δύο ἄγγελοι τὴν ἑσπέραν εἰς

μα ἑσπέρας». Ὁ καιρὸς μάλιστα δείκνυσιν ἡμῖν τοῦ δικαίου τούτου τὴν ὑπερβάλλουσαν ἀρετήν, ὅτι καὶ ἑσπέρας καταλαβούσης παρέμενε, καὶ οὐκ ἀφίστατο. Ἐπειδὴ γὰρ ᾔδει τὸ ἐντεῦθεν αὐτῷ τικτόμενον κέρδος, διὰ τοῦτο ἐπιθυμῶν ἐπιτυχεῖν τοῦ πλούτου, πολλῇ τῇ προσεδρίᾳ ἐκέχρητο, καὶ τῆς ἡμέρας πληρωθείσης οὐκ ἀνεχώρει. Τοιοῦτον γὰρ ψυχὴ ζέουσα καὶ διεγηγερμένη· οὐχ ὑπὸ τούτων κωλυτικῶν ἐμποδίζεται τὴν οἰκείαν ἀρετὴν ἐπιδείξασθαι, ἀλλὰ καὶ δι' αὐτῶν μάλιστα τῶν κωλυόντων ἐπιπλεῖον αἴρεται, καὶ μείζονα τὴν φλόγα τῆς ἐπιθυμίας ἀνάπτει.

«Ἰδὼν δέ», φησί, «Λώτ, ἐξανέστη εἰς συνάντησιν αὐτούς». Ἀκουέτωσαν οἱ καὶ παραγινομένους πολλάκις καὶ καθικετεύοντας, καὶ πολλὴν τὴν προσεδρίαν ἐπιδεικνυμένους διακρουόμενοι καὶ πολλὴν τὴν φιλανθρωπίαν ἐπιδεικνύμενοι. Ὅρα γὰρ τὸν δίκαιον τοῦτον, ὅπως οὐκ ἀνέμεινε παραγενέσθαι πρὸς αὐτόν, ἀλλὰ καθάπερ ὁ πατριάρχης, οὐκ εἰδὼς τίνες ἦσαν οἱ παραγεγονότες, ἀλλ' ὁδίτας τινὰς αὐτοὺς εἶναι ὑπολαμβάνων, θεασάμενος μονονουχὶ ἐσκίρτησε, καὶ περιχαρὴς γέγονεν, ὡς ἐπιτυχὼν τῆς θήρας, καὶ μὴ διαμαρτὼν τοῦ σπουδαζομένου. «Ἰδὼν» γάρ, φησίν, «ἐξανέστη εἰς συνάντησιν αὐτοῖς, καὶ προσεκύνησε τῷ προσώπῳ ἐπὶ τὴν γῆν». Ηὐχαρίστησε τῷ Θεῷ, ὅτι κατηξίωσεν αὐτὸν ὑποδέξασθαι τοὺς παριόντας. Σκόπει ψυχῆς ἀρετήν. Μεγάλην εὐεργεσίαν παρὰ τοῦ Θεοῦ ταύτην ἡγήσατο, τὸ ἐπιτυχεῖν τῶν ἀνδρῶν, καὶ διὰ τῆς εἰς τούτους δεξιώσεως τὸν οἰκεῖον πόθον ἀποπληρῶσαι. Μὴ γάρ μοι λέγει, ὅτι ἄγγελοι ἦσαν· ἀλλ' ἐκεῖνο λογίζου, ὅτι ὁ δίκαιος οὗτος οὐδέπω τοῦτο ἠπίστατο, ἀλλ' ὡς ἀνθρώπους ἀγνῶτας παροδεύοντας ὑποδεχόμενος, οὕτω διέκειτο.

Καὶ εἶπεν· «Ἰδού, κύριοι, ἐκκλίνατε εἰς τὸν οἶ-

τὰ Σόδομα». Ἡ ὥρα πρὸ πάντων μᾶς δείχνει τοῦ δικαίου αὐτοῦ τὴν ὑπερβολικὴν ἀρετήν, διότι, ἂν καὶ εἶχε σκοτινιάσει, αὐτὸς παρέμενεν ἐκεῖ καὶ δὲν ἀπεμακρύνετο. Διότι, ἐπειδὴ ἐγνώριζε τὸ κέρδος τὸ προερχόμενον ἀπὸ τὴν πρᾶξιν αὐτήν, διὰ τοῦτο, ἐπιθυμῶν ν' ἀποκτήσῃ τὸν πλοῦτον αὐτόν, ἔδειχνε μεγάλην ὑπομονὴν καὶ ἐπιμονήν, καί, ἐνῷ εἶχε τελειώσει ἡ ἡμέρα, δὲν ἀναχωροῦσε. Διότι τέτοια εἶναι ἡ θερμὴ καὶ ἐπάγρυπνη ψυχή· δὲν ἐμποδίζεται νὰ ἐπιδείξῃ τὴν ἀρετήν της ἀπὸ τυχόντα ἐμπόδια, ἀλλὰ ὑψώνεται περισσότερον μὲ αὐτὰ πρὸ πάντων τὰ ἴδια τὰ ἐμπόδια καὶ ἀνάπτει μεγαλυτέραν τὴν φλόγα τῆς ἐπιθυμίας.

«Ὅταν δὲ ὁ Λώτ», λέγει, «τοὺς εἶδεν, ἐσηκώθη καὶ ἐπῆγε νὰ τοὺς συναντήσῃ». Ἂς τὰ ἀκούουν αὐτὰ ἐκεῖνοι ποὺ διώχνουν καὶ δείχνουν μεγάλην ἀπανθρωπίαν πρὸς ἐκείνους ποὺ τοὺς πλησιάζουν πολλὲς φορὲς καὶ τοὺς παρακαλοῦν καὶ δείχνουν μεγάλην ἐπιμονὴν εἰς τὴν παράκλησίν των. Διότι πρόσεχε τὸν δίκαιον αὐτόν, πῶς δὲν ἐπερίμενε νὰ ἔλθουν πρὸς αὐτόν, ἀλλ' ὅπως ἀκριβῶς ὁ πατριάρχης, ἂν καὶ δὲν ἐγνώριζε ποῖοι ἦσαν οἱ ἐπισκέπται, καὶ τοὺς ἐθεωροῦσεν ὅτι εἶναι κάποιοι ὁδοιπόροι, μόλις τοὺς εἶδεν, νοιώθει κάποιο σκίρτημα καὶ κυριευθεὶς ἀπὸ μεγάλην χαράν, διότι ἐπέτυχε τὸ θήραμα ποὺ ἐπεδίωκε καὶ δὲν ἀπέτυχεν εἰς αὐτὸ διὰ τὸ ὁποῖον ἐνδιαφέρετο. Διότι λέγει, Ὅταν τοὺς εἶδεν, ἐσηκώθη καὶ ἐπῆγε νὰ τοὺς συναντήσῃ καὶ τοὺς ἐπροσκύνησε φέρων τὸ πρόσωπον μέχρι τὴν γῆν». Εὐχαρίστησε τὸν Θεόν, διότι τὸν ἀξίωσε νὰ δεχθῇ καὶ νὰ φιλοξενίσῃ τοὺς διαβάτας. Πρόσεχε ἀρετὴν ψυχῆς. Ἐθεώρησεν αὐτὴν τὴν περίπτωσιν μεγάλην εὐεργεσίαν ἐκ μέρους τοῦ Θεοῦ, τὸ νὰ συναντήσῃ δηλαδὴ τοὺς ἄνδρας, καὶ νὰ ἐκπληρώσῃ αὐτὸ ποὺ ἐποθοῦσε μὲ τὴν φιλοξενίαν αὐτῶν. Μὴ βέβαια μοῦ εἰπῇς, ὅτι ἦσαν ἄγγελοι, ἀλλ' ἐκεῖνο νὰ σκέπτεσαι, ὅτι ὁ δίκαιος αὐτὸς δὲν τὸ ἐγνώριζεν ἀκόμη αὐτό, ἀλλ' ἔδειχνεν αὐτὴν τὴν συμπεριφορὰν ὑποδεχόμενος αὐτοὺς ὡσὰν ἀνθρώπους ἀγνώστους καὶ ὁδοιπόρους.

«Καὶ εἶπεν· Λοξοδρομήσατε», κύριοι, καὶ ἐλᾶτε εἰς

κον τοῦ παιδὸς ὑμῶν, καὶ καταλύσατε, καὶ νίψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν». Ἱκανὰ τὰ ῥήματα ταῦτα τὴν ἐναποκειμένην ἀρετὴν τῇ τοῦ δικαίου ψυχῇ ἐκκαλύψαι. Τί γὰρ ἄν τις ἐκπλαγείη τὴν ταπεινοφροσύνην ὑπερβάλλουσαν, τὴν θερμότητα, ἣν περὶ τὴν φιλοξενίαν ἐπεδείκνυτο, «Ἰδού», φησί, «κύριοι, ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν». Κἀκείνους κυρίους καλεῖ, καὶ ἑαυτὸν παῖδα αὐτῶν ὀνομάζει. Ἀκούσωμεν, ἀγαπητοί, τῶν ῥημάτων τούτων μετὰ ἀκριβείας, καὶ παιδευθῶμεν καὶ ἡμεῖς τὰ ὅμοια διαπράττεσθαι. Ὁ ἐπίδοξος, ὁ περιφανής, ὁ ἐν τοσαύτῃ περιουσίᾳ τυγχάνων, ὁ οἰκοδεσπότης, τοὺς ὁδίτας, τοὺς ξένους, τοὺς ἀγνῶτας, τοὺς εὐτελεῖς τὸ φαινόμενον, τοὺς παριόντας, τοὺς οὐδαμόθεν αὐτῷ προσήκοντας κυρίους ὀνομάζει καί φησιν· «Ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καὶ καταλύσατε».

Ἑσπέρα γάρ, φησί, κατέλαβε. Πείσθητέ μοι, καὶ τὸν κάματον τῆς ἡμέρας παραμυθήσασθε, εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καταλύσαντες. Μὴ γάρ, φησί, μέγα τι ὑμῖν ἐπαγγέλλομαι; «Νίψασθε τοὺς πόδας ὑμῶν», τοὺς ὑπὸ τῆς ὁδοιπορίας κεκμηκότας, «καὶ ὀρθρίσαντες ἀπελεύσεσθε τὴν ὁδὸν ὑμῶν». Χαρίσασθε οὖν μοι ταύτην τὴν χάριν, καὶ μὴ ἀνανεύσητέ μου πρὸς τὴν παράκλησιν. «Καὶ εἶπαν», φησίν· «Οὐχί, ἀλλ' ἐν τῇ πλατείᾳ καταλύσομεν». Καὶ μετὰ τοσαύτην παράκλησιν ἰδὼν αὐτοὺς ἀνανεύοντας οὐκ ἐνάρκησεν, οὐκ ἀπέστη τοῦ σπουδαζομένου, οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον ἡμεῖς πολλάκις ποιοῦμεν· καὶ ἐὰν ἄρα ποτέ τινα προτρέψασθαι βουληθείημεν, εἶτα θεασώμεθα πρὸς ὀλίγον ἀνανεύοντα, εὐθὺς ἀφιστάμεθα· καὶ τοῦτο συμβαίνει ἀπὸ τοῦ μὴ θερμότητι καὶ πόθῳ τοῦ-

τὸν οἶκον τοῦ δούλου σας καὶ διανυκτερεύσατε, πλύνατε τὰ πόδια σας καὶ αὔριον πρωὶ πρωὶ συνεχίζετε τὸν δρόμον σας». Τὰ λόγια αὐτὰ εἶναι ἱκανὰ νὰ φανερώσουν τὴν ἀρετὴν ποὺ ἦταν φυλαγμένη μέσα εἰς τὴν ψυχὴν τοῦ δικαίου. Πῶς λοιπὸν εἶναι δυνατὸν νὰ μὴ θαυμάσῃ κανεὶς τὴν ὑπερβολικὴν ταπεινοφροσύνην καὶ τὴν θερμότητα ποὺ ἔδειξε διὰ τὴν φιλοξενίαν; «Λοξοδρομήσατε», λέγει, «κύριοι καὶ ἐλᾶτε εἰς τὸν οἶκον τοῦ δούλου σας». Καὶ ἐκείνους ἀποκαλεῖ κυρίους καὶ τὸν ἑαυτόν του ὀνομάζει δοῦλον αὐτῶν. Ἂς ἀκούσωμεν, ἀγαπητοί, τὰ λόγια αὐτὰ μὲ προσοχὴν καὶ ἂς μᾶς γίνῃ δίδαγμα διὰ νὰ πράττωμεν καὶ ἡμεῖς τὰ ἴδια. Ὁ διάσημος, ὁ ἔνδοξος, αὐτὸς ποὺ ἦτο τόσον πολὺ πλούσιος, ὁ οἰκοδεσπότης, τοὺς ὁδοιπόρους, τοὺς ξένους, τοὺς ἀγνώστους, τοὺς φαινομενικὰ ἀσήμους, τοὺς περαστικούς, αὐτοὺς ποὺ δὲν εἶχον καμμίαν σχέσιν μὲ αὐτόν, τοὺς ὀνομάζει κυρίους καὶ λέγει· «Λοξοδρομήσατε καὶ ἐλᾶτε νὰ διανυκτερεύσετε εἰς τὸν οἶκον τοῦ δούλου σας».

Νὰ λέγει, ἦλθεν ἡ νύκτα. Ἀκούσατέ μου καὶ ἀνακουφισθῆτε ἀπὸ τὴν κούρασιν τῆς ἡμέρας, ἀφοῦ διανυκτερεύσετε εἰς τὸν οἶκον τοῦ δούλου σας. Μήπως δηλαδή, λέγει, σᾶς ὑπόσχομαι τίποτε σπουδαῖον; «Πλύνατε ἁπλῶς τὰ πόδια σας, τὰ κατάκοπα ἀπὸ τὴν ὁδοιπορίαν, «καὶ αὔριον πρωὶ πρωὶ συνεχίζετε τὸν δρόμον σας». Κάνατέ μου λοιπὸν αὐτὴν τὴν χάριν καὶ μὴ προβάλετε ἄρνησιν εἰς αὐτὴν τὴν παράκλησίν μου. «Καὶ εἶπαν», λέγει· «Ὄχι, ἀλλὰ θὰ διανυκτερεύσωμεν εἰς τὴν πλατεῖαν». Καὶ μετὰ ἀπὸ τόσον μεγάλην παράκλησιν, ἂν καὶ εἶδεν αὐτοὺς νὰ ἀρνοῦνται, δὲν ἀδιαφόρησε, δὲν ἀπεμακρύνθη ἀπὸ τὴν προσπάθειάν του, οὔτε ἔπαθε κάτι παρόμοιον μὲ ἐκεῖνο ποὺ παθαίνομεν ἐμεῖς πολλὲς φορές· ἂν δηλαδὴ συμβῇ κάποτε νὰ θελήσωμεν νὰ παρακαλέσωμεν κάποιον καὶ ἰδοῦμεν εἰς τὴν συνέχειαν νὰ προβάλλῃ μικρὰν ἄρνησιν, ἀμέσως ἐγκαταλείπομεν τὴν προσπάθειάν μας· καὶ αὐτὸ συμβαίνει ἐξ αἰτίας τοῦ ὅτι δὲν τὸ κάμνομεν αὐτὸ μὲ θερμότητα καὶ πόθον, ἀλλὰ καὶ νομίζομεν μάλιστα ὅτι ἔχομεν

το ποιεῖν, ἀλλὰ μάλιστα καὶ νομίζειν ἀρκοῦσαν ἀπολογίαν ἔχειν, τὸ λέγειν ὅτι τό γε ἑαυτῶν πεποιήκαμεν.

3. Τί λέγεις, ὅτι τὸ σαυτοῦ πεποίηκας; Ἀπώλεσας τὴν θήραν, διήμαρτες τοῦ θησαυροῦ, καὶ τὸ σεαυτοῦ πεποίηκας; Τότε ἂν ἧς τὸ σαυτοῦ πεποιηκώς, εἰ μὴ ἔρριψας ἀπὸ τῶν χειρῶν τὸν θησαυρόν, εἰ μὴ παρέδραμες τὴν ἄγραν, εἰ μὴ ἀφοσιώσει τῇ μέχρι ρημάτων τὴν φιλοξενίαν ἐπιδείξω. Ἀλλ' οὐχ ὁ δίκαιος οὕτως· ἀλλὰ τί; Ὁρῶν ἀντιτείνοντας καὶ εἰς τὴν πλατείαν καταλῦσαι βουλομένους (τοῦτο δὲ ἐποίουν οἱ ἄγγελοι, ἐπὶ πλέον ἐκκαλύψαι τὴν ἀρετὴν βουλόμενοι τοῦ δικαίου καὶ παιδεῦσαι πάντας ἡμᾶς, ὅση αὐτοῦ ἡ φιλοξενία), λοιπὸν αὐτὸς οὐκ ἔτι ἀνέχεται διὰ λόγων τὴν παράκλησιν ποιεῖσθαι, ἀλλὰ καὶ βίαν ἐπιτίθησι. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε· «Βιασταὶ ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν». Ἔνθα γὰρ ἂν πνευματικὸν πρόκειται κέρδος, εὔκαιρος ἡ ἀνάγκη καὶ ἡ βία ἐπαινετή. «Καὶ κατεβιάζετο», φησίν, «αὐτούς». Ἐμοὶ δοκεῖ καὶ ἄκοντας αὐτοὺς ἕλκειν. Εἶτα ἐπειδὴ εἶδον τὸν δίκαιον ἔργον τοῦτο τιθέμενον, καὶ οὐ πρότερον ἀφιστάμενον, εἰ μὴ τὸ σπουδαζόμενον αὐτῷ εἰς ἔργον ἀνάγοι, «Ἐξέκλιναν», φησί, «πρὸς αὐτόν, καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ. Καὶ ἐποίησεν αὐτοῖς πότον, καὶ ἀζύμους ἔπεψεν αὐτοῖς, καὶ ἔφαγον πρὸ τοῦ κοιθημῆναι».

Εἶδες καὶ ἐνταῦθα οὐκ ἐν τῇ πολυτελείᾳ τῆς τραπέζης τὴν φιλαξενίαν ἐπιδεικνυμένην, ἀλλὰ ἐν τῇ δαψιλείᾳ τῆς γνώμης; Ἐπειδὴ γὰρ ἴσχυσεν αὐτοὺς εἰσαγαγεῖν εἰς τὸν οἶκον αὐτοῦ, εὐθέως τὰ τῆς φιλοξενίας ἐπιδείκνυτο. Καὶ ἐκεῖνος μὲν πρὸς τὴν θερα-

7. Ματθ. 11, 12.

καὶ ἱκανοποιητικὴν δικαιολογίαν, μὲ τὸ νὰ λέγωμεν, ὅτι ἐκάμαμεν αὐτὸ ποὺ ἐξηρτᾶτο ἀπὸ ἐμᾶς.

3. Τί λέγεις, ὅτι ἔκαμες αὐτὸ ποὺ ἐξαρτᾶται ἀπὸ ἐσένα; Ἔχασες τὸ θήραμα, σοῦ διέφυγεν ὁ θησαυρός, καὶ ἔχεις κάνει αὐτὸ ποὺ ἐξαρτᾶται ἀπὸ σένα; Τότε θὰ ἠμποροῦσες νὰ εἰπῇς ὅτι ἔκανες αὐτὸ ποὺ ἐξαρτᾶται ἀπὸ ἐσένα, ἐὰν δὲν ἔρριπτες ἀπὸ τὰ χέρια σου τὸν θησαυρόν, ἂν δὲν ἔχανες τὸ θήραμα, ἂν δὲν ἔδειχνες τὴν προθυμίαν σου διὰ φιλοξενίαν μόνον μὲ λόγια. Ὅμως ὁ δίκαιος δὲν ἐνήργησεν ἔτσι, ἀλλὰ πῶς; Βλέπων τὴν ἄρνησίν των καὶ ἐπιθυμῶντας νὰ διανυκτερεύσουν εἰς τὴν πλατεῖαν (αὐτὸ δὲν τὸ ἔκαμναν οἱ ἄγγελοι, θέλοντες νὰ φανερώσουν περισσότερον τὴν ἀρετὴν τοῦ δικαίου καὶ νὰ διδάξουν ὅλους ἐμᾶς πόσο μεγάλη ἦτο ἡ φιλοξενία του), εἰς τὴν συνέχειαν δὲν ἀνέχεται νὰ τοὺς παρακαλῇ μὲ λόγια, ἀλλὰ προσθέτει καὶ βίαν. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε· «Τὴν βασιλείαν τῶν οὐρανῶν τὴν κερδίζουν ἐκεῖνοι ποὺ ὑποβάλλουν τὸν ἑαυτόν των εἰς στενοχωρίαν»[7]. Διότι ὅπου ἐνυπάρχει πνευματικὸν κέρδος εἶναι ἐπιβεβλημένη ἡ ἀνάγκη καὶ ἐπαινετὴ ἡ βία. «Καὶ κατεπίεζε», λέγει, «αὐτούς». Ἐγὼ ἔχω τὴν ἐντύπωσιν ὅτι σύρει αὐτοὺς εἰς τὸν οἶκον του χωρὶς τὴν θέλησίν των. Ἔπειτα, ἐπειδὴ εἶδαν τὸν δίκαιον ὅτι εἶχε θέσει αὐτὸ ὡς σκοπόν του καὶ δὲν εἶχε τὴν διάθεσιν ν' ἀπομακρυνθῇ ἀπὸ αὐτὸν προηγουμένως, ἐὰν δὲν ἐπραγματοποιεῖτο αὐτὸ ποὺ ἐπεδίκωε, «ἐλοξοδρόμησαν», λέγει, «πρὸς αὐτὸν καὶ εἰσῆλθον εἰς τὸν οἶκον του. Καὶ ἐπρόσφερεν εἰς αὐτοὺς δεῖπνον, καὶ ἔψησεν ἄζυμον ἄρτον καὶ ἔφαγον πρὶν κοιμηθοῦν».

Εἶδες καὶ ἐδῶ τὴν φιλοξενίαν νὰ προβάλλεται ὄχι ἀπὸ τὴν πολυτέλειαν τῆς τραπέζης, ἀλλ' ἀπὸ τὴν μεγαλόδωρον διάθεσιν; Ἀφοῦ δηλαδὴ κατώρθωσε νὰ ὁδηγήσῃ αὐτοὺς μέσα εἰς τὸν οἶκον του, ἀμέσως πρόσφερεν εἰς αὐτοὺς τὴν φιλοξενίαν του. Καὶ ἐκεῖνος μὲν προετοιμάζετο διὰ τὴν περιποίησιν αὐτῶν καὶ προσέφερε τὰ τοῦ δείπνου, καὶ ἐξεδήλωνε κάθε τιμὴν καὶ περιποίησιν πρὸς

πείαν αὐτῶν παρεσκευάζετο, καὶ τὰ τῆς ἑστιάσεως παρεῖχε, καὶ πᾶσαν ἐπεδείκνυτο τιμὴν καὶ θεραπείαν πρὸς τοὺς παραγενομένους, ἀνθρώπους αὐτούς τινας ὁδίτας εἶναι νομίζων. «Οἱ δὲ ἄνδρες τῆς πόλεως οἱ Σοδομῖται περιεκύκλωσαν τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, πᾶς ὁ λαὸς ἅμα, καὶ ἐξεκαλοῦντο τὸν Λώτ, καὶ ἔλεγον πρὸς αὐτόν· Ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς σὲ τὴν νύκτα; Ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς». Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὰ εἰρημένα, μηδὲ μόνον τούτων ἴδωμεν τὴν μανίαν τῆς πάσης συγγνώμης ἀποστερημένην, ἀλλ' ἐννοήσωμεν, πῶς ὁ δίκαιος, ἐν μέσῳ τοιούτων θηρίων οὕτως ἀλλοκότων οἰκῶν, οὕτω διέλαμψε καὶ τοσαύτης ἀρετῆς ὑπερβολὴν ἐπεδείξατο, πῶς ἐνεγκεῖν ἠδυνήθη τὴν ἀνομίαν αὐτῶν, πῶς οὐκ ἔφυγε τὴν αὐτόθι οἴκησιν, πῶς τῆς πρὸς αὐτοὺς διαλέξεως ἠνείχετο. Πῶς ἐγὼ λέγω.

Προειδὼς ὁ τῶν ὅλων Δεσπότης τὴν ὑπερβάλλουσαν αὐτῶν πονηρίαν, ᾠκονόμησε τὸν δίκαιον τοῦτον αὐτόθι κατοικῆσαι, ἵνα καθάπερ ἰατρὸς ἄριστος τῶν ἀρρωστημάτων αὐτῶν περιγενέσθαι δυνηθῇ. Ἀλλ' ὁρῶν αὐτοὺς ἀνίατα νοσοῦντας, καὶ μηδεμίαν θεραπείαν ἐπιδέξασθαι βουλομένους, οὐδὲ οὕτως ἀφίσταται. Τοιοῦτον γὰρ ὁ ἰατρός· κἂν ἴδῃ τὰ πάθη νικῶντα τὴν τέχνην, οὐ παύεται τὰ παρ' ἑαυτοῦ πληρῶν, ἵνα, ἂν μὲν τῷ χρόνῳ ἀνακτήσασθαι δυνηθῇ τὸν κάμνοντα, δείξῃ τὴν περιουσίαν τῆς τέχνης· εἰ δὲ μηδὲν πλέον ἀνύει, ἔχῃ τὴν μεγίστην ἀπολογίαν, ὅτι οὐδὲν τῶν προσηκόντων εἰς αὐτὸν παρέλιπεν· ὃ δὴ καὶ ἐνταῦθα γεγένηται. Ὁ μὲν γὰρ δίκαιος οὗτος καὶ τούτων ἐν μέσῳ ἀναστρεφόμενος, καὶ οὕτως ἔμενε δίκαιος πολλὴν τὴν φιλοσοφίαν ἐνδεικνύμενος· ἐκεῖνοι δὲ καὶ διὰ τοῦτο ἦσαν πάσης συγγνώμης ἀπεστερημένοι, ὅτι οὐ μόνον οὐκ ἔληξαν τῆς κακίας, ἀλλὰ καὶ μᾶλλον αὐτὴν ἐπέτειναν. Ὅρα γάρ· «Περιεκύκλωσαν», φη-

τοὺς ἐπισκέπτας, θεωρῶν αὐτοὺς ὅτι εἶναι κάποιοι ὁδοιπόροι. «Οἱ δὲ ἄνδρες τῆς πόλεως, οἱ Σοδομῖται, περιεκύκλωσαν τὴν οἰκίαν, ἀπό τοῦ νεωτέρου μέχρι τοῦ γεροντοτέρου, ὅλον τὸ πλῆθος μαζί, καὶ ἐκαλοῦσαν τὸν Λὼτ καὶ ἔλεγον πρὸς αὐτόν· Ποῦ εἶναι οἱ ἄνδρες πού εἰσῆλθον τὴν ἑσπέραν εἰς τὸν οἶκον σου; Βγᾶλε αὐτοὺς ἔξω διὰ νὰ ἀσελγήσωμεν ἐπάνω εἰς αὐτούς». Ἄς μὴ προσπεράσωμεν, ἀγαπητοί, τὰ λόγια αὐτὰ ἐπιπόλαια, οὔτε νὰ προσέξωμεν μόνον τὴν μανίαν αὐτῶν, τὴν στερημένην κάθε συγγνώμης, ἀλλ' ἄς σκεφθοῦμεν πῶς ὁ δίκαιος, κατοικῶν ἀνάμεσα εἰς τέτοιου εἴδους θηρία καὶ τόσον πολὺ ἀλλόκοτα, τόσον πολὺ διέλαμψε καὶ τόσην ὑπερβολικὴν ἀρετὴν ἐπέδειξε, πῶς ἠμπόρεσε νὰ ὑποφέρῃ τὴν παρανομίαν αὐτῶν, πῶς δὲν ἔφυγεν ὥστε ν' ἀλλάξῃ τόπον κατοικήσεως, πῶς ἠνείχετο τὴν συνομιλίαν μὲ αὐτούς. Τὸ πῶς συνέβη αὐτό, θὰ σᾶς τὸ εἰπῶ ἐγώ.

Προγνωρίζων ὁ Κύριος τῶν ὅλων τὴν ὑπερβολικὴν κακίαν αὐτῶν, ἐπρονόησεν ὁ δίκαιος αὐτὸς νὰ κατοικήσῃ ἐκεῖ, διὰ νὰ ἠμπορέσῃ, ὡσὰν ἄριστος ἰατρός, νὰ θεραπεύσῃ τὰς ἀσθενείας αὐτῶν. Ἀλλὰ βλέπων αὐτοὺς νὰ πάσχουν ἀθεράπευτα καὶ νὰ μὴ θέλουν νὰ δεχθοῦν καμμίαν θεραπείαν, οὔτε ἔτσι ἐγκαταλείπει αὐτούς. Διότι τέτοιος εἶναι ὁ ἰατρός· καὶ ἂν ἀκόμη ἰδῇ τὰ πάθη νὰ νικοῦν τὴν τέχνην, δὲν σταματᾷ νὰ κάμνῃ αὐτὸ πού ἐξαρτᾶται ἀπὸ αὐτόν, ὥστε, ἂν μὲν ἠμπορέσῃ μὲ τό πέρασμα τοῦ χρόνου νὰ κάμῃ τὸν ἀσθενῆ του νὰ ἀνακτήσῃ τὰς δυνάμεις του, νὰ δείξῃ τὴν δύναμιν τῆς τέχνης του· ἐὰν ὅμως δὲν κατορθώσῃ τίποτε τὸ ἐπὶ πλέον, διὰ νὰ ἔχῃ τὴν μεγίστην δικαιολογίαν, ὅτι δέν παρέλειψε τίποτε ἀπὸ αὐτὰ πού ἔπρεπε νὰ κάμῃ, πρᾶγμα βέβαια πού συνέβη καὶ ἐδῶ. Διότι ὁ μὲν δίκαιος αὐτός, ἂν καὶ ἐζοῦσεν ἀνάμεσα εἰς αὐτούς, ἔμεινε καὶ πάλι δίκαιος, παρουσιάζων μεγάλην εὐσέβειαν, ἐνῶ ἐκεῖνοι ἐξ αἰτίας αὐτοῦ ἦταν στερημένοι κάθε συγγνώμης, διότι ὄχι μόνον δὲν ἐτερμάτισαν τὴν κακίαν των, ἀλλὰ καὶ ηὔξησαν αὐτὴν κόμη περισσότερον. Διότι πρόσεχε· «Περιεκύκλωσαν», λέγει, «τὴν οἰκίαν ἀπὸ

σί, τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβύτου, ὁ λαὸς ἅμα». Μεγίστη τῆς πονηρίας ἡ συμφωνία, πολλὴ τῆς κακίας ἡ φορά, ἄφατος τῆς παρανομίας ἡ ὑπερβολή, ἀσύγγνωστος ἡ ἐπιχείρησις. «Ἀπὸ νεανίσκου», φησίν, «ἕως πρεσβύτου». Οὐ μόνον ἡ νεότης, φησίν, ἦν ἡ τὰ παράνομα ταῦτα ἐπιζητοῦσα, ἀλλὰ καὶ οἱ πρεσβῦται τὴν ἡλικίαν, καὶ πᾶς ὁ λαὸς ἅμα.

Καὶ οὔτε τὴν τόλμαν τὴν ἀναιδῆ καὶ ἀναίσχυντον ταύτην ᾐδοῦντο, οὔτε τὸν ἀκοίμητον ὀφθαλμὸν εἰς ἔννοιαν ἐλάμβανον, οὔτε τὸν δίκαιον ᾐσχύνοντο, οὔτε τῶν ξένων νομιζομένων καὶ ἐπὶ τὴν τοῦ δικαίου φιλοξενίαν αὐτόθι καταλυσάντων ἐφείδοντο, ἀλλ' ἀπηρυθριασμένως καὶ γυμνῇ, ὡς εἰπεῖν, τῇ κεφαλῇ τὰ τῆς ἀσελγείας ἐκεῖνα ῥήματα λέγοντες προσίασι, καὶ καλέσαντες τὸν δίκαιον, ἔλεγον πρὸς αὐτόν· «Ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς ὑμᾶς; Ἐξάγαγε αὐτούς, ἵνα συγγενώμεθα αὐτοῖς». Διὰ ταύτην αὐτῶν οἶμαι τὴν ἐπιχείρησιν, καὶ τὴν παράνομον πονηρίαν, καὶ τὸν δίκαιον μέχρι τῆς ἑσπέρας παρακαθῆσθαι, ὥστε μηδενὶ συγχωρῆσαι τῶν ὁδιτῶν ἀγνοοῦντι περιπεσεῖν ταῖς ἐκείνων πάγαις. Καὶ ὁ μὲν δίκαιος μετὰ τῆς φιλοξενίας, καὶ τῆς σωφροσύνης τῆς οἰκείας ἐπιδεικνύμενος τὴν ὑπερβολήν, ταύτην ἐποιεῖτο τὴν σπουδήν, ὥστε πάντας τοὺς παροδεύοντας ὑποδέχεσθαι, καὶ μηδεὶς αὐτὸν λάθοι, εἰ καὶ τέως οὐκ ἀγγέλους, ἀλλὰ ἀνθρώπους εἶναι ἐνόμιζεν. Οἱ δὲ παράνομοι ἐκεῖνοι μετὰ τοῦ μηδὲν τοιοῦτον ἐπιδείκνυσθαι οἷον ὁ δίκαιος, τὰ πᾶσαν κακίαν ἀποκρύπτοντα μόνα τολμᾶν ἐπετήδευον. Διὰ τοῦτο οὖν εἰς τὴν πλατεῖαν ἐβούλοντο καταλῦσαι, ἵνα παράσχωσι τῷ δικαίῳ ἀφορμὴν ἐπιδείξασθαι τὴν περὶ αὐτοὺς φιλοξενίαν, καὶ δείξωσιν αὐτῷ διὰ τῶν ἔργων ὡς ἀξίαν μέλλουσιν ὑφίστασθαι τὴν τιμωρίαν, οὕτω τὴν παρανομίαν μεθ'

τοῦ νεωτέρου μέχρι τοῦ γεροντοτέρου, ὅλος ὁ λαὸς μαζί». Εἶναι πάρα πολὺ μεγάλη ἡ συμφωνία τῆς κακίας, πολὺ μεγάλη ἡ ὁρμὴ τῆς κακίας, ἀπερίγραπτη ἡ ὑπερβολικὴ παρανομία, ἀσυγχώρητον τὸ ἐγχείρημα αὐτό. «Ἀπὸ τοῦ νεωτέρου», λέγει, «μέχρι τοῦ γεροντοτέρου». Ὄχι μόνον οἱ νέοι, λέγει, ἦσαν ἐκεῖνοι ποὺ ἐζητοῦσαν αὐτὰ τὰ παράνομα, ἀλλὰ καὶ οἱ γεροντότεροι κατὰ τὴν ἡλικίαν, καὶ ὅλος ὁ λαὸς μαζί.

Καὶ οὔτε ἔνοιωθαν ἐντροπὴν διὰ τὸ ἀνεδὲς αὐτὸ καὶ ἀδιάντροπον τόλμημά των, οὔτε ἔφερον εἰς τὴν σκέψιν των τὸν ἀκοίμητον ὀφθαλμόν, οὔτε τὸν δίκαιον ἐντρέποντο, οὔτε ἔδειχναν σεβασμὸν πρὸς τοὺς θεωρουμένους ξένους ποὺ διενυκτέρευσαν ἐδῶ διὰ νὰ φιλοξενηθοῦν ἀπὸ τὸν δίκαιον, ἀλλὰ χωρὶς νὰ κοκκινίζουν καὶ μὲ γυμνὴν κεφαλήν, ὅπως θὰ ἐλέγαμεν, πλησιάζουν, λέγοντες τὰ ἀσελγῆ ἐκεῖνα λόγια, καί, ἀφοῦ ἐκάλεσαν τὸν δίκαιον, ἔλεγον πρὸς αὐτόν· «Ποῦ εἶναι οἱ ἄνδρες ποὺ εἰσῆλθον εἰς τὸν οἶκον σου; Βγάλε τους ἔξω, διὰ νὰ ἀσελγήσωμεν ἐπάνω εἰς αὐτούς». Νομίζω, ὅτι ἐξ αἰτίας αὐτοῦ τοῦ ἐπιχειρήματός των καὶ ὁ δίκαιος εἶχε καθίσει ἐκεῖ μέχρι τὴν ἑσπέραν, ὥστε νὰ μὴ ἀφήσῃ κανένα ἀπὸ τοὺς ὁδοιπόρους νὰ περιπέσῃ ἀπὸ ἄγνοιαν εἰς τὰς παγίδας ἐκείνων. Καὶ ὁ μὲν δίκαιος μαζὶ μὲ τὴν φιλοξενίαν ἐφανέρωνε καὶ τὴν ὑπερβολικὴν σωφροσύνην του, κατέβαλλεν αὐτὴν τὴν προσπάθειαν, ὥστε νὰ ὑποδέχεται πρὸς φιλοξενίαν ὅλους τοὺς περαστικούς, χωρὶς νὰ τοῦ διαφύγῃ κανείς, ἂν καὶ εἰς τὴν ἀρχὴν ἐνόμιζεν αὐτοὺς ὄχι ἀγγέλους, ἀλλ' ἀνθρώπους. Οἱ παράνομοι ὅμως ἐκεῖνοι μαζὶ μὲ τὸ ὅτι δὲν εἶχον νὰ παρουσιάσουν τίποτε παρόμοιον μὲ ἐκεῖνο ποὺ εἶχεν ὁ δίκαιος, ἐφρόντιζον μόνον νὰ πράξουν ἐκεῖνα ποὺ ἀποκρύπτουν κάθε κακίαν. Διὰ τοῦτο λοιπὸν ἤθελον οἱ ἄγγελοι νὰ διανυκτερεύσουν εἰς τὴν πλατεῖαν, διὰ νὰ δώσουν εἰς τὸν δίκαιον ἀφορμὴν νὰ ἐπιδείξῃ τὴν φιλοξενίαν του πρὸς αὐτούς, καὶ νὰ δείξουν εἰς αὐτὸν ἐμπράκτως, ὅτι πρόκειται ἐπαξίως νὰ τιμωρηθοῦν, ἐπιδεικνύοντες κατ' αὐτὸν τὸν τρόπον τὴν

ὑπερβολῆς ἐπιδεικνύμενοι.

4. Ἀλλ' ἴδωμεν λοιπὸν τοῦ δικαίου τῆς ἀρετῆς τὸ μέγεθος. «Ἐξελθών», φησί, «πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον, τὴν μὲν θύραν προσέῳξεν, εἶπε δὲ πρὸς αὐτούς». Ὅρα πῶς δέδοικεν ὁ δίκαιος καὶ τρέμει ὑπὲρ τῆς τῶν ξένων ἀσφαλείας. Οὐδὲ γὰρ ἁπλῶς τὴν θύραν προσέῳξεν ὀπίσω αὐτοῦ, ἀλλ' εἰδὼς αὐτῶν τὴν μανίαν καὶ τὸ τολμηρόν, καὶ ὑφορώμενος αὐτῶν τὴν προπέτειαν, εἶτά φησι πρὸς αὐτούς· «Μηδαμῶς, ἀδελφοί». Ὢ τῆς τοῦ δικαίου μακροθυμίας, ὢ ταπεινοφροσύνης ὑπερβολή. Τοῦτο ἀληθῶς ἀρετή, τὸ μετ' ἐπιεικείας τοῖς τοιούτοις προσφέρεσθαι. Οὐδεὶς γὰρ τὸν νοσοῦντα θεραπεῦσαι βουλόμενος, καὶ τὸν μαινόμενον σωφρονίσαι, μετὰ θυμοῦ καὶ αὐστηρίας τοῦτο ποιεῖ. Σκόπει γάρ, πῶς τοὺς τὰ τοιαῦτα παρανομεῖν βουλομένους ἀδελφοὺς καλεῖ, ἐντρέψαι αὐτοὺς βουλόμενος, καὶ καθικέσθαι αὐτῶν τῆς συνειδήσεως, καὶ ἀποστῆσαι αὐτοὺς τῆς ἐπιχειρήσεως τῆς μιαρᾶς.

«Μηδαμῶς», φησίν, «ἀδελφοί μὴ πονηρεύσησθε». Μηδέν, φησί, τοιοῦτον λογίσησθε, μὴ τὴν πονηρὰν ταύτην πρᾶξιν ἐννοήσητε, μηδὲ τὴν φύσιν αὐτὴν παραδειγματίσητε, μηδὲ ἀθέσμους ἐπινοήσητε μίξεις· ἀλλ' εἰ καὶ βούλεσθε τῆς μανίας ὑμῶν τὸν οἶστρον παραμυθήσασθαι, ἐγὼ τοῦτο παρέξω, ὥστε κουφότερον ὑμῶν γενέσθαι τὸ τόλμημα. «Εἰσί μοι δύο θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρας». Ἔτι, ἄπειρί εἰσι γαμικῆς συνουσίας, ἀνέπαφοι τυγχάνουσιν, ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἡλικίας εἰσί, λάμπουσαι τῇ ὥρᾳ· ταύτας πᾶσιν ἐκδότους δίδωμι, καὶ χρᾶσθε αὐταῖς ὡς ἀρέσκει ὑμῖν. Λαβόντες αὐτάς, φησί, πληρώσατε ὑμῶν εἰς αὐτὰς τὴν ἀσέλγειαν, καὶ ἐμφορήθητε τῆς ἐπιθυμίας

ὑπερβολικὴν παρανομίαν των.

4. Ἀλλ' ἃς ἰδοῦμεν πλέον τὸ μέγεθος τῆς ἀρετῆς τοῦ δικαίου. «Ἀφοῦ», λέγει, «ἐβγῆκεν ἔξω ἀπὸ τὴν θύραν καὶ ἔκλεισεν ὀπίσω του μὲ ἀσφάλειαν τὴν θύραν, εἶπε πρὸς αὐτούς». Πρόσεχε πῶς φοβεῖται καὶ τρέμει ὁ δίκαιος ἐξ αἰτίας τῆς ἀσφαλείας τῶν ξένων. Διότι δὲν ἔκλεισεν ἁπλῶς τὴν θύραν ὀπίσω του μὲ ἀσφάλειαν, ἀλλὰ γνωρίζων τὴν μανίαν καὶ τὴν ἀναίδειαν αὐτῶν, καὶ ὑποπτευόμενος τὴν θρασύτητα αὐτῶν, λέγει πλέον πρὸς αὐτούς· «Μὲ κανένα τρόπον, ἀδελφοί». Πὼ πὼ μέγεθος μακροθυμίας τοῦ δικαίου, πὼ πὼ ὑπερβολικὴ ταπεινοφροσύνη. Αὐτὸ πράγματι εἶναι ἀρετή, τὸ νὰ συμπεριφέρεται κανεὶς πρὸς τοὺς ἀνθρώπους αὐτοῦ τοῦ εἴδους μὲ πραότητα. Διότι κανείς, ἐπιθυμῶν νὰ θεραπεύσῃ τὸν ἀσθενῆ καὶ νὰ σωφρονίσῃ τόν μανιακόν, κάμνει αὐτὸ μὲ θυμὸν καὶ αὐστηρότητα. Διότι πρόσεχε πῶς ὀνομάζει ἀδελφοὺς ἐκείνους πού θέλουν νὰ διαπράττουν τὰς παρανομίας αὐτοῦ τοῦ εἴδους, θέλων νὰ τοὺς κάνῃ νὰ νοιώσουν ἐντροπὴν καὶ νὰ προσεγγίσῃ τὴν συνείδησίν των καὶ ν' ἀπομακρύνῃ αὐτοὺς ἀπὸ τὸ μιαρὸν ἐπιχείρημά των.

«Μὲ κανένα τρόπον», λέγει, «ἀδελφοί· μὴ θέσετε εἰς ἐφαρμογὴν τὴν πονηρὰν αὐτὴν πρᾶξιν σας». Τίποτε παρόμοιον, λέγει, μὴ σκεφθῆτε, οὔτε νὰ φέρετε εἰς τὴν σκέψιν σας αὐτὴν τὴν κακὴν πρᾶξιν, οὔτε νὰ διαπομπεύσετε τὴν ἰδίαν τὴν φύσιν σας, οὔτε νὰ ἐπινοήσετε ἀπηγορευμένας μίξεις, ἀλλ' ἐὰν θέλετε νὰ ἱκανοποιήσετε τὸν μανιακὸν πόθον σας ἐγὼ θὰ σᾶς προσφέρω αὐτὴν τὴν δυνατότητα, ὥστε νὰ γίνῃ ἐλαφρύτερον τὸ τόλμημά σας. «Ἔχω δύο θυγατέρας, αἱ ὁποῖαι δὲν ἐγνώρισαν ἄνδρας». Ἀκόμη, λέγει, εἶναι ἄπειροι γαμικῆς συνουσίας, δὲν ἦλθον εἰς ἐπαφὴν μὲ ἄνδρα, εὑρίσκονται εἰς τὴν ἀκμὴν τῆς ἡλικίας των, ἀκτινοβολοῦσαι ἀπὸ ὡραιότητα· αὐτὰς παραδίδω εἰς τὴν διάθεσιν ὅλων σας καὶ χρησιμοποιήσατε αὐτὰς ὅπως ἀρέσει εἰς ἐσᾶς. Ἀφοῦ τὰς λάβετε, λέγει, ἱκανοποιήσατε ἐπάνω εἰς αὐτὰς τὴν ἀσέλγειάν σας καὶ ἐκπληρώσατε τὴν πονηρὴν ἐπιθυμίαν σας. Μόνον μὴ κά-

ὑμῶν τῆς πονηρᾶς. «Μόνον εἰς τοὺς ἄνδρας τούτους μηδὲν ποιήσατε ἄδικον, οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν μου». Ἐπειδὴ ἐβιασάμην, φησίν, αὐτούς, καὶ εἰσήγαγον ὑπὸ τὰς δοκούς μου, ἵνα μὴ ἐμοὶ ἐπιγραφῇ ἡ εἰς αὐτοὺς γινομένη παρανομία, καὶ ἐγὼ αὐτοῖς αἴτιος τῆς ὕβρεως ταύτης γένωμαι, διὰ τοῦτο ὑπὲρ αὐτῶν τὰς δύο μου θυγατέρας δίδωμι, ὥστε τούτους ἐλευθερῶσαι τῶν ὑμετέρων χειρῶν.

Πόση τοῦ δικαίου ἡ ἀρετή; πᾶσαν ἀρετὴν φιλοξενίας ἐνίκησε. Τί γὰρ ἄν τις εἴποι κατ' ἀξίαν τῆς τοῦ δικαίου τούτου φιλοφροσύνης, ὃς οὐδὲ τῶν θυγατέρων φείσασθαι ἠνέσχετο, ἵνα τὴν εἰς τοὺς ξένους τιμὴν ἐπιδείξηται, καὶ ἐλευθερώσῃ τῆς παρανομίας τῶν Σοδομιτῶν; Καὶ οὗτος μὲν καὶ τὰς θυγατέρας τὰς ἑαυτοῦ ἐκδίδωσιν, ἵνα τοὺς ξένους, τοὺς ὁδίτας (πάλιν γὰρ τὰ αὐτὰ λέγω), τοὺς μηδαμόθεν αὐτῷ γνωρίμους ἐξαρπάσῃ τῆς τῶν παρανόμων ὕβρεως, ἡμεῖς δὲ ὁρῶντες πολλάκις τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους εἰς αὐτὸ τῆς ἀσεβείας τὸ βάραθρον, καὶ σχεδὸν εἰπεῖν, ὑπὸ τὸν φάρυγγα τοῦ διαβόλου γινομένους, οὐδὲ λόγου μεταδοῦναι ἀνεχόμεθα, οὐδὲ συμβουλεῦσαι, καὶ τὴν διὰ τῶν λόγων παραίνεσιν εἰσενεγκεῖν καὶ ἐξαρπάσαι τῆς κακίας, καὶ πρὸς τὴν ἀρετὴν χειραγωγῆσαι. Ποίαν οὖν σχοίημεν ἀπολογίαν, τοῦ μὲν δικαίου μηδὲ τῶν θυγατέρων φεισαμένου διὰ τὴν εἰς τοὺς ξένους κηδεμονίαν, ἡμῶν δὲ οὕτως ἀνηλεῶς περὶ τοὺς ἡμετέρους διακειμένων, καὶ πολλάκις τὰ ψυχρὰ ἐκεῖνα καὶ ἀλογίας γέμοντα ῥήματα προϊεμένων; Τί γὰρ κοινὸν ἔχω, φησί, πρὸς αὐτόν; οὐδέν μοι μέλει, οὐδὲν πρᾶγμα ἔχω μετ' αὐτοῦ.

Τί λέγεις, ἄνθρωπε; Οὐδὲν κοινὸν ἔχεις πρὸς αὐτόν; Ἀδελφός σού ἐστι, τῆς αὐτῆς σοὶ μετέχει φύσε-

νετε κανένα κακὸν εἰς τοὺς ἄνδρας αὐτούς, ἐφόσον εἰσῆλθον καὶ εὑρίσκονται φιλοξενούμενοι κάτω ἀπὸ τὴν στέγην μου». Ἐπειδή, λέγει, τοὺς ἐξηνάγκασα καὶ τοὺς ὡδήγησα κάτω ἀπὸ τὴν σκέπην τῆς οἰκίας μου, διὰ νὰ μὴ καταγραφῇ εἰς βάρος μου ἡ παρανομία ποὺ θέλει συμβῇ εἰς αὐτοὺς καὶ γίνω ἐγὼ αἴτιος τῆς προσβολῆς εἰς αὐτούς, διὰ τοῦτο ἀντὶ δι' αὐτοὺς σᾶς δίδω τὰς δύο θυγατέρας μου, ὥστε νὰ ἐλευθερώσω αὐτοὺς ἀπὸ τὰ χέρια σας.

Πόσον μεγάλη εἶναι ἡ ἀρετὴ τοῦ δικαίου; Ἐνίκησε κάθε ἀρετὴν φιλοξενίας. Διότι τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς ἀντάξιον τῆς φιλοφροσύνης αὐτῆς τοῦ δικαίου αὐτοῦ, ὁ ὁποῖος δὲν ἠθέλησε νὰ λυπηθῇ,, οὔτε τὰς θυγατέρας του, διὰ νὰ δείξῃ τὴν ἐκτίμησιν πρὸς τοὺς φιλοξενουμένους του καὶ νὰ ἐλευθερώσῃ αὐτοὺς ἀπὸ τὴν παρανομίαν τῶν Σοδομιτῶν; Καὶ αὐτὸς μὲν καὶ τὰς θυγατέρας του παραδίδει εἰς τὴν διάθεσιν αὐτῶν, διὰ νὰ ἐξαρπάσῃ ἀπὸ τὴν προσβολὴν τῶν παρανόμων (διότι πάλιν λέγω τὰ ἴδια) τοὺς ξένους, τοὺς ὁδοιπόρους, ἐμεῖς ὅμως βλέποντες πολλὲς φορὲς τοὺς ἀδελφούς μας μέσα εἰς τὸ ἴδιον τὸ βάραθρον τῆς ἀσεβείας, καὶ σχεδόν, θὰ ἐλέγαμεν, νὰ εὑρίσκωνται κάτω ἀπὸ τὸν φάρυγγα τοῦ διαβόλου, δὲν ἀνεχόμεθα οὔτε λόγον νὰ τοὺς εἰποῦμεν, οὔτε νὰ τοὺς συμβουλεύσωμεν καὶ νὰ τοὺς προσφέρωμεν τὴν μὲ τοὺς λόγους παραίνεσιν, διὰ νὰ τοὺς ἀρπάσωμεν μέσα ἀπὸ τὴν κακίαν καὶ νὰ τοὺς ὁδηγήσωμεν πρὸς τὴν ἀρετήν. Ποίαν λοιπὸν ἀπολογίαν θὰ ἠμπορούσαμεν νὰ ἔχωμεν τὴν στιγμὴν ποὺ ὁ μὲν δίκαιος οὔτε τὰς θυγατέρας του ἐλυπήθη ἐξ αἰτίας τῆς φροντίδος του πρὸς τοὺς ξένους, ἐμεῖς δὲ συμπεριφερόμεθα μὲ τόσον ἄσπλαγχνον τρόπον πρὸς τοὺς ἰδικούς μας καὶ πολλὲς φορὲς ἀφήνομεν νὰ βγοῦν ἀπὸ τὸ στόμα μας τὰ ψυχρὰ ἐκεῖνα καὶ γεμάτα ἀπὸ παραλογισμὸν λόγια; Καθόλου δὲν μὲ ἐνδιαφέρει, δὲν ἔχω τίποτε τὸ κοινὸν μὲ αὐτόν.

Τί λέγεις, ἄνθρωπε; Δὲν ἔχεις τίποτε τὸ κοινὸν μὲ αὐτόν; Ἀδελφός σου εἶναι, ἔχει τὴν ἰδίαν φύσιν μὲ ἐ-

ως, ὑπὸ τὸν αὐτόν ἐστε Δεσπότην, πολλάκις δὲ καὶ τῆς αὐτῆς μετέχετε τραπέζης, τῆς πνευματικῆς λέγω καὶ φρικτῆς, καὶ λέγεις, Οὐδὲν κοινὸν ἔχω πρὸς αὐτόν, καὶ ἀνηλεῶς παρατρέχεις, καὶ οὐκ ὀρέγεις χεῖρα κειμένῳ; Καὶ Ἰουδαίοις μὲν ὁ νόμος προσέταττε, μηδὲ τῶν ἐχθρῶν τὰ ὑποζύγια παρορᾶν πεπτωκότα, σὺ δὲ τὸν ἀδελφὸν ὑπὸ τοῦ διαβόλου πολλάκις τετρωμένον καὶ κείμενον ὁρῶν, οὐκ ἐπὶ τῆς γῆς, ἀλλ' εἰς τὸ τῆς ἁμαρτίας βάραθρον, οὐκ ἀνασπᾷς διὰ τῆς παραινέσεως, οὐδὲ νουθεσίαν εἰσάγεις τὴν παρὰ σαυτοῦ, οὐδὲ σπουδάζεις καὶ ἑτέρους, εἰ οἷόν τε, εἰς συμμαχίαν λαβεῖν, ἵνα τῆς φάρυγγος τοῦ θηρίου τὸ μέλος τὸ σὸν ἐλευθερῶσαι δυνηθῇς, καὶ πρὸς τὴν οἰκείαν ἐπαναγαγεῖν εὐγένειαν, ἵνα καὶ αὐτός, εἴ ποτε περιπέσῃς, ὃ μὴ γένοιτο, τοῖς δικτύοις τοῦ πονηροῦ δαίμονος ἐκείνου, δυνηθῇς ἔχειν τοὺς ἀμῦναι δυναμένους, καὶ ἐλευθερῶσαι τῶν τοῦ διαβόλου χειρῶν; Οὕτω καὶ Παῦλος διεγεῖραι βουλόμενος Γαλάτας εἰς τὴν τῶν οἰκείων μελῶν πρόνοιαν, φησί· «Σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς»· μονονουχὶ λέγων, Ἐὰν ἀσυμπαθῶς καὶ ἀνηλεῶς παραδράμῃς τὸν ἀδελφόν, ἴσως καὶ σὲ περιπεπτωκότα ἕτερος οὕτω παραδραμεῖται.

Εἰ τοίνυν βούλει μὴ παροφθῆναι, εἴποτε περιπέσοις, μήτε αὐτὸς παρίδοις, ἀλλὰ πολλὴν ἐπίδειξαι τὴν φιλοστοργίαν, καὶ θησαυρὸν ἡγοῦ μέγιστον τὸ δυνηθῆναι διασῶσαι τὸν ἀδελφόν. Οὐδὲν γὰρ τούτου ἴσον γένοιτ' ἄν ποτε εἰς ἀρετῆς λόγον. Ἐὰν γὰρ ἐννοήσῃς μόνον, ὅτι οὗτος, ὃν παρορᾷς καὶ παρατρέχεις,

8. Πρβλ. Ἐφ. 23, 5.
9. Γαλ. 6, 1.

σένα, εὑρίσκεται κάτω ἀπό τόν ἴδιον Κύριον, πολλὲς φορές δέ μετέχετε εἰς τὴν ἰδίαν τράπεζαν, έννοῶ τὴν πνευματικὴν καὶ φρικτήν, καὶ λέγεις, Δὲν ἔχω τίποτε τὸ κοινὸν πρὸς αὐτόν, καὶ τὸν προσπερνᾶς μὲ ἄσπλαγχνον τρόπον καὶ δὲν τοῦ δίνεις χέρι βοηθείας ἐνῷ εὑρίσκεται κάτω πεσμένος; Καὶ τοὺς μὲν Ἰουδαίους ἐπρόστασσεν ὁ νόμος, νὰ μὴ παραβλέπουν οὔτε τὰ ὑποζύγια τῶν ἐχθρῶν των, βλέποντες αὐτὰ πεσμένα[8], σὺ δὲ βλέπων τὸν ἀδελφόν σου πληγωμένον πολλὲς φορὲς ἀπὸ τὸν διάβολον καὶ εὑρισκόμενον πεσμένον, ὄχι ἐπάνω εἰς τὴν γῆν, ἀλλ' εἰς τὸ βάραθρον τῆς ἁμαρτίας, δὲν τὸν ἀποσπᾷς μὲ τὴν παραίνεσίν σου, οὔτε τοῦ προσφέρεις τὴν συμβουλήν σου, οὔτε φροντίζεις καὶ ἄλλους, ἂν εἶναι δυνατόν, νὰ λάβῃς βοηθούς, διὰ νὰ ἠμπορέσῃς νὰ ἐλευθερώσῃς ἀπὸ τὸ φάρυγγα τοῦ θηρίου τὸ ἰδικόν σου μέλος καὶ νὰ τὸ ὁδηγήσῃς πρὸς τὴν ἰδικήν σου εὐγενικὴν θέσιν, ὥστε καὶ σὺ ὁ ἴδιος, ἐὰν κάποτε περιπέσῃς, πρᾶγμα ποὺ εὔχομαι νὰ μὴ συμβῇ, εἰς τὰ δίκτυα τοῦ πονηροῦ ἐκείνου δαίμονος, νὰ ἠμπορέσῃς νὰ ἔχῃς ἐκείνους ποὺ ἠμποροῦν νὰ σὲ βοηθήσουν, καὶ νὰ σὲ ἐλευθερώσουν ἀπὸ τὰ χέρια τοῦ διαβόλου; Ἔτσι καὶ ὁ Παῦλος, ἐπιθυμῶν νὰ διεγείρῃ τοὺς Γαλάτας ὥστε νὰ φροντίζουν διὰ τὰ ἰδικά των μέλη, λέγει· «Πρόσεχε τὸν ἑαυτόν σου, μὴ τυχὸν περιπέσῃς καὶ ἐσὺ εἰς πειρασμόν»[9]· εἶναι σχεδὸν σὰν νὰ λέγῃ· Ἂν προσπεράσῃς τὸν ἀδελφόν σου χωρὶς συμπάθειαν καὶ μὲ ἀσπλαγχνίαν, ἐνδεχομένως κατὰ τὸν ἴδιον τρόπον νὰ σὲ προσπεράσῃ καὶ ἐσένα ἄλλος ἐνῷ θὰ εὑρίσκεσαι εἰς παρομοίαν κατάστασιν.

Ἐὰν λοιπὸν θέλῃς νὰ μὴ περιφρονηθῇς, ἐὰν κάποτε συμβῇ νὰ περιπέσῃς εἰς παρόμοιαν κατάστασιν, οὔτε σὺ νὰ δείξῃς περιφρόνησιν, ἀλλὰ δεῖξε μεγάλην φιλοστοργίαν καὶ θεώρει μέγιστον θησαυρὸν τὸ νὰ ἠμπορέσῃς νὰ διασώσῃς τὸν ἀδελφόν σου. Διότι τίποτε δὲν θὰ ἠμποροῦσε ποτὲ νὰ ἐξισωθῇ μὲ αὐτὸ εἰς ἀναλογίαν ἀρετῆς. Ἐὰν δηλαδὴ σκεφθῇς μόνον, ὅτι αὐτός, τὸν ὁποῖον περιφρονεῖς καὶ προσπερνᾷς ἐσύ, ἔχει ἀξιωθῇ ἀπὸ τὸν

ὑπὸ τοῦ Δεσπότου σου τοσαύτης ἠξίωται τῆς τιμῆς, ὡς δι' αὐτὸν μὴ παραιτήσασθαι καὶ τὸ αἷμα ἐκχέειν τὸ ἑαυτοῦ (καθὼς καὶ Παῦλός φησι· «Καὶ ἀπολεῖται ὁ ἀσθενὼν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανε»), πῶς οὐχὶ τῇ γῇ σεαυτὸν κατορύξεις; Εἰ τοίνυν δι' αὐτὸν ὁ Χριστὸς καὶ τὸ αἷμα ἐξέχεε, τί μέγα ποιήσεις, ἐὰν τὴν παρὰ σαυτοῦ φιλοστοργίαν ἐπιδείξῃ, καὶ τῇ διὰ τῶν λόγων προτροπῇ διαναστήσῃς κείμενον, καὶ τὴν αὐτοῦ ψυχὴν βεβαπτισμένην ἴσως καὶ ὑποβρύχιον γεγενημένην ἀνενέγκῃς ἐκ τοῦ τῆς κακίας βυθοῦ, καὶ παρασκευάσῃς ἰδεῖν τῆς ἀρετῆς τὸ φῶς, καὶ μὴ παλινδρομῆσαι ἐπὶ τὸν τῆς κακίας ζόφον;

*5. **Μιμησώμεθα** τοίνυν παρακαλῶ, τὸν δίκαιον τοῦτον, καὶ εἰ δέοι καὶ κίνδυνόν τινα ὑπομένειν ὑπὲρ τοῦ τὴν σωτηρίαν τοῦ πλησίον πραγματεύσασθαι, μηδὲ τοῦτο παραιτησώμεθα. Ὁ γὰρ τοιοῦτος κίνδυνος σωτηρίας ἡμῖν ὑπόθεσις γίνεται, καὶ πολλῆς παρρησίας πρόξενος. Ἐννόησον γάρ μοι τὸν δίκαιον τοῦτον, ὅπως πρὸς δῆμον ὁλόκληρον τοσαύτην περὶ τὴν κακίαν τὴν συμφωνίαν ἐπιδειξάμενον παρετάξατο, καὶ μετ' ἐπιεικείας πολλῆς καὶ τὴν ἀνδρείαν ἄφατον ἐπεδείκνυτο, εἰ καὶ οὐδὲ οὕτω καθικέσθαι ἠδυνήθη τῆς ἀκαθέκτου αὐτῶν μανίας. **Μετὰ** γὰρ τὰ ῥήματα ἐκεῖνα, καὶ τὴν ἐπιείκειαν τὴν ὑπερβάλλουσαν, καὶ τὸ μονονουχὶ ταῖς χερσὶν ἐκδοῦναι διὰ τῶν λόγων τὰς θυγατέρας, τί φασι πρὸς αὐτόν, «Ἀπόστα ἐκεῖ». Ὦ μέθης ὑπερβολή, ὦ παραφροσύνης ἐπίτασις. Τοιοῦτον γὰρ ἡ πονηρὰ αὕτη καὶ ἀκόλαστος ἐπιθυμία· ἐπειδὰν περιγένηται τοῦ λογισμοῦ, οὐκ ἀφίησι συνιδεῖν οὐδὲν τῶν δεόντων, ἀλλὰ καθάπερ ἐν σκότῳ καὶ νυκτομαχίᾳ τινί, οὕτως ἅπαντα διαπράττεται. «Ἀπόστα», φησίν, «ἐκεῖ· εἰσῆλθες παροικεῖν, μὴ καὶ κρί-*

10. Α΄ Κορ. 8, 11.

Κύριόν σου τόσον μεγάλης τιμῆς, ὥστε πρὸς χάριν του νὰ μὴ διστάσῃ καὶ τὸ αἷμά του νὰ χύσῃ (καθὼς καὶ ὁ Παῦλος λέγει· «Καὶ θὰ χαθῇ ὁ πνευματικὰ ἀδύνατος ἀδελφός σου, πρὸς χάριν τοῦ ὁποίου ἀπέθανε ὁ Χριστός, ἐξ αἰτίας τῆς ἰδικῆς σου γνώσεως»[1°]), πῶς ἀπὸ ἐντροπὴν δὲν θὰ θάψῃς τὸν ἑαυτόν σου μέσα εἰς τὴν γῆν; Ἐὰν λοιπὸν δι' αὐτὸν ὁ Χριστὸς καὶ τὸ αἷμα του ἔχυσε, τί τὸ σπουδαῖον θὰ κάνῃς, ἐὰν δείξῃς πρὸς αὐτὸν τὴν φιλοστοργίαν σου καὶ ἠμπορέσῃς μὲ τὴν προτροπὴν τῶν λόγων σου νὰ τὸν σηκώσῃς ἀπὸ κατάκοιτον πνευματικὰ πού εἶναι, καὶ νὰ ἀνασύρῃς μέσα ἀπὸ τὸν βυθὸν τῆς κακίας τὴν βουτιγμένην καὶ ἴσως βυθισμένην μέσα εἰς αὐτὸν ψυχὴν αὐτοῦ, καὶ νὰ τὴν προετοιμάσῃς νὰ ἰδῇ τὸ φῶς τῆς ἀρετῆς, ὥστε νὰ μὴ ἐπιστρέψῃ καὶ πάλιν μέσα εἰς τὸ σκότος τῆς κακίας;

5. Ἄς μιμηθοῦμεν λοιπόν, παρακαλῶ, τὸν δίκαιον τοῦτον, καὶ ἂν χρειασθῇ καὶ κάποιον κίνδυνον νὰ ὑπομείνωμεν προκειμένου νὰ προσφέρωμεν τὴν σωτηρίαν εἰς τὸν πλησίον μας, οὔτε αὐτὸ νὰ τὰ ἀποφύγωμεν. Διότι ὁ παρόμοιος κίνδυνος γίνεται δι' ἡμᾶς ἀφορμὴ σωτηρίας καὶ μᾶς χαρίζει μεγάλην παρρησίαν. Σκέψου δηλαδὴ σὲ παρακαλῶ τὸν δίκαιον αὐτόν, πῶς ἀντετάχθη πρὸς ὁλόκληρον πλῆθος, πού ἔδειξε τόσον μεγάλην συμφωνίαν περὶ τὴν κακίαν, καὶ μὲ μεγάλην πραότητα ἔδειχνε τὴν ἀπερίγραπτον ἀνδρείαν του, ἂν καὶ οὔτε ἔτσι ἠμπόρεσε νὰ συγκρατήσῃ τὴν ἀσυγκράτητον μανίαν των. Διότι μετὰ τὰ λόγια ἐκεῖνα καὶ τὴν ὑπερβολικὴν πραότητά του καὶ τὴν σχεδὸν μὲ τὰ χέρια του παράδοσιν μὲ τὰ λόγια του τῶν θυγατέρων του εἰς αὐτούς, τί λέγουν πρὸς αὐτόν; «Φύγε ἀπὸ ἐκεῖ». Πώ, πὼ ὑπερβολικὸν μέγεθος μέθης, πώ, πὼ μέγεθος παραφροσύνης. Διότι τέτοια εἶναι αὐτὴ ἡ πονηρὰ καὶ ἀκόλαστος ἐπιθυμία· ὅταν κυριεύσῃ τὸν λογισμόν, δὲν ἀφήνει νὰ ἀντιληφθῇ κανεὶς τίποτε ἀπὸ τὰ πρέποντα, ἀλλ' ὅλα τὰ κάμνει ἔτσι, ὡσὰν νὰ εὑρίσκεται μέσα εἰς τὴν νύκτα. «Φύγε», λέγει, «ἀπὸ ἐκεῖ· ἦλθες ἀπὸ ἄλλην χώραν καὶ μένεις μαζί μας· μήπως θέ-

σιν κρίνειν; Νῦν οὖν σὲ κακώσομεν μᾶλλον, ἢ ἐκείνους».

Ὅρα πῶς μὲν ὁ δίκαιος ἐπιεικῶς αὐτοῖς διαλέγεται, οἱ δὲ πόσῃ κέχρηνται τῇ θρασύτητι. Ὥσπερ ἐκβακχευθέντες λοιπὸν ὑπὸ τοῦ διαβόλου, καὶ ὡς ὑπ' ἐκείνου στρατηγούμενοι, οὕτω κατεξανίστανται τοῦ δικαίου, καί φασιν· «Εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; «Πάροικόν σε, φησίν, ἐδεξάμεθα· μὴ γὰρ καὶ κριτὴς ἡμῶν κατέστης; Ὢ ἀγνωμοσύνης ὑπερβολή. Δέον ἐντραπῆναι, δέον αἰδεσθῆναι τὴν συμβουλὴν τοῦ δικαίου, οἱ δέ, καθάπερ οἱ μαινόμενοι καὶ τὸν ἰατρὸν συγκόψαι ἐπιχειροῦσιν, οὕτω καὶ οὗτοι· «Σέ», φησί, «κακώσομεν μᾶλλον, ἢ ἐκείνους». Εἰ μὴ βούλει, φησίν, ἡσυχάσαι, μαθήσῃ ὡς οὐδέν σοι πλέον ἔσται τῆς εἰς ἐκείνους προστασίας, ἢ τὸ ἐκείνους μὲν διαφυγεῖν τὸν κίνδυνον, σὲ δὲ τούτῳ περιβληθῆναι. «Παρεβιάζοντο δὲ τὸν Λὼτ σφόδρα». Ὅρα τὸν δίκαιον τοῦτον καὶ ἀνδρείαν ἐπιδεικνύμενον, καὶ τοσούτῳ πλήθει ἀντιτάττεσθαι ἐπιχειροῦντα. «Καὶ ἤγγισαν», φησί, «συντρίψαι τὴν θύραν». Ἐπειδὴ γὰρ μέλλων ἐξιέναι, καὶ τὴν τούτων μανίαν προορῶν προσέῳξεν αὐτοῦ ὄπισθεν τὴν θύραν, οὐκ αἰσχυνόμενοι οἱ μιαροὶ οὗτοι καὶ παράνομοι τῆς τοῦ δικαίου παραινέσεως, αὐτόν τε ἐβιάζοντο καὶ τὴν θύραν συντρίψαι ἐπεχείρουν.

Ἀλλ' ἐπειδὴ διὰ τῶν πραγμάτων ἐδείκνυτο καὶ ἡ τοῦ δικαίου ἀρετή, καὶ ἡ πρὸς τοὺς ξένους νομιζομένους κηδεμονία, καὶ τοῦ πλήθους ἐκείνου παντὸς ἡ περὶ τὴν κακίαν συμφωνία, τότε λοιπὸν ἐκκαλύπτουσιν ἑαυτοὺς οἱ παραγεγονότες. Καὶ ἐπειδὴ εἶδον τὸν δίκαιον πάντα τὰ παρ' ἑαυτοῦ πεπληρωκότα, τὴν οἰ-

λεις νὰ γίνῃς καὶ δικαστής μας; Τώρα λοιπὸν θὰ κακοποιήσωμεν ἐσένα μᾶλλον, παρὰ ἐκείνους».

Πρόσεχε πῶς μὲν ὁ δίκαιος ὁμιλεῖ πρὸς αὐτοὺς μὲ πραότητα, ἐνῷ ἐκεῖνοι πόση θρασύτητα χρησιμοποιοῦν. Ὡσὰν νὰ εἶχον πλέον κυριευθῆ ἀπὸ βακχικὴν διαβολικὴν μανίαν καὶ ὡσὰν νὰ καθοδηγοῦνται ἀπὸ τὸν διάβολον, μὲ τόσην ἀγριότητα ἐπιτίθενται ἐναντίον τοῦ δικαίου, καὶ λέγουν· «Ἦλθες ἀπὸ ἀλλοῦ καὶ κατοικεῖς μαζί μας· μήπως θέλεις νὰ γίνῃς καὶ δικαστής μας;». Ἤσουν, λέγει, ξένος καὶ σὲ ἐδέχθημεν· μήπως λοιπὸν ἔγινες καὶ δικαστής μας; Πώ, πὼ ὑπερβολικὸν μέγεθος ἀχαριστίας. Ἐνῷ ἔπρεπε νὰ ἐντραποῦν, ἐνῷ ἔπρεπε νὰ σεβασθοῦν τὴν συμβολὴν τοῦ δικαίου, ἐκεῖνοι ὅμως, ὅπως ἀκριβῶς καὶ οἱ μανιακοὶ ἐπιχειροῦν καὶ τὸν ἰατρὸν νὰ σφάξουν, ἔτσι καὶ αὐτοί. «Ἐσένα», λέγει, «θὰ κακοποιήσωμεν μᾶλλον, παρὰ ἐκείνους». Ἐὰν δὲν θέλῃς, λέγει, νὰ ἡσυχάσῃς, θὰ μάθῃς ὅτι δὲν ἔχεις νὰ κερδίσῃς τίποτε ἐπὶ πλέον ἀπὸ τὴν προστασίαν ποὺ παρέχεις εἰς ἐκείνους, παρὰ μόνον ἐκεῖνοι μὲν νὰ διαφύγουν τὸν κίνδυνον, σὺ δὲ νὰ ὑποστῇς αὐτόν. «Ὥρμοῦσαν δὲ ἐναντίον τοῦ Λὼτ μὲ τρομερὴν μανίαν». Πρόσεχε τὸν δίκαιον αὐτὸν ποὺ δείχνει καὶ ἀνδρείαν καὶ προσπαθεῖ νὰ προβάλῃ ἀντίστασιν εἰς ἕνα τόσον μεγάλον πλῆθος. «Καὶ παρ' ὀλίγον δέ», λέγει, «θὰ συνέτριβον τὴν θύραν». Διότι ὅταν ἠθέλησε νὰ ἐξέλθῃ ἀπὸ τὴν οἰκίαν του καὶ ἀντελήφθη τὴν μανίαν αὐτῶν, ἔκλεισε μὲ μεγάλην ἀσφάλειαν τὴν θύραν ὀπίσω του, ἐπειδὴ ὅμως οἱ μιαροὶ αὐτοὶ καὶ παράνομοι δὲν ἐδέχοντο τὴν συμβουλὴν τοῦ δικαίου, καὶ ἐναντίον αὐτοῦ ἀσκοῦσαν βίαν καὶ ἐπιχειροῦσαν νὰ σπάσουν τὴν θύραν.

Ἀφοῦ ὅμως ἀπὸ τὰ ἴδια τὰ πράγματα ἔγινε φανερὴ καὶ τοῦ δικαίου ἡ ἀρετὴ καὶ ἡ προστασία πρὸς τοὺς νομιζομένους ξένους, καθὼς καὶ ἡ συμφωνία ὁλοκλήρου ἐκείνου τοῦ πλήθους διὰ τὴν κακίαν, τότε πλέον ἀποκαλύπτουν τοὺς ἑαυτούς των οἱ φιλοξενούμενοι. Καὶ ἀφοῦ εἶδον τὸν δίκαιον ὅτι εἶχε κάμει ὅ,τι ἐξηρτᾶτο ἀπὸ αὐτόν, φανερώνοντες τὴν δύναμίν των, ὑπερασπίζονται τὸν

κείαν ἐπιδεικνύμενοι δύναμιν ἐπαμύνουσι τῷ δικαίῳ καταδυναστευομένῳ ὑπὸ τῆς ἐκείνων μανίας. «Ἐκτείναντες» γάρ, φησίν, «οἱ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν· τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν». Ὁρᾷς πῶς καὶ ὁ δίκαιος οὗτος παραχρῆμα τῆς φιλοξενίας κομίζεται τὰς ἀμοιβάς, καὶ οἱ παράνομοι ἐκεῖνοι ἀξίαν τίνουσι δίκην; «Εἰσεσπάσαντο» γάρ, φησί, «τὸν Λὼτ εἰς τὸν οἶκον, καὶ τὴν θύραν ἀπέκλεισαν· τοὺς δὲ ἄνδρας ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν».

Ἐπειδὴ τὸ τῆς διανοίας αὐτῶν ὄμμα πεπήρωτο, διὰ τοῦτο καὶ τῆς ὁράσεως τὴν τύφλωσιν ὑπομένουσιν, ἵνα μάθωσιν ὡς οὐδὲν αὐτοῖς ὄφελος τῶν σωματικῶν ὀφθαλμῶν, τῶν τῆς διανοίας ὀμμάτων πεπηρωμένων. Καὶ ἐπειδὴ σύμφωνον τὴν κακίαν ἐπεδείκνυντο, καὶ οὔτε οἱ νέοι, οὔτε οἱ πρεσβῦται ἀπείχοντο τῆς πονηρᾶς ἐπιχειρήσεως, διὰ τοῦτο πάντες, φησίν, ἀπετυφλώθησαν, καὶ οὐ μόνον τὴν πήρωσιν ἐδέχοντο, ἀλλὰ καὶ τὰ τῆς ἰσχύος αὐτοῖς τοῦ σώματος διελύετο· ἐπειδὴ γὰρ τὸ κυριώτερον μέρος τὴν ψυχὴν ἦσαν διαλελυμένοι, διὰ τοῦτο καὶ τοῦ σώματος τὴν ἰσχὺν παρελύθησαν· καὶ οἱ πρότερον συντρῖψαι τὴν θύραν ἐπιχειροῦντες, καὶ μετὰ πολλῆς ἀπειλῆς τῷ δικαίῳ διαλεγόμενοι, ἀθρόον εἱστήκεισαν παραλελυμένοι, καὶ πρὸ τῶν ὀφθαλμῶν κειμένην τὴν θύραν οὐχ ὁρῶντες. Τότε λοιπὸν ἀνέπνευσεν ὁ δίκαιος, ὁρῶν τίνες ἦσαν οἱ παρανομούμενοι, καὶ ὅτι μεγάλη τις αὐτῶν ἡ δύναμίς ἐστι. «Καὶ γὰρ εἶπον», φησί, «πρὸς αὐτὸν οἱ ἄνδρες· Ἔστι τίς σοι ὧδε γαμβρός, ἢ υἱοί, ἢ θυγατέρες, ἢ εἴ τίς σοι ἄλλος ἐστὶν ἐν τῇ

δίκαιον, ὁ ὁποῖος κατεπιέζετο φοβερὰ ἀπὸ τὴν μανίαν ἐκείνων. Διότι, λέγει, «Ἀφοῦ ἥπλωσαν οἱ ἄνδρες τὰ χέρια των, ἐτράβηξαν τὸν Λὼτ πρὸς τὸ μέρος των μέσα εἰς τὸν οἶκον, καὶ ἔκλεισαν τὴν θύραν τοῦ οἴκου. Τοὺς δὲ ἄνδρας, ποὺ εὑρίσκοντο ἐμπρὸς εἰς τὴν θύραν τοὺς ἐτιμώρησαν μὲ τύφλωσιν, ἀπὸ τὸν πιὸ μικρὸν ἕως τὸν πιὸ μεγάλον, καὶ ἔτσι παρέλυσαν οἱ δυνάμεις των ψάχνοντες νὰ εὕρουν τὴν θύραν». Βλέπεις πῶς καὶ ὁ δίκαιος αὐτὸς αὐτοστιγμεὶ λαμβάνει τὰς ἀμοιβὰς τῆς φιλοξενίας καὶ οἱ παράνομοι ἐκεῖνοι ὑφίσταντο δικαίαν τιμωρίαν. Διότι, λέγει, «Ἐτράβηξαν οἱ ἄνδρες μὲ τὰ χέρια των τὸν Λὼτ μέσα εἰς τὴν οἰκίαν καὶ ἔκλεισαν τὴν θύραν τοῦ οἴκου, τοὺς δὲ ἄνδρας τοὺς ἐτιμώρησαν μὲ τύφλωσιν ἀπὸ τὸν πιὸ μικρὸν ἕως τὸν πιὸ μεγάλον, καὶ παρέλυσαν οἱ δυνάμεις των ψάχνοντες νὰ εὕρουν τὴν θύραν».

Ἐπειδὴ εἶχε τυφλωθῆ ὁ ὀφθαλμὸς τῆς διανοίας των, διὰ τοῦτο ὑπομένουν καὶ τὴν τύφλωσιν τῆς ὁράσεως, διὰ νὰ μάθουν, ὅτι δὲν τοὺς ὠφελοῦν καθόλου οἱ σωματικοὶ ὀφθαλμοί, ὅταν οἱ ὀφθαλμοὶ τῆς διανοίας των εἶναι τυφλωμένοι. Καὶ ἐπειδὴ ὅλοι ἐσυμφωνοῦσαν ὡς πρὸς τὴν κακίαν, καὶ δὲν ἀπεῖχον ἀπὸ τὸ κακὸν αὐτὸ ἐπιχείρημα οὔτε οἱ νέοι, οὔτε οἱ γέροι, διὰ τοῦτο ὅλοι, λέγει, ἐτυφλώθησαν, καὶ ὄχι μόνον ἐτυφλώθησαν, ἀλλὰ παρέλυσαν καὶ αἱ σωματικαὶ δυνάμεις των· ἐπειδὴ δηλαδὴ τὸ σπουδαιότερον μέρος των, ἡ ψυχή, ἦτο παραλυμένον, διὰ τοῦτο παρελύθησαν καὶ αἱ σωματικαὶ δυνάμεις των· καὶ ἐκεῖνοι ποὺ ἐπιχειροῦσαν προηγουμένως τὰ σπάσουν τὴν θύραν καὶ συνωμιλοῦσαν μὲ τὸν δίκαιον μὲ μεγάλας ἀπειλάς, αὐτοστιγμεὶ παρελύθησαν αἱ δυνάμεις των, καὶ ἐνῷ εὑρίσκοντο πρὸ τῶν ὀφθαλμῶν των ἡ θύρα, δὲν τὴν ἔβλεπον. Τότε πλέον ἀνεκουφίσθη ὁ δίκαιος, ἀντιλαμβανόμενος ποῖοι ἦσαν οἱ φιλοξενούμενοι, καὶ ὅτι εἶναι μεγάλη ἡ δύναμίς των. Διότι, λέγει, «Καὶ εἶπαν πρὸς αὐτὸν οἱ ἄνδρες· Μήπως ὑπάρχει ἐδῶ εἰς τὴν πόλιν κάποιος γαμβρός σου, ἢ υἱοί σου, ἢ θυγατέρες σου, ἢ μή-

πόλει;».

Ὅρα πῶς τῆς φιλοξενίας ἀμείβονται τὸν δίκαιον, καὶ πῶς αὐτῷ χαρίσασθαι βούλονται τῶν οἰκείων πάντων τὴν σωτηρίαν. Εἴ τίς σοι, φησίν, ἐν τῇ πόλει εἴ τινος ἀντέχῃ, εἴ τινα οἶδας ἐκτὸς γεγονότα τῆς τούτων παρανομίας, «Ἐξάγαγε ἐκ τοῦ τόπου τούτου» καὶ ἐκ τῆς γῆς, καὶ πάντας τούς σοι προσήκοντας ἐξάγαγε. «Ἀπόλλυμεν γὰρ ἡμεῖς τὸν τόπον τοῦτον». Εἶτα καὶ τὴν αἰτίαν ἐπάγουσι, διδάσκοντες τὸν δίκαιον ἅπαντα μετὰ ἀκριβείας. «Ὅτι ὑψώθη», φησίν, «ἡ κραυγὴ αὐτῶν ἐναντίον Κυρίου, καὶ ἀπέστειλεν ἡμᾶς Κύριος ἐκτρῖψαι αὐτούς». Τοῦτο ἦν ὅπερ ἔλεγε τῷ πατριάρχῃ, ὅτι «Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με». «Ὑψώθη», φησίν, «ἡ κραυγὴ αὐτῶν ἐναντίον Κυρίου».

6. Πολὺ τῆς παρανομίας αὐτῶν τὸ μέγεθος, καὶ διὰ τοῦτο, ἐπειδὴ ἀνίατός ἐστιν ἡ νόσος, καὶ τὸ τραῦμα οὐδεμίαν θεραπείαν ἐπιδέχεται, ἀπέστειλε Κύριος ἡμᾶς ἐκτρῖψαι αὐτήν. Τοῦτό ἐστιν ὃ ἔλεγεν ὁ μακάριος Δαυΐδ· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα». Ἐπειδὴ ἀφανίσαι, φησί, παραγεγόναμεν πᾶσαν ταύτην τὴν περίχωρον (διὰ γὰρ τὴν πονηρίαν τῶν ἐνοικούντων καὶ ἡ γῆ τὴν τιμωρίαν δέξεται), ἔξελθε σὺ ἐντεῦθεν. Ταῦτα ἀκούσας ὁ δίκαιος καὶ μαθὼν τὴν αἰτίαν, δι' ἣν παραγεγόνασιν ἄνδρες μὲν τὸ φαινόμενον, ἄγγελοι δὲ τυγχάνοντες καὶ ὑπηρέται τοῦ τῶν ὅλων Θεοῦ, «Ἐξελθὼν ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ». Καὶ μὴν ἄνω ἔλεγε τοῖς παρανόμοις ἐκείνοις, ὅτι «Ἰδοὺ

---

11. Γεν. 18, 20.
12. Ψαλμ. 103, 4.

πως κάποιος ἄλλος;».

Πρόσεχε πῶς ἀμείβουν τὸν δίκαιον διὰ τὴν φιλοξενίαν του καὶ πῶς θέλουν νὰ χαρίσουν εἰς αὐτὸν τὴν σωτηρίαν ὅλων τῶν συγγενῶν του. Μήπως, λέγει, ὑπάρχει κάποιος δικός σου εἰς τὴν πόλιν, μήπως κάποιος ποὺ χρειάζεται προστασίαν, μήπως γνωρίζεις κάποιον ποὺ εὑρίσκεται ἔξω ἀπὸ αὐτὴν τὴν παρανομίαν, «Ἀπομάκρυνέ τους ἀπὸ τὸν τόπον αὐτόν», ἀπὸ τὴν γῆν αὐτήν, καὶ ἀπομάκρυνε ἀπὸ ἐδῶ ὅλους τοὺς συγγενεῖς σου. «Διότι ἐμεῖς θὰ καταστρέψωμεν τὸν τόπον αὐτόν». Ἔπειτα προσθέτουν καὶ τὴν αἰτίαν, διδάσκοντες τὸν δίκαιον ὅλα μὲ λεπτομέρειαν. «Διότι», λέγει, «ἡ κραυγὴ τῶν παρανομιῶν των αὐτῶν ἔφθασεν ἐνώπιον τοῦ Κυρίου, καὶ ἔστειλεν ἡμᾶς ὁ Κύριος νὰ καταστρέψωμεν αὐτούς». Αὐτὸ ἦτο ἐκεῖνο ποὺ ἔλεγεν εἰς τὸν πατριάρχην, ὅτι δηλαδὴ «Πολλαὶ κραυγαὶ ἀπὸ τὰ Σόδομα καὶ Γόμορρα φθάνουν πρὸς ἐμένα»[11]. «Ἔφθασε», λέγει, «ἡ κραυγὴ τῶν παρανομιῶν των αὐτῶν ἐνώπιον τοῦ Κυρίου».

6. Εἶναι μεγάλο τὸ μέγεθος τῆς παρανομίας των, καὶ διὰ τοῦτο, ἐπειδὴ εἶναι ἀθεράπευτη ἡ ἀσθένεια, καὶ τὸ τραῦμα δὲν ἐπιδέχεται καμμίαν θεραπείαν, ἀπέστειλεν ὁ Κύριος ἐμᾶς διὰ νὰ καταστρέψωμεν αὐτήν. Αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἔλεγεν ὁ μακάριος Δαυίδ· «Αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἔπλασε τοὺς ἀγγέλους του ταχεῖς ὡσὰν τοὺς ἀνέμους καὶ τοὺς λειτουργοὺς του μὲ δραστικὴν ἐνέργειαν ὡσὰν τὴν φλόγα τοῦ πυρός»[12]. Ἐπειδή, λέγει, ἤλθομεν διὰ νὰ ἐξαφανίσωμεν ὅλην αὐτὴν τὴν περιοχὴν (διότι ἐξ αἰτίας τῆς κακίας τῶν κατοίκων της θὰ ὑποστῇ καὶ ἡ γῆ τὴν τιμωρίαν), φύγε σὺ ἀπὸ ἐδῶ. Ὅταν τὰ ἤκουσεν αὐτὰ ὁ δίκαιος καὶ ἔμαθε τὴν αἰτίαν, διὰ τὴν ὁποίαν εἶχον ἔλθει οἱ φαινομενικὰ μὲν ἄνδρες, ἀλλ' εἰς τὴν πραγματικότητα ἦσαν ἄγγελοι καὶ ὑπηρέται τοῦ Θεοῦ τῶν ὅλων, «Ἀφοῦ ἐξῆλθεν ἀπὸ τὴν οἰκίαν του ἀνήγγειλεν αὐτὸ εἰς τοὺς γαμβροὺς του ποὺ εἶχον λάβει τὰς θυγατέρας του». Καὶ ὅμως προηγουμένως ἔλεγεν εἰς τοὺς παρανόμους ἐκείνους, ὅτι «Νά, ἔχω δύο θυγατέρας, αἱ ὁποῖαι δὲν

δύο θυγατέρας ἔχω, αἵτινες οὐκ ἔγνωσαν ἄνδρα», πῶς οὖν ἐνταῦθά φησι, «Πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ»; Μὴ νομίσῃς ἐναντία εἶναι ταῦτα τοῖς πρότερον παρὰ τοῦ δικαίου ῥηθεῖσιν. Ἔθος γὰρ τοῦτο ἦν τοῖς παλαιοῖς πρὸ πολλοῦ τοῦ χρόνου τὰς μνηστείας ποιεῖσθαι, καὶ πολλάκις καὶ συνοικεῖν ταῖς μνηστευθείσαις, καὶ ἅμα τοῖς γονεῦσι διατρίβειν, ὃ καὶ νῦν ἐστι πολλαχοῦ γινόμενον.

Ἐπεὶ οὖν ἤδη τὰ τῆς μνηστείας ἐγεγόνει, διὰ τοῦτο καὶ γαμβροὺς αὐτοὺς ὀνομάζει καί φησι, «Τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ»· τῇ γνώμῃ γὰρ καὶ τῇ συγκαταθέσει εἰληφότες ἦσαν. «Καί φησιν· Ἀνάστητε, καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρίβει Κύριος τὴν πόλιν· Ἔδοξε δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ». Ὅρα πῶς ἐκ τῆς ζύμης ἐκείνης ἦσαν τῆς πονηρᾶς οὗτοι. Καὶ διὰ τοῦτο βουλόμενος ὁ Θεὸς ταχέως ἐλευθερῶσαι τὸν δίκαιον τῆς πρὸς ἐκείνους συγγενείας, οὐ συνεχώρησεν οὐδὲ μιγῆναι αὐτοῖς τὰς θυγατέρας τοῦ δικαίου, ἀλλὰ προανήρπασε μετὰ τῶν πονηρῶν καὶ τούτους, ἵνα ἐξελθὼν ὁ δίκαιος μετὰ τῶν θυγατέρων διαφύγῃ τὴν πρὸς ἐκείνους συγγένειαν. Ἀκούσαντες τοίνυν παρὰ τοῦ δικαίου τὴν φοβερὰν ταύτην ἀπειλήν, μονονουχὶ διεχλεύαζον, καὶ ἐνόμιζον λῃρῳδίαν εἶναι τὰ παρ' αὐτοῦ λεγόμενα. Ἀλλ' ὅμως ὁ δίκαιος τὰ παρ' ἑαυτοῦ ἐπλήρου, καὶ ἐπειδὴ ἅπαξ ἐμνηστεύσαντο αὐτοῦ τὰς θυγατέρας, ἐβουλήθη ἐξαρπάσαι αὐτοὺς τῆς τιμωρίας· ἀλλ' ἐκεῖνοι οὐδὲ οὕτως ἠνέσχοντο, ἀλλ' ἐπέμενον τῷ οἰκείῳ τρόπῳ, καὶ ἐμάνθανον λοιπὸν δι' αὐτῶν τῶν ἔργων, ὡς οὐ συμφερόντως αὐτοῖς τοῦ δικαίου τὴν συμβουλὴν ἀπεπέμψαντο.

«Ἡνίκα δέ», φησίν, «ὄρθρος ἐγένετο, ἐπεσπούδαζον οἱ ἄγγελοι τὸν Λώτ, λέγοντες· Ἀναστὰς λάβε τὴν γυναῖκά σου, καὶ τὰς δύο θυγατέρας, ἃς ἔχεις, καὶ ἔξελθε, ἵνα μὴ καὶ σὺ συναπόλῃ ταῖς ἀνομίαις τῆς

ἐγνώρισαν ἄνδρας», πῶς λοιπὸν ἐδῶ λέγει ὅτι ὡμίλησε «Πρὸς τοὺς γαμβρούς του ποὺ εἶχον λάβει τὰς θυγατέρας του»; Μὴ νομίσῃς ὅτι ὅλα αὐτὰ εἶναι ἀντίθετα πρὸς τὰ ὅσα προηγουμένως ἐλέχθησαν ἀπὸ τὸν δίκαιον. Διότι ὑπῆρχε συνήθεια εἰς τοὺς παλαιοὺς πρὶν ἀπὸ πολὺν χρόνον νὰ μνηστεύουν τὰ τέκνα των, καὶ πολλὲς φορὲς καὶ νὰ συγκατοικοῦν μὲ ἐκείνας ποὺ ἐμνηστεύοντο καὶ συγχρόνως νὰ ζοῦν μὲ τοὺς γονεῖς των, πρᾶγμα ποὺ καὶ σήμερον γίνεται εἰς πολλὰ μέρη.

Ἐπειδὴ λοιπὸν ἤδη εἶχε γίνει ἡ μνηστεία, διὰ τοῦτο καὶ τοὺς ὀνομάζει γαμβροὺς καὶ λέγει, «Ποὺ εἶχον λάβει τὰς θυγατέρας του»· διότι σύμφωνα μὲ τὴν διάθεσιν καὶ τὴν συγκατάθεσίν του εἶχον λάβει αὐτάς. «Καὶ λέγει· Σηκωθῆτε καὶ ἀπομακρυνθῆτε ἀπὸ τὸν τόπον αὐτόν, διότι ὁ Κύριος θὰ καταστρέψῃ τὴν πόλιν. Ἐνόμισαν δὲ οἱ γαμβροί του ὅτι εἶναι ἀστεῖα αὐτά, ποὺ τοὺς λέγει». Πρόσεχε πῶς καὶ αὐτοὶ προήρχοντο μέσα ἀπὸ τὴν ζύμην ἐκείνην τὴν πονηράν. Καὶ διὰ τοῦτο, θέλων ὁ Θεὸς ἀμέσως νὰ ἐλευθερώσῃ τὸν δίκαιον ἀπὸ τὴν συγγένειάν του μὲ ἐκείνους, δὲν ἐπέτρεψεν οὔτε εἰς συνουσίαν νὰ ἔλθουν αὐτοὶ μὲ τὰς θυγατέρας τοῦ δικαίου, ἀλλ' ἥρπασεν ἀπὸ πρὶν καὶ αὐτοὺς μαζὶ μὲ τοὺς πονηρούς, ὥστε, ἀφοῦ ἐξέλθῃ ὁ δίκαιος μαζὶ μὲ τὰς θυγατέρας του, νὰ ἀποφύγῃ τὴν συγγένειαν μὲ ἐκείνους. Ὅταν λοιπὸν ἤκουσαν ἀπὸ τὸν δίκαιον τὴν φοβερὰν αὐτὴν ἀπειλήν, σχεδὸν σὰν νὰ τὸν ἐχλεύαζον καὶ ἐνόμιζον ὅτι τὰ λεγόμενά του εἶναι φλυαρίαι. Ἀλλ' ὅμως ὁ δίκαιος ἔκαμνεν αὐτὸ ποὺ ἐξηρτᾶτο ἀπὸ αὐτόν, καὶ ἐπειδὴ εἶχε μνηστεύσει τὰς θυγατέρας του, ἠθέλησε νὰ σώσῃ αὐτοὺς ἀπὸ τὴν τιμωρίαν· ἐκεῖνοι ὅμως οὔτε ἔτσι ἐδέχοντο, ἀλλ' ἐπέμενον εἰς τὸν τρόπον ζωῆς των, καὶ ἐμάθαιναν πλέον ἀπὸ τὰ ἴδια τὰ γεγονότα, ὅτι ἀπέρριψαν τὴν συμβουλὴν τοῦ δικαίου ὄχι πρὸς ὄφελός των.

«Ὅταν δέ», λέγει, «ἐξημέρωσεν, ἐξηνάγκαζον οἱ ἄγγελοι τὸν Λὼτ νὰ βιασθῇ, λέγοντες· Σήκω καὶ πᾶρε τὴν γυναῖκα σου καὶ τὰς δύο θυγατέρας ποὺ ἔχεις καὶ φύγε ἀπὸ τὴν πόλιν, διὰ νὰ μὴ χαθῇς καὶ ἐσὺ ἐξ αἰτίας

πόλεως. Καὶ ἐταράχθησαν». Μὴ μέλλε, φησί· δεῖ γὰρ ἤδη τὸν ὄλεθρον τούτοις ἐπιστῆναι. Σαυτὸν οὖν καὶ τὴν γυναῖκά σου καὶ τὰς δύο θυγατέρας διάσωσον. Ἐκεῖνοι γὰρ οἱ μὴ θελήσαντες πεισθῆναί σου τῇ παραινέσει, οὐκ εἰς μακρὰν τῆς ἀπωλείας κοινωνήσουσι τοῖς λοιποῖς. Μὴ τοίνυν μέλλε, ἵνα μὴ καὶ αὐτὸς τῇ ἀπωλείᾳ τῶν παρανόμων τούτων κοινωνήσῃς. «Καὶ ἐταράχθησαν ταῦτα ἀκούσαντες οἱ περὶ τὸν Λὼτ καὶ τὴν γυναῖκα καὶ τὰς θυγατέρας. «Ἐταράχθησαν», φησί, τοῦτ' ἔστιν, ἔμφοβοι γεγόνασιν, εἰς πολλὴν δειλίαν κατέστησαν, ἠγωνίασαν τὴν ἀπειλήν. Διὸ κηδόμενοι τοῦ δικαίου «Οἱ ἄγγελοι ἐκράτησαν», φησί, «τῆς χειρὸς αὐτοῦ». Οὐκ ἔτι λοιπὸν ὡς περὶ ἀνδρῶν διαλέγεται ἡ Γραφή, ἀλλ' ἐπειδὴ μέλλουσιν ἐπάγειν τὴν τιμωρίαν, ἀγγέλους αὐτοὺς ὀνομάζει καί φησιν· «Ἐκράτησαν τῆς χειρὸς αὐτοῦ, καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν χειρῶν τῶν θυγατέρων αὐτοῦ, ἐν τῷ φείσασθαι αὐτοῦ Κύριον». Παρεθάρρυναν αὐτοὺς διὰ τῆς ἁφῆς τῆς χειρός, καὶ ἐνεύρωσαν αὐτῶν τὴν προθυμίαν, ἵνα μὴ ὁ φόβος διαλύσῃ αὐτῶν τὴν ἰσχύν· διὰ τοῦτο ἐπήγαγεν, «Ἐν τῷ φείσασθαι αὐτοῦ Κύριον». Ἐπειδὴ γάρ, φησί, σωτηρίας αὐτὸν ἄξιον ἔκρινεν ὁ Κύριος, διὰ τοῦτο καὶ οἱ ἄγγελοι βουλόμενοι νευρῶσαι αὐτῶν τὴν προθυμίαν τῆς χειρὸς αὐτῶν κρατοῦσι, «Καὶ ἐξαγαγόντες αὐτοὺς ἔξω εἶπαν· Σῶζε τὴν σεαυτοῦ ψυχήν· μὴ περιβλέψῃς εἰς τὰ ὀπίσω, μὴ στῇς ἐν πάσῃ τῇ περιχώρῳ, εἰς τὸ ὄρος σώζου, μή ποτε συμπαραληφθῇς». Ἐπειδή, φησί, λοιπὸν ἀπηλλάξαμέν σε τῶν παρανόμων τούτων, μηκέτι περιβλέψῃ εἰς τὰ ὀπίσω, μήτε θελήσῃς ἰδεῖν τὰ τούτοις συμβησόμενα, ἀλλὰ σπεῦσον καὶ μακρὰν γενοῦ, ἵνα διαφυγεῖν δυνηθῇς τὴν ἐπαγομένην τούτοις τιμωρίαν.

τῶν παρανομιῶν τῶν κατοίκων τῆς πόλεως. Καὶ ἐταράχθησαν». Μὴ καθυστερῇς, λέγει· διότι πρέπει αὐτοὶ πλέον νὰ καταστραφοῦν. Σῶσε λοιπὸν καὶ τὴν γυναῖκα σου καὶ τὰς δύο θυγατέρας σου. Διότι ἐκεῖνοι ποὺ δὲν ἠθέλησαν νὰ ὑπακούσουν εἰς τὴν συμβουλήν σου, δὲν θὰ εὑρεθοῦν μακριὰ ἀπὸ τὴν καταστροφὴν τῶν ὑπολοίπων. Μὴ λοιπὸν καθυστερῇς, διὰ νὰ μὴ εὑρεθῇς καὶ σὺ ὁ ἴδιος μέσα εἰς τὴν καταστροφὴν αὐτῶν τῶν παρανόμων. «Καὶ ἐταράχθησαν» ὅταν τὰ ἤκουσαν αὐτὰ οἱ γύρω ἀπὸ τὸν Λώτ, καὶ ἡ γυναῖκα του δηλαδὴ καὶ αἱ θυγατέρες του. «Ἐταράχθησαν», λέγει· δηλαδὴ ἐκυριεύθησαν ἀπὸ φόβον, κατελήφθησαν ἀπὸ μεγάλην δειλίαν, ἐκυριεύθησαν ἀπὸ ἀγωνίαν ἐξ αἰτίας τῆς ἀπειλῆς. Διὰ τοῦτο δείχνοντες τὸ ἐνδιαφέρον των διὰ τὸν δίκαιον «Ἐκράτησαν», λέγει, «οἱ ἄγγελοι τὸ χέρι αὐτοῦ». Δὲν τοὺς ὀνομάζει πλέον ἡ Γραφὴ ἄνδρας, ἀλλ' ἐπειδὴ πρόκειται νὰ ἐπιφέρουν τὴν τιμωρίαν, τοὺς ὀνομάζει ἀγγέλους καὶ λέγει· «Ἔπιασαν τὸ χέρι αὐτοῦ καὶ τὸ χέρι τῆς γυναικός του καὶ τὰ χέρια τῶν θυγατέρων αὐτοῦ, διότι ὁ Κύριος ἐλυπήθη αὐτόν». Μὲ τὸ πιάσιμον τοῦ χεριοῦ των ἔδωσαν θάρρος εἰς αὐτοὺς καὶ ἐνίσχυσαν τὴν προθυμίαν των, διὰ νὰ μὴ διαλύσῃ ὁ φόβος τὴν δύναμίν των· διὰ τοῦτο ἐπρόσθεσεν, «Ἐπειδὴ ἐλυπήθη αὐτὸν ὁ Κύριος». Ἐπειδὴ δηλαδή, λέγει, ἔκρινεν αὐτὸν ὁ Κύριος ἄξιον σωτηρίας, διὰ τοῦτο καὶ οἱ ἄγγελοι, θέλοντες νὰ ἐνδυναμώσουν τὴν προθυμίαν των, τοὺς πιάνουν ἀπὸ τὸ χέρι των, «καὶ ἀφοῦ τοὺς ὡδήγησαν ἔξω ἀπὸ τὴν πόλιν, εἶπαν· Σῶσε τὴν ζωήν σου· μὴ στρέψῃς τὰ μάτια σου ὀπίσω, οὔτε νὰ σταματήσῃς εἰς κανένα ἀπὸ τὰ περίχωρα τῶν Σοδόμων· ἀναζήτησε τὴν σωτηρίαν σου εἰς τὸ ὄρος, διὰ νὰ μὴ συμπεριληφθῇς καὶ ἐσὺ εἰς τὴν καταστροφήν». Ἐπειδή, λέγει, σὲ ἀπηλλάξαμεν πλέον ἀπὸ τοὺς παρανόμους αὐτούς, μὴ στρέψῃς τὸ βλέμμα σου πλέον ὀπίσω, οὔτε νὰ θελήσῃς νὰ ἰδῇς αὐτὰ ποὺ πρόκειται νὰ συμβοῦν εἰς αὐτούς, ἀλλὰ βιάσου καὶ φύγε μακριά, διὰ νὰ ἠμπορέσῃς ν' ἀποφύγῃς τὴν τιμωρίαν ποὺ θὰ ἐπιβληθῇ εἰς αὐτούς.

Εἶτα δεδοικὼς ὁ δίκαιος, μήποτε οὐ δυνηθῇ καταλαβεῖν τὸν ὑπ' αὐτῶν ἀφορισθέντα τόπον, καὶ εἰς τὸ ὄρος φθάσαι, φησί· «Δέομαι, Κύριε, ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου, καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς εἰς ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου· ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος, μὴ καταλάβῃ με τὰ κακά, καὶ ἀποθάνω. Ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, μικρά ἐστιν· ἐκεῖ σωθήσομαι, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ». Ἐπειδὴ ἅπαξ, φησίν, ἐκρίνατε τὴν σωτηρίαν χαρίσασθαί μοι, ὑπερβαίνει δέ μου τὴν ἰσχὺν τὸ φθάσαι τὴν τοῦ ὄρους κορυφήν, πλείονα περὶ ἐμὲ τὴν φιλανθρωπίαν ἐπιδείξασθε, καὶ κουφότερόν μοι τὸν κάματον ποιήσατε. Μήποτε οὖν καταληφθῶ ὑπὸ τῆς ἐπαγομένης τιμωρίας, καὶ κοινωνήσω τῆς δίκης τούτοις, τὴν πόλιν ταύτην τὴν πλησίον ἀφορίσατέ μοι. Εἰ γὰρ καὶ εὐτελής ἐστι καὶ μικρά, ἀλλ' ἐκεῖ διασωθεὶς δυνήσομαι ἐν ἀσφαλείᾳ εἶναι λοιπόν. «Καὶ εἶπεν αὐτῷ· Ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον, καὶ ἐπὶ τῷ ῥήματι τούτῳ, τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας». Ἐδεξάμην σου τὴν ἱκεσίαν, φησί, καὶ ποιήσω καὶ τοῦτο, καὶ παρέξω σοι τὸ αἰτηθέν, καὶ διὰ σὲ καὶ τῆς πόλεως φείσομαι. «Σπεῦσον οὖν, καὶ κατάλαβε τὸν τόπον, καὶ σώζου· οὐδὲ γὰρ ποιήσω τι μέχρι τοῦ παραγενέσθαι σε ἐκεῖ». Οὐ γὰρ δυνήσομαι, φησί, τοῦ ποιῆσαι πρᾶγμα, ἕως τοῦ εἰσελθεῖν σε ἐκεῖ. Ἐπειδὴ κήδομαί σου τῆς σωτηρίας, ἀναμενῶ τὴν ἐκεῖ σου ἄφιξιν, καὶ τότε τούτοις ἐπάγω τὴν τιμωρίαν.

«Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ». Περὶ τὴν τοῦ ἡλίου ἀνατολὴν ἔφθασε τὴν πόλιν· καὶ εὐθέως ἐκείνου ἐντὸς τῆς πόλεως γενομένου, οὗτοι τὴν τιμωρίαν ἐδέχοντο. «Ἔβρεξε» γάρ, φσί, «Κύριος ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέστρεψε τὰς

Ἔπειτα φοβούμενος ὁ δίκαιος, μήπως δὲν ἠμπορέσῃ νὰ ὑπάγῃ εἰς τὸν τόπον ποὺ ὡρίσθη ἀπὸ αὐτοὺς καὶ νὰ φθάσῃ εἰς τὸ ὄρος, λέγει· «Σὲ παρακαλῶ, Κύριε, ἐπειδὴ ὁ δοῦλος σου ἔτυχε τοῦ ἐκ μέρους σου ἐλέους καὶ ἔδειξες τὴν μεγάλην ἀγαθότητά σου, μὲ αὐτὸ ποὺ κάμνεις ὥστε νὰ σώσῃς τὴν ζωήν μου, ἐγὼ ὅμως φοβοῦμαι ὅτι, δὲν θὰ ἠμπορέσω νὰ φθάσω εἰς τὸ ὄρος διὰ νὰ σωθῶ, μὴ τυχὸν μὲ προλάβουν τὰ κακὰ καὶ πεθάνω. Νὰ ἡ πόλις αὐτή, ποὺ εἶναι μικρή, εὑρίσκεται κοντά, εἰς τὴν ὁποίαν ἠμπορῶ νὰ καταφύγω καὶ νὰ σωθῶ καὶ νὰ σωθῇ ἡ ζωή μου ἐξ αἰτίας σου». Ἐπειδή, λέγει, ἀπεφασίσατε νὰ μοῦ χαρίσετε τὴν σωτηρίαν, ὑπερβαίνει ὅμως τὴν δύναμίν μου νὰ φθάσω εἰς τὴν κορυφὴν τοῦ ὄρους, δείξατε δι' ἐμένα ἐλαφρύτερον τὸν κόπον μου. Διὰ νὰ μὴ λοιπὸν κυριευθῶ ἀπὸ τὴν τιμωρίαν ποὺ ἐπιβάλλεται καὶ τιμωρηθῶ μαζὶ μὲ αὐτούς, ἐπιτρέψατέ με νὰ μεταβῶ εἰς τὴν πόλιν αὐτὴν ποὺ εὑρίσκεται πλησίον. Διότι, ἂν καὶ εἶναι μικρὴ καὶ ἀσήμαντη, ὅμως ἐκεῖ, ἀφοῦ σωθῶ, θὰ ἠμπορέσω εἰς τὸ ἑξῆς νὰ ζῶ μὲ ἀσφάλειαν. «Καὶ εἶπεν εἰς αὐτόν· Νά, ἐθαύμασα καὶ ἀπεδέχθην τὸ αἴτημά σου αὐτὸ καὶ δὲν θὰ καταστρέψω τὴν πόλιν διὰ τὴν ὁποίαν μὲ παρεκάλεσες». Ἀπεδέχθην, λέγει, τὴν παράκλησίν σου καὶ θὰ τὸ κάνω καὶ αὐτὸ καὶ θὰ σοῦ δώσω αὐτὰ ποὺ ζητεῖς, καὶ ἐξ αἰτίας σου θὰ σώσω καὶ τὴν πόλιν. «Βιάσου λοιπὸν καὶ πήγαινε εἰς τὸν τόπον διὰ νὰ σωθῇς· διότι δὲν θὰ κάνω τίποτε μέχρι ποὺ νὰ φθάσῃς ἐκεῖ». Διότι δὲν θὰ ἠμπορέσω, λέγει, νὰ τὸ κάνω αὐτὸ τὸ πρᾶγμα, μέχρι ποὺ νὰ φθάσῃς ἐκεῖ. Ἐπειδὴ ἐνδιαφέρομαι διὰ τὴν σωτηρίαν σου, θὰ περιμένω νὰ φθάσῃς ἐκεῖ, καὶ μετὰ θὰ ἐπιβάλω τὴν τιμωρίαν εἰς αὐτούς.

«Ἀνέτειλεν ὁ ἥλιος εἰς τὸν τόπον ἐκεῖνον καὶ ὁ Λὼτ ἔφθασεν εἰς τὴν Σηγώρ». Ἔφθασεν εἰς τὴν πόλιν κατὰ τὴν ὥραν τῆς ἀνατολῆς τοῦ ἡλίου, καὶ μόλις ἐκεῖνος ἔφθασεν εἰς τὴν πόλιν, αὐτοὶ ἐδέχθησαν τὴν τιμωρίαν. Διότι λέγει, «Ἔβρεξεν ὁ Κύριος ἀπὸ τὸν οὐρανὸν εἰς τὰ Σόδομα καὶ Γόμορρα θειάφι καὶ φωτιὰ καὶ κατέστρεψε

πόλεις ταύτας καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι, καὶ πᾶν ἀνατέλλον ἐκ τῆς γῆς». Μὴ ξενιζέτω σε, ἀγαπητέ, τῶν ῥημάτων ἡ συνθήκη· ἰδίωμα γάρ τοῦτό ἐστι τῆς Γραφῆς, καὶ ἀδιαφόρως οὕτω πολλάκις τίθησι τὰ ῥήματα· ὃ δὴ καὶ νῦν ἔστιν ἰδεῖν. «Ἔβρεξε» γάρ, φησί, «Κύριος θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ», ἵνα εἴπῃ ὅτι Κύριος τὴν τιμωρίαν ἐπήγαγε, καὶ οὐ μόνον τὰς πόλεις κατέστρεψε, καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας, ἀλλὰ καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς ἠφάνισεν. Ἐπειδὴ γὰρ οἱ ταύτην οἰκοῦντες ἄνθρωποι πολὺν τῆς πονηρίας τὸν καρπὸν ἐπεδείξαντο, διὰ τοῦτο καὶ τῆς γῆς, φησί, τοὺς καρποὺς ἀχρήστους ἐργάζομαι, ἵνα καὶ ἐκείνων ἀφανισθέντων αὕτη διηνεκὲς ὑπόμνημα γένηται τοῖς μετὰ ταῦτα γενεαῖς, διὰ τῆς οἰκείας ἀκαρπίας πάντας διδάσκουσα τῶν ἐνοικησάντων αὐτῇ τὴν πονηρίαν.

Εἶδες ὅσον ἐστὶν ἀρετή, καὶ ὅσον κακία, καὶ πῶς ὁ μὲν δίκαιος ἐσώθη, αὐτοὶ δὲ ἀξίαν τὴν τιμωρίαν ἔδοσαν τῆς πονηρίας; Καὶ ὥσπερ ὁ δίκαιος διὰ τὴν οἰκείαν ἀρετὴν καὶ τὰς θυγατέρας διέσωσε, καὶ τῆς πόλεως ἐκείνης τὴν καταστροφὴν διεκώλυσεν, οὕτω καὶ οὗτοι διὰ τὴν ὑπερβολὴν τῆς οἰκείας πονηρίας, οὐ μόνον αὐτοὶ ἀπώλοντο καὶ διεφθάρησαν, ἀλλὰ καὶ τὴν γῆν ἄκαρπον εἰς τὸ ἑξῆς γενέσθαι παρεσκεύασαν. «Καὶ ἐπέβλεψεν ἡ γυνή», φησίν, «εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός». Ἐπειδὴ γὰρ ἀκούσασα τῶν ἀγγέλων τῶν διαταττομένων τῷ δικαίῳ, ὥστε μὴ προσέχειν εἰς τὰ ὀπίσω, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπείξεως τὴν ἀναχώρησιν ποιήσασθαι, παρήκουσε τῶν ῥηθέντων, καὶ τὸ παραγγελθὲν οὐκ ἐφύλαξε, διὰ τοῦτο τῆς οἰκείας ῥᾳθυμίας δίδωσι δίκην.

7. Ἀλλ' ἡμεῖς ταῦτα ἀκούοντες, πολλὴν τῆς οἰκείας σωτηρίας τὴν πρόνοιαν ποιησώμεθα, καὶ τῆς

τὰς πόλεις αὐτὰς καὶ ὅλα τὰ περίχωρα αὐτῶν καὶ ὅλους τοὺς κατοίκους τῶν πόλεων αὐτῶν καὶ ὁ,τιδήποτε ποὺ εἶχε βλαστήσει ἐκεῖ ἀπὸ τὴν γῆν. Ἂς μὴ σὲ παραξενεύῃ, ἀγαπητέ, ὁ τρόπος μὲ τὸν ὁποῖον λέγονται αὐτά· διότι αὐτὸ εἶναι γνώρισμα τῆς Γραφῆς, τὸ νὰ ἀναφέρῃ πολλὲς φορὲς τὰ λόγια τελείως ἀδιάφορα, πρᾶγμα βέβαια ποὺ ἠμπορεῖς καὶ τώρα νὰ διαπιστώσῃς. Διότι, λέγει, «Ἔβρεξεν ὁ Κύριος ἀπὸ τὸν οὐρανὸν θειάφι καὶ φωτιά», διὰ νὰ εἰπῇ, ὅτι ὁ Κύριος ἐπέφερε τὴν τιμωρίαν, καὶ ὄχι μόνον κατέστρεψε τὰς πόλεις καὶ ὅλα τὰ περίχωρα αὐτῶν καὶ ὅλους τοὺς κατοίκους αὐτῶν, ἀλλ' ἐξηφάνισε καὶ ὅλα ὅσα ἐβλάστησαν ἀπὸ τὴν γῆν. Ἐπειδὴ δηλαδὴ οἱ ἄνθρωποι ποὺ ἐκατοικοῦσαν εἰς αὐτήν, ἐπαρουσίασαν πολὺ μεγάλους καρποὺς πονηρίας, διὰ τοῦτο, λέγει, ἀχρηστεύω καὶ τοὺς καρποὺς τῆς γῆς, ὥστε, μὲ τὴν ἐξαφάνισιν καὶ ἐκείνων νὰ γίνῃ αὐτὴ αἰώνια ὑπενθύμισις εἰς τὰς ἐπομένας γενεάς, διδάσκουσα ὅλους μὲ τὴν ἀκαρπίαν της τὴν πονηρίαν ἐκείνων ποὺ ἐκατοίκησαν εἰς αὐτήν.

Εἶδες πόσον μεγάλη εἶναι ἡ δύναμις τῆς ἀρετῆς καὶ πόση τῆς κακίας, καὶ πῶς ὁ μὲν δίκαιος ἐσώθη, ἐνῷ αὐτοὶ ἐδέχθησαν τιμωρίαν ἐπαξίαν τῆς κακίας των; Καὶ ὅπως ἀκριβῶς ὁ δίκαιος ἐξ αἰτίας τῆς ἀρετῆς του ἔσωσε καὶ τὰς θυγατέρας του, καὶ ἠμπόδισε τῆς πόλεως ἐκείνης τὴν καταστροφήν, ἔτσι καὶ αὐτοί, ἐξ αἰτίας τῆς ὑπερβολικῆς κακίας των, ὄχι μόνον αὐτοὶ ἐχάθησαν καὶ κατεστράφησαν, ἀλλ' ἔγιναν αἰτία καὶ ἡ γῆ νὰ καταστῇ εἰς τὸ ἑξῆς ἄκαρπος. «Καὶ ἔστρεψεν ὀπίσω τὸ βλέμμα της ἡ γυναῖκα τοῦ Λὼτ διὰ νὰ ἰδῇ καὶ ἔγινε στήλη ἅλατος». Ἐπειδὴ δηλαδή, ἂν καὶ ἤκουσε τοὺς ἀγγέλους νὰ δίδουν τὰ παραγγέλματα ἐκεῖνα εἰς τοὺς δικαίους, νὰ μὴ προσέχουν δηλαδὴ ὀπίσω, ἀλλὰ μὲ μεγάλην βιασύνην ν' ἀναχωρήσουν ἀπὸ ἐκεῖ, παρὰ ταῦτα παρήκουσεν εἰς τὰ ὅσα ἐλέχθησαν καὶ δὲν ἐφύλαξεν αὐτὸ ποὺ παρηγγέλθη, διὰ τοῦτο τιμωρεῖται ἐξ αἰτίας τῆς ἀδιαφορίας της αὐτῆς.

7. Ἀλλ' ἐμεῖς, ἀκούοντες αὐτά, ἂς δείξωμεν μεγάλην φροντίδα διὰ τὴν σωτηρίαν μας, καὶ τὴν μὲν μίμησιν

μὲν ἐκείνων παρανομίας φύγωμεν τὴν μίμησιν, τοῦ δὲ δικαίου τούτου τὴν φιλοξενίαν ζηλώσωμεν καὶ τὴν ἄλλην ἀρετήν, ἵνα δυνηθῶμεν καὶ τὴν ἄνωθεν ὀργὴν ἀποκρούσασθαι. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν μετὰ σπουδῆς ταύτην μετιόντα, μὴ πολὺν ἐντεῦθεν κομίσασθαι τὸν θησαυρόν. Καὶ γὰρ οἱ δίκοι οὗτοι οὕτω τῆς ἄνωθεν ῥοπῆς ἠξιώθησαν, καὶ ὁ πατριάρχης καὶ ὁ Λώτ, καὶ ἀνθρώπους νομίζοντες ὑποδέχεσθαι, κατηξιώθησαν καὶ ἀγγέλους ὑποδέχεσθαι, καὶ τὸν τῶν ἀγγέλων Δεσπότην. Ἔξεστι καὶ ἡμῖν, ἐὰν βουλώμεθα, καὶ νῦν αὐτὸν ὑποδέξασθαι. Αὐτὸς γάρ ἐστιν ὁ εἰρηκώς, «Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται». Οὕτω τοίνυν τοὺς ξένους ὑποδεχώμεθα, καὶ μὴ πρὸς τὴν τῶν φαινομένων εὐτέλειαν ἀπίδωμέν ποτε. Ἐνίοτε γάρ, εἰ τοιαύτῃ γνώμῃ τὰ τῆς φιλοξενίας ἐπιδειξώμεθα, καταξιωθησόμεθα καὶ ἡμεῖς τοιούτους ὑποδέχεσθαι, ἄνδρας μὲν νομιζομένους, τῶν ἀγγέλων δὲ τὴν ἀρετὴν μετιόντας· μόνον μὴ περιεργαζώμεθα, μηδὲ πολυπραγμονῶμεν, ἵνα μὴ διαμάρτωμεν τοῦ θησαυροῦ. Ἐπεὶ καὶ ὁ μακάριος Παῦλος τούτους τοὺς δικαίους αἰνιττόμενος, καὶ διδάσκων ἡμᾶς πῶς ἐπέτυχον τοιαύτης ὑποδοχῆς, φησί· «Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους». Τοῦτο γὰρ αὐτοὺς μάλιστα θαυμαστοὺς καὶ μεγάλους ἀπέδειξεν, ὅτι οὐκ εἰδότες αὐτούς, τὴν θεραπείαν ἐπεδείκνυντο.

Καὶ ἡμεῖς τοίνυν πίστει καὶ εὐλαβείᾳ τὸ πρᾶγμα μετίωμεν, ἵνα καὶ τοῦ θησαυροῦ ἐπιτυχεῖν δυνηθῶμεν, οὗ γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

13. Ματθ. 10, 40.
14. Ἑβρ. 13, 2.

τῆς παρανομίας ἐκείνων ἄς τὴν ἀποφύγωμεν, ἐνῷ τοῦ δικαίου αὐτοῦ τὴν φιλοξενίαν καὶ τὴν ἄλλην ἀρετὴν ἄς τὴν μιμηθοῦμεν, διὰ νὰ ἠμπορέσωμεν ν' ἀποφύγωμεν καὶ τὴν θείαν ὀργήν. Διότι δὲν εἶναι δυνατόν, δὲν εἶναι δυνατὸν ἐκεῖνος ποὺ ἀσκεῖ τὴν ἀρετὴν αὐτὴν τῆς φιλοξενίας μὲ πολὺν ζῆλον νὰ μὴ ἀποκομίσῃ ἀπὸ αὐτὸ μεγάλον θησαυρόν. Καθ' ὅσον οἱ δίκαιοι αὐτοὶ ἔτσι ἠξιώθησαν τῆς θείας βοηθείας, καὶ ὁ πατριάρχης καὶ ὁ Λώτ, καὶ νομίζοντες ὅτι ὑπεδέχοντο ἀνθρώπους, ἠξιώθησαν νὰ ὑποδεχθοῦν πρὸς φιλοξενίαν καὶ ἀγγέλους καὶ τὸν Κύριον τῶν ἀγγέλων. Εἶναι δυνατὸν καὶ εἰς ἐμᾶς, ἐὰν θέλωμεν, καὶ τώρα νὰ ὑποδεχθοῦμεν αὐτόν. Διότι αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἔχει εἰπεῖ, «Ἐκεῖνος ποὺ δέχεται νὰ φιλοξενίσῃ ἐσᾶς, δέχεται ἐμένα»[13]. Ἔτσι λοιπὸν ἄς ὑποδεχώμεθα τοὺς ξένους, καὶ ποτὲ ἄς μὴ δώσωμεν σημασίαν εἰς τὴν φαινομενικὴν εὐτέλειαν αὐτῶν. Διότι θὰ συμβῇ κάποτε, ἄν μὲ αὐτὴν τὴν διάθεσιν προσφέρωμεν τὴν φιλοξενίαν μας, νὰ ἀξιωθοῦμεν καὶ ἐμεῖς νὰ ὑποδεχθοῦμεν παρομοίους ἐπισκέπτας, ποὺ θεωροῦνται μὲν ἄνθρωποι, ἀλλ' ἀσκοῦν τὴν ἀρετὴν τῶν ἀγγέλων· μόνον νὰ μὴ δείχνωμεν περιέργειαν οὔτε νὰ πολυεξετάζωμεν τὸ πρᾶγμα, διὰ νὰ μὴ χάσωμεν τὸν θησαυρόν. Διότι καὶ ὁ μακάριος Παῦλος ὑπαινισσόμενος αὐτοὺς τοὺς δικαίους καὶ διὰ νὰ μᾶς διδάξῃ πῶς ἐπέτυχε τέτοιαν ὑποδοχήν, λέγει· «Μὴ λησμονῆτε τὴν φιλοξενίαν· διότι μὲ αὐτήν, χωρὶς νὰ τὸ γνωρίζουν, ἠξιώθησαν ὡρισμένοι νὰ φιλοξενίσουν ἀγγέλους»[14]. Διότι αὐτὸ πρὸ πάντων τοὺς ἀπέδειξε θαυμαστοὺς καὶ μεγάλους, τὸ ὅτι χωρὶς νὰ γνωρίζουν αὐτούς, τοὺς ἐπρόσφεραν τὴν φιλοξενίαν των.

Καὶ ἐμεῖς λοιπόν μὲ πίστιν καὶ εὐλάβειαν ἄς ἀσκοῦμεν τὴν φιλοξενίαν, διὰ νὰ ἠμπορέσωμεν καὶ τὸν θησαυρὸν νὰ ἐπιτύχωμεν, τὸν ὁποῖον εὔχομαι ν' ἀπολαύσωμεν ὅλοι μας, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα, συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΔ΄
(Γεν. 19, 27 - 36)

«῎Ωρθρισε δὲ ᾿Αβραὰμ τῷ πρωῒ εἰς τὸν τόπον οὗ εἱστήκει ἐναντίον τοῦ Θεοῦ».

1. «῾Η κατὰ τὴν Σαμαρεῖτιν ὑπόθεσις ἱκανῶς ἡμᾶς χθὲς ἐδίδαξε καὶ τοῦ Δεσπότου τὴν ἄφατον μακροθυμίαν, καὶ τὴν ὑπερβάλλουσαν περὶ αὐτὴν κηδεμονίαν, καὶ ἐκείνης τὴν εὐγνωμοσύνην. Εἴδετε πῶς ὕδωρ αἰσθητὸν ὑδρεύσασθαι παραγενομένη, ἐκ τῆς νοητῆς πηγῆς τὰ θεῖα νάματα ἀρυσαμένη, οὕτως οἴκαδε ἐπανῆλθε, πληροῦσα τὸ παρὰ τοῦ Δεσπότου εἰρημένον· Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. ᾿Εμφορηθεῖσα γὰρ αὕτη τῆς θείας ἐκείνης καὶ πνευματικῆς πηγῆς, οὐ κατέσχεν εἴσω τὰ νάματα, ἀλλ' ὑπερβλύζουσα, ὡς εἰπεῖν, ἐκχέει καὶ εἰς τοὺς τὴν πόλιν οἰκοῦντας τῆς παρασχεθείσης αὐτῇ δωρεᾶς τὸ χάρισμα, καὶ κήρυξ ἐγένετο ἀθρόον ἡ γυνή, ἡ Σαμαρεῖτις, ἡ ἀλλόφυλος. Εἴδετε ὅσον ἐστὶ ψυχῆς εὐγνωμοσύνη, εἴδετε Δεσπότου φιλανθρωπίαν, ὅπως οὐδενὸς ὑπερορᾷ, ἀλλὰ κἂν ἐν γυναικί, κἂν ἐν πενίᾳ, κἂν ὅπου δήποτε εὕρῃ διεγηγερμένην ψυχὴν καὶ ζέουσαν, παραχρῆμα τὴν παρ' ἑαυτοῦ χάριν ἐπαφίησι. Μιμησώμεθα τοίνυν, παρακαλῶ, καὶ ἡμεῖς τὴν γυναῖκα ταύτην, καὶ μετὰ πολλῆς προσοχῆς δεχώμεθα τὰ παρὰ τοῦ Πνεύματος διδάγματα. Οὐδὲ γὰρ ἡμέτερά ἐστι τὰ λεγόμενα, οὐδὲ ἐξ οἰκείας γλώττης φθεγγόμεθα, ἅπερ ἂν εἴπωμεν, ἀλλ' ἐκ τῆς τοῦ Δεσπότου φιλανθρωπίας ὁδηγούμενοι

1. ᾿Ιω. 4, 14.

ΟΜΙΛΙΑ ΜΔ΄
(Γεν. 19, 27 - 38)

«Καὶ ἠγέρθη ὁ Ἀβραὰμ τὸ πρωὶ καὶ μετέβη εἰς τὸν τόπον, ὅπου εἶχε σταθῇ ἐνώπιον τοῦ Κυρίου».

1. Ἡ χθεσινή μας ὁμιλία, ἡ σχετικὴ μὲ τὴν Σαμαρείτιδα, μᾶς ἐδίδαξεν εἰς ἱκανοποιητικὸν βαθμὸν καὶ τὴν ἀνέκφραστον μακροθυμίαν τοῦ Κυρίου καὶ τὸ ὑπερβολικόν του ἐνδιαφέρον δι' αὐτὴν καθὼς καὶ τὴν εὐγνωμοσύνην αὐτῆς. Εἴδατε, πῶς, ἐνῷ μετέβη διὰ νὰ πάρῃ τὸ φυσικὸν ὕδωρ, ἤντλησεν ἐκ τῆς νοητῆς πηγῆς τὰ θεῖα νάματα καὶ ἔτσι ἐπέστρεψεν εἰς τὴν οἰκίαν της, ἀφοῦ ἐξεπλήρωσεν ἐκεῖνο, τὸ ὁποῖον εἶπεν ὁ Κύριος· «Τὸ ὕδωρ, τὸ ὁποῖο ἐγὼ θὰ σοῦ δώσω θὰ γίνῃ σ' αὐτὸν ποὺ θὰ τὸ δώσω πηγὴ ὕδατος, τὸ ὁποῖον θὰ ἀναβλύζῃ ζωὴν αἰώνιον»[1]. Διότι, ἀφοῦ ἐγέμισεν αὐτὴ ἀπὸ τὴν θείαν καὶ πνευματικὴν ἐκείνην πηγήν, δὲν ἐκράτησεν ἐντός της τὰ νάματα, ἀλλ' ὑπερεκχυλίζουσα, ὅπως θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, ἐκχέει καὶ εἰς τοὺς κατοίκους τῆς πόλεως τὸ χάρισμα τῆς δωρεᾶς, ἡ ὁποία ἐδόθη εἰς αὐτὴν καὶ ἔγινεν παραχρῆμα κῆρυξ ἡ Σαμαρεῖτις, ἡ ἀλλόφυλος. Εἴδατε πόσον μεγάλη εἶναι ἡ εὐγνωμοσύνη τῆς ψυχῆς, εἴδατε τὴν φιλανθρωπίαν τοῦ Κυρίου, πῶς κανένα δὲν περιφρονεῖ, ἀλλὰ εἴτε εἰς γυναῖκα, εἴτε εἰς πτωχόν, εἴτε ὁπουδήποτε συναντήσῃ ψυχὴν πρόθυμον καὶ θερμήν, ἀμέσως τῆς δίδει τὴν χάριν του. Ἂς μιμηθοῦμεν λοιπόν, παρακαλῶ, καὶ ἡμεῖς τὴν γυναῖκα αὐτὴν καὶ ἂς δεχώμεθα μὲ μεγάλην προσοχὴν τὰ διδάγματα τοῦ ἁγίου Πνεύματος. Καθ' ὅσον δὲν εἶναι ἰδικά μας τὰ λεγόμενα, οὔτε λέγομεν ἀπὸ τὴν ἰδικήν μας γλῶσσαν, ὅσα τυχὸν εἰποῦμεν, ἀλλὰ ὁδηγούμενοι ἀπὸ τὴν φιλανθρωπίαν

διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν καὶ τὴν οἰκοδομὴν τῆς τοῦ Θεοῦ Ἐκκλησίας.

Μὴ τοίνυν πρὸς ἐμὲ τὸν λέγοντα ἀπίδῃς, ἀγαπητέ, μηδὲ πρὸς τὴν εὐτέλειαν τὴν ἐμήν, ἀλλ' ὅτι τὰ παρὰ τοῦ Δεσπότου διακομίζω καὶ πρὸς τὸν ἀποστείλαντα ἔχων τὴν διάνοιαν τεταμένην, οὕτω μετὰ νήψεως δέχου τὰ λεγόμενα. Ἐπεὶ καὶ ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν, ἐπειδὰν ὁ βασιλεύς, ὁ τὸ διάδημα περικείμενος, γράμματα διαπέμψηται, ὁ μὲν ἐπιφερόμενος ταῦτα καθ' ἑαυτὸν μὲν οὐδενὸς λόγου ἄξιος τυγχάνει, ἀλλ' εὐτελής τίς ἐστι καὶ πολλάκις οὐδὲ προγόνους ἀριθμεῖν ἔχων, ἀλλ' ἀνώνυμος καὶ ἐξ ἀνωνύμων· ἀλλ' οὐκ ἐκείνῳ προσέχουσιν οἱ ταῦτα δέχεσθαι μέλλοντες, ἀλλὰ τὰ τοῦ βασιλέως γράμματα πολλὴν κἀκείνῳ τιμὴν ἀπονέμουσι καὶ τὰ γράμματα μετὰ πολλοῦ τοῦ φόβου καὶ πολλῆς τῆς ἡσυχίας δέχονται. Εἰ τοίνυν ἐκεῖνος ἀνθρώπου ἐπαγόμενος γράμματα καὶ χάρτην ἁπλῶς ἐπιφερόμενος, παρὰ πᾶσιν ἐναποδέχεται, πολλῷ μᾶλλον ὑμεῖς ἂν εἴητε δίκαιοι τὰ παρὰ τοῦ Πνεύματος δι' ἡμῶν ὑμῖν πεμφθέντα λόγια μετὰ πολλῆς τῆς προσοχῆς ὑπεδέχεσθαι, ἵνα τῆς εὐγνωμοσύνης πολλὴν κομίσησθε τὴν ἀμοιβήν. Ἐὰν γὰρ ἴδῃ ὁ τῶν ὅλων Δεσπότης τῆς ψυχῆς ὑμῶν τὴν προθυμίαν καὶ ἡμῖν δαψιλεστέραν παρέξει τὴν χορηγίαν διὰ τὴν οἰκοδομὴν τὴν ὑμετέραν καὶ ὑμῖν πλείονα δωρήσεται τὴν σύνεσιν, ὥστε συνιέναι τὰ λεγόμενα. Δαψιλὴς γὰρ ἡ τοῦ Πνεύματος χάρις καὶ εἰς πάντας ἐκχεομένη οὐδένα μερισμὸν ὑπομένει, ἀλλὰ τῇ διανομῇ μᾶλλον αὔξεται καὶ ὅσῳ ἂν πλείους ὦσιν οἱ ταύτης μετέχοντες, τοσούτῳ καὶ τὰ τῆς χάριτος ἐπὶ πλέον ἐκτείνεται.

Φέρε οὖν, εἰ δοκεῖ, καὶ σήμερον τῆς ἀκολουθίας τῶν πρῴην ἡμῖν εἰρημένων ἐπιλαβώμεθα καὶ ἴδωμεν ὅπου τὸν λόγον κατελύσαμεν καὶ ὅθεν αὐτὸν ἀναλαβεῖν σήμερον προσῆκε. Ποῦ οὖν τὸν λόγον πρῴην

τοῦ Κυρίου, διὰ τὴν ἰδικήν σας ὠφέλειαν καὶ διὰ τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας τοῦ Θεοῦ.

Νὰ μὴ ἀποβλέψῃς, λοιπόν, πρὸς ἐμένα, ἀγαπητέ, οὔτε πρὸς τὴν ἰδικήν μου εὐτέλειαν, ἀλλὰ εἰς ὅ,τι μεταφέρω ἀπὸ τὸν Κύριον, καί, ἔχων στραμμένην τὴν διάνοιαν πρὸς αὐτόν, ὁ ὁποῖος μὲ ἀπέστειλε, νὰ δέχεσαι τὰ λεγόμενα μὲ ἄγρυπνον τὴν ψυχήν. Ἐπειδὴ καὶ εἰς τὰ ἀνθρώπινα πράγματα, ὅταν ὁ βασιλεύς, αὐτὸς ποὺ φορεῖ τὸ διάδημα, ἀποστείλει ἐπιστολάς, αὐτὸς ποὺ τὰς μεταφέρει δὲν ἔχει καμμίαν ἀξίαν, ἀλλ' εἶναι κάποιος ἀσήμαντος, ὁ ὁποῖος πολλὲς φορὲς δὲν ἠμπορεῖ νὰ μᾶς ἀναφέρῃ προγόνους, ἀλλ' εἶναι ἀνώνυμος καὶ ἀπὸ ἀνωνύμους, ἀλλὰ αὐτοὶ ποὺ πρόκειται νὰ δεχθοῦν τὰς ἐπιστολάς, δὲν προσέχουν ἐκεῖνον, ἀλλ' ἐξ αἰτίας τῶν ἐπιστολῶν τοῦ βασιλέως τοῦ ἀπονέμουν μεγάλην τιμὴν καὶ δέχονται αὐτὰς μὲ μεγάλον σεβασμὸν καὶ προσοχήν. Ἐὰν λοιπὸν ἐκεῖνος ποὺ φέρει τὰς ἐπιστολὰς ἑνὸς ἀνθρώπου καὶ μεταφέρει ἁπλῶς χαρτί, γίνεται δεκτὸς ἀπὸ ὅλους, πολὺ περισσότερον ἐσεῖς θὰ θεωρηθῆτε δίκαιοι νὰ δεχθῆτε μὲ μεγάλην προσοχὴν τοὺς λόγους τοῦ ἁγίου Πνεύματος, τοὺς ὁποίους μέσῳ ἐμοῦ σᾶς διδάσκει, ὥστε νὰ λάβετε μεγάλην ἀμοιβὴν διὰ τὴν εὐγνωμοσύνην σας αὐτήν. Καθ' ὅσον, ἐὰν ὁ Κύριος ὅλων μας ἰδῇ τὴν προθυμίαν τῆς ψυχῆς σας, θὰ παράσχῃ καὶ εἰς ἐμένα πιὸ πλουσίαν τὴν δωρεάν του διὰ νὰ ἠμπορέσω νὰ σᾶς οἰκοδομήσω πνευματικῶς, καὶ εἰς σᾶς θὰ χαρίσῃ μεγαλυτέραν σύνεσιν, ὥστε νὰ ἀντιλαμβάνεσθε τὰ ὅσα σᾶς λέγω. Διότι ἡ χάρις τοῦ ἁγίου Πνεύματος εἶναι πλουσία καὶ ἐνῷ δίδεται εἰς ὅλους, ὅμως δὲν μειώνεται καθόλου, ἀλλὰ μὲ τὴν διανομὴν αὐξάνει περισσότερον καὶ ὅσον περισσότεροι εἶναι αὐτοί, οἱ ὁποῖοι μετέχουν αὐτῆς, τόσον καὶ ἡ χάρις πολλαπλασιάζεται.

Ἐμπρὸς λοιπόν, ἐὰν νομίζετε καλόν, ἂς συνεχίσωμεν αὐτά, τὰ ὁποῖα ἔχομεν εἰπεῖ προηγουμένως καὶ ἂς ἰδοῦμεν, ποῦ ἐσταματήσαμεν τὴν ὁμιλίαν καὶ ἀπὸ ποῦ πρέπει νὰ συνεχίσωμεν σήμερον. Εἰς ποῖον σημεῖον λοιπὸν ὡδηγήσαμεν τὸν λόγον προηγουμένως καὶ ἔτσι ἐτελειώ-

προσορμίσαντες, οὕτω τῆς διδασκαλίας ἐπαυσάμεθα; Τὰ κατὰ τὸν Λὼτ ὑμῖν διηγούμενοι καὶ τὸν τῶν Σοδόμων ἐμπρησμόν, ἐκεῖ τὸν λόγον ἐστήσαμεν, ὅπου ὁ δίκαιος εἰς τὴν Σηγὼρ διεσώθη. «Ὁ ἥλιος γὰρ ἐξῆλθεν ἐπὶ τῆς γῆς», φησί, «καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγὼρ» καὶ τότε ἡ θεήλατος ἐκείνη ὀργὴ τούς τε ἐν Σοδόμοις κατέλαβε καὶ τῆς γῆς τὸν ἀφανισμὸν εἰργάσατο, ὅτε καὶ ἡ γυνὴ τοῦ δικαίου ἐπιλαθομένη τῶν ρηθέντων παρὰ τῶν ἀγγέλων, ἐπιβλέψασα εἰς τὰ ὀπίσω, ἐγένετο στήλη ἁλός, διηνεκὲς ὑπόμνημα ταῖς μετὰ ταῦτα γενεαῖς τῆς οἰκείας ῥαθυμίας παρεχομένη. Ἀναγκαῖον οὖν σήμερον τὰ ἑξῆς ἐπελθόντας μικρά τινα διαλεχθῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην, ἵνα πάλιν εἰδῆτε τοῦ πατριάρχου τὸ συμπαθὲς καὶ φιλόστοργον, καὶ τοῦ Θεοῦ τὴν περὶ αὐτὸν εὔνοιαν. Ἐπειδὴ γάρ, τῆς ἀνατολῆς τοῦ ἡλίου γενομένης, ὁ μὲν δίκαιος Λὼτ εἰς τὴν Σηγὼρ διεσώθη, οἱ δὲ τὰ Σόδομα κατοικοῦντες ὑπὸ τὴν δίκην γεγόνασιν, ὁ πατριάρχης ὁμοῦ κἀκείνους οἰκτείρων τῆς ἀπωλείας, ἣν διὰ τὴν οἰκείαν παρανομίαν ὑπέμεινον καὶ περὶ τοῦ δικαίου σφόδρα φροντίζων, ὀρθρίσας, φησί, περιεσκόπει τὰ γεγενημένα. «Ὤρθρισε γάρ», φησίν, «Ἀβραὰμ τῷ πρωῒ εἰς τὸν τόπον, οὗ εἱστήκει ἐναντίον τοῦ Θεοῦ καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον τῆς περιχώρου Σοδόμων καὶ Γομόρρας, καὶ εἶδε. Καὶ ἰδοὺ ἀνέβαινε φλὸξ ἐκ τῆς γῆς, ὡσεὶ ἀτμὶς καμίνου». Ἐν ἐκείνῳ, φησί, τῷ τόπῳ γεγονώς, ἔνθα τὴν διάλεξιν πρὸς τὸν Δεσπότην ἐποιήσατο καὶ τὴν περὶ τῶν ἐν Σοδόμοις παράκλησιν, ἑώρα τῆς φοβερᾶς ἐκείνης τιμωρίας τὰ ἴχνη καὶ τοῦ δικαίου ἕνεκεν μαθεῖν τι ἐπεθύμει.

Τοιοῦτον γὰρ τῶν ἁγίων τὸ ἔθος φιλόστοργον καὶ συμπαθητικόν. Καὶ ἵνα διδάξῃ ἡμᾶς ἡ θεία Γραφή, ὅτι εὐθέως αὐτῷ τούτου τὴν γνῶσιν ἐνέθηκεν ἡ τοῦ Πνεύματος χάρις, ὁμοῦ δὲ καὶ τὸν δίκαιον ἵνα τῆς

σαμεν τὴν διδασκαλίαν; Ἀφοῦ διηγήθηκα εἰς σᾶς τὰ σχετικὰ μὲ τὸν Λὼτ καὶ μὲ τὸν ἐμπρησμὸν τῶν Σοδόμων, ἐπαύσαμεν τὸν λόγον εἰς τὸ σημεῖον ἐκεῖνο, εἰς τὸ ὁποῖον ὁ δίκαιος Λὼτ κατέφυγε καὶ διεσώθη εἰς τὴν Σηγώρ. Διότι λέγει «Ὁ ἥλιος ἀνέτειλεν εἰς τὴν χώραν καὶ ὁ Λὼτ εἰσῆλθεν εἰς τὴν Σηγώρ» καὶ τότε ἡ ἀπὸ τὸν Θεὸν προερχομένη ἐκείνη ὀργὴ ἐπέπεσεν ἐπὶ τῶν κατοίκων τῶν Σοδόμων καὶ ἔφερε τὸν ἀφανισμὸν τῆς χώρας, ὅταν καὶ ἡ γυναῖκα τοῦ δικαίου ἐλησμόνησε τὴν ἐντολὴν τῶν ἀγγέλων καὶ ἔστρεψε τὸ βλέμμα της πρὸς τὰ ὀπίσω καὶ μετεβλήθη εἰς στήλην ἅλατος καὶ παρέχει ἔτσι συνεχῆ ὑπόμνησιν τῆς ραθυμίας της εἰς τὰς ἐπερχομένας γενεάς. Εἶναι ἀνάγκη λοιπὸν σήμερον, ἀφοῦ ἀναγνώσωμεν τὰ ὑπόλοιπα, νὰ εἰποῦμεν ὀλίγα εἰς τὴν ἀγάπην σας, διὰ νὰ γνωρίσετε καὶ πάλιν τὴν συμπάθειαν καὶ τὴν φιλοστοργίαν τοῦ πατριάρχου καὶ τὴν εὔνοιαν τοῦ Θεοῦ δι' αὐτόν. Ὅταν δηλαδὴ ἀνέτειλεν ὁ ἥλιος καὶ ὁ μὲν δίκαιος Λὼτ κατέφυγε καὶ διεσώθη εἰς τὴν Σηγώρ, οἱ δὲ κάτοικοι τῶν Σοδόμων ὑπέστησαν τὴν καταστροφήν, τότε ὁ πατριάρχης Ἀβραὰμ λυπούμενος καὶ ἐκείνους διὰ τὴν καταστροφήν, τὴν ὁποίαν ὑπέμειναν ἐξ αἰτίας τῶν ἁμαρτιῶν των, ἀλλὰ καὶ ἐνδιαφερόμενος πολὺ διὰ τὸν δίκαιον Λώτ, ἀφοῦ ἐσηκώθη, λέγει, πολὺ *πρωί*, ἐξέταζε τὰ ὅσα εἶχον γίνει. Διότι λέγει, «Ἠγέρθη τὸ πρωὶ ὁ Ἀβραὰμ καὶ μετέβη εἰς τὸν τόπον, ὅπου εἶχε σταθῆ ἐνώπιον τοῦ Κυρίου καὶ ἔστρεψε τὸ βλέμμα του πρὸς τὰ Σόδομα καὶ τὰ Γόμορρα καὶ εἰς ὅλην τὴν γύρω περιοχὴν καὶ εἶδε. Καὶ ἰδοὺ ἀνέβαινε φλόγα ἀπὸ τὴν γῆν, ὡς πῦρ καμίνου». Ἀφοῦ ἐπῆγεν εἰς ἐκεῖνο τὸ μέρος, λέγει, ὅπου συνωμίλησε μὲ τὸν Κύριον καὶ τὸν παρεκάλεσε διὰ τὴν σωτηρίαν τῶν κατοίκων τῶν Σοδόμων, παρετήρει τὰ ἴχνη τῆς φοβερᾶς ἐκείνης τιμωρίας καὶ ἤθελε νὰ μάθη διὰ τὴν τύχην τοῦ Λώτ.

Πράγματι τέτοιος εἶναι ὁ χαρακτὴρ τῶν ἁγίων, φιλόστοργος καὶ συμπαθής. Καὶ διὰ νὰ μᾶς διδάξη ἡ ἁγία Γραφή, ὅτι τὴν γνῶσιν ἔδωσεν εἰς αὐτὸν ἀμέσως ἡ χάρις τοῦ ἁγίου Πνεύματος καὶ διὰ νὰ ἀπαλλάξη συγχρόνως

περὶ τοῦ Λὼτ ἀπαλλάξῃ φροντίδος, φησίν· «Ἐν τῷ ἐκτρῖψαι Κύριον τὰς πόλεις τῆς περιοίκου, ἐμνήσθη ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ἐξαπέστειλε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς». Τί ἐστιν, «Ἐμνήσθη ὁ Θεὸς τοῦ Ἀβραάμ»; Τῆς παρακλήσεως, φησίν, ἧς ἐποιήσατο, λέγων, «Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς». Τί οὖν, ἂν εἴποι τις, διὰ τὴν παράκλησιν τοῦ πατριάρχου ὁ δίκαιος διεσώθη καὶ οὐχὶ διὰ τὴν ἰδίαν δικαιοσύνην; Ναὶ καὶ διὰ τὴν παράκλησιν τοῦ πατριάρχου· ὅταν γὰρ τὰ παρ' ἑαυτῶν συνεισενέγκωμεν καὶ ἡ παρὰ τῶν δικαίων πρεσβεία τὰ μέγιστα ἡμᾶς ὀνίνησιν. Ἐπεὶ ἐὰν αὐτοὶ μὲν ῥαθυμῶμεν, τὰς δὲ ἐλπίδας τῆς ἡμετέρας σωτηρίας ἐπ' ἐκείνοις μόνοις ποιώμεθα, οὐδὲν ἡμῖν ἔσται πλέον· οὐκ ἐπειδὴ ἀσθενεῖς οἱ δίκαιοι, ἀλλ' ἐπειδὴ ἡμεῖς διὰ τῆς οἰκείας ῥαθυμίας ἑαυτοὺς προδίδομεν.

2. Καὶ ἵνα μάθῃς, ὅτι ἀμελῶμεν, κἂν δίκαιοι ὦσιν οἱ ὑπὲρ ἡμῶν παρακαλοῦντες, κἂν προφῆται, οὐδὲν ἡμῖν ἐκ τούτου ὄφελος γίνεται (ἐκεῖνοι μὲν γὰρ τὴν ἑαυτῶν ἀρετὴν καὶ διὰ τούτων ἐπιδείκνυνται, ἡμῖν δὲ οὐδεμία ἔσται ὄνησις διὰ τὸν οἰκεῖον τρόπον), ἄκουσον τοῦ τῶν ὅλων Θεοῦ πρὸς τὸν ἐκ κοιλίας ἁγιασθέντα Ἱερεμίαν τὸν προφήτην λέγοντα· «Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου». Ὅρα τοῦ Δεσπότου φιλανθρωπίαν· προλέγει τῷ προφήτῃ, ἵνα μὴ μετὰ τὸ προσεύξασθαι παρακουσθείς, νομίσῃ ὅτι διὰ τὴν παρ' αὐτοῦ αἰτίαν τοῦτο γεγένηται. Διὰ τοῦτο ἤδη προμηνύει αὐτῷ τὴν κακίαν τοῦ λαοῦ καὶ διαστέλλεται μὴ προσεύξασθαι, ἵνα καὶ αὐτὸς εἰδέναι ἔχῃ τῆς πονηρίας ἐκείνων τὴν ἐπίτασιν, κἀκεῖνοι μάθωσιν ὡς οὐδὲν αὐτοῖς ὁ προφήτης συμβάλλεται, εἰ μὴ καὶ αὐτοὶ τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν βουληθῶσιν. Ὅπερ εἰδότες, ἀγαπητοί, καταφεύ-

---

2. Γέν. 18, 23.
3. Ἱερ. 7, 16.

καὶ τὸν δίκαιον ἀπὸ τὴν φροντίδα του διὰ τὸν Λώτ, λέγει· «Ὅταν ὁ Θεὸς ἐπρόκειτο νὰ καταστρέψῃ τὰς πόλεις καὶ τὴν γύρω περιοχήν, ἐνεθυμήθη τὸν Ἀβραὰμ καὶ ἐγλύτωσε τὸν Λὼτ ἀπὸ τὴν καταστροφήν». Τί σημαίνει «Ἐνεθυμήθη ὁ Θεὸς τὸν Ἀβραάμ»; Ἐννοεῖ τὴν παράκλησιν, τὴν ὁποίαν ἔκαμε λέγων, «Νὰ μὴ καταστρέψῃς τὸν δίκαιον μαζὶ μὲ τὸν ἀσεβῆ»[2]. Τί λοιπόν, θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, ὁ δίκαιος ἐσώθη ἐξ αἰτίας τῆς παρακλήσεως τοῦ πατριάρχου καὶ ὄχι διὰ τὴν ἰδικήν του δικαιοσύνην; Ναὶ ἐσώθη καὶ ἐξ αἰτίας τῆς παρακλήσεως τοῦ πατριάρχου. Διότι, ὅταν προσφέρωμεν, ὅ,τι ἐξαρτᾶται ἀπὸ ἡμᾶς, τότε καὶ ἡ προσευχὴ τῶν δικαίων μᾶς ὠφελεῖ πάρα πολύ. Καθ' ὅσον, ἐὰν ἡμεῖς οἱ ἴδιοι εἴμεθα ὀκνηροὶ καὶ στηρίζωμεν τὰς ἐλπίδας τῆς σωτηρίας μας μόνον εἰς ἐκείνους, τότε δὲν ἔχομεν νὰ κερδήσωμεν τίποτε. Ὄχι ἐπειδὴ οἱ δίκαιοι εἶναι ἀνίσχυροι, ἀλλ' ἐπειδὴ ἡμεῖς οἱ ἴδιοι προδίδομεν τοὺς ἑαυτούς μας μὲ τὴν ραθυμίαν μας.

2. Καὶ διὰ νὰ μάθῃς, ὅτι, ὅταν ἀμελῶμεν, εἴτε εἶναι δίκαιοι οἱ παρακαλοῦντες δι' ἡμᾶς, εἴτε προφῆται, ὅμως δὲν ἔχομεν καμμίαν ὠφέλειαν ἐξ αὐτοῦ, (διότι ἐκεῖνοι ἀποδεικνύουν τὴν ἀρετήν των καὶ μὲ αὐτὰς τὰς παρακλήσεις, ἀλλ' εἰς ἡμᾶς δὲν θὰ ὑπάρχῃ καμμία ὠφέλεια ἐξ αἰτίας τῆς συμπεριφορᾶς μας), ἄκουσε τὸν Θεὸν τῶν ὅλων, ὁ ὁποῖος λέγει πρὸς τὸν Ἱερεμίαν τὸν ἁγιασθέντα ἐκ τῆς κοιλίας τῆς μητρός του· «Νὰ μὴ προσεύχεσαι διὰ τὴν σωτηρίαν τοῦ λαοῦ αὐτοῦ, διότι δὲν θὰ ἀκούσω τὰς προσευχάς σου»[3]. Βλέπε τὴν φιλανθρωπίαν τοῦ Κυρίου. Προλέγει εἰς τὸν προφήτην, ὥστε, ἐὰν δὲν εἰσακουσθῇ μετὰ τὴν προσευχήν, νὰ μὴ νομίσῃ, ὅτι αὐτὸ συνέβη ἐξ αἰτίας αὐτοῦ τοῦ ἰδίου. Διὰ τοῦτο προμηνύει εἰς αὐτὸν τὴν κακίαν τοῦ λαοῦ καὶ τοῦ δίδει ἐντολὴν νὰ μὴ προσεύχεται, διὰ νὰ ἠμπορῇ νὰ γνωρίζῃ καὶ ἐκεῖνος τὸ μέγεθος τῆς κακίας ἐκείνων καὶ ἐκεῖνοι νὰ μάθουν, ὅτι ὁ προφήτης δὲν τοὺς δίδει καμμίαν βοήθειαν, ἐὰν καὶ αὐτοὶ δὲν θελήσουν νὰ κάνουν, ὅτι ἐξαρτᾶται ἀπ' αὐτούς. Ἔχοντες ὑπ' ὄψιν αὐτό, ἀγαπητοί, ἂς καταφεύγωμεν μὲν εἰς τὰς

γωμεν μὲν ἐπὶ τὰς τῶν ἁγίων πρεσβείας καὶ παρακαλῶμεν ὥστε ὑπὲρ ἡμῶν δεηθῆναι, ἀλλὰ μὴ ταῖς ἐκείνων ἱκεσίαις μόνον θαρρῶμεν, ἀλλὰ καὶ αὐτοὶ τὰ καθ' ἑαυτοὺς δεόντως οἰκονομῶμεν καὶ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς ἐχώμεθα, ἵνα χώραν δῶμεν τῇ πρεσβείᾳ τῇ ὑπὲρ ἡμῶν γινομένῃ.

Τοῦτο καὶ πρὸς ἕτερον προφήτην φησὶν ὁ τῶν ἁπάντων Δεσπότης· «Οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσι; Θυμιῶσι στέαρ καὶ χαυῶνας ποιοῦσι τῇ στρατιᾷ τοῦ οὐρανοῦ»· μονονουχὶ λέγων πρὸς αὐτόν· ὑπὲρ τούτων με παρακαλεῖς, τῶν οὐχ ἱσταμένων τῆς πονηρίας, τῶν οὐδεμίαν αἴσθησιν λαμβανόντων τῆς νόσου ἐν ᾗ κατέχονται, ἀλλ' οὕτως ἀναλγήτως διακειμένων; Οὐχ ὁρᾷς αὐτῶν τὴν ὑπερβάλλουσαν καταφρόνησιν; οὐ βλέπεις αὐτῶν τὴν μανίαν τὴν πολλήν; πῶς οὐδέπω κόρον εἰλήφασι τῆς ἀσεβείας, ἀλλὰ καθάπερ ὗς ἐν βορβόρῳ, οὕτως ἐγκαλινδοῦνται ταῖς οἰκείαις παρανομίαις; Μὴ γάρ, εἰ ἐβούλοντο ἐπιστρέφειν, παρακληθῆναι ἀνέμενον; Οὐκ ἐγώ εἰμι ὁ διὰ τῶν προφητῶν βοῶν καὶ λέγων· «Καὶ εἶπον μετὰ τὸ πορνεῦσαι αὐτήν· μετὰ ταῦτα πάντα πρός με ἀνάστρεψον, καὶ οὐκ ἀνέστρεψε»; Μὴ γὰρ ἕτερόν τι ζητῶ, ἢ παύσασθαι τῆς πονηρίας μόνον, καὶ στῆναι τῶν κακῶν; μὴ γὰρ ὑπὲρ τῶν παρελθόντων εὐθύνας ἀπαιτῶ, ἐὰν ἴδω μεταβάλλεσθαι βουλομένους; οὐ καθ' ἑκάστην ἡμέραν βοῶ λέγων· «Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν»; Οὐ διὰ τοῦτο πάντα ποιῶ, ἵνα τῆς ἀπωλείας ἐξαρπάσω τοὺς ἐπὶ τῇ πλάνῃ προκατειλημμένους; Μὴ γάρ, ἐὰν ἴδω μεταβαλλομένους, ὑπερτίθεμαι; Οὐκ ἐγώ εἰμι ὁ λέγων· «Ἔτι λαλοῦντός σου ἐρῶ· ἰδοὺ πάρειμι»; Μὴ γὰρ οὕτως αὐτοὶ ἐπιθυμοῦσι τῆς ἑαυτῶν σωτηρίας, ὡς ἐμοὶ περισπούδαστόν ἐστιν ἅπαντας ἀνθρώπους

---

4. Ἱερ. 7, 17 - 18.
5. Ἱερ. 3, 7.
6. Ἰεζ. 18, 23.
7. Ἡσ. 58, 9.

πρεσβείας τῶν ἁγίων καὶ ἄς παρακαλῶμεν νὰ προσεύχωνται διὰ τὴν σωτηρίαν μας, ὅμως νὰ μὴ ἐπαναπαυώμεθα μόνον εἰς τὰς ἱκεσίας ἐκείνων, ἀλλὰ καὶ ἡμεῖς οἱ ἴδιοι νὰ κανονίζωμεν, ὅπως πρέπει, τὴν συμπεριφοράν μας καὶ ἄς φροντίζωμεν διὰ τὴν πρὸς τὸ καλύτερον μεταβολήν, διὰ νὰ δώσωμεν χῶρον καὶ εἰς τὴν πρεσβείαν, ἡ ὁποία γίνεται πρὸς χάριν μας.

Αὐτὸ τὸ λέγει ὁ Κύριος τῶν ὅλων καὶ πρὸς ἄλλον προφήτην. «Δὲν βλέπεις τί κάμνουν αὐτοί; Καίουν τὰ λίπη καὶ κάνουν διάφορα κατασκευάσματα πρὸς τιμὴν τῆς στρατιᾶς τῶν ἀστέρων τοῦ οὐρανοῦ»[4]. Ὡσὰν νὰ λέγῃ πρὸς αὐτόν. Μὲ παρακαλεῖς δι' αὐτούς, οἱ ὁποῖοι δὲν παύουν νὰ κάμουν τὴν ἀδικίαν, ποὺ δὲν ἠμποροῦν νὰ αἰσθανθοῦν τὴν νόσον, ἀπὸ τὴν ὁποίαν κατέχονται, ἀλλὰ ζοῦν μὲ τόσην ἀναισθησίαν; Δὲν βλέπεις τὴν ὑπερβολικήν των περιφρόνησιν; Δὲν βλέπεις τὴν μεγάλην των μανίαν; Ὅτι δὲν ἐκορέσθη ἀκόμη ἡ ἀσέβειά των, ἀλλ' ὡς χοῖρος εἰς τὸν βόρβορον κυλίονται μέσα εἰς τὰς παρανομίας των; Μήπως δηλαδή, ἐάν ἤθελον νὰ ἐπιστρέψουν, ἀνέμενον νὰ τοὺς ἐνθαρρύνω; Δὲν εἶμαι ἐγὼ αὐτός, ὁ ὁποῖος ὁμιλῶ διὰ τοῦ στόματος τῶν προφητῶν καὶ λέγω, «Καὶ εἶπον μετὰ ἀπὸ τὴν πορνείαν αὐτῆς. Μετὰ ἀπὸ ὅλα αὐτὰ νὰ ἐπιστρέψῃς καὶ δὲν ἐπέστρεψε»[5]; Μήπως δηλαδὴ ζητῶ τίποτε ἄλλο παρὰ νὰ παύσουν μόνον νὰ εἶναι πονηροὶ καὶ νὰ σταματήσουν νὰ κάμουν τὰ κακά; Μήπως ζητῶ εὐθύνας διὰ τὰ ἁμαρτήματα τοῦ παρελθόντος, ἐὰν ἰδῶ αὐτοὺς νὰ θέλουν νὰ μετανοήσουν; Δὲν φωνάζω κάθε ἡμέραν καὶ λέγω, «Δὲν ἐπιθυμῶ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, μέχρις ὅτου μετανοήσῃ καὶ ζήσῃ»[6]; Δὲν κάμω τὰ πάντα διὰ τοῦτο, διὰ νὰ γλυτώσω δηλαδὴ ἀπὸ τὴν καταστροφήν, ὅσους ἔχουν παραπλανηθῆ; Μήπως δηλαδὴ ἀντιδρῶ, ὅταν τοὺς ἰδῶ νὰ μετανοοῦν; Δὲν εἶμαι ἐγὼ αὐτός, ὁ ὁποῖος λέγει· «Ἐνῷ ἀκόμη προσεύχεσαι θὰ σοῦ εἰπῶ. Ἰδοὺ ἔχω ἔλθει»[7]; Μήπως αὐτοὶ ἐπιθυμοῦν τὴν σωτηρίαν των τόσον, ὅσον ἐγὼ φροντίζω νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν τὴν ἀλήθειαν; Μήπως λοιπὸν διὰ τοῦτο σὲ ἐδημι-

σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν; Μὴ γὰρ διὰ τοῦτό σε ἀπὸ τοῦ μὴ ὄντος παρήγαγον, ἵνα ἀπολέσω; μὴ γὰρ εἰκῇ τὴν βασιλείαν καὶ τὰ μυρία καὶ ἀπόρρητα ἀγαθὰ ηὐτρέπισα; Οὐχὶ διὰ τοῦτο καὶ γέενναν ἠπείλησα, ἵνα εἰς τὴν βασιλείαν ἅπαντας καὶ διὰ τούτου δραμεῖν παρασκευάσω;

Μὴ τοίνυν, ὦ μακάριε προφῆτα, ἐκείνους καταλιμπάνων, ἐμοὶ πρόσαγε τὴν παράκλησιν, ἀλλ' ἕν σοι τοῦτο διὰ σπουδῆς ἔστω, ὥστε τῆς ἐκείνων νόσου περιγενέσθαι καὶ εἰς αἴσθησιν ἀγαγεῖν τῆς ἀρρωστίας, καὶ πρὸς ὑγίειαν ἐπαναγαγεῖν καὶ τὰ παρ' ἐμοῦ πάντως ἕψεται. Οὐ γὰρ μέλλω, οὐδὲ ἀναβάλλομαι, ἐπειδὰν ἴδω ψυχὴν εὐγνώμονα· ἓν γὰρ μόνον ἐπιζητῶ, ὁμολογίαν τῶν ἐπταισμένων καὶ οὐκ ἔτι τὴν ἐπὶ τοῖς ἐπταισμένοις δίκην ἐπάγω. Μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς τὸ παρ' ἐμοῦ προτεινόμενον; Εἰ μὴ ᾔδειν χείρους γινομένους, ἐκ τοῦ μὴ ὁμολογῆσαι τὰ πρότερα ἁμαρτήματα, οὐκ ἂν οὐδὲ τοῦτο ἐζήτουν. Ἀλλ' ἐπειδὴ οἶδα τὸ τῶν ἀνθρώπων γένος μᾶλλον πρὸς κακίαν ῥέπον, διὰ τοῦτο βούλομαι τὰ πρότερα ὁμολογῆσαι ἁμαρτήματα, ἵνα ἡ ὁμολογία κώλυμα αὐτοῖς γένηται πρὸς τὸ μὴ τοῖς αὐτοῖς περιπεσεῖν.

3. Ταῦτα τοίνυν, ἀγαπητοί, ἀναλογιζόμενοι καὶ ἐννοοῦντες τοῦ ἡμετέρου Δεσπότου τὴν φιλανθρωπίαν, μὴ ῥᾳθυμῶμεν, ἀλλὰ πρότερον πολλὴν ἑαυτῶν τὴν ἐπιμέλειαν ποιώμεθα καὶ τὸν ῥύπον τὸν ἀπὸ τῶν ἁμαρτημάτων ἐκκαθάρωμεν καὶ οὕτω ἐπὶ τὰς πρεσβείας τῶν ἁγίων σπεύδωμεν. Ἐὰν γὰρ βουλώμεθα νήφειν καὶ ἐγρηγορέναι καὶ δι' ἑαυτῶν παρακαλοῦντες τὰ μέγιστα ὀνησόμεθα. Ἐπειδὴ γὰρ φιλάνθρωπός ἐστιν ὁ Δεσπότης ὁ ἡμέτερος, οὐχ οὕτω δι' ἑτέρων παρακαλούμενος ὑπὲρ ἡμῶν ἐπινεύει, ὡς δι' ἡμῶν αὐτῶν. Ὅρα ἀγαθότητος ὑπερβολήν· ἐὰν ἴδῃ τοὺς προσκεκρουκότας ἡμᾶς, τοὺς ἠτιμωμένους, τοὺς μηδεμίαν παρρησίαν ἔχοντας, μικρὸν διεγερθέντας καὶ

ούργησα ἐκ τοῦ μὴ ὄντος, διὰ νὰ σὲ καταστρέψω; Μήπως προητοίμασα χωρὶς σκοπὸν τὴν αἰώνιον βασιλείαν καὶ τὰ μύρια καὶ ἀνέκφραστα ἀγαθά; Μήπως διὰ τοῦτο δὲν ἠπείλησα καὶ μὲ τὴν γέενναν τοῦ πυρός, διὰ νὰ κάμω τοὺς πάντας νὰ τρέξουν πρὸς τὴν οὐράνιον βασιλείαν φοβούμενοι αὐτό;

Μὴ ἐγκαταλείπῃς, λοιπόν, μακάριε προφῆτα, ἐκείνους καὶ προσεύχεσαι εἰς ἐμένα, ἀλλὰ νὰ φροντίζῃς δι' ἓν μόνον, νὰ ὑπερνικήσῃς δηλαδὴ τὴν ἀσθένειαν ἐκείνων καὶ νὰ τοὺς κάνῃς νὰ αἰσθανθοῦν τὴν νόσον των, νὰ τοὺς ἐπαναφέρῃς εἰς τὴν ὑγείαν καὶ τότε θὰ ἀκολουθήσῃ ὁπωσδήποτε ἡ δική μου βοήθεια. Διότι δὲν καθυστερῶ, οὔτε ἀναβάλλω, ὅταν ἰδῶ μίαν ψυχὴν εὐγνώμονα. Καθ' ὅσον μόνον ἐπιζητῶ, τὴν ὁμολογίαν τῶν ἁμαρτιῶν καὶ τότε δὲν τιμωρῶ δι' αὐτάς. Μήπως εἶναι τίποτε τὸ βαρὺ καὶ τὸ δύσκολον αὐτό, τὸ ὁποῖον ἐγὼ προτείνω; Ἐὰν δὲν ἐγνώριζον, ὅτι γίνονται χειρότεροι, ἐπειδὴ δὲν ὁμολογογοῦν τὰ προηγούμενα ἁμαρτήματα, οὔτε καὶ αὐτὸ θὰ ἐζήτουν. Ἀλλ' ἐπειδὴ γνωρίζω, ὅτι τὸ ἀνθρώπινον γένος ρέπει κατ' ἐξοχὴν πρὸς τὴν κακίαν, διὰ τοῦτο ἐπιθυμῶ νὰ ὁμολογήσουν τὰ προηγούμενα ἁμαρτήματα, ὥστε ἡ ὁμολογία νὰ γίνῃ εἰς αὐτοὺς ἐμπόδιον, διὰ νὰ μὴ ἐπαναλάβουν τὰ ἴδια ἁμαρτήματα.

3. Ἔχοντες λοιπὸν ὑπ' ὄψιν αὐτά, ἀγαπητοί, καὶ ἀνταλογιζόμενοι τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας, ἂς μὴ μᾶς κυριεύῃ ἡ ὀκνηρία, ἀλλὰ κατὰ πρῶτον νὰ φροντίζωμεν διὰ τοὺς ἑαυτούς μας καὶ νὰ καθαρίζωμεν τὸν ρύπον τῶν ἁμαρτιῶν καὶ ἔπειτα νὰ καταφεύγωμεν εἰς τὰς πρεσβείας τῶν ἁγίων. Διότι, ἐὰν θέλωμεν νὰ ἀγρυπνῶμεν καὶ νὰ εὑρισκώμεθα ἐν ἐγρηγόρσει, τότε θὰ ὠφεληθῶμεν πάρα πολὺ καὶ ἂν προσευχώμεθα μόνοι μας. Ἐπειδὴ δηλαδὴ εἶναι φιλάνθρωπος ὁ Κύριός μας, δὲν μᾶς βοηθεῖ τόσον, ὅταν παρακαλῆται ἀπὸ ἄλλους, ὅσον ὅταν ἡμεῖς οἱ ἴδιοι τὸν παρακαλοῦμεν. Βλέπε τὸ μέγεθος τῆς ἀγαθότητος. Ἐὰν ἰδῇ ἡμᾶς τοὺς ἁμαρτωλούς, τοὺς ἠτιμασμένους, τοὺς οὐδεμίαν παρρησίαν ἔχοντας, νὰ ἀφυπνισθῶμεν ὀλίγον

ἐπὶ τὸν πλοῦτον τῆς φιλανθρωπίας αὐτοῦ καταφυγεῖν ἐθελήσαντας, εὐθέως ἐπινεύει ταῖς αἰτήσεσι καὶ χεῖρα ὀρέγει κειμένοις καὶ διανίστησι πεπτωκότας καὶ βοᾷ λέγων· «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται;». Ἀλλ' ἵνα μάθητε καὶ ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι πολλοὶ δι' ἑαυτῶν μᾶλλον παρακαλέσαντες ἴσχυσαν ἐπιτυχεῖν τῶν σπουδαζομένων, ἢ δι' ἑτέρων, ἀναγκαῖόν ἐστι τοὺς ἐπιτυχόντας εἰς μέσον παραγαγεῖν, ἵνα καὶ ἡμεῖς μιμησώμεθα καὶ εἰς ζῆλον διεγερθῶμεν.

Ἀκούσωμεν τοίνυν πῶς ἡ Χαναναία ἐκείνη γυνὴ κατώδυνος οὖσα τὴν ψυχὴν καὶ ἀλλόφυλος, ἐπειδὴ εἶδε τὸν τῶν ψυχῶν ἰατρὸν καὶ τὸν ἥλιον τῆς δικαιοσύνης ἀνατείλαντα τοῖς ἐν σκότει καθημένοις, ὅπως μετὰ θερμῆς καὶ ζεούσης προθυμίας τὴν πρόσοδον ἐποιήσατο καὶ οὔτε τὸ γυναῖκα αὐτὴν εἶναι, οὔτε τὸ ἀλλόφυλον, ὀκνηροτέραν γενέσθαι παρεσκεύασεν, ἀλλὰ πάντα τὰ κωλύματα ταῦτα παρωσαμένη, προσελθοῦσά φησιν· «Ἐλέησόν με, Κύριε, ὅτι ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται». Ἀλλ' ὁ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος σιγᾷ καὶ οὐκ ἀποκρίνεται, οὐ λόγου μεταδίδωσιν, οὐδὲ οἰκτείρει τὸ γύναιον, ὁρῶν μετὰ τοσαύτης οἰμωγῆς προσελθοῦσαν, ἀλλὰ μακροθυμεῖ, βουλόμενος τὸν λανθάνοντα θησαυρὸν ἐν τῇ γυναικὶ κατάδηλον ἅπασι ποιῆσαι. Ἤδει γὰρ τὸν κρυπτόμενον μαργαρίτην, ὃν οὐκ ἐβούλετο λαθεῖν ἡμᾶς καὶ διὰ τοῦτο ἀναβάλλεται, καὶ οὐδὲ ἀποκρίσεως ἀξιοῖ, ἵνα ἡ πολλὴ τῆς γυναικὸς προσεδρία διδασκαλία πᾶσι γένηται τοῖς μετὰ ταῦτα. Καὶ ὅρα τοῦ Θεοῦ τὴν ἄφατον ἀγαθότητα. Αὐτὸς μέν, φησίν, οὐκ ἀπεκρίνατο αὐτῇ· οἱ δὲ μαθηταὶ συμπαθέστεροι καὶ φιλανθρωπότεροι νομίζοντες εἶναι, οὐ τολμῶσι φανερῶς εἰπεῖν· παράσχου αὐτῇ τὴν αἴτησιν, ἐλέησον αὐτήν, σπλαγχνίσθητι ἐπ' αὐτῇ· ἀλλὰ τί; «Ἀπόλυσον

καὶ νὰ ἐπιθυμοῦμεν νὰ καταφύγωμεν εἰς τὴν ἀπεριόριστον φιλανθρωπίαν του, ἀμέσως εἰσακούει τὰς παρακλήσεις μας καὶ ἁπλώνει τὴν χεῖρα του εἰς τοὺς πεπτωκότας καὶ μᾶς σηκώνει καὶ φωνάζει λέγων· «Μήπως ὁ πίπτων δὲν σηκώνεται;»[8]. Ἀλλὰ διὰ νὰ καταλάβετε ἀπὸ τὰ ἴδια τὰ γεγονότα, ὅτι πολλοὶ ἄνθρωποι ἠμπόρεσαν νὰ ἐπιτύχουν αὐτά, ποὺ ἐπεδίωκον, ἀφοῦ παρεκάλεσαν αὐτοὶ οἱ ἴδιοι τὸν Θεόν, παρὰ ὅταν παρεκάλεσαν ἄλλοι, εἶναι ἀνάγκη νὰ ἀναφέρωμεν αὐτούς, οἱ ὁποῖοι ἐπέτυχον αὐτό, ὥστε καὶ ἡμεῖς νὰ τοὺς μιμηθῶμεν καὶ νὰ αὐξηθῇ ὁ ζῆλος μας.

Ἂς ἀκούσωμεν λοιπόν, πῶς ἐκείνη ἡ Χαναναία γυναῖκα, ἐνῷ ὑπέφερε ἡ ψυχή της καὶ ἦτο ἀλλόφυλος, ὅταν εἶδε τὸν ἰατρὸν τῶν ψυχῶν καὶ τὸν ἀνατείλαντα ἥλιον τῆς δικαιοσύνης εἰς αὐτούς, οἱ ὁποῖοι εὑρίσκονται εἰς τὸ σκότος, προσηυχήθη μὲ θερμὴν καὶ ζέουσαν προθυμίαν καὶ οὔτε τὸ ὅτι ἦτο γυναῖκα, οὔτε τὸ ὅτι ἦτο ἀλλόφυλος, ἔκαμεν αὐτὴν νὰ γίνῃ διστακτική, ἀλλ', ἀφοῦ ἀπεμάκρυνεν ὅλα τὰ ἐμπόδια, ἦλθε πλησίον του καὶ λέγει· «Ἐλέησόν με, Κύριε, διότι ἡ θυγατέρα μου κατέχεται καὶ ὑποφέρει ἀπὸ κακὸν δαιμόνιον»[9]. Ἀλλ' αὐτός, ὁ ὁποῖος γνωρίζει καλὰ τὰ ἀπόρρητα τῆς διανοίας μας, σιωπᾷ καὶ δὲν ἀποκρίνεται, δὲν τῆς δίδει τὸν λόγον, οὔτε λυπεῖται τὴν γυναῖκα, ἂν καὶ εἶδεν αὐτὴν νὰ τὸν πλησιάζῃ μὲ τόσην ὀδύνην, ἀλλὰ μακροθυμεῖ, ἐπειδὴ ἤθελε νὰ φανερώσῃ εἰς ὅλους τὸν θησαυρόν, ὁ ὁποῖος ἦτο κρυμμένος εἰς τὴν γυναῖκα ἐκείνην. Καθ' ὅσον ἐγνώριζε τὸν κρυμμένον μαργαρίτην, τὸν ὁποῖον δὲν ἤθελε νὰ μὴ γνωρίσωμεν ἡμεῖς καὶ διὰ τοῦτο καθυστερεῖ καὶ δὲν τὴν ἀξιώνει οὔτε νὰ τῆς ἀπαντήσῃ, ὥστε ἡ μεγάλη ἐπιμονὴ τῆς γυναικὸς νὰ γίνῃ ἀφορμὴ διδασκαλίας εἰς τοὺς μεταγενεστέρους. Καὶ βλέπε τὴν ἀπερίγραπτον ἀγαθότητα τοῦ Θεοῦ. Ὁ ἴδιος, λέγει, δὲν ἀπεκρίθη εἰς αὐτήν. Οἱ μαθηταὶ ὅμως, ἐπειδὴ ἐνόμιζον, ὅτι εἶναι περισσότερον φιλόστοργοι καὶ φιλάνθρωποι δὲν τολμοῦν νὰ εἰποῦν φανερά, Ἱκανοποίησε τὸ αἴτημά της, ἐλέησε αὐτὴν καὶ δεῖξε της εὐσπλα-

αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν», μονονουχὶ λέγοντες· ἐλευθέρωσον ἡμᾶς τῆς ἐπαχθείας, ἀπάλλαξον ἡμᾶς τῆς κραυγῆς τῆς παρ' αὐτῆς γινομένης. Τί οὖν ὁ Δεσπότης; Νομίζετέ με, φησίν, εἰκῇ σεσιγηκέναι καὶ μὴ ἀξιῶσαι αὐτὴν ἀποκρίσεως; 'Ακούετε· «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου 'Ισραήλ». Οὐκ ἴστε, φησίν, ὅτι ἀλλόφυλός ἐστιν ἡ γυνή; οὐκ ἴστε ὅτι καὶ ὑμῖν ἤδη παρηγγύησα εἰς ὁδὸν ἐθνῶν μὴ ἀπελθεῖν; Τίνος οὖν ἕνεκεν οὕτως ἀνεξετάστως τὴν συμπάθειαν ἐπιδείκνυσθε;

Σκόπει τὴν εὐμήχανον τοῦ Θεοῦ σοφίαν, πῶς καὶ ὅτε ἔδοξεν ἀποκρίνεσθαι, τῆς σιγῆς βαρύτερον καθικνεῖτο τῆς γυναικὸς καὶ μονονουχὶ καιρίαν αὐτῇ δέδωκε τὴν πληγήν, κατὰ μικρὸν αὐτὴν διεγεῖραι βουλόμενος, ἵνα μάθωσιν ἀγνοοῦντες οἱ μαθηταὶ τὴν ἐγκεκρυμμένην ἐν αὐτῇ πίστιν. 'Αλλ' οὐδὲ οὕτως ἐνάρκησεν, οὐδὲ ὀκνηροτέρα γέγονε θεασαμένη καὶ τοὺς μαθητὰς οὐδὲν πλέον ἀνύσαντας καὶ οὐκ εἶπε πρὸς ἑαυτήν· εἰ μηδὲ οὗτοι ἴσχυσαν δυσωπῆσαι τὴν ὑπὲρ ἐμοῦ ἱκεσίαν ποιησάμενοι, τίνος ἕνεκεν εἰκῇ καὶ μάτην προσεδρεύω; ἀλλὰ καθάπερ ἀπὸ πυρὸς φλεγομένη καὶ ἐμπιπραμένη τὸν λογισμὸν καὶ τὰ σπλάγχνα διακοπτομένη, πρόσεισι προσκυνοῦσα καὶ λέγουσα, «Κύριε, βοήθει μοι». Καὶ οὐδὲ οὕτως ἐπινεύει τῇ γυναικί, ἀλλ' ἀπόκρισιν ποιεῖται τῆς προτέρας βαρυτέραν. «Οὐκ ἔστι», φησί, «καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις». 'Εννόησον, ἀγαπητὲ καὶ θαύμασον ἐνταῦθα τῆς ψυχῆς αὐτῆς τὸν πόθον καὶ τὴν πίστιν τὴν ὑπερβάλλουσαν· ὅτι κυνάριον ἀκούσασα οὐκ ἐδυσχέρανεν, οὐκ ἀπεπήδησεν, ἀλλὰ μετὰ πολλῆς εὐγνωμοσύνης φησί· «Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῆς τρα-

---

8. 'Ιερ. 8, 4.
9. Ματθ. 15, 22.
10. Ματθ. 15, 23.
11. Ματθ. 15, 24.
12. Ματθ. 15, 25.
13. Ματθ. 15, 26.

χνίαν, ἀλλὰ τί λέγουν; «Κάμε εἰς αὐτήν, ὅ,τι θέλει, διότι φωνάζει δυνατὰ ὄπισθεν ἡμῶν»[10], ὡσὰν νὰ λέγουν· Ἀπάλλαξέ μας ἀπὸ τὴν ἐνόχλησιν αὐτήν, σῶσε μας ἀπὸ τὰς κραυγὰς αὐτῆς. Τί κάνει λοιπὸν ὁ Κύριος; Νομίζετε, λέγει, ὅτι χωρὶς λόγον σιωπῶ καὶ δὲν τὴν θεωρῶ ἀξίαν ἀπαντήσεως; Ἀκούσατε· «Δὲν ἀπεστάλην ἀπὸ τὸν Πατέρα μου παρὰ μόνον διὰ τὰ ἀπολωλότα πρόβατα τοῦ οἴκου Ἰσραήλ»[11]. Δὲν γνωρίζετε, λέγει, ὅτι ἡ γυναῖκα αὐτὴ εἶναι ἀλλόφυλος; Δὲν γνωρίζετε, ὅτι καὶ εἰς σᾶς ἔδωσα τὴν ἐντολὴν νὰ μὴ μεταβῆτε εἰς ὁδόν, ἡ ὁποία ὁδηγεῖ πρὸς ἐθνικούς; Διατί λοιπὸν ἔτσι χωρὶς νὰ ἐξετάσητε, δεικνύετε τὴν συμπάθειάν σας πρὸς αὐτήν;

Πρόσεχε τὴν ἐφευρετικὴν σοφίαν τοῦ Θεοῦ, πῶς καὶ ὅταν ἐφάνη, ὅτι θὰ ἀποκριθῇ πρὸς αὐτήν, προσέβαλε τὴν γυναῖκα βαρύτερα ἀπὸ τὴν σιωπὴν καὶ ἔδωσεν εἰς αὐτὴν σχεδὸν καίριον πλῆγμα ἐπιθυμῶν νὰ διεγείρῃ αὐτὴν ὀλίγον κατ' ὀλίγον, ὥστε νὰ μάθουν οἱ μαθηταί, οἱ ὁποῖοι ἠγνόουν, τὴν πίστιν πού ἐκρύπτετο ἐντὸς αὐτῆς. Ἀλλὰ οὔτε καὶ μὲ αὐτὸν τὸν τρόπον ἔδειξεν ὀκνηρίαν, οὔτε ἔγινε περισσότερον διστακτική, ἐπειδὴ εἶδεν, ὅτι καὶ οἱ μαθηταὶ μὲ τὴν παρέμβασίν των δὲν ἐπέτυχον τίποτε περισσότερον, οὔτε ἐσκέφθη, Ἐὰν δὲν ἠμπόρεσαν οὔτε οἱ ἴδιοι οἱ μαθηταί του νὰ τὸν ἀλλάξουν, ἀφοῦ τὸν παρεκάλεσαν πρὸς χάριν μου, διατί ἐπιμένω ματαίως καὶ χωρὶς λόγον; Ἀλλὰ ὡσὰν νὰ ἐκαίγετο ἀπὸ φωτιάν, ὡσὰν νὰ ἐφλογίζετο ὁ νοῦς της καὶ νὰ ἐκόπτοντο τὰ σπλάχνα της, πλησιάζει καὶ ἀφοῦ τὸν προσεκύνησε, λέγει· «Κύριε βοήθησέ με»[12]. Καὶ οὔτε τότε ἀποκρίνεται εἰς τὴν γυναῖκα ἀλλὰ τῆς δίδει βαρυτέραν ἀπάντησιν ἀπ' ὅτι προηγουμένως. «Δὲν εἶναι καλόν», λέγει, «νὰ λάβῃ κανεὶς τὸν ἄρτον ἀπὸ τὰ τέκνα καὶ νὰ τὸν δώσῃ εἰς τοὺς σκύλους»[13]. Νὰ σκεφθῇς, ἀγαπητέ, καὶ νὰ θαυμάσῃς ἐδῶ τὸν πόθον τῆς ψυχῆς της καὶ τὴν ὑπερβολικήν της πίστιν. Καθ' ὅσον, ἂν καὶ ἤκουσε νὰ τὴν ἀποκαλῇ κυνάριον, ὅμως δὲν ἀπεγοητεύθη, οὔτε ἀπεμακρύνθη, ἀλλὰ μὲ πολλὴν εὐγνωμοσύνην λέγει· «Ναὶ Κύριε εἶμαι· ὅμως καὶ τὰ κυνάρια

πέζης τῶν κυρίων αὐτῶν». Ὁμολογῶ, φησί, κυνάριον εἶναι· ὡς κυνάριον οὖν με ἀξίωσον τῶν ψιχίων τῆς τραπέζης.

Εἶδες γυναικὸς πίστιν καὶ εὐγνωμοσύνην; Κατεδέξατο τὸ εἰρημένον, καὶ παραχρῆμα ἐπέτυχε τοῦ σπουδαζομένου, καὶ ἐπέτυχε μετὰ πολλῶν τῶν ἐγκωμίων. Τί γάρ φησιν ὁ Χριστός; «Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις». «Ὦ γύναι»· θαυμασμοῦ τὸ ῥῆμα, ἐπαίνου πολλοῦ γέμον τὸ εἰρημένον. Μεγάλην, φησίν, ἐπεδείξω τὴν πίστιν· διὰ τοῦτο τοσαῦτά σοι ὑπάρξει, ὅσα θέλεις. Ὅρα φιλοτιμίας δαψίλειαν καὶ θαύμασον τοῦ Δεσπότου τὴν σοφίαν. Ἆρα οὐκ ἐν προοιμίοις ἐνομίζομεν ἀσυμπαθῆ τινα αὐτὸν εἶναι, οὕτω διακρουόμενον καὶ πρότερον μὲν οὐδὲ ἀποκρίσεως ἀξιοῦντα τὸ γύναιον, μετὰ δὲ ταῦτα καὶ διὰ τῆς προτέρας καὶ διὰ τῆς δευτέρας ἀποκρίσεως μονονουχὶ ἀπελαύνοντα καὶ τὴν μετὰ τοσούτου πόθου προσελθοῦσαν ἀποσοβοῦντα; Ἀλλ' ἐκ τοῦ τέλους κατάμαθε τοῦ Θεοῦ τὴν ἀγαθότητα, ὅτι βουλόμενος αὐτὴν περιφανεστέραν ἐργάσασθαι, διὰ τοῦτο τῇ μακροθυμίᾳ ἐχρήσατο. Εἰ μὲν γὰρ εὐθέως ἐπένευσεν, οὐκ ἂν ἔγνωμεν ἡμεῖς τῆς γυναικὸς τὴν ἀρετήν· ἐπειδὴ δὲ μικρὸν ἀνεβάλλετο, καὶ τοῦ Δεσπότου ἔγνωμεν τὴν ἄφατον φιλανθρωπίαν, κἀκείνης τὴν πίστιν τὴν ὑπερβάλλουσαν.

4. Ταύτην δὲ πᾶσαν τὴν ἱστορίαν εἰς μέσον παραγαγεῖν ἠναγκάσθημεν, ἵνα μάθωμεν, ὅτι οὐχ οὕτω δι' ἑτέρων παρακαλοῦντες ἀνύομεν, ὡς αὐτοὶ δι' ἑαυτῶν, ἐπειδὰν μετὰ θερμότητος προσίωμεν καὶ διεγηγερμένης διανοίας. Ἰδοὺ γὰρ αὕτη καὶ τοὺς μαθητὰς ἔχουσα ὑπὲρ αὐτῆς ἱκετεύοντας οὐδὲν πλέον ἀνύσαι ἠδυνήθη, μέχρις ὅτε αὐτὴ δι' ἑαυτῆς παρα-

14. Ματθ. 15, 27.
15. Ματθ. 15, 28.

τρώγουν ἀπὸ τὰ ψυχία τὰ ὁποῖα πίπτουν ἀπὸ τὴν τράπεζαν τῶν κυρίων αὐτῶν»[14]. Ὁμολογῶ, λέγει, ὅτι εἶμαι κυνάριον. Ὡς κυνάριον, λοιπόν, ἀξίωσέ με νὰ λάβω τὰ ψυχία ἀπὸ τὴν τράπεζάν σου.

Εἶδες τὴν πίστιν καὶ τὴν εὐγνωμοσύνην τῆς γυναικός; Παρεδέχθη ὅ,τι ἐλέχθη καὶ ἀμέσως ἐπέτυχεν αὐτό, τὸ ὁποῖον ἐπεδίωκε καὶ τὸ ἐπέτυχε μάλιστα μετὰ πολλῶν ἐπαίνων. Τί λέγει λοιπὸν ὁ Χριστός; «Ὦ γυναῖκα, ἡ πίστις σου εἶναι μεγάλη. Ἂς γίνῃ, ὅπως σὺ θέλεις»[15]. «Ὦ γυναῖκα». Ὁ λόγος δηλώνει θαυμασμόν, εἶναι πλῆρες ἐπαίνου τὸ λεχθέν. Ἔδειξες μεγάλην πίστιν, λέγει, καὶ δι' αὐτὸ θὰ γίνουν τόσα εἰς σέ, ὅσα θέλεις. Βλέπε τὴν πλουσίαν γενναιοδωρίαν καὶ θαύμασε τὴν σοφίαν τοῦ Κυρίου. Ἆρά γε δὲν ἐνομίζομεν εἰς τὴν ἀρχήν, ὅτι ὁ Κύριος εἶναι κατὰ κάποιον τρόπον σκληρός, ἀφοῦ τὴν ἀπέπεμπε μὲ τέτοιον τρόπον καὶ δὲν κατεδέχετο κατ' ἀρχὰς οὔτε νὰ ἀπαντήσῃ εἰς τὴν γυναῖκα, ἐνῷ εἰς τὴν συνέχειαν καὶ μὲ τὴν πρώτην καὶ μὲ τὴν δευτέραν ἀπάντησιν σχεδὸν τὴν ἐξεδίωξε καὶ ἀπέκρουσεν αὐτήν, ἡ ὁποία εἶχε ἔλθει πλησίον του μὲ τόσον μεγάλον πόθον; Ὅμως ἀπὸ τοῦ τέλους τοῦ γεγονότος νὰ καταλάβῃς τὴν ἀγαθότητα τοῦ Θεοῦ, ὁ ὁποῖος, ἐπειδὴ ἤθελε νὰ καταστήσῃ αὐτὴν ἐνδοξοτέραν, διὰ τοῦτο ἔδειξε τόσην μακροθυμίαν. Ἐὰν δηλαδὴ ἱκανοποίει ἀμέσως τὸ αἴτημά της, δὲν θὰ ἐγνωρίζωμεν ἡμεῖς τὴν ἀρετὴν τῆς γυναικός. Ἐπειδὴ ὅμως ἀνέβαλεν ἐπ' ὀλίγον, ἐγνωρίσαμεν καὶ τὴν ἀπερίγραπτον φιλανθρωπίαν τοῦ Κυρίου καὶ τὴν ὑπερβολικὴν πίστιν ἐκείνης.

4. Ἠναγκάσθημεν νὰ σᾶς ὑπενθυμίσωμεν ὁλόκληρον αὐτὴν τὴν ἱστορίαν, διὰ νὰ καταλάβωμεν, ὅτι δὲν ἐπιτυγχάνομεν τόσον αὐτό, τὸ ὁποῖον ἐπιδιώκομεν, ὅταν παρακαλῶμεν διὰ μέσου ἄλλων, ὅσον, ὅταν ἡμεῖς οἱ ἴδιοι προσευχώμεθα, ἐὰν βεβαίως καταφεύγωμεν πρὸς τὸν Θεὸν μὲ θέρμην καὶ μὲ ἄγρυπνον ψυχήν. Διότι, ἰδού, αὐτὴ ἡ γυναῖκα, ἂν καὶ εἶχε μὲ τὸ μέρος της καὶ τοὺς μαθητὰς καὶ ἱκέτευον ὑπὲρ αὐτῆς, ὅμως δὲν ἠμπόρεσε νὰ ἐπιτύχῃ τίποτε περισσότερον, ἕως ὅτου αὐτὴ ἡ ἰδία μὲ τὴν

μείνασα τὴν φιλανθρωπίαν ἐπεσπάσατο τοῦ Δεσπότου. Καὶ ἡ παραβολὴ δὲ ἐκείνη τοῦ φίλου τοῦ ἀωρὶ τῆς νυκτὸς παραγενομένου καὶ τοὺς τρεῖς ἄρτους αἰτήσαντος, τὸ αὐτὸ αἰνίττεται. «Εἰ γὰρ καὶ μὴ διὰ τὸ φίλος αὐτοῦ εἶναι», φησίν, «ὑπακούσει αὐτῷ, διά γοῦν τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει». Εἰδότες τοίνυν τὴν ἄφατον φιλανθρωπίαν τοῦ ἡμετέρου Δεσπότου, προσίωμεν αὐτῷ, δεικνύντες καὶ μονονουχὶ πρὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων προτιθέντες κατ' εἶδος ἕκαστον τῶν ἡμῖν πεπλημμελημένων καὶ τὴν ὑπὲρ τῶν παρελθόντων συγχώρησιν αἰτοῦντες, ἵνα καὶ εἰς τὸ ἑξῆς πολλὴν ἀκρίβειαν ἐπιδειξάμενοι, πλείονα τὴν παρ' αὐτοῦ εὔνοιαν ἐπισπασώμεθα.

'Αλλ' ἐπανέλθωμεν, εἰ δοκεῖ, ἐπὶ τὴν ἀκολουθίαν τοῦ ἀναγνώσματος. «'Ανέβη δέ», φησί, «Λὼτ εἰς Σηγὼρ καὶ ἐκάθητο ἐν τῷ ὄρει καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ· ἐφοβήθησαν γὰρ οἰκῆσαι ἐν Σηγώρ· καὶ ᾤκησεν ἐν τῷ σπηλαίῳ αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ». 'Εναχμάζοντα ἔχων ἔτι τὸν φόβον τῆς τιμωρίας τῆς ἐπαχθείσης τοῖς κατὰ τὰ Σόδομα, πόρρωθεν ἄπεισιν ὁ δίκαιος καὶ εἰς τὸ ὄρος, φησί, κατοικεῖ μετὰ τῶν θυγατέρων καὶ ἐν ἐρημίᾳ ἐσχάτῃ καὶ μονώσει λοιπὸν ἐτύγχανε μετὰ τῶν δύο θυγατέρων ἐν τῷ ὄρει κατοικῶν. «Εἶπε δέ», φησίν, «ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ὁ πατὴρ ἡμῶν πρεσβύτερος καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ. Δεῦρο καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον καὶ κοιμηθῶμεν μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν σπέρμα ἐκ τοῦ πατρὸς ἡμῶν». Μετ' εὐλαβείας καὶ φόβου πολλοῦ ἀκούωμεν, ἀγαπητοί, τῶν ἐν ταῖς θείαις Γραφαῖς κειμένων· οὐδὲν γὰρ ἁπλῶς καὶ εἰκῇ γέγραπται, ἀλλὰ πάντα συμφερόντως καὶ πρὸς ὠφέλειαν ἡμετέραν, κἂν ἡμεῖς ἔνια ἀγνοῶμεν. Οὐ γὰρ ἅπαντα δυνάμεθα μετὰ ἀκριβείας εἰδέναι, ἀλλ' εἰ καὶ αἰτίας πειρώμεθά

16. Λουκᾶ 11, 8.

ἐπιμονήν της προσείλκυσε τὴν φιλανθρωπίαν τοῦ Κυρίου. Ἀλλὰ καὶ ἐκείνη ἡ παραβολὴ μὲ τὸν φίλον, ὁ ὁποῖος ἐπῆγεν ἀργὰ τὴν νύκτα καὶ ἐζήτησε τοὺς τρεῖς ἄρτους ἀπὸ φίλον του, τὸ ἴδιον ὑπαινίσσεται. Διότι λέγει· «Ἐὰν δὲν ἀνταποκριθῇ εἰς τὸ αἴτημά του λόγῳ τοῦ ὅτι εἶναι φίλος, ὅμως διὰ τὴν ἀναίδειάν του θὰ σηκωθῇ καὶ θὰ τοῦ δώσῃ»[16]. Γνωρίζοντες λοιπὸν τὴν ἀπερίγραπτον φιλανθρωπίαν τοῦ Κυρίου, ἂς προσερχώμεθα πρὸς αὐτὸν δεικνύοντες καὶ ἐκθέτοντες σχεδὸν πρὸ τῶν ὀφθαλμῶν μας καθένα ἀπὸ τὰ ἁμαρτήματά μας καὶ ζητοῦντες συγχώρεσιν διὰ τὰ προηγούμενα παραπτώματα, ὥστε καὶ εἰς τὸ μέλλον νὰ εἴμεθα περισσότερον προσεκτικοὶ καὶ νὰ κερδήσωμεν περισσότερον τὴν ἀγάπην του.

Ἀλλ᾽ ἂς ἐπανέλθωμεν, ἐὰν θέλετε, εἰς τὴν συνέχειαν τοῦ κειμένου τῆς Γραφῆς. «Καὶ ἀνέβη», λέγει, «ὁ Λὼτ ἀπὸ τὴν Σηγὼρ καὶ ἐκάθητο εἰς τὸ ὄρος αὐτό, καὶ αἱ δύο θυγατέρες του μαζί του, διότι ἐφοβήθη νὰ ἐγκατασταθῇ εἰς τὴν Σηγώρ. Καὶ ἐγκατεστάθη εἰς τὸ σπήλαιον αὐτὸς καὶ μαζί του αἱ δύο θυγατέρες του». Εἶχεν ἀκόμη ἔντονον τὸν φόβον ἀπὸ τὴν τιμωρίαν, ἡ ὁποία ἔπληξε τὰ Σόδομα καὶ σπεύδει μακριὰ ὁ δίκαιος καὶ κατοικεῖ, λέγει, εἰς τὸ ὄρος μαζὶ μὲ τὰς θυγατέρας του καὶ εὑρίσκετο ἔτσι εἰς ἄκραν ἐρημίαν καὶ μόνωσιν, ἀφοῦ ἔμενεν εἰς τὸ ὄρος μαζὶ μὲ τὰς θυγατέρας του. «Καὶ εἶπε», λέγει, «ἡ μεγαλυτέρα ἀδελφὴ πρὸς τὴν μικροτέραν. Ὁ πατέρας μας εἶναι μεγάλος καὶ δὲν ὑπάρχει κανεὶς εἰς τὸν τόπον μας, ὁ ὁποῖος θὰ μᾶς νυμφευθῇ, ὅπως συμβαίνει εἰς ὅλην τὴν γῆν. Ἔλα, λοιπὸν νὰ ποτίσωμεν τὸν πατέρα μας μὲ οἶνον καὶ νὰ κοιμηθῶμεν μαζί του καὶ νὰ ἀποκτήσωμεν ἀπογόνους ἀπὸ τὸν πατέρα μας». Μὲ εὐλάβειαν καὶ πολὺν φόβον νὰ ἀκούωμεν, ἀγαπητοί, ὅσα περιέχονται εἰς τὰς ἁγίας Γραφάς. Διότι τίποτε δὲν ἐγράφη ἁπλῶς καὶ χωρὶς λόγον, ἀλλὰ ὅλα ἐγράφησαν διὰ τὸ συμφέρον μας καὶ πρὸς ὄφελός μας, ἔστω καὶ ἂν ἡμεῖς ἀγνοῶμεν μερικά. Καθ᾽ ὅσον δὲν δυνάμεθα νὰ καταλάβωμεν τὰ πάντα μὲ ἀκρίβειαν, ἀλλ᾽ ἂν καὶ προσπαθῶμεν νὰ αἰτιολογήσωμεν μερικὰ γε-

τινων ἀποδιδόναι κατὰ τὸ ἡμῖν ἐφικτόν, ἀλλ᾽ ὅμως καὶ οὕτως ἔχει ἐγκεκρυμμένον τινὰ θησαυρὸν πολὺ ἀπόκρυφόν τε καὶ δυσερμήνευτον.

Σκόπει τοίνυν, πῶς ἡ Γραφὴ πάντα σαφῶς διηγησαμένη καὶ τὸν σκοπὸν ἡμῖν γνωρίσασα τῶν τοῦ δικαίου θυγατέρων, νῦν μὲν ὑπὲρ αὐτῶν ἀρκοῦσαν ἀπολογίαν ποιεῖται, νῦν δὲ ὑπὲρ τοῦ δικαίου, ἵνα μηδεὶς ἀφορῶν πρὸς τὸ γεγονός, μήτε τοῦ δικαίου καταγνοίη, μήτε τῶν αὐτοῦ θυγατέρων, ὡς δι᾽ ἀσέλγειαν τῆς μίξεως ταύτης γεγενημένης. Πῶν οὖν ὑπὲρ τῶν θυγατέρων τοῦ δικαίου ἀπολογεῖται; «Εἶπε», φησίν, «ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ὁ πατὴρ ἡμῶν πρεσβύτερος καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ». Ὅρα τὸν σκοπὸν μετὰ ἀκριβείας καὶ παντὸς αὐτὰς ἀπαλλάξεις ἐγκλήματος. Ἐνόμισαν γὰρ πανωλεθρίαν γεγενῆσθαι καὶ μηδένα ἔτι καταλειφθῆναι· εἶτα καὶ τοῦ πατρὸς ἑώρων τὸ γῆρας. Ἵν᾽ οὖν, φησί, μὴ ἀφανισθῇ τὸ γένος καὶ ἀνώνυμοι γενώμεθα (τοῦτο γὰρ ἦν τὸ παλαιοῖς περισπούδαστον, ὥστε διὰ τῆς τῶν ἐκγόνων διαδοχῆς ἐκτείνεσθαι αὐτῶν τὸ γένος)· ἵνα οὖν, φησί, μὴ παντελῆ καὶ ἡμεῖς ἀφανισμὸν ὑπομείνωμεν, τοῦ μὲν πατρὸς πρὸς γῆρας ἐλάσαντος, οὐδενὸς δὲ εὑρισκομένου ἀνδρός, ᾧ συγγενόμεναι δυνησόμεθα ἐκταθῆναι καὶ καταλιπεῖν τοῦ σπέρματος διαδοχήν, «Δεῦρο», φησίν, ἵνα μὴ τοῦτο γένηται, «ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον». Ἐπειδὴ οὐκ ἄν ποτε, φησίν, ἀνάσχοιτο οὐδὲ ἀκοῇ τοῦτο παραδέξασθαι ὁ πατήρ, διὰ τοῦ οἴνου τὴν ἀπάτην ἐργασώμεθα. «Ἐπότισαν δὲ τον πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ταύτῃ, καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς· καὶ οὐκ ᾔδει ἐν τῷ κοιθημῆναι αὐτήν, καὶ ἀναστῆναι».

Εἶδες πῶς καὶ ὑπὲρ τοῦ δικαίου ἀπελογήσατο ἡ

γονότα, ὅσον μᾶς εἶναι δυνατόν, ὅμως καὶ πάλιν ἔχουν κρυμμένον κάποιον θησαυρόν πολὺ ἀπόκρυφον καὶ δυσερμήνευτον.

Πρόσεχε λοιπὸν πῶς ἡ Γραφή, ἀφοῦ διηγήθη εἰς ἡμᾶς τὰ πάντα μὲ ἀκρίβειαν καὶ ἀφοῦ μᾶς κατέστησε γνωστὸν τὸν σκοπὸν τῶν θυγατέρων τοῦ δικαίου, τώρα δικαιολογεῖ ἱκανοποιητικὰ ἀφ' ἑνὸς μὲν αὐτάς, ἀφ' ἑτέρου δὲ τὸν δίκαιον, ὥστε κανεὶς ἀποβλέπων πρὸς τὸ γεγονὸς αὐτό, νὰ μὴ κατηγορήσῃ οὔτε τὸν δίκαιον, οὔτε τὰς θυγατέρας του, ἐπειδὴ θὰ ἐνόμιζεν, ὅτι ἡ ἕνωσις αὐτὴ ἔγινεν ἀπὸ ἀσέλγειαν. Πῶς λοιπὸν ἀπολογεῖται ὑπὲρ τῶν θυγατέρων τοῦ δικαίου; «Εἶπε», λέγει, «ἡ μεγαλυτέρα πρὸς τὴν μικροτέραν. Ὁ πατέρας μας εἶναι μεγάλος καὶ δὲν ὑπάρχει κανεὶς εἰς τὸν τόπον μας, ὁ ὁποῖος θὰ μᾶς νυμφευθῇ, ὅπως συμβαίνει εἰς ὅλην τὴν γῆν». Βλέπε τὸν σκοπὸν μὲ προσοχὴν καὶ νὰ ἀπαλλάξῃς αὐτὰς ἀπὸ κάθε κατηγορίαν. Ἐνόμισαν δηλαδή, ὅτι ἔγινε καταστροφὴ ὁλοκληρωτικὴ καὶ ὅτι δὲν ἔμεινε κανεὶς ἀπολύτως. Ἔπειτα ἔβλεπον καὶ τὸ γῆρας τοῦ πατρός των. Διὰ νὰ μὴ ἀφανισθῇ, λοιπόν, τὸ γένος μας, λέγει, καὶ χαθῇ τὸ ὄνομά μας, (διότι αὐτὸ ἦτο ἀντικείμενον μεγάλης φροντίδος διὰ τοὺς παλαιούς, ὥστε νὰ διαιωνίζεται τὸ γένος αὐτῶν μὲ τὴν ἀπόκτησιν διαδόχων), διὰ νὰ μὴ ὑπομείνωμεν λοιπὸν καὶ ἡμεῖς, λέγει, ὁλοκληρωτικὸν ἀφανισμόν, ἀφοῦ ὁ μὲν πατὴρ μας ἔφθασεν εἰς τὸ ἔσχατον γῆρας καὶ οὐδεὶς ἄλλος ἄνδρας δὲν εὑρίσκεται ἐδῶ, μὲ τὸν ὁποῖον νὰ ἔλθωμεν εἰς ἐπαφὴν καὶ νὰ ἠμπορέσωμεν νὰ διαιωνίσωμεν τὸ γένος μας καὶ νὰ ἀφήσωμεν διαδόχους, «Ἔλα», λέγει, διὰ νὰ μὴ συμβῇ αὐτό, «νὰ ποτίσωμεν τὸν πατέρα μας μὲ οἶνον». Ἐπειδὴ λέγει, δὲν θὰ ἐδέχετο ποτὲ οὔτε νὰ δεχθῇ νὰ ἀκούσῃ αὐτὸ ὁ πατὴρ μας, ἂς ἐπιτύχωμεν τὴν ἀπάτην μὲ τὸν οἶνον. «Καὶ ἐπότισαν τὸν πατέρα των οἶνον κατὰ τὴν νύκτα ἐκείνην καὶ εἰσελθοῦσα ἡ μεγαλυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς. Καὶ ὁ πατέρας δὲν ἀντελήφθη τίποτε οὔτε ὅταν ἐκοιμήθη, οὔτε ὅταν ἐξύπνησεν».

Εἶδες πῶς ἡ ἁγία Γραφὴ ἀπελογήθη ὑπὲρ τοῦ δικαίου

τινων ἀποδιδόναι κατὰ τὸ ἡμῖν ἐφικτόν, ἀλλ' ὅμως καὶ οὕτως ἔχει ἐγκεκρυμμένον τινὰ θησαυρὸν πολὺ ἀπόκρυφόν τε καὶ δυσερμήνευτον.

Σκόπει τοίνυν, πῶς ἡ Γραφὴ πάντα σαφῶς διηγησαμένη καὶ τὸν σκοπὸν ἡμῖν γνωρίσασα τῶν τοῦ δικαίου θυγατέρων, νῦν μὲν ὑπὲρ αὐτῶν ἀρκοῦσαν ἀπολογίαν ποιεῖται, νῦν δὲ ὑπὲρ τοῦ δικαίου, ἵνα μηδεὶς ἀφορῶν πρὸς τὸ γεγονός, μήτε τοῦ δικαίου καταγνοίη, μήτε τῶν αὐτοῦ θυγατέρων, ὡς δι' ἀσέλγειαν τῆς μίξεως ταύτης γεγενημένης. Πῶν οὖν ὑπὲρ τῶν θυγατέρων τοῦ δικαίου ἀπολογεῖται; «Εἶπε», φησίν, «ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ὁ πατὴρ ἡμῶν πρεσβύτερος καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ». Ὅρα τὸν σκοπὸν μετὰ ἀκριβείας καὶ παντὸς αὐτὰς ἀπαλλάξεις ἐγκλήματος. Ἐνόμισαν γὰρ πανωλεθρίαν γεγενῆσθαι καὶ μηδένα ἔτι καταλειφθῆναι· εἶτα καὶ τοῦ πατρὸς ἑώρων τὸ γῆρας. Ἵν' οὖν, φησί, μὴ ἀφανισθῇ τὸ γένος καὶ ἀνώνυμοι γενώμεθα (τοῦτο γὰρ ἦν τὸ παλαιοῖς περισπούδαστον, ὥστε διὰ τῆς τῶν ἐκγόνων διαδοχῆς ἐκτείνεσθαι αὐτῶν τὸ γένος)· ἵνα οὖν, φησί, μὴ παντελῆ καὶ ἡμεῖς ἀφανισμὸν ὑπομείνωμεν, τοῦ μὲν πατρὸς πρὸς γῆρας ἐλάσαντος, οὐδενὸς δὲ εὑρισκομένου ἀνδρός, ᾧ συγγενόμεναι δυνησόμεθα ἐκταθῆναι καὶ καταλιπεῖν τοῦ σπέρματος διαδοχήν, «Δεῦρο», φησίν, ἵνα μὴ τοῦτο γένηται, «ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον». Ἐπειδὴ οὐκ ἄν ποτε, φησίν, ἀνάσχοιτο οὐδὲ ἀκοῇ τοῦτο παραδέξασθαι ὁ πατήρ, διὰ τοῦ οἴνου τὴν ἀπάτην ἐργασώμεθα. «Ἐπότισαν δὲ τον πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ταύτῃ, καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς· καὶ οὐκ ᾔδει ἐν τῷ κοιθημῆναι αὐτήν, καὶ ἀναστῆναι».

Εἶδες πῶς καὶ ὑπὲρ τοῦ δικαίου ἀπελογήσατο ἡ

γονότα, ὅσον μᾶς εἶναι δυνατόν, ὅμως καὶ πάλιν ἔχουν κρυμμένον κάποιον θησαυρὸν πολὺ ἀπόκρυφον καὶ δυσερμήνευτον.

Πρόσεχε λοιπὸν πῶς ἡ Γραφή, ἀφοῦ διηγήθη εἰς ἡμᾶς τὰ πάντα μὲ ἀκρίβειαν καὶ ἀφοῦ μᾶς κατέστησε γνωστὸν τὸν σκοπὸν τῶν θυγατέρων τοῦ δικαίου, τώρα δικαιολογεῖ ἱκανοποιητικὰ ἀφ᾽ ἑνὸς μὲν αὐτάς, ἀφ᾽ ἑτέρου δὲ τὸν δίκαιον, ὥστε κανεὶς ἀποβλέπων πρὸς τὸ γεγονὸς αὐτό, νὰ μὴ κατηγορήσῃ οὔτε τὸν δίκαιον, οὔτε τὰς θυγατέρας του, ἐπειδὴ θὰ ἐνόμιζεν, ὅτι ἡ ἕνωσις αὐτὴ ἔγινεν ἀπὸ ἀσέλγειαν. Πῶς λοιπὸν ἀπολογεῖται ὑπὲρ τῶν θυγατέρων τοῦ δικαίου; «Εἶπε», λέγει, «ἡ μεγαλυτέρα πρὸς τὴν μικροτέραν. Ὁ πατέρας μας εἶναι μεγάλος καὶ δὲν ὑπάρχει κανεὶς εἰς τὸν τόπον μας, ὁ ὁποῖος θὰ μᾶς νυμφευθῇ, ὅπως συμβαίνει εἰς ὅλην τὴν γῆν». Βλέπε τὸν σκοπὸν μὲ προσοχὴν καὶ νὰ ἀπαλλάξῃς αὐτὰς ἀπὸ κάθε κατηγορίαν. Ἐνόμισαν δηλαδή, ὅτι ἔγινε καταστροφὴ ὁλοκληρωτικὴ καὶ ὅτι δὲν ἔμεινε κανεὶς ἀπολύτως. Ἔπειτα ἔβλεπον καὶ τὸ γῆρας τοῦ πατρός των. Διὰ νὰ μὴ ἀφανισθῇ, λοιπόν, τὸ γένος μας, λέγει, καὶ χαθῇ τὸ ὄνομά μας, (διότι αὐτὸ ἦτο ἀντικείμενον μεγάλης φροντίδος διὰ τοὺς παλαιούς, ὥστε νὰ διαιωνίζεται τὸ γένος αὐτῶν μὲ τὴν ἀπόκτησιν διαδόχων), διὰ νὰ μὴ ὑπομείνωμεν λοιπὸν καὶ ἡμεῖς, λέγει, ὁλοκληρωτικὸν ἀφανισμόν, ἀφοῦ ὁ μὲν πατήρ μας ἔφθασεν εἰς τὸ ἔσχατον γῆρας καὶ οὐδεὶς ἄλλος ἄνδρας δὲν εὑρίσκεται ἐδῶ, μὲ τὸν ὁποῖον νὰ ἔλθωμεν εἰς ἐπαφὴν καὶ νὰ ἠμπορέσωμεν νὰ διαιωνίσωμεν τὸ γένος μας καὶ νὰ ἀφήσωμεν διαδόχους, «Ἔλα», λέγει, διὰ νὰ μὴ συμβῇ αὐτό, «νὰ ποτίσωμεν τὸν πατέρα μας μὲ οἶνον». Ἐπειδὴ λέγει, δὲν θὰ ἐδέχετο ποτὲ οὔτε νὰ δεχθῇ νὰ ἀκούσῃ αὐτὸ ὁ πατήρ μας, ἂς ἐπιτύχωμεν τὴν ἀπάτην μὲ τὸν οἶνον. «Καὶ ἐπότισαν τὸν πατέρα των οἶνον κατὰ τὴν νύκτα ἐκείνην καὶ εἰσελθοῦσα ἡ μεγαλυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς. Καὶ ὁ πατέρας δὲν ἀντελήφθη τίποτε οὔτε ὅταν ἐκοιμήθη, οὔτε ὅταν ἐξύπνησεν».

Εἶδες πῶς ἡ ἁγία Γραφὴ ἀπελογήθη ὑπὲρ τοῦ δικαίου

θεία Γραφή, οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον; Πρότερον μὲν γὰρ ἐξ ὧν αἱ θυγατέρες τὴν διὰ τοῦ οἴνου ἀπάτην εἰργάσαντο, ἔδειξεν ὡς οὐκ ἂν ἑτέρως ἠδυνήθησαν πεῖσαι τὸν πατέρα τοῦτο καταδέξασθαι· νυνὶ δὲ λοιπὸν οἶμαι καὶ οἰκονομίας εἶναι τῆς ἄνωθεν τὸ γεγονός, ὥστε τοσοῦτον αὐτῷ κάρον ἐγγενέσθαι, ὥς πάντῃ ἀγνοῆσαι, ἵνα ἀνεύθυνος γένηται τῶν ἐγκλημάτων. Τὰ γὰρ ἁμαρτήματα ἐκεῖνα ἡμᾶς κατακρίνει καὶ καταδικάζει, ἅπερ ἂν εἰδότες καὶ ἑκόντες ἁμάρτωμεν. Ὁρᾷς δὲ τὴν Γραφὴν μαρτυροῦσαν τῷ δικαίῳ, ὅτι ὅλως οὐκ ᾔδει τὸ γεγονός; Ἀλλὰ πάλιν ἕτερον ἀνακύπτει ζήτημα τὸ τῆς μέθης. Δεῖ γὰρ πάντα διερευνᾶσθαι, ὥστε μηδεμίαν καταλιπεῖν τοῖς ἀγνώμοσι καὶ ἀναισχύντοις ἀφορμήν. Τί οὖν καὶ περὶ τούτου εἴπωμεν; Ὅτι οὐ τοσοῦτον ἐξ ἀκρασίας τὰ τῆς μέθης αὐτῷ γέγονεν, ὅσον ἀπὸ ἀθυμίας.

5. Μηδεὶς τοίνυν τολμάτω ἢ τοῦ δικαίου ποτὲ καταψηφίσασθαι, ἢ τῶν τούτου θυγατέρων. Πῶς γὰρ οὐκ ἂν εἴη μανίας ἐσχάτης καὶ παραφροσύνης, οὓς ἡ θεία Γραφὴ παντὸς ἀπήλλαξεν ἐγκλήματος, μᾶλλον δὲ ὑπὲρ ὧν τοσαύτην ἀπολογίαν συνέθηκεν, ἡμᾶς τοὺς μυρίοις ἁμαρτημάτων φορτίοις πεπληρωμένους καταδικάζειν καὶ μὴ ἀκούειν Παύλου λέγοντος, «Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;». Καὶ ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο γέγονεν, ἀλλ' ἡ ὑπερβολὴ τῆς ἀθυμίας μετὰ τῆς τοῦ οἴνου προσθήκης οὐδεμίαν αὐτῷ αἴσθησιν συνεχώρησε γενέσθαι, ἄκουσον τί φησιν. «Ἐγένετο δὲ τῇ ἐπαύριον καὶ εἶπεν ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ἰδοὺ ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν· ποτίσωμεν οὖν αὐτὸν οἶνον καὶ τὴν νύκτα ταύτην, καὶ εἰσελθοῦσα κοιμήθητι μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα». Ὁρᾷς πῶς ἐξ ὀρθῆς γνώμης τοῦτο ἐποίουν. Ἐπειδὴ γὰρ ἠδυνήθην, φησίν, ἐγὼ τὸ σπουδαζόμενόν μοι πληρῶσαι, ἀναγκαῖον καὶ σὲ

καὶ ὄχι μόνον μίαν ἀλλὰ καὶ διὰ δευτέραν φοράν; Πρῶτον μὲν μὲ ὅσα εἶπεν, ὅτι αἱ θυγατέρες του τὸν ἐξηπάτησαν μὲ τὴν βοήθειαν τοῦ οἴνου, ἔδειξεν, ὅτι δὲν θὰ ἠμποροῦσαν νὰ πείσουν τόν πατέρα των μὲ ἄλλον τρόπον νὰ δεχθῇ αὐτό. Τώρα δὲ νομίζω πλέον, ὅτι τὸ γεγονὸς εἶναι ἔργον τῆς θείας οἰκονομίας, τὸ νὰ πέσῃ δηλαδὴ εἰς τόσην νάρκην, ὥστε νὰ ἀγνοήσῃ ἐντελῶς τὸ γεγονὸς καὶ νὰ εἶναι ἀνεύθυνος διὰ τὰ παραπτώματα. Καθ' ὅσον μᾶς κατακρίνουν καὶ μᾶς καταδικάζουν τὰ ἁμαρτήματα ἐκεῖνα, τὰ ὁποῖα διαπράττομεν ἐν γνώσει μας καὶ μὲ τὴν θέλησίν μας. Βλέπεις, ὅτι ἡ Γραφὴ μαρτυρεῖ ὑπὲρ τοῦ δικαίου, ὅτι ἠγνόει τελείως τὸ γεγονός; Ἀλλὰ ἀνακύπτει πάλιν ἕνα ἄλλο ζήτημα, τὸ ζήτημα τῆς μέθης. Καθ' ὅσον πρέπει νὰ τὰ ἐξετάζωμεν ὅλα, ὥστε νὰ μὴ ἀφήνωμεν καμμίαν ἀφορμὴν διὰ κατηγορίαν εἰς τοὺς ἀγνώμονας καὶ ἀναισχύντους. Τί λοιπὸν θὰ εἰποῦμεν καὶ δι' αὐτό; Ὅτι αὐτὸς δὲν ἐμέθυσε τόσον ἀπὸ ἀκράτειαν, ὅσον ἀπὸ λύπην.

5. Ἂς μὴ τολμήσῃ, λοιπόν, κανεὶς ποτὲ νὰ κατηγορήσῃ τὸν δίκαιον ἢ τὰς θυγατέρας του. Διότι πῶς δὲν θὰ ἦτο ἀπόδειξις ἐσχάτης μανίας καὶ παραφροσύνης αὐτοὺς ποὺ ἡ ἁγία Γραφὴ τοὺς ἀπήλλαξεν ἀπὸ παντὸς παραπτώματος, μᾶλλον δὲ καὶ ἀπελογήθη τόσον ὑπὲρ αὐτῶν, αὐτοὺς νὰ τοὺς καταδικάζωμεν ἡμεῖς, οἱ ὁποῖοι εἴμεθα πλήρεις ἀπὸ ἀνυπολόγιστα βάρη ἁμαρτιῶν καὶ νὰ μὴ ἀκούωμεν τὸν Παῦλον, ὁ ὁποῖος λέγει· «Ὁ Θεὸς συγχωρεῖ, ποῖος εἶναι αὐτὸς ποὺ θὰ κατακρίνει;». Καὶ διὰ νὰ καταλάβῃς, ὅτι αὐτὸ δὲν ἔγινεν ἁπλῶς καὶ χωρὶς λόγον, ἀλλὰ ἡ ὑπερβολικὴ λύπη καὶ ἡ προσθήκη τοῦ οἴνου δὲν ἄφησαν αὐτὸν νὰ καταλάβῃ τίποτε, ἄκουσε τί λέγει. «Καὶ κατὰ τὴν ἑπομένην ἡμέραν ἡ μεγαλυτέρα ἀδελφὴ εἶπεν εἰς τὴν μικροτέραν. Ἰδοὺ χθὲς ἐκοιμήθην μὲ τὸν πατέρα μας. Ἂς ποτίσωμεν αὐτὸν οἶνον καὶ τὴν νύκτα αὐτὴν καὶ εἰσελθοῦσα καὶ σὺ κοιμήσου μαζί του, διὰ νὰ ἀποκτήσωμεν ἀπογόνους ἀπὸ τὸν πατέρα μας». Βλέπεις, ὅτι ἔκαμαν αὐτὸ μὲ καλὴν σκέψιν; Ἐπειδὴ δηλαδή, λέγει, ἐγὼ ἠμπόρεσα νὰ ἐπιτύχω αὐτό, τὸ ὁποῖον ἤθελον, εἶναι ἀ-

τὸ αὐτὸ διαπράξασθαι· ἴσως γὰρ εἰς ἔργον ἡμῖν ἐκβήσεται τὰ τῆς προσδοκίας καὶ οὐκ εἰς τέλος τὸ γένος ἡμῶν ἀφανισθήσεται. «Ἐπότισαν δὲ καὶ τῇ νυκτὶ ἐκείνῃ τὸν πατέρα αὐτῶν οἶνον καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς· καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὴν καὶ ἀναστῆναι».

Σκόπησον, ἀγαπητέ, ὅτι τὸ πᾶν τῆς τοῦ Θεοῦ οἰκονομίας ἦν ἔργον τὸ γεγονός, ὥσπερ ἐπὶ τοῦ πρωτοπλάστου. Καθάπερ γὰρ ἐκεῖ, καθεύδοντος αὐτοῦ, ἐκ τῆς πλευρᾶς μέρος λαβὼν οὐδεμίαν αἴσθησιν αὐτῷ συνεχώρησε γενέσθαι, ἀλλὰ τὴν πλευρὰν ἐκείνην εἰς γυναῖκα διαπλάσας παρέστησε τῷ Ἀδάμ· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν. Εἰ γὰρ ἡ τῆς πλευρᾶς ἀφαίρεσις, ἐπειδὴ τὴν ἔκστασιν αὐτῷ ὁ Θεὸς ἐπήγαγεν, ἀνεπαισθήτως γέγονε, πολλῷ μᾶλλον νῦν τοῦτο ἂν ἐγένετο. Ὅπερ γὰρ εἶπεν ἐκεῖ ἡ θεία Γραφή, «ὅτι ἐπέβαλεν ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε», τοῦτο καὶ ἐνταῦθα ἐσήμανε διὰ τοῦ εἰπεῖν, ὅτι «οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι, καὶ ἀναστῆναι». «Καὶ συνέλαβον», φησίν, «ἐκ τοῦ πατρὸς αὐτῶν. Καὶ ἔτεκεν ἡ πρεσβυτέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωάβ, λέγουσα· ἐκ τοῦ πατρός μου. Οὗτος πατὴρ Μωαβιτῶν. Ἔτεκε δὲ καὶ ἡ νεωτέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῷ Ἀμμᾶν, λέγουσα· υἱὸς τοῦ γένους μου. Οὗτος πατὴρ Ἀμμανιτῶν». Ὁρᾷς πῶς οὐκ ἀσελγείας ἦν τὸ γεγονός, ὅτι παραχρῆμα καὶ τὰς προσηγορίας τοῖς τεχθεῖσιν ἐπέθεσαν, μηνύουσαι τὸ γεγενημένον καὶ μονονουχὶ καθάπερ ἐν στήλῃ τινὶ τοῖς τῶν παίδων ὀνόμασιν ἐναποτιθέμενοι τοῦ γεγονότος τὴν μνήμην καὶ ἤδη προμηνύουσαι, ὅτι ἔθνη ἐξ αὐτῶν ἔσται καὶ εἰς πλῆθος ἐκταθήσεται τῶν τεχθέντων τὸ γένος. Ὁ μὲν γάρ, φησίν, ἔσται πατὴρ Μωαβιτῶν, ὁ δέ, πατὴρ Ἀμμανιτῶν.

6. Ἀλλὰ τότε μέν, ἐπειδὴ ἀρχὴ καὶ προοίμια ἦν

---

17. Γέν. 2, 21.

νάγκη νὰ κάμης καὶ σὺ τὸ ἴδιον. Ἴσως λοιπὸν νὰ ἐπαληθευθοῦν αἱ προσδοκίαι μας καὶ νὰ μὴ ἐξαφανισθῇ τὸ γένος μας. «Καὶ ἐπότισαν τὸν πατέρα των οἶνον καὶ κατὰ τὴν νύκτα ἐκείνην καὶ εἰσῆλθεν ἡ μικροτέρα καὶ ἐκοιμήθη μετὰ τοῦ πατρός της. Καὶ αὐτὸς δὲν ἀντελήφθη τίποτε, οὔτε ὅταν ἐκοιμήθη, οὔτε ὅταν ἐξύπνησεν».

Πρόσεξε, ἀγαπητέ, ὅτι ὁλόκληρον αὐτὸ τὸ γεγονὸς ἦτο ἔργον τῆς θείας οἰκονομίας, ὅπως ἀκριβῶς συνέβη καὶ μὲ τὸν πρωτόπλαστον. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖ, ἐνῷ αὐτὸς ἐκοιμᾶτο, ἔλαβεν ἕνα μέρος ἀπὸ τὴν πλευράν του, χωρὶς νὰ τὸν ἀφήσῃ νὰ καταλάβῃ τίποτε, ἀλλά, ἀφοῦ ἔπλασε τὴν πλευρὰν ἐκείνην εἰς γυναῖκα, τὴν παρουσίασεν εἰς τὸν Ἀδάμ, κατὰ τὸν ἴδιον τρόπον ἔγινε καὶ τώρα. Πράγματι, ἐὰν ἡ ἀφαίρεσις τῆς πλευρᾶς ἔγινε χωρὶς νὰ αἰσθανθῇ τίποτε ὁ Ἀδάμ, ἀφοῦ ὁ Θεὸς τὸν ἔφερεν εἰς ἔκστασιν, πολὺ περισσότερον τώρα συνέβη αὐτό. Ἐκεῖνο τὸ ὁποῖον εἶπεν ἡ ἁγία Γραφὴ ἐκεῖ, ὅτι δηλαδὴ «ἐπέβαλεν ἔκστασιν εἰς τὸν Ἀδὰμ καὶ ἐκοιμήθη»[17], αὐτὸ καὶ ἐδῶ ἐπεσήμανε μὲ τὸ νὰ εἰπῇ, «ὅτι δὲν ἀντελήφθη τίποτε οὔτε ὅταν ἐκοιμήθη οὔτε ὅταν ἐξύπνησε». «Καὶ συνέλαβον», λέγει, «ἀπὸ τὸν πατέρα των. Καὶ ἐγέννησεν ἡ μεγαλυτέρα θυγατέρα καὶ ὠνόμασεν αὐτὸν Μωὰβ λέγουσα· Ἀπὸ τὸν πατέρα μου ἐγεννήθη. Αὐτὸς δὲ εἶναι ὁ γενάρχης τῶν Μωαβιτῶν. Ἐγέννησε δὲ καὶ ἡ μικροτέρα καὶ ὠνόμασεν αὐτὸν Ἀμμᾶν, λέγουσα· Αὐτὸς εἶναι υἱὸς τοῦ γένους μου. Αὐτὸς εἶναι ὁ γενάρχης τῶν Ἀμμανιτῶν». Βλέπεις ὅτι ἡ πρᾶξις αὐτὴ δὲν ἦτο ἀποτέλεσμα ἀσελγείας, ἀφοῦ ἔδωσαν ἀμέσως τὰ ὀνόματα εἰς τὰ γεννηθέντα τέκνα, ἀναγγέλλουσαι τὸ γεγονὸς καὶ σχεδόν, ὡσὰν νὰ ἀνέγραψαν μαζὶ μὲ τὰ ὀνόματα τῶν τέκνων εἰς κάποιαν στήλην τὴν ἀνάμνησιν τοῦ γεγονότος, προμηνύουν πλέον, ὅτι θὰ προέλθουν ἀπ' αὐτοὺς ἔθνη καὶ ὅτι θὰ πολλαπλασιασθοῦν οἱ ἀπόγονοι τῶν γεννηθέντων. Διότι λέγει, ὁ ἕνας θὰ εἶναι ὁ γενάρχης τῶν Μωαβιτῶν καὶ ὁ ἄλλος τῶν Ἀμμανιτῶν.

6. Ἀλλὰ τότε ἐπειδὴ ἦτο ἡ ἀρχὴ καὶ τὰ προοίμια καὶ

καὶ διὰ τῆς τοῦ γένους διαδοχῆς τὴν μνήμην αὐτοῖς ἐβούλοντο διατηρεῖσθαι, τοσαύτην σπουδὴν τοῦ δικαίου αἱ θυγατέρες ἐποιήσαντο· νυνὶ δέ, ἐπειδὴ διὰ τὴν τοῦ Θεοῦ χάριν τὰ τῆς εὐσεβείας ἐπιδέδωκε καὶ κατὰ τὸν μακάριον Παῦλον, «Παράγει λοιπὸν τὸ σχῆμα τοῦ κόσμου τούτου», τὴν διὰ τῆς τῶν ἀγαθῶν πράξεως ἔργων μνήμην ἑαυτοῖς καταλιμπάνωμεν, ἵνα καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν, ἡ τῆς ἀρίστης ἡμῶν πολιτείας ἀκρίβεια ὑπόμνησις καὶ διδασκαλία γένηται τοῖς εἰς ἡμᾶς ὁρῶσιν. Οἱ γὰρ ἐνάρετοι καὶ τὸν σώφρονα βίον μετιόντες, οὐκ ἐν τῇ ζωῇ ταύτῃ μόνον τυγχάνοντες τὰ μέγιστα τοὺς εἰς αὐτοὺς ὁρῶντας ὠφελεῖν δύνανται, ἀλλὰ καὶ μετὰ τὴν τοῦ βίου πάροδον. Καὶ ἵνα μάθῃς, ὅρα μοι, πόσος ἐτῶν ἀριθμὸς παρῆλθε μέχρι τὴν σήμερον καὶ ὁσάκις ἂν βουληθείημεν εἰς τὸν τῆς σωφροσύνης ζῆλόν τινας ἀνάγειν, τὸν Ἰωσὴφ εἰς μέσον ἄγοντες, τὸν εὐειδῆ, τὸν καλόν, τὸν νέον, τὸν ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἡλικίας τοσαύτην ἀνδρείαν περὶ τὴν σωφροσύνην ἐπιδειξάμενον, οὕτω πρὸς τὴν μίμησιν τοῦ δικαίου τοὺς ἀκούοντας διεγείρειν σπουδάζομεν.

Τίς γὰρ ἄν, εἰπέ μοι, κατ' ἀξίαν θαυμάσειε τὸν μακάριον τοῦτον, ὅτι ἐν δουλείᾳ τυγχάνων καὶ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, ὅτε καὶ μάλιστα ἡ κάμινος ἐπὶ πλέον ἐξάπτεται τῶν ἐπιθυμιῶν, ὁρῶν τὴν αὐτοῦ δέσποιναν ἐπιπηδῶσαν αὐτῷ καὶ ἐπιμαινομένην, τοσαύτην ἐπεδείξατο τὴν ἀνδρείαν καὶ οὕτω πρὸς τοὺς τῆς σωφροσύνης ἀγῶνας ἀπεδύσατο, ὡς τῆς ἀκολάστου γυναικὸς ἐκείνης γυμνὸς μὲν τῶν ἱματίων ἀποπηδῆσαι, τὸ δὲ τῆς σωφροσύνης ἔνδυμα περιβαλέσθαι; Καὶ ἦν ἰδεῖν πρᾶγμα καινὸν καὶ παράδοξον, ἀρνίον ταῖς τοῦ λύκου χερσὶν ἐμπεσόν, μᾶλλον δὲ τῆς λεαίνης καὶ διασωθῆναι δυνηθέν, καὶ καθάπερ περι-

---

18. Α΄ Κορ. 7. 31.

ἐπεθύμουν νὰ διατηρῆται ἡ μνήμη των μὲ τὴν διαδοχὴν τῶν ἀπογόνων, διὰ τοῦτο αἱ θυγατέρες τοῦ Λὼτ ἔδειξαν τόσην σπουδήν. Τώρα ὅμως ἐπειδὴ μὲ τὴν χάριν τοῦ Θεοῦ ἔχει προχωρήσει πολὺ ἡ εὐσέβεια καὶ σύμφωνα μὲ τὸν μακάριον Παῦλον, «Περνᾷ καὶ φεύγει σὰν σκιὰ ἡ ἐξωτερικὴ μορφὴ τοῦ κόσμου τούτου»[18], ἂς προσπαθῶμεν νὰ ἀφήνωμεν τὴν μνήμην τοῦ ὀνόματός μας διὰ τῆς ἐκτελέσεως καλῶν ἔργων, ὥστε καὶ μετὰ ἀπὸ τὴν ἀναχώρησιν ἀπ' ἐδῶ ὁ τελείως ἄριστος τρόπος τῆς ζωῆς μας νὰ γίνῃ ὑπόμνησις καὶ διδασκαλία εἰς αὐτούς, οἱ ὁποῖοι προσβλέπουν πρὸς ἡμᾶς. Καθ' ὅσον οἱ ἐνάρετοι καὶ αὐτοὶ ποὺ ζοῦν κατὰ τρόπον συνετόν, δὲν ἠμποροῦν νὰ ὠφελοῦν μόνον, ὅταν εἶναι ζωντανοί, αὐτοὺς οἱ ὁποῖοι τοὺς προσέχουν, ἀλλὰ καὶ μετὰ τὸ τέλος τῆς ἐπιγείας ζωῆς των. Καὶ διὰ νὰ καταλάβῃς, πρόσεχε, παρακαλῶ, πόσα ἔτη ἔχουν περάσει μέχρις σήμερον καὶ κάθε φορὰ ποὺ θέλομεν νὰ κάμωμεν κάποιους νὰ ἐπιθυμήσουν τὸν σώφρονα βίον, φέρομεν ὡς παράδειγμα τὸν Ἰωσήφ, τὸν ὡραῖον, τὸν καλόν, τὸν νέον, ὁ ὁποῖος εἰς αὐτὴν τὴν ἀκμὴν τῆς ἡλικίας του ἐπέδειξε τόσην μεγάλην γενναιότητα διὰ τὴν σωφροσύνην καὶ μὲ αὐτὸν τὸν τρόπον προσπαθοῦμεν νὰ κάμωμεν τοὺς ἀκούοντας νὰ μιμηθοῦν τὸν δίκαιον.

Πράγματι, εἰπέ μου, ποῖος θὰ ἠμποροῦσε νὰ θαυμάσῃ, ὅσον ἀξίζει, τὸν μακάριον αὐτόν, ὁ ὁποῖος, ἂν καὶ ἦτο δοῦλος καὶ εὑρίσκετο εἰς τὸ ἄνθος τῆς ἡλικίας του, ὁπότε κυρίως ἡ κάμινος τῶν ἐπιθυμιῶν ἐξάπτεται περισσότερον, ὅμως, ὅταν εἶδε τὴν κυρίαν του νὰ τὸν ἐπιθυμῇ καὶ νὰ καταλαμβάνεται ἀπὸ μανίαν, ἔδειξε τόσην γενναιότητα καὶ ἀπεδύθη ἔτσι εἰς τοὺς ἀγῶνας τῆς σωφροσύνης, ὥστε νὰ ἀπομακρυνθῇ ἀπὸ τὴν ἀκόλαστον ἐκείνην γυναῖκα γυμνὸς ἀπὸ ἐνδύματα, ἀλλὰ ἐνδεδυμένος μὲ τὸ ἔνδυμα τῆς σωφροσύνης; Καὶ ἠμποροῦσες νὰ ἰδῇς κάτι τὸ πρωτοφανὲς καὶ τὸ παράξενον, ἕνα ἀρνὶ δηλαδὴ νὰ ἔχῃ πέσει εἰς τὰς χεῖρας τοῦ λύκου, ἢ μᾶλλον τῆς λεαίνης, καὶ νὰ κατορθώνῃ νὰ γλυτώσῃ, καὶ σὰν περιστερά,

στερὰν τοῦ ἱέρακος διαφυγοῦσαν τὴν βλάβην, οὕτω τὸν δίκαιον τῶν ἐκείνης διαρπαγέντα χειρῶν. Οὐχ οὕτω θαυμαστὸν εἶναί μοι δοκεῖ τὸ τοὺς τρεῖς παῖδας ἐκείνους ἐν μέσῃ τῇ καμίνῳ τῇ Βαβυλωνίᾳ ἐκείνῃ τοῦ πυρὸς ἀνωτέρους γενέσθαι, καὶ μηδὲν πλέον τὰ σώματα αὐτῶν παθεῖν, ὡς θαυμαστὸν καὶ παράδοξον, τὸν δίκαιον τοῦτον εἰς τὴν κάμινον ταύτην τὴν τῆς Βαβυλωνίας χαλεπωτέραν ἐμπεπτωκότα, τὴν ἀσέλγειαν λέγω τῆς Αἰγυπτίας, ἀνέπαφον διαμεῖναι καὶ καθαρὸν τῆς σωφροσύνης τὸ ἔνδυμα διατηρήσαντα, οὕτως ἐξελθεῖν. Καὶ μὴ θαυμάσῃς, ἀγαπητέ· ἐπειδὴ γὰρ τὰ παρ' ἑαυτοῦ εἰσήνεγκεν, εἶχε καὶ τὴν ἄνωθεν ῥοπὴν αὐτῷ συμπαροῦσαν, καὶ τὴν πυρὰν ἐκείνην κατασβεννύουσαν, καὶ ἐν μέσῃ τῇ καμίνῳ τὴν δρόσον τὴν παρὰ τοῦ Πνεύματος χαριζομένην.

Εἴδετε πῶς οἱ ἐνάρετοι, καὶ ἐνταῦθα παρόντες, καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν, ὠφελείας ἡμῖν ὑπόθεσις γίνονται; Διὰ γὰρ τοῦτο τὸν δίκαιον τοῦτον εἰς μέσον νῦν παρηγάγομεν, ἵνα τούτῳ πάντες ἑπώμεθα. Τοῦτον οὖν ἅπαντες ζηλώσωμεν, καὶ ἀνώτεροι τῶν ἡδονῶν γενώμεθα, καὶ εἰδότες, «Ὅτι οὐκ ἔστι ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου», οὕτως ἑαυτοὺς καθοπλίζωμεν. Καὶ ἐννοοῦντες ὅτι σῶμα περικείμενοι, πρὸς ἀσωμάτους δυνάμεις πυκτεύειν ἀναγκαζόμεθα, φραττώμεθα τοῖς ὅπλοις τοῦ Πνεύματος. Διὰ γὰρ τοῦτο ὁ φιλάνθρωπος Δεσπότης, ἐπειδὴ σάρκα περικείμενοι πρὸς τὰς ἀοράτους δυνάμεις τὴν πάλην ἔχομεν καὶ τὰ ὅπλα ἡμῶν ἀόρατα κατεσκεύασεν, ἵνα τῇ δυνάμει τῶν ὅπλων περιγινώμεθα τῆς φύσεως τῶν ἀντιπάλων. Θαρροῦντες τοίνυν τῇ τῶν ὅπλων δυνάμει, τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν καὶ δυνησόμεθα τῇ πανευχίᾳ ταύτῃ τῇ πνευματικῇ φραττόμενοι αὐτὴν

19. Ἐφ. 6, 12. 20. Ἑβρ. 12, 14.

ἡ ὁποία ἔχει διαφύγει τὸ κτύπημα τοῦ ἱέρακος, ἔτσι διέφυγε καὶ ὁ δίκαιος, ὁ ὁποῖος εἶχε ἁρπαγῆ ἀπὸ τὰς χεῖρας ἐκείνης. Νομίζω, ὅτι δὲν εἶναι τόσον ἄξιον θαυμασμοῦ τὸ γεγονός, ὅτι οἱ τρεῖς ἐκεῖνοι παῖδες ἔγιναν ἀνώτεροι τοῦ πυρὸς εἰς τὸ μέσον ἐκείνης τῆς καμίνου τῆς Βαβυλῶνος, χωρὶς νὰ πάθουν τίποτε τὰ σώματά των, ὅσον ἄξιον θαυμασμοῦ καὶ παράδοξον εἶναι τὸ ὅτι ὁ δίκαιος αὐτὸς ἔπεσεν εἰς τὴν κάμινον αὐτήν, ἡ ὁποία εἶναι χειροτέρα ἀπὸ ἐκείνην τῆς Βαβυλῶνος, ἐννοῶ τὴν ἀσέλγειαν τῆς Αἰγυπτίας, καὶ ἔμεινεν ἀνέπαφος, καὶ ἀφοῦ ἐκράτησε καθαρὸν τὸ ἔνδυμα τῆς σωφροσύνης ἔτσι διέφυγε. Καὶ νὰ μὴ θαυμάσῃς, ἀγαπητέ. Διότι, ἐπειδὴ ἔκαμεν, ὅ,τι ἐξηρτᾶτο ἀπ' αὐτόν, εἶχε μαζί του καὶ τὴν ἄνωθεν βοήθειαν, ἡ ὁποία ἔσβηνεν ἐκείνην τὴν φλόγα καὶ εἰς τὸ μέσον τῆς καμίνου ἔστελνε τὴν δρόμον, ἡ ὁποία χαρίζεται ἀπὸ τὸ ἅγιον Πνεῦμα.

Εἴδατε μὲ ποῖον τρόπον οἱ ἐνάρετοι γίνονται αἰτία νὰ ὠφεληθοῦμεν καὶ ὅσον εὑρίσκονται εἰς τὴν ἐδῶ ζωὴν καὶ μετὰ τὸν θάνατόν των; Διὰ τοῦτο σᾶς ἀνέφερα τὸν δίκαιον αὐτόν, διὰ νὰ ἀκολουθοῦμεν αὐτὸν ὅλοι. Αὐτὸν λοιπὸν ἃς μιμηθοῦμεν ὅλοι καὶ ἃς γίνωμεν ἀνώτεροι τῶν ἡδονῶν καὶ ἔχοντες ὑπ' ὄψιν «Ὅτι ὁ ἀγώνας μας δὲν εἶναι ἐναντίον αὐτῶν, οἱ ὁποῖοι ἔχουν αἷμα καὶ σάρκα, ἀλλ' ἐναντίον τῶν ἀρχῶν καὶ τῶν ἐξουσιῶν, τῶν ἐξουσιαστῶν τοῦ σκότους, τὸ ὁποῖον ἐπικρατεῖ εἰς τὸν παρόντα αἰῶνα»[19], ἃς ὁπλιζώμεθα, ὅπως πρέπει. Καὶ σκεπτόμενοι, ὅτι, ἐνῷ ἔχομεν σῶμα, ἀναγκαζόμεθα νὰ παλαίωμεν μὲ ἀσωμάτους δυνάμεις, ἃς θωρακιζώμεθα μὲ τὰ ὅπλα τοῦ Πνεύματος. Διὰ τοῦτο ἀκριβῶς ὁ φιλάνθρωπος Κύριος, ἐπειδὴ δηλαδὴ περιβαλλόμεθα ἀπὸ σάρκα καὶ ἀναγκαζόμεθα νὰ πολεμοῦμεν πρὸς ἀοράτους δυνάμεις, μᾶς κατεσκεύασε καὶ ἀόρατα ὅπλα, ὥστε μὲ τὴν δύναμιν αὐτῶν νὰ νικῶμεν τὴν φύσιν τῶν ἀντιπάλων. Ἔχοντες λοιπὸν ἐμπιστοσύνην εἰς τὴν δύναμιν τῶν ὅπλων, ἃς πράττωμεν ὅ,τι ἠμποροῦμεν καὶ θὰ δυνηθῶμεν ἐνισχυόμενοι ἀπὸ τὴν πνευματικὴν αὐ-

τοῦ διαβόλου συγκόψαι τὴν ὄψιν. Οὐδὲ γὰρ ἐνεγκεῖν δύναται τὴν ἐντεῦθεν ἀστραπήν, ἀλλὰ κἂν ἐπιχειρήσῃ στῆναι ἐξ ἐναντίας, εὐθέως ἀποτυφλοῦται τὰς ὄψεις. Ἔνθα γὰρ ἂν ᾖ σωφροσύνη καὶ σεμνότης καὶ πολλὴ τῶν ἄλλων ἀρετῶν ἡ σύνοδος, ἐκεῖ καὶ ἡ τοῦ Πνεύματος χάρις μετὰ δαψιλείας ἐφίπταται. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· «Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν».

Ἐκκαθάρωμεν τοίνυν ἑαυτῶν, παρακαλῶ, τὸ συνειδὸς καὶ ἀποσμήξωμεν ἡμῶν τὸν λογισμόν, ἵνα πάσης ῥυπαρᾶς ἐννοίας ἀπηλλαγμένοι, τοῦ Πνεύματος τὴν χάριν ἐπισπασώμεθα καὶ τῶν τοῦ διαβόλου περιγενώμεθα μηχανημάτων καὶ καταξιωθῶμεν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀπολαῦσαι, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὴν πανοπλίαν νὰ κατασυντρίψωμεν τὴν ὄψιν τοῦ διαβόλου. Διότι δὲν ἠμπορεῖ οὔτε τὴν ἀστραπὴν αὐτῶν νὰ ὑποφέρῃ, ἀλλὰ καὶ ἂν ἐπιχειρήσῃ νὰ σταθῇ ἀπέναντί μας ἀμέσως τυφλώνεται. Πράγματι ὅπου εὑρίσκεται ἡ σωφροσύνη καὶ ἡ σεμνότης καὶ πλῆθος ἄλλων ἀρετῶν ἐκεῖ ἁπλώνεται ἐν ἀφθονίᾳ καὶ ἡ χάρις τοῦ ἁγίου Πνεύματος. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Νὰ ἐπιδιώκετε νὰ ἔχετε μὲ ὅλους τὴν εἰρήνην καὶ τὸν ἁγιασμόν»[29].

Ἂς καθαρίσωμεν, λοιπόν, παρακαλῶ, τὴν συνείδησίν μας καὶ τὰς σκέψεις μας ὥστε, ἀπηλλαγμέναι ἀπὸ κάθε ρυπαρὰν ἰδέαν, νὰ προσελκύσωμεν τὴν χάριν τοῦ Πνεύματος καὶ νὰ ὑπερνικήσωμεν τὰς παγίδας τοῦ διαβόλου καὶ νὰ γίνωμεν ἄξιοι καὶ ἀπολαύσωμεν τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἀποκτήσωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΕ΄
(Γέν. 20, 1 - 21, 8)

«Καὶ ἐκίνησεν ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς λίβα, καὶ ᾤκησεν ἀνὰ μέσον Κάδης, καὶ ἀνὰ μέσον Σοὺρ, καὶ παρῴκησεν ἐν Γεράροις».

1. Χαίρω ὁρῶν ὑμᾶς συντρέχοντας ἐπὶ τὴν ἀκρόασιν καὶ μετὰ πολλῆς τῆς ἡδονῆς δεχομένους τὴν παρ' ἡμῶν διδασκαλίαν· καὶ διὰ τοῦτο καὶ αὐτὸς μετὰ πλείονος τῆς προθυμίας καθ' ἑκάστην ἡμέραν ὑμῖν τὴν πτωχὴν ἡμῶν ταύτην καὶ εὐτελῆ τράπεζαν παρατιθέναι σπουδάζω. Ἡ γὰρ ἐπιτεταμένη ὑμῶν ὄρεξις ἀποκρύπτει τῆς τραπέζης τὴν εὐτέλειαν καὶ τὰ μικρὰ μεγάλα ποιεῖ φαίνεσθαι. Τοῦτο καὶ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων ἐστὶν ἰδεῖν. Ὥσπερ γὰρ ὁ κεκορεσμένους λαβὼν τοὺς δαιτυμόνας, κἂν μεγάλα καὶ πολυτελῆ παραθῇ τὰ ἐδέσματα, ὁ τῶν ἑστιωμένων κόρος ὑποτέμνεται τῶν παρατεθέντων τὴν πολυτέλειαν καὶ τὰ μεγάλα πολλάκις οὐδενὸς ἄξια λόγου φαίνεται, διὰ τὸ μὴ μεθ' ἡδονῆς προσβάλλειν αὐτοῖς τοὺς ἑστιωμένους· οὕτως ὁ πεινῶντας καὶ ὄρεξιν ἔχοντας παραλαβὼν τοὺς ἑστιᾶσθαι μέλλοντας, κἂν εὐτελῆ παραθῇ τὴν τράπεζαν, μεγάλη αὐτὴ φανεῖται, τῆς προθυμίας τῶν ἑστιωμένων μετὰ πολλῆς ἡδονῆς καταναλισκόντων τὰ παρατιθέμενα. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς θαρροῦντες ὑμῶν τῇ ὀρέξει τῇ πνευματικῇ οὐκ ὀκνοῦμεν, κἂν εὐτελῆ καὶ πτωχὴν ἔχοντες τράπεζαν, ταύτην παρατιθέναι συνεχῶς τῇ ὑμετέρᾳ ἀγάπῃ. Τοῦτο καὶ σοφός τις ἔλεγε· «Κρείσσων ξενισμὸς λαχάνων μετὰ ἀγάπης, ἢ βοῦς καὶ φάτνης μετὰ ἔχθρας»[1]· δεικνὺς ὅτι ἡ ἀγάπη ἑτέρως ὁρᾷ τὰ παρατιθέμενα καὶ

1. Παροιμ. 15, 17.

ΟΜΙΛΙΑ ΜΕ΄
(Γέν. 20, 1 - 21, 8)

«Καὶ ὁ Ἀβραὰμ ἀπὸ ἐκεῖ κατηυθύνθη πρὸς νότον καὶ ἐγκατεστάθη μεταξὺ Κάδης καὶ Σούρ. Καὶ ἀπὸ ἐκεῖ ἔφυγε καὶ ἔμεινεν εἰς τὰ Γέραρα».

1. Χαίρομαι, ἐπειδὴ σᾶς βλέπω νὰ τρέχετε νὰ μὲ ἀκούσετε καὶ νὰ δέχεσθε μὲ πολλὴν εὐχαρίστησιν τὴν διδασκαλίαν μου. Διὰ τὸν λόγον αὐτὸν καὶ ἐγὼ μὲ μεγαλυτέραν προθυμίαν φροντίζω κάθε ἡμέραν νὰ σᾶς παραθέτω τὴν πτωχὴν αὐτὴν καὶ εὐτελῆ τράπεζαν. Διότι ἡ μεγάλη σας ὄρεξις καλύπτει τὴν λιτότητα τῆς τραπέζης καὶ κάνει τὰ μικρὰ νὰ φαίνωνται μεγάλα. Αὐτὸ εἶναι δυνατὸν νὰ τὸ ἰδοῦμεν καὶ εἰς τὰ ὑλικὰ ἐδέσματα. Ὅπως ἀκριβῶς δηλαδὴ αὐτὸς ποὺ θὰ προσκαλέσῃ συνδαιτυμόνας, οἱ ὁποῖοι ἔχουν χορτάσει, ἔστω καὶ ἂν τοὺς παραθέσῃ πλούσια καὶ πολυτελῆ ἐδέσματα ὁ κορεσμὸς τῶν παρακαθημένων μειώνει τὴν πολυτέλειαν τῶν προσφερθέντων καὶ πολλὰς φορὰς τὰ πλούσια θεωροῦνται χωρὶς ἀξίαν, ἀφοῦ οἱ τρώγοντες δὲν τὰ λαμβάνουν μὲ εὐχαρίστησιν, κατὰ τὸν ἴδιον τρόπον καὶ αὐτός, ὁ ὁποῖος θὰ προσκαλέσῃ, διὰ νὰ παραθέσῃ γεῦμα εἰς πεινῶντας καὶ ἔχοντας ὄρεξιν, καὶ ἂν ἀκόμη τὰ φαγητὰ εἶναι πτωχικά, θὰ φανοῦν πλούσια, ἀφοῦ ἡ προθυμία τῶν φιλοξενουμένων θὰ καταναλίσκῃ μὲ μεγάλην εὐχαρίστησιν τὰ προσφερόμενα. Ἔτσι λοιπὸν καὶ ἐγὼ λαμβάνων θάρρος ἀπὸ τὴν πνευματικήν σας ὄρεξιν δὲν διστάζω, ἔστω καὶ ἂν ἔχω εὐτελῆ καὶ πτωχὴν τράπεζαν, νὰ παραθέτω αὐτὴν συνεχῶς εἰς τὴν ἀγάπην σας. Αὐτὸ τὸ ἔλεγε καὶ κάποιος σοφός. «Καλυτέρα εἶναι ἡ φιλοξενία μὲ χόρτα καὶ μὲ ἀγάπη, παρὰ μὲ μόσχον ἀπὸ φάτνην, ἀλλὰ μὲ ἐχθρότητα»[1], δεικνύων ὅτι ἡ ἀγάπη βλέπει μὲ διαφορετικὸν τρό-

τοῖς ἐκείνης ὀφθαλμοῖς καὶ τὰ εὐτελῆ πολυτελῆ δείκνυται καὶ τὰ μικρὰ μεγάλα.

Τί οὖν ἂν εἴη μακαριστότερον ἡμῶν ἐπὶ τοσούτων ἀκροατῶν διαλεγομένων, οὕτω θερμὴν καὶ διεγηγερμένην κεκτημένων ἀγάπην; Οὐδενὸς γὰρ οὕτω μάλιστα δεῖ τῷ λέγοντι, ὡς εὐνοίας ἀκροατοῦ. Ὅταν γὰρ ἴδῃ τὴν προθυμίαν ζέουσαν τῶν ἀκροατῶν, νευροῦται καὶ αὐτός, καὶ πολλήν, ὡς εἰπεῖν, τὴν ἰσχὺν προσλαμβάνει, εἰδὼς ὅτι ὅσῳ ἂν πλείονα παραθῇ τὴν τράπεζαν ταύτην τὴν πνευματικήν, τοσούτῳ τὰ τῆς εὐπορίας αὐτῷ αὔξεται. Ἀπ' ἐναντίας γὰρ τοῖς αἰσθητοῖς τὰ πνευματικά. Ἐκεῖ μὲν ἡ δαψίλεια τῆς τραπέζης δαπάνην ἐργάζεται καὶ τὴν οὐσίαν ἐλαττοῖ τοῦ ἑστιάτορος· ἐνταῦθα δὲ ἅπαν τοὐναντίον, ὅσῳ ἂν πλείους ὦσιν οἱ μετέχοντες, τοσούτῳ αὔξεται ἡμῖν τὰ τῆς περιουσίας. Οὐδὲ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλ' ἅπερ ἂν ἡ τοῦ Θεοῦ χάρις διὰ τὴν οἰκείαν φιλανθρωπίαν καὶ τὴν ὑμετέραν οἰκοδομὴν χορηγήσῃ. Φέρε οὖν, ἐπειδὴ μετὰ τοσαύτης ἡδονῆς καὶ προθυμίας τῇ ἀκροάσει προσβάλλετε, πάλιν τῶν προσφάτως ἡμῖν ἀναγνωσθέντων ἔρευναν ποιήσωμεν καὶ τὸ ἐντεῦθεν κέρδος καρπωσώμεθα. Ἐπειδὴ γὰρ κατὰ τὴν μεγάλην παραίνεσιν τοῦ Χριστοῦ λέγοντος, «Ἐρευνᾶτε τὰς Γραφάς», θησαυρός ἐστι πολὺς ἐναποκείμενος ταῖς Γραφαῖς καὶ ἐν τῷ βάθει κρυπτόμενος, διὰ τοῦτο ἐρεύνης χρεία, ἵνα τὴν δύναμιν τὴν ἐν τῷ βάθει κρυπτομένην καταμαθόντες, πολλὴν ἐκεῖθεν τὴν ὠφέλειαν εὑρεῖν δυνηθῶμεν. Διὰ γὰρ τοῦτο καὶ τὰς ἀρετὰς τῶν δικαίων ἁπάντων ἡ τοῦ Πνεύματος χάρις Γραφῇ παραδοθῆναι ᾠκονόμησε, ἵνα ἡμεῖς ἔχωμεν διηνεκῆ διδασκαλίαν καὶ πρὸς ζῆλον καὶ μίμησιν τῶν δικαίων τὸν ἑαυτῶν βίον οἰκονομῶμεν. Ἀκούσωμεν τοίνυν τῆς θείας Γραφῆς, τί καὶ σήμε-

---

2. Ἰω. 5, 39.

που αὐτά, τὰ ὁποῖα προσφέρονται, καὶ μὲ τοὺς ὀφθαλμοὺς ἐκείνης τὰ εὐτελῆ φαίνονται πολυτελῆ καὶ τὰ πτωχά, πλούσια.

Τί λοιπὸν θὰ ἦτο περισσότερον εὐτυχισμένον ἀπὸ ἐμένα, ποὺ ὁμιλῶ ἐμπρὸς εἰς τόσους ἀκροατάς, οἱ ὁποῖοι ἔχουν τόσον θερμὴν καὶ μεγάλην ἀγάπην; Διότι τίποτε δὲν χρειάζεται τόσον πολὺ ὁ ὁμιλητής, ὅσον τὴν εὔνοιαν τοῦ ἀκροατοῦ. Πράγματι ὅταν ἰδῃ τὴν προθυμίαν τῶν ἀκροατῶν νὰ φουντώνῃ, ἐνδυναμοῦται καὶ αὐτός, καὶ θὰ ἠμπορούσαμεν νὰ εἴπωμεν, τονώνεται πολύ, ἐπειδὴ γνωρίζει, ὅτι, ὅσον περισσότερον πλουσίαν θὰ παραθέσῃ αὐτὴν τὴν πνευματικὴν τράπεζαν, τόσον περισσότερον θὰ αὐξηθῇ ἡ πνευματική του περιουσία. Καθ' ὅσον εἰς τὰ πνευματικὰ ζητήματα συμβαίνει τὸ ἀντίθετον μὲ τὰ ὑλικά. Ἐκεῖ, εἰς τὰ ὑλικὰ ἀγαθά, ἡ ἀφθονία τῆς τραπέζης προξενεῖ καὶ φθορὰν καὶ ἐλαττώνει τὴν περιουσίαν τοῦ προσφέροντος. Ἐδῶ ὅμως γίνεται ἐντελῶς τὸ ἀντίθετον, ὅσον περισσότεροι δηλαδὴ εἶναι οἱ μετέχοντες, τόσον αὐξάνει ἡ περιουσία μας. Διότι δὲν λέγομεν τὰ ἰδικά μας, ἀλλ' αὐτὰ τὰ ὁποῖα θὰ χορηγήσῃ ἡ χάρις τοῦ Θεοῦ ἐξ αἰτίας τῆς φιλανθρωπίας του καὶ διὰ τὴν ἰδικήν σας οἰκοδομήν. Ἐμπρός λοιπόν, ἀφοῦ προσέχετε μὲ τόσην εὐχαρίστησιν καὶ προθυμίαν εἰς τοὺς λόγους, ἂς ἐρευνήσωμεν καὶ πάλιν αὐτά, τὰ ὁποῖα ἀνεγνώσαμεν προσφάτως καὶ ἂς λάβωμεν τὸ ἐξ αὐτῶν κέρδος. Ἐπειδὴ κατὰ τὴν σπουδαίαν παραίνεσιν τοῦ Χριστοῦ, ὁ ὁποῖος λέγει «Ἐρευνᾶτε τὰς Γραφάς»[2], εὑρίσκεται μεγάλος θησαυρὸς μέσα εἰς τὰς Γραφὰς καὶ μάλιστα κρύπτεται εἰς τὸ βάθος αὐτῶν, διὰ τοῦτο χρειάζεται ἔρευνα, ὥστε, ἀφοῦ γνωρίσωμεν τὴν δύναμιν, ἡ ὁποία κρύπτεται εἰς τὸ βάθος αὐτῶν, νὰ ἠμπορέσωμεν νὰ λάβωμεν πλουσίαν τὴν ἀπὸ ἐκεῖ ὠφέλειαν. Διὰ τοῦτο ἀκριβῶς καὶ ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἐκανόνισεν, ὥστε νὰ παραδοθοῦν εἰς ἡμᾶς διὰ τῆς Γραφῆς ὅλαι αἱ ἀρεταί, διὰ νὰ ἔχωμεν δηλαδὴ διαρκῆ διδασκαλίαν καὶ νὰ ρυθμίζωμεν τὴν ζωήν μας νὰ εἶναι ζηλωτὴς καὶ μιμητὴς τῶν δικαίων. Ἂς ἀκούσωμεν λοιπὸν καὶ σή-

ρον ἡμῖν περὶ τοῦ πατριάρχου διηγήσασθαι βούλεται.

«Καὶ ἐκίνησε», φησίν, «ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς λίβα καὶ ᾤκησεν ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Σοὺρ καὶ παρῴκησεν ἐν Γεράροις». «Καὶ ἐκίνησε», φησίν, «ἐκεῖθεν». Πόθεν ἐκίνησεν; Ἀπὸ τοῦ τόπου ἔνθα ἦν ἐνσκηνούμενος, ὅπου καὶ τὸν τῶν ἁπάντων Δεσπότην μετὰ τῶν ἀγγέλων ὑποδέξασθαι κατηξιώθη. Ἐκεῖθεν, φησίν, κινήσας, «Παρῴκησεν ἐν Γεράροις». Ὅρα τῶν δικαίων τὴν διαγωγήν, ὅπως ἦν συνεσταλμένη καὶ ἀπέριττος, ὅπως μετ' εὐκολίας τὰς μεταναστάσεις ἐποιοῦντο καὶ καθάπερ οἱ πάροικοι καὶ παρεπίδημοι, οὕτω τὸν ἑαυτῶν βίον ᾠκονόμουν καὶ ποτὲ μὲν ὧδε, ποτὲ δὲ τὰς σκηνὰς ἐπήγνυντο, καθάπερ ἐν ξένῃ διάγοντες· οὐ καθάπερ ἡμεῖς ποιοῦμεν, τὴν ξένην ὡς πατρίδα οἰκοῦντες καὶ οἰκίας οἰκοδομοῦντες λαμπρὰς καὶ στοὰς καὶ περιπάτους καὶ ἀγροὺς κεκτημένοι καὶ λουτρὰ κατασκευάζοντες καὶ ἕτερα μυρία. Ἀλλ' ὅρα τὸν δίκαιον καὶ ἐν τοῖς οἰκογενέσι μόνοις καὶ τοῖς ποιμνίοις τὴν οὐσίαν ἅπασαν κεκτημένον καὶ οὐδαμοῦ ἱστάμενον, ἀλλὰ ποτὲ μὲν εἰς τὴν Βεθὴλ τὴν σκηνὴν πηγνύντα, ποτὲ δὲ παρὰ τὴν δρῦν τὴν Μαμβρῇ, καὶ ποτὲ μὲν εἰς Αἴγυπτον κατιόντα, νυνὶ δὲ ἐν Γεράροις κατασκηνοῦντα καὶ πάντα μετ' εὐκολίας ὑπομένοντα καὶ τὴν εὐγνωμοσύνην τὴν πρὸς τὸν οἰκεῖον Δεσπότην διὰ πάντων σαφῶς ἐπιδεικνύμενον. Καὶ μετὰ τοσαύτας ὑποσχέσεις καὶ ἐπαγγελίας τὰς παρὰ τοῦ Θεοῦ εἰς αὐτὸν γεγενημένας, ὁρῶν ἑαυτὸν τοσαύταις περιστάσεσι κυκλούμενον καὶ ποικίλοις καὶ διαφόροις πειρασμοῖς ἐμπίπτοντα, καθάπερ ἀδάμας τις ἀπερίτρεπτος εἱστήκει, τὴν φιλόθεον αὐτοῦ γνώμην δεικνὺς καὶ οὐδενὶ τῶν ἐν τῷ μέσῳ κωλυμάτων νωθρότερος γινόμενος.

Ὅρα γὰρ καὶ νῦν, ἀγαπητέ, οἷος αὐτὸν πειρασμὸς εἰς τὰ Γέραρα καταλαμβάνει καὶ θαύμασον τοῦ δικαί-

---

3. Ἀπὸ τὴν δρῦν τοῦ Μαμβρῆ.

μερον τὴν ἁγίαν Γραφήν, τί θέλει νὰ μᾶς διηγηθῇ διὰ τὸν πατριάρχην.

«Καὶ ὁ Ἀβραάμ», λέγει, «κατηυθύνθη ἀπὸ ἐκεῖ πρὸς νότον καὶ ἐγκατεστάθη μεταξὺ Κάδης καὶ Σούρ. Καὶ ἔφυγε καὶ ἀπὸ ἐκεῖ καὶ ἔμεινεν εἰς Γέραρα». «Καὶ κατηυθύνθη ἀπὸ ἐκεῖ», λέγει. Ἀπὸ ποῦ ἐκίνησεν; Ἀπὸ τὸν τόπον, ὅπου εἶχε κατασκηνώσει[3] καὶ ὅπου ἠξιώθη νὰ φιλοξενήσῃ τὸν Κύριον τῶν πάντων μαζὶ μὲ τοὺς ἀγγέλους. Ἀπὸ ἐκεῖ, λέγει, ἀφοῦ ἐκίνησεν, «Ἔμεινεν εἰς Γέραρα». Βλέπε τὸν τρόπον ζωῆς τῶν δικαίων, πόσον ἁπλὸς καὶ συνεσταλμένος ἦτο, πῶς μετηνάστευον μὲ εὐκολίαν καὶ ὡς πάροικοι καὶ παρεπίδημοι ἔτσι ἐρύθμιζον τὴν ζωήν των, καὶ ἄλλοτε μὲν ἐδῶ, ἄλλοτε δὲ ἐκεῖ ἔστηνον τὰς σκηνάς, ὡσὰν νὰ ἔζων εἰς ξένην χώραν. Ὄχι ὅπως κάμνομεν ἡμεῖς, οἱ ὁποῖοι κατοικοῦμεν τὴν ξένην χώραν, ὡσὰν νὰ εἶναι πατρίδα μας, καὶ οἰκοδομοῦμεν λαμπρὰς οἰκίας καὶ στοὰς καὶ χώρους διὰ περιπάτους καὶ ἀποκτῶμεν ἀγροὺς καὶ κατασκευάζομεν λουτρὰ καὶ ἄλλα πολλά. Πρόσεχε ὅμως τὸν δίκαιον, ὁ ὁποῖος περιορίζει τὴν περιουσίαν του ὅλην μόνον εἰς τοὺς δούλους τοὺς γεννηθέντας εἰς τὸν οἶκόν του καὶ εἰς τὰ ποίμνια καὶ δὲν ἐγκαθίσταται πουθενὰ μόνιμα, ἀλλὰ ἄλλοτε μὲν κατασκηνώνει εἰς τὴν Βεθήλ, ἄλλοτε δὲ πλησίον τῆς δρυὸς Μαμβρῆ καὶ ἄλλοτε καταβαίνει εἰς τὴν Αἴγυπτον, ἐνῷ τώρα κατασκηνώνει εἰς τὰ Γέραρα καὶ ὑπομένει τὰ πάντα μὲ εὐκολίαν καὶ ἀποδεικνύει καθαρὰ μὲ ὅλα τὴν εὐγνωμοσύνην του πρὸς τὸν Κύριον. Καὶ μετὰ ἀπὸ τόσας ὑποσχέσεις καὶ ἐπαγγελίας ποὺ τοῦ ἐδόθησαν ἀπὸ τὸν Θεόν, ἂν καὶ ἔβλεπε τὸν ἑαυτόν του νὰ περιβάλλεται ἀπὸ τόσους κινδύνους καὶ νὰ περιπίπτῃ εἰς διαφόρους καὶ ποικίλους πειρασμούς, ὅμως ἵστατο ὡς ἀδάμας ἀμετακίνητος ἀποδεικνύων τὴν εὐσεβῆ του ψυχὴν καὶ χωρὶς νὰ γίνεται περισσότερον διστακτικὸς ἀπὸ κανένα ἀπὸ τὰ παρεμβαλόμενα ἐμπόδια.

Πρόσεχε λοιπὸν καὶ τώρα, ἀγαπητέ, ποῖος πειρασμὸς καταλαμβάνει αὐτὸν εἰς Γέραρα καὶ θαύμασε τὴν γενναιότητα τῆς ἀρετῆς τοῦ δικαίου, μὲ ποῖον τρόπον αὐτὸ ποὺ

ου τῆς ἀρετῆς τὴν ἀνδρείαν, ὅπως τὸ πᾶσιν ἀφόρητον καὶ ὃ οὐδὲ ἀκοῇ τις παραδέξασθαι ἀνάσχοιτο, τοῦτο οὗτος ὑπέμεινεν, οὐ δυσχεραίνων, οὐδὲ ἀπαιτῶν εὐθύνας τῶν γινομένων τὸν Δεσπότην, καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων ποιοῦσι καὶ ταῦτα μυρίοις ἁμαρτημάτων φορτίοις πιεζόμενοι, ἐπειδὰν δυσχερέσι τισὶ περιπέσωσιν, εὐθέως πολυπραγμονοῦντες καὶ περιεργαζόμενοι λέγουσι· διὰ τί τὸ καὶ τὸ συνέβη; καὶ τίνος ἕνεκεν τόδε συνεχωρήθη; Ἀλλ' οὐχ ὁ δίκαιος οὗτος· δι' ὃ καὶ πλείονος ἀπήλαυσε τῆς ἄνωθεν ῥοπῆς. Τοῦτο γὰρ ἀληθῶς εὐγνώμονος οἰκέτου, μηδὲν τῶν ὑπὸ τοῦ δεσπότου γινομένων πολυπραγμονεῖν, ἀλλὰ σιγῇ πάντα καταδέχεσθαι, καὶ μετὰ πολλῆς τῆς εὐχαριστίας.

2. Καὶ σκόπει, πῶς καὶ δι' αὐτῶν τῶν παρακολουθούντων πειρασμῶν ἡ τοῦ δικαίου ἀρετὴ μᾶλλον ἐξέλαμπε, τοῦ Θεοῦ φανερὸν αὐτὸν διὰ πάντων δεικνύντος. Ὥσπερ γὰρ ἡνίκα εἰς τὴν Αἴγυπτον κατῆλθεν, ὡς ἄγνωστος καὶ ξένος καὶ οὐδενὶ γνώριμος, ἀθρόον μετὰ πολλῆς τῆς τιμῆς ἐκεῖθεν ἐπανήει, οὕτω καὶ νῦν παροικήσας ἐν Γεράροις, ἐν μὲν τοῖς προοιμίοις τὰ παρ' ἑαυτοῦ ἐπιδείκνυται· μετὰ δὲ ταῦτα τοσαύτης ἀπολαύει τῆς παρὰ τοῦ Θεοῦ συμμαχίας, ὡς καὶ τὸν βασιλέα καὶ τοὺς αὐτόθι πάντας οἰκοῦντας, περὶ τὴν θεραπείαν τοῦ δικαίου πᾶσαν ἐπιδείκνυσθαι τὴν σπουδήν. «Εἶπε δέ», φησίν, «Ἀβραὰμ περὶ Σάρρας τῆς γυναικὸς αὐτοῦ, ἀδελφή μού ἐστιν. Ἐφοβήθη γὰρ εἰπεῖν, ὅτι γυνή μού ἐστι, μή ποτε ἀποκτείνωσιν οἱ ἄνδρες τῆς πόλεως δι' αὐτήν». Ὅρα πῶς ὑπὸ τυραννικωτάτων παθῶν ἐπολιορκεῖτο ἡ τοῦ δικαίου ψυχὴ καὶ ὁ φόβος αὐτὸν ἐξωθεῖτο. Ἀλλὰ καίτοι σφόδρα χαλεπὸν ὄντα τὸν πρότερον φόβον, τὸν τῆς προδοσίας τῆς γυναικός, παρωθεῖτο ὁ τοῦ θανάτου φόβος. Ἵνα γὰρ τοῦτον διαφύγῃ, ὑπέμεινεν ὁρᾶν τοῖς οἰκείοις ὀφθαλμοῖς τὴν κοινωνὸν αὐτῷ τοῦ βίου ὑπὸ ταῖς τοῦ βασιλέως χερσὶ γενομένην. Ὅσον

δὲν ἠμπορεῖ νὰ ὑποφέρῃ κανεὶς καὶ αὐτό, τὸ ὁποῖον δὲν θὰ ἐδέχετο οὔτε νὰ ἀκούσῃ, αὐτὸ ὑπέμεινεν αὐτός, χωρὶς νὰ ἀγανακτῇ, οὔτε νὰ ζητῇ εὐθύνας, ὅσων συνέβαινον, ἀπὸ τὸν Κύριον, ὅπως ἀκριβῶς κάμνουν οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους καὶ μάλιστα, ἂν καὶ πιέζονται ἀπὸ ἀναρίθμητα φορτία ἁμαρτιῶν, ὅταν εὑρεθοῦν εἰς δυσάρεστον κατάστασιν, ἀμέσως ἐρευνοῦν καὶ ἐξετάζουν καὶ λέγουν· διατί συνέβη τὸ καὶ τό; Καὶ διὰ ποῖον λόγον ἐπετράπη νὰ γίνῃ αὐτό; Ἀλλ' ὁ δίκαιος αὐτὸς δὲν ἐνήργησε μὲ παρόμοιον τρόπον. Διὰ τοῦτο καὶ ἔλαβε πλουσιωτέραν τὴν ἐκ τῶν ἄνω βοήθειαν. Αὐτὸ εἶναι πράγματι τὸ γνώρισμα τοῦ εὐγνώμονος δούλου, νὰ μὴ ἐρευνᾷ δηλαδὴ τίποτε, ἀπὸ ὅσα γίνονται ἀπὸ τὸν Κύριον, ἀλλὰ νὰ δέχεται τὰ πάντα σιωπηρῶς καὶ μὲ μεγάλην εὐχαρίστησιν.

2. Καὶ πρόσεχε, πῶς καὶ μὲ ὅλους τοὺς συνεχεῖς πειρασμοὺς ἔλαμπε περισσότερον ἡ ἀρετὴ τοῦ δικαίου, ἀφοῦ ὁ Θεὸς ἔκαμεν αὐτὸν περιφανῆ μὲ ὅλα. Διότι, ὅπως ἀκριβῶς, ὅταν κατέβηκεν εἰς τὴν Αἴγυπτον ὡς ἄγνωστος καὶ ξένος καὶ εἰς οὐδένα γνωστός, ἐπανῆλθεν ἀπὸ ἐκεῖ μὲ πολλὴν δόξαν, κατὰ τὸν ἴδιον τρόπον καὶ τώρα, ὅταν ἦλθεν ὡς πάροικος εἰς Γέραρα, κατ' ἀρχὰς μὲν κάμνει ὅ,τι εἶναι εἰς αὐτὸν δυνατόν, ἐνῷ ἀργότερα ἀπολαμβάνει τόσην βοήθειαν ἀπὸ τὸν Θεόν, ὥστε καὶ ὁ βασιλεὺς καὶ ὅλοι οἱ κατοικοῦντες ἐκεῖ νὰ φροντίζουν νὰ δείξουν μεγάλην τιμὴν εἰς τὸν δίκαιον. «Καὶ εἶπε», λέγει, «Ὁ Ἀβραὰμ διὰ τὴν Σάρραν τὴν γυναῖκα του· εἶναι ἀδελφή μου. Ἐφοβήθη νὰ εἰπῇ εἶναι γυναῖκα μου, μήπως φονεύσουν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως ἐξ αἰτίας αὐτῆς». Βλέπε, πῶς ἐπολιορκεῖτο ἡ ψυχὴ τοῦ δικαίου ἀπὸ τυραννικώτατα πάθη καὶ πῶς τὸν ἐπίεζεν ὁ φόβος. Ἀλλ' ἂν καὶ ὁ προηγούμενος φόβος ἦτο πολὺ πιὸ μεγάλος, τὸ νὰ τὸν προδώσῃ δηλαδὴ ἡ σύζυγός του, ὅμως ὁ φόβος τοῦ θανάτου ἦτο μεγαλύτερος. Διότι διὰ νὰ ἀποφύγῃ αὐτόν, ἠνέχθη νὰ βλέπῃ μὲ τοὺς ἰδίους τοὺς ὀφθαλμούς του τὴν σύντροφόν του εἰς τὴν ζωὴν νὰ εὑρίσκεται εἰς χεῖρας τοῦ βασιλέως. Πόσον δὲ ἀνυπόφορον εἶναι αὐτό, τὸ γνωρίζουν,

δὲ τοῦτό ἐστιν ἀφόρητον, ἴσασιν ὅσοι γυναῖκας ἔχουσι. Διὰ τοῦτο καὶ σοφός τις ἔλεγε· «Μεστὸς ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν».

'Αλλὰ τὸ βαρὺ τοῦτο καὶ πᾶσιν ἀφόρητον ὅρα πῶς διὰ τὸν τοῦ θανάτου φόβον γενναίως ὁ δίκαιος ἤνεγκε. Τοῦτο δὲ καὶ ἐπὶ τῶν σωματικῶν παθῶν συμβαίνειν ἔθος· ἐπειδὰν γὰρ δύο κατὰ ταὐτὸ πάθη πολιορκῇ τὸ σῶμα τὸ ἡμέτερον, ἡ τοῦ ἑνὸς ἐπίτασις ἀποκρύπτει τὸ ἕτερον καὶ ὅλοι τῆς ὀδύνης ἐκείνης γινόμεθα καὶ πολλάκις οὐδὲ αἴσθησιν τοῦ ἑτέρου λαμβάνομεν, τῆς πολλῆς ὀδύνης περισπώσης ἡμᾶς καὶ οὐκ ἀφιείσης τοῦ ἐλάττονος πάθους πεῖραν λαβεῖν. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος νῦν ὁρῶν τοῦ θανάτου τὸν φόβον ἐπικείμενον, πάντα τὰ λοιπὰ φορητὰ ἡγεῖτο. 'Αλλὰ ταῦτα ἀκούων, ἀγαπητέ, μὴ καταγνῷς τοῦ δικαίου μικροψυχίαν, εἰς τὸν θάνατον ἐδεδοίκει, ἀλλὰ θαύμασον τοῦ πάντων ἡμῶν Δεσπότου τὴν ὑπερβάλλουσαν περὶ ἡμᾶς φιλανθρωπίαν, ὅτι τὸν θάνατον τὸν τοῖς δικαίοις ἐκείνοις καὶ ἁγίοις τότε φοβερόν, τοῦτον νῦν εὐκαταφρόνητον εἰργάσατο ὁ Χριστὸς καὶ ὃν ἐδεδοίκεισαν οἱ ἐνάρετοι ἐκεῖνοι καὶ τοσαύτην παρρησίαν πρὸς τὸν Θεὸν ἐσχηκότες, τοῦτον νῦν καταγελῶσι καὶ νέοι καὶ κόραι ἁπαλαί. Οὐδὲ γὰρ θάνατός ἐστι λοιπόν, ἀλλ' ὕπνος καὶ ἀποδημία καὶ μετάστασις ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω. 'Ο γὰρ θάνατος τοῦ Δεσπότου τὴν ἀθανασίαν ἡμῖν ἐδωρήσατο καὶ κατελθὼν εἰς τὸν ᾅδην ἐξέλυσεν αὐτοῦ τὰ νεῦρα καὶ τὴν ἰσχὺν αὐτοῦ καθεῖλε· καὶ τὸν φοβερὸν πρὸ τούτου καὶ ἀμείλικτον, τοῦτον οὕτως εὐκαταφρόνητον εἰργάσατο, ὡς καὶ ἐπιπηδᾶν τινας καὶ ἐπείγεσθαι πρὸς τὴν ἐντεῦθεν μετάστασιν. Διὰ τοῦτο καὶ Παῦλος βοᾷ λέγων, «Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον».

'Αλλὰ ταῦτα μὲν νῦν μετὰ τὴν τοῦ Χριστοῦ πα-

---

4. Παροιμ. 6, 34 - 35.

ὅσοι ἔχουν συζύγους. Διὰ τοῦτο καὶ κάποιος σοφὸς ἔλεγε· «Ἡ ψυχὴ τοῦ ἀνδρός της εἶναι γεμάτη ἀπὸ ζήλεια, δὲν θὰ τὴν λυπηθῇ κατὰ τὴν ἡμέραν τῆς κρίσεως, οὔτε θὰ ἀνταλλάξῃ μὲ κανένα λύτρον τὴν ἔχθραν του»[4].

Ἀλλὰ πρόσεχε, πῶς ὁ δίκαιος ὑπέφερε μὲ γενναιότητα τὸ βαρὺ τοῦτο καὶ ἀνυπόφορον εἰς ὅλους, λόγῳ τοῦ ὅτι ἐφοβεῖτο τὸν θάνατον. Τὸ ἴδιον συμβαίνει συνήθως καὶ μὲ τοὺς σωματικοὺς πόνους. Ὅταν δηλαδὴ προσβάλλουν τὸ σῶμα μας συγχρόνως δύο πόνοι, ἡ ἔντασις τοῦ ἑνὸς καλύπτει τὸν ἄλλον καὶ μᾶς ἀπορροφᾷ ἐξ ὁλοκλήρου ἐκεῖνος ὁ πόνος καὶ πολλὰς φορὰς οὔτε ἀντιλαμβανόμεθα τὸν ἄλλον πόνον, ἀφοῦ μᾶς ἀποσπᾷ ὁ μεγάλος πόνος καὶ δὲν μᾶς ἀφήνει νὰ καταλάβωμεν τὸν μικρόν. Κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ὁ δίκαιος αὐτὸς τώρα, ἐπειδὴ βλέπει ἐπικείμενον τὸν φόβον τοῦ θανάτου, ὅλα τὰ ἄλλα τὰ ἐθεώρει ὑποφερτά. Ἀλλ' ὅταν ἀκούῃς αὐτά, ἀγαπητέ, νὰ μὴ κατακρίνῃς τὸν δίκαιον διὰ μικροψυχίαν, ἐὰν ἐφοβήθη τὸν θάνατον, ἀλλὰ νὰ θαυμάσῃς τὴν φιλανθρωπίαν, τὴν ὁποίαν ἔδειξε πρὸς ἡμᾶς ὁ Κύριός μας, ἀφοῦ τὸν θάνατον, τὸν φοβερὸν εἰς τοὺς δικαίους ἐκείνους καὶ ἁγίους, τὸν κατέστησε τώρα ὁ Χριστὸς καὶ αὐτὸν εὐκαταφρόνητον· αὐτὸν ποὺ ἐφοβήθησαν ἐκεῖνοι οἱ ἐνάρετοι, οἱ ὁποῖοι εἶχον τόσην παρρησίαν ἐνώπιον τοῦ Θεοῦ, αὐτὸν τώρα περιφρονοῦν καὶ οἱ νέοι καὶ αἱ τρυφεραὶ κόραι. Διότι δὲν εἶναι πλέον θάνατος, ἀλλὰ ὕπνος καὶ ἀποδημία καὶ μετάβασις ἀπὸ τὰ χειρότερα πρὸς τὰ καλύτερα. Καθ' ὅσον ὁ θάνατος τοῦ Κυρίου ἐδώρησεν εἰς ἡμᾶς τὴν ἀθανασίαν καὶ ἀφοῦ κατῆλθεν εἰς τὸν ᾅδην διέλυσε τὴν δύναμίν του καὶ κατέλυσε τὴν ἰσχύν του. Καὶ αὐτόν, ὁ ὁποῖος ἦτο φοβερὸς καὶ ἀμείλητος πρὶν ἀπ' αὐτόν, αὐτὸς τὸν ἔκαμε τόσον εὐκαταφρόνητον, ὥστε μερικοὶ καὶ νὰ σπεύδουν ἀκόμη καὶ νὰ ἐπιζητοῦν τὴν ἀπὸ ἐδῶ ἀποδημίαν. Διὰ τοῦτο καὶ ὁ Παῦλος φωνάζει καὶ λέγει· «Τὸ νὰ φύγω ἀπ' ἐδῶ καὶ νὰ εἶμαι μαζὶ μὲ τὸν Χριστὸν εἶναι πολὺ καλύτερον»[5].

Ἀλλ' αὐτὰ συμβαίνουν τώρα μετὰ τὴν ἔλευσιν τοῦ

ρουσίαν, μετὰ τὸ συγκλασθῆναι τὰς πύλας τὰς χαλκᾶς, μετὰ τὸ πανταχοῦ τῆς οἰκουμένης τὸν ἥλιον τῆς δικαιοσύνης ἐκλάμψαι. Τότε δὲ ἔτι φοβερὰν εἶχε τὴν πρόσοψιν καὶ κατέσειε τῶν δικαίων ἐκείνων ἀνδρῶν τὴν διάνοιαν· διὸ καὶ πάντα τὰ ἄλλα κούφως ἔφερον, κἂν ἀφόρητα ἐτύγχανεν ὄντα. Διὰ τοῦτο καὶ ὁ δίκαιος οὗτος φοβούμενος τῶν ἐν Γεράροις οἰκούντων τὴν ἐπιβουλήν, οὐχ ὡς γυναῖκα, ἀλλ' ὡς ἀδελφὴν ἐπαγόμενος, οὕτω τὴν ἐνταῦθα παροίκησιν ποιεῖται. Καὶ καθάπερ εἰς τὴν Αἴγυπτον κατελθεῖν αὐτὸν συνεχώρησεν ὁ Θεός, βουλόμενος καὶ τοὺς ἀγνώμονας ἐκείνους καὶ ἀναισθήτους τοῦ δικαίου μαθεῖν τὴν ἀρετήν· οὕτω καὶ ἐνταῦθα τὴν οἰκείαν μακροθυμίαν ἐπιδείκνυται ὁ Δεσπότης, ἵνα καὶ τοῦ δικαίου ἡ ὑπομονὴ διὰ πάντων ἐκλάμψῃ καὶ ἡ τοῦ Θεοῦ περὶ αὐτὸν εὔνοια πᾶσι κατάδηλος γένηται.

«Ἀπέστειλε δὲ Ἀβιμέλεχ ὁ βασιλεὺς Γεράρων, λαβεῖν τὴν Σάρραν». Ἐννόησόν μοι τὸν χειμῶνα τῶν λογισμῶν, ὧν ὑπέμεινεν ὁ δίκαιος ὁρῶν αὐτοῦ τὴν γυναῖκα ἀπαγομένην καὶ οὐδὲν δυνάμενος ἐπαμῦναι. Σιγῇ γὰρ ἅπαντα ἔφερεν, εἰδὼς ὅτι οὐ περιόψεται αὐτὸν ὁ Δεσπότης, ἀλλὰ ταχεῖαν παρέξει τὴν συμμαχίαν. Καὶ τῆς Σάρρας δὲ θαυμάσαι ἐστὶ τὴν πολλὴν φιλοστοργίαν, πῶς τοῦ κινδύνου τοῦ θανάτου τὸν δίκαιον ἐξαρπάσαι βουλομένη· ἐξῆν γὰρ αὐτὴν ἐκκαλύψασαν τὸ δρᾶμα διαφυγεῖν τὴν ὁμολογουμένην ὕβριν· ἀλλ' ὑπέμεινεν ἅπαντα γενναίως, ἵνα τῷ δικαίῳ τὴν σωτηρίαν πραγματεύσηται. Καὶ ἐπληροῦτο ἐκεῖνο τὸ εἰρημένον, ὅτι «Ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Ὥσπερ γὰρ μία σὰρξ ὄντες, οὕτω τῆς ἀλλήλων σωτηρίας ἐκήδοντο καὶ τοσαύτην ἐπεδείκνυντο τὴν ὁμόνοιαν, ὡς ἓν σῶμα τυγχάνοντες καὶ μία ψυχή. Ταῦτα ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες· γυναῖκες, ἵνα τοσαύτην περὶ τοὺς ἄνδρας τὴν φιλοστορ-

5. Ἐφ. 1, 23.
6. Γέν. 2, 24.

Χριστοῦ, μετὰ ἀπὸ τὴν συντριβὴν τῶν χαλκίνων πυλῶν τοῦ ἅδου, μετὰ ἀπὸ τὴν ἀνατολὴν τοῦ ἡλίου τῆς δικαιοσύνης εἰς ὁλόκληρον τὴν οἰκουμένην. Τότε ὅμως εἶχε φοβερὰν ὄψιν ὁ θάνατος καὶ συνετάρασσε τὴν ψυχὴν τῶν δικαίων ἐκείνων ἀνδρῶν καὶ διὰ τοῦτο καὶ ὑπέφερον ὅλα τὰ ἄλλα μὲ καρτερίαν, ἔστω καὶ ἂν ἐτύγχανε νὰ εἶναι ἀφόρητα. Διὰ τὸν λόγον αὐτὸν καὶ ὁ δίκαιος αὐτὸς ἐπειδὴ ἐφοβεῖτο τὴν κακίαν τῶν κατοίκων τῶν Γεράρων, ἐγκαθίσταται ἐκεῖ ὄχι ὡς ἔχων σύζυγον, ἀλλ' ἀδελφήν. Καὶ ὅπως ἀκριβῶς παρεχώρησεν ὁ Θεὸς νὰ καταβῇ εἰς τὴν Αἴγυπτον, ἐπειδὴ ἤθελε νὰ μάθουν τὴν ἀρετὴν τοῦ δικαίου καὶ οἱ ἀγνώμονες ἐκεῖνοι καὶ ἀναίσθητοι, κατὰ παρόμοιον τρόπον καὶ τώρα ὁ Κύριος δεικνύει τὴν μακροθυμίαν του, ὥστε καὶ νὰ λάμψῃ μὲ ὅλα ἡ ὑπομονὴ τοῦ δικαίου καὶ νὰ γίνῃ γνωστὴ εἰς ὅλους ἡ ἀγάπη τοῦ Θεοῦ δι' αὐτόν.

«Καὶ ἔστειλεν ὁ Ἀβιμέλεχ, ὁ βασιλεὺς τῶν Γεράρων, ἀνθρώπους διὰ νὰ λάβουν τὴν Σάρραν ὡς σύζυγόν του». Σκέψου, παρακαλῶ, τὴν ταραχὴν τοῦ νοῦ, τὴν ὁποίαν ὑπέμεινεν ὁ δίκαιος, ὅταν ἔβλεπε τὴν γυναῖκα του νὰ ἁρπάζεται καὶ νὰ μὴ ἠμπορῇ καθόλου νὰ τὴ βοηθήσῃ. Πράγματι ὑπέμεινε τὰ πάντα σιωπηρῶς, ἐπειδὴ ἐγνώριζεν, ὅτι δὲν θὰ τὸν παραμελήσῃ ὁ Κύριος, ἀλλὰ θὰ τοῦ παράσχῃ γρήγορα τὴν βοήθειάν του. Πρέπει ὅμως νὰ θαυμάσωμεν καὶ τῆς Σάρρας τὴν πολλὴν ἀγάπην, ἐπειδὴ ἤθελε νὰ σώσῃ τὸν δίκαιον ἀπὸ τὸν κίνδυνον τοῦ θανάτου μὲ κάθε τρόπον. Καθ' ὅσον ἦτο δυνατὸν εἰς αὐτὴν νὰ ἀποκαλύψῃ τὴν προσποίησιν καὶ νὰ ἀποφύγῃ τὴν βεβαίαν προσβολήν. Ἀλλ' ὑπέφερε τὰ πάντα μὲ θάρρος, διὰ νὰ ἐπιτύχῃ διὰ τὸν δίκαιον τὴν σωτηρίαν του. Καὶ ἐξεπληρώνετο ἐκεῖνο, τὸ ὁποῖον ἔχει λεχθῆ, ὅτι δηλαδὴ «Οἱ δύο θὰ γίνουν μία σάρξ»[6]. Ἀφοῦ λοιπὸν ἦσαν ὡς μία σάρξ, δι' αὐτὸ τόσον ἐφρόντιζον ὁ ἕνας διὰ τὴν σωτηρίαν τοῦ ἄλλου καὶ τόσην ἀγάπην εἶχον μεταξύ των, ὡσὰν νὰ εἶχον ἕνα σῶμα καὶ μίαν ψυχήν. Ἂς ἀκούσουν αὐτὰ οἱ ἄνδρες, ἂς ἀκούσουν αὐτὰ αἱ γυναῖκες. Αἱ μὲν γυναῖκες διὰ νὰ δεικνύουν τόσην ἀγάπην πρὸς τοὺς ἄνδρας των καὶ νὰ μὴ

γίαν ἐπιδεικνύωσι καὶ μηδὲν ἕτερον προτιμῶσι τῆς ἐκείνων σωτηρίας· καὶ ἄνδρες, ἵν' οὕτω πολλὴν τὴν περὶ αὐτὰς εὔνοιαν ἔχωσι καὶ ὡς μίαν ψυχὴν κεκτημένοι καὶ ἓν σῶμα ὄντες, οὕτω πάντα διαπράττωνται.

3. Τοῦτο γὰρ ἀληθὲς συνοικέσιον, ὅταν τοσαύτη ἐν αὐτοῖς πολιτεύηται συμφωνία, ὅταν τοσοῦτος ᾖ ὁ σύνδεσμος, ὅταν οὕτως ὦσι τῇ ἀγάπῃ συνεσφιγμένοι. Καθάπερ γὰρ σῶμα πρὸς ἑαυτὸ οὐκ ἄν ποτε διαστασιάσειεν, οὐδὲ ψυχὴ πρὸς ἑαυτήν· οὕτως ἄνδρα καὶ γυναῖκα οὐ διαστασιάζειν, ἀλλ' ἡνῶσθαι χρή. Τότε γὰρ καὶ τὰ μυρία αὐτοῖς ἀγαθὰ ἐπιρρεῦσαι δυνήσεται. Ὅπου γὰρ ὁμόνοια τοσαύτη, ἐκεῖ πάντων τῶν ἀγαθῶν ἡ σύνοδος, ἐκεῖ ἡ εἰρήνη, ἐκεῖ ἡ ἀγάπη, ἐκεῖ ἡ εὐφροσύνη ἡ πνευματική· οὐδαμοῦ πόλεμος, οὐδαμοῦ μάχη, οὐδαμοῦ ἔχθρα καὶ φιλονεικία· ἀλλὰ ταῦτα πάντα ἐκποδὼν γίνεται, τῆς ῥίζης τῶν ἀγαθῶν, τῆς ὁμονοίας λέγω, ταῦτα πάντα ἀφανιζούσης. «Ἀπέστειλε δὲ Ἀβιμέλεχ βασιλεὺς Γεράρων καὶ ἔλαβε τὴν Σάρραν. Καὶ εἰσῆλθεν ὁ Θεὸς πρὸς Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα καὶ εἶπεν· ἰδοὺ σὺ ἀποθνήσκεις περὶ τῆς γυναικός, ἧς ἔλαβες· αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί». Ὅρα Θεοῦ φιλανθρωπίαν· ἐπειδὴ εἶδε τὸν δίκαιον διὰ τὸν τοῦ θανάτου φόβον γενναίως ἐνεγκόντα τῆς Σάρρας τὴν ἀφαίρεσιν καὶ τὸν βασιλέα ὡς ἀδελφὴν τοῦ δικαίου οὕτως αὐτὴν ἀγόμενον, λοιπὸν τὴν οἰκείαν πρόνοιαν ἐπιδείκνυται, ὁμοῦ καὶ τὸν δίκαιον περιφανέστερον ἀποδεικνὺς καὶ τὴν Σάρραν τῆς ὕβρεως ἐλευθερῶν καὶ τὸν βασιλέα ἀπαλλάττων τῆς παρανομίας.

«Καὶ εἰσῆλθεν ὁ Θεὸς πρὸς Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα». Κατ' αὐτόν, φησί, τὸν τοῦ ὕπνου καιρὸν ἐξαρπάσαι αὐτὸν βουλόμενος τῆς παρανομίας, ἐνέθηκεν αὐτοῦ τῇ διανοίᾳ τὴν γνῶσιν καὶ τὰ λανθάνοντα αὐτῷ εἰς φῶς ἤγαγε καὶ πολὺν τὸν φόβον αὐ-

προτιμοῦν τίποτε ἄλλο περισσότερον ἀπὸ τὴν σωτηρίαν των. Οἱ δὲ ἄνδρες διὰ νὰ ἔχουν κατὰ τὸν ἴδιον τρόπον πολλὴν ἀγάπην διὰ τὰς γυναῖκας καὶ ὡσὰν νὰ ἔχουν μίαν ψυχὴν καὶ νὰ εἶναι ἕνα σῶμα, ἔτσι νὰ κάμουν τὰ πάντα.

3. Πράγματι αὐτὸ εἶναι ἀληθινὸν συνοικέσιον, ὅταν δηλαδὴ ὑπάρχῃ τόση συμφωνία, ὅταν ὑπάρχῃ τόσον μεγάλος δεσμός, ὅταν εἶναι τόσον δεμένοι μὲ τὴν ἀγάπην. Ὅπως ἀκριβῶς δηλαδὴ δὲν ἠμπορεῖ νὰ ἐπαναστατήσῃ τὸ σῶμα κατὰ τοῦ ἑαυτοῦ του καὶ ἡ ψυχὴ κατὰ τοῦ ἑαυτοῦ της, ἔτσι καὶ ὁ ἄνδρας καὶ ἡ γυναῖκα δὲν πρέπει νὰ εὑρίσκωνται εἰς διαμάχην, ἀλλὰ νὰ παραμένουν ἡνωμένοι. Καθ' ὅσον τότε θὰ ἠμπορέσουν νὰ συγκεντρώσουν τὰ ἀνυπολόγιστα δι' αὐτοὺς ἀγαθά. Ὅπου ὑπάρχει δηλαδὴ μεγάλη ὁμόνοια, ἐκεῖ συγκεντρώνονται καὶ ὅλα τὰ ἀγαθά, ἐκεῖ εὑρίσκεται ἡ εἰρήνη, ἐκεῖ ἡ ἀγάπη καὶ ἡ πνευματικὴ εὐφροσύνη. Πουθενὰ δὲν ὑπάρχει πόλεμος, πουθενὰ μάχη, πουθενὰ ἔχθρα καὶ φιλονεικία, ἀλλ' ὅλα αὐτὰ ἐξαφανίζονται, ἀφοῦ ἡ ρίζα τῶν ἀγαθῶν, ἐννοῶ ἡ ὁμόνοια, τὰ ἐξαφανίζει ὅλα. «Καὶ ἔστειλεν ὁ Ἀβιμέλεχ, ὁ βασιλεὺς τῶν Γεράρων, ἀνθρώπους διὰ νὰ λάβουν τὴν Σάρραν ὡς σύζυγόν του. Ἀλλ' ὁ Θεὸς παρουσιάσθη εἰς τὸν Ἀβιμέλεχ τὴν νύκτα εἰς τὸ ὄνειρόν του καὶ εἶπε· Ἰδοὺ σὺ ἀποθνήσκεις ἐξ αἰτίας τῆς γυναικός, τὴν ὁποίαν ἔλαβες. Αὐτὴ εἶναι συζευγμένη μὲ ἄνδρα». Βλέπε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Ἐπειδὴ εἶδεν, ὅτι ὁ δίκαιος ἐξ αἰτίας τοῦ φόβου τοῦ θανάτου ὑπέμεινε μὲ γενναιότητα τὴν ἁρπαγὴν τῆς Σάρρας καὶ ὅτι ὁ βασιλεὺς ἔλαβεν αὐτήν, ἐπειδὴ ἐνόμιζεν, ὅτι ἦτο ἀδελφὴ τοῦ δικαίου, τότε ἐπιδεικνύει καὶ τὴν ἰδικήν του φροντίδα καὶ ἔτσι συγχρόνως καὶ τὸν δίκαιον καθιστᾷ περιφανέστερον καὶ τὴν Σάρραν ἀπαλλάσσει ἀπὸ τὴν προσβολὴν καὶ τὸν βασιλέα ἀπαλλάσσει ἀπὸ τὴν παρανομίαν.

«Καὶ ὁ Θεὸς παρουσιάσθη εἰς τὸν Ἀβιμέλεχ τὴν νύκτα εἰς τὸ ὄνειρόν του». Κατὰ τὴν ὥραν τοῦ ὕπνου, λέγει, ἐπειδὴ ἤθελε νὰ προφυλάξῃ αὐτὸν ἀπὸ τὴν παρανομίαν, διὰ τοῦτο ἐγνωστοποίησεν εἰς αὐτὸν καὶ ἀπεκάλυψεν εἰς αὐτόν, ὅσα ἠγνόει καὶ τοῦ ἐπροκάλεσε μεγάλον φόβον, ἀφοῦ

τῷ ἐπέτεινε, τὸν θάνατον ἀπειλήσας. «᾿Αποθνήσκεις γάρ», φησί, «περὶ τῆς γυναικός, ἧς ἔλαβες· αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί. ᾿Αβιμέλεχ δὲ οὐχ ἥψατο αὐτῆς». Ταῦτα δὲ πάντα ἐγίνετο, ἵνα ἡ τοῦ Θεοῦ ἐπαγγελία ἡ εἰς τὸν πατριάρχην εἰς ἔργον ἐξέλθῃ. ᾿Επειδὴ γὰρ πρὸ βραχέος ὑπέσχετο αὐτῷ τὸν ᾿Ισαὰκ τεχθήσεσθαι, ἐγγὺς δὲ λοιπὸν ὁ καιρὸς ἦν, ἵν' οὖν μὴ λυμήνεταί τι τῇ τοῦ Θεοῦ ἐπαγγελίᾳ, τοσοῦτον φόβον τῷ ᾿Αβιμέλεχ ἐπιτίθησιν, ὡς καταπληχθέντα αὐτὸν μὴ τολμῆσαι ἐφάψασθαι τῆς Σάρρας. Διὰ γὰρ τοῦτο προσέθηκεν ἡ θεία Γραφή, ὅτι «᾿Αβιμέλεχ οὐχ ἥψατο αὐτῆς»· ἀλλὰ καὶ ἀπολογεῖται ὑπὲρ τοῦ τολμήματος καί φησι, «Κύριε, ἔθνος δίκαιον καὶ ἀγνοοῦν ἀπολεῖς;». Μὴ γὰρ αὐτοῦ εἰδώς, φησί, γυναῖκα οὖσαν αὐτήν, τοῦτο πεποίηκα; μὴ γὰρ ἀδικῆσαι βουλόμενος τὸν ξένον; μὴ γὰρ ὡς γυναῖκα ἀφαιρούμενος; ῾Ως ἀδελφὴν μέλλων λαμβάνειν τοῦτο διεπραξάμην, νομίζων καὶ ταύτῃ τιμήσειν καὶ αὐτόν. «῎Εθνος οὖν ἀγνοοῦν καὶ δίκαιον ἀπολεῖς;». Μετὰ τοῦ δικαίου, φησί, πεποιηκότα με τὸ ἐπιχείρημα ἀπολεῖς; Εἶτα σαφέστερον ποιῶν ὅπερ ἔλεγε, φησίν· «Οὐκ αὐτός μοι εἶπεν, ὅτι ἀδελφή μού ἐστι καὶ αὕτη μοι εἶπεν, ὅτι ἀδελφός μού ἐστι;».

Σκόπει πῶς εἶχον τὴν ὁμόνοιαν καὶ τὴν συμφωνίαν. Καὶ αὐτός, φησί, τοῦτό μοι εἶπε καὶ αὕτη συνέθετο τοῖς παρ' αὐτοῦ λεγομένοις. ᾿Εν καθαρᾷ καρδίᾳ καὶ ἐν δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο», φησίν· οὐχ ὥσπερ παράνομόν τι μέλλων διαπράττεσθαι, ἀλλ' ὡς νενομισμένον καὶ ἀκόλουθον καὶ οὐδεμίαν ἔχον μέμψιν τοῦτο πεποίηκα. Τί οὖν ὁ φιλάνθρωπος Δεσπότης; «Εἶπε δὲ αὐτῷ ὁ Θεὸς καθ' ὕπνον». ῞Ορα πόσῃ συγκαταβάσει κέχρηται ὁ τῶν ὅλων Δεσπότης, τὴν οἰκείαν ἀγαθότητα διὰ πάντων ἐπιδεικνύμενος. «Κἀγὼ ἔγνων», φησίν, «ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο». Οἶδα, φησίν, ὅτι αὐτοὶ τοῦτο τὸ δρᾶμα κατε-

τὸν ἀπείλησε μὲ θάνατον. Διότι λέγει «Ἰδοὺ σὺ ἀποθνήσκεις ἐξ αἰτίας τῆς γυναικός, τὴν ὁποίαν ἔλαβες. Αὐτὴ εἶναι συζευγμένη μὲ ἄνδρα. Καὶ ὁ Ἀβιμέλεχ δὲν ἤγγισεν αὐτήν». Ὅλα δὲ αὐτὰ συνέβαινον, διὰ νὰ πραγματοποιηθῇ ἡ ὑπόσχεσις τοῦ Θεοῦ πρὸς τὸν πατριάρχην. Ἐπειδὴ δηλαδὴ πρὶν ἀπ' ὀλίγον καιρὸν εἶχεν ὑποσχεθῆ εἰς αὐτόν, ὅτι θὰ γεννηθῇ ὁ Ἰσαάκ, ἐπλησίαζε δὲ ὁ χρόνος τοῦ τοκετοῦ, διὰ νὰ μὴ καταστρέψῃ κάτι ἀπὸ τὴν ὑπόσχεσιν τοῦ Θεοῦ, βάζει τόσον φόβον εἰς τὸν Ἀβιμέλεχ, ὥστε αὐτὸς κατετρόμαξε καὶ δὲν ἐτόλμησε νὰ ἐγγίσῃ τὴν Σάρραν. Διά τοῦτο ἀκριβῶς ἡ ἁγία Γραφὴ προσέθεσεν, ὅτι «Ὁ Ἀβιμέλεχ δὲν ἤγγισεν αὐτήν», καὶ ἀπολογεῖται ἀκόμη διὰ τὸ τόλμημά του καὶ λέγει· «Κύριε θὰ καταστρέψῃς ἀνθρώπους δικαίους καὶ ἀγνοοῦντας;». Μήπως δηλαδὴ ἔκαμα αὐτό, λέγει, γνωρίζων ὅτι εἶναι γυναῖκα αὐτοῦ; Μήπως ἤθελα νὰ προσβάλλω τὸν ξένον; Μήπως τὴν ἀφήρεσα γνωρίζων, ὅτι εἶναι σύζυγός του; Ἔκαμα αὐτό, ἐπειδὴ ἐπίστευον, ὅτι ἐπρόκειτο νὰ λάβω τὴν ἀδελφήν του καὶ ἐπειδὴ ἐνόμιζον, ὅτι θὰ τιμήσω καὶ αὐτὴν καὶ αὐτόν. «Θὰ καταστρέψῃς, λοιπόν, ἀνθρώπους δικαίους καὶ ἔχοντας ἄγνοιαν;». Θὰ μὲ θανατώσῃς, λέγει, ἐπειδὴ ἐνήργησα σύμφωνα μὲ τὸ δίκαιον; Ἔπειτα καθιστᾷ σαφέστερον αὐτό, τὸ ὁποῖον ἔλεγε καὶ λέγει· «Δὲν μοῦ εἶπεν αὐτός, ὅτι εἶναι ἀδελφή μου καὶ αὐτὴ δὲν μοῦ εἶπεν, ὅτι εἶναι ἀδελφός μου;».

Πρόσεχε πῶς εἶχον ὁμόνοιαν καὶ σύμπνοιαν. Καὶ αὐτός, λέγει, μοῦ εἶπεν αὐτὸ καὶ αὐτὴ συνεφώνησεν, μὲ ὅσα ἔλεγεν αὐτός. «Μὲ καθαρὰν καρδίαν καὶ μὲ καθαρὰς χεῖρας ἔκαμα αὐτό», λέγει. Δὲν ἔκαμα αὐτὸ ὡσὰν νὰ ἐπρόκειτο νὰ κάμω κάτι τὸ παράνομον, ἀλλὰ ὡς κάτι τὸ νόμιμον καὶ συνηθισμένον, πρᾶγμα τὸ ὁποῖον δὲν ἐνέχει καμμίαν μομφήν. Τί ἔκαμε λοιπὸν ὁ φιλάνθρωπος Κύριος; «Εἶπε δὲ εἰς αὐτὸν ὁ Θεὸς εἰς τὸν ὕπνον του». Βλέπε πόσην συγκατάβασιν χρησιμοποιεῖ ὁ Κύριος τῶν ὅλων, ἀποδεικνύων μὲ ὅλα τὴν ἀγαθότητά του. «Καὶ «ἐγώ», λέγει, «ἀντελήφθην, ὅτι μὲ καθαρὰν καρδίαν ἔκαμες αὐτό». Γνωρίζω, λέγει, ὅτι αὐτοὶ ἔπαιξαν αὐτὸ τὸ θέατρον καὶ

σκεύασαν καὶ ὅτι ἀπατηθεὶς τοῖς παρ' αὐτῶν λεγομένοις τοῦτο πεποίηκας· καὶ διὰ τοῦτο, ἵνα μὴ διὰ τὴν ἀπάτην ἐκείνην ἁμάρτῃς, «'Εφεισάμην, τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ». Πολλὴ τοῦ ῥήματος ἡ συγκατάβασις, μεγίστη τοῦ Δεσπότου ἡ φιλανθρωπία. Εἰς ἐμέ, φησίν, ἔμελλεν ἀνατρέχειν τὸ ἁμάρτημα. Καθάπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων, ὅταν τις εἴς τινα τῶν οἰκετῶν πολλῆς ἀπολαύοντα τῆς τιμῆς παρὰ τοῦ δεσπότου ὑβριστικόν τι διαθῇ, οἰκείαν ἡγεῖται τὴν ὕβριν ὁ δεσπότης καί φησιν, ἐμὲ ὕβρισας δι' ὧν τὸν ἐμὸν οἰκέτην οὕτω διέθηκας· καὶ γὰρ τὰ εἰς ἐκεῖνον γινόμενα εἰς ἐμὲ διαβαίνει· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἀγαθὸς Δεσπότης, «'Εφεισάμην σου», φησί, «τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ». 'Εμοί, φησίν, οἰκέται τυγχάνουσι καὶ οὕτως αὐτῶν ποιοῦμαι πολλὴν τὴν κηδεμονίαν, ὅτι οἰκειοῦμαι τὰ εἰς αὐτοὺς γινόμενα, κἄν τε ἀγαθὰ ᾖ, κἄν τε ἐναντία.

«Ἕνεκεν τούτου οὐκ ἀφῆκά σε ἅψασθαι αὐτῆς». 'Επειδὴ πολὺ αὐτῶν κήδομαι, τοῦτο εἰδὼς ὅτι ἐξ ἀγνοίας μέλλεις τὴν ὕβριν αὐτοῖς ταύτην ἐπάγειν, «'Εφεισάμην σου, τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ». Μὴ δὴ ἁπλῶς ὡς ἑνὶ τῶν τυχόντων πρόσεχε τῷ ἀνδρί, ἀλλὰ μάνθανε ὅτι τῶν ἐμοὶ περισπουδάστων ἐστὶ καὶ τῶν πολλὴν ἐχόντων πρὸς ἐμὲ τὴν οἰκείωσιν. «'Απόδος τοίνυν τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστὶ καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσῃ». Ὅρα πῶς τὴν ἀρετὴν τοῦ δικαίου ἐκκαλύπτει· καὶ προφήτην αὐτὸν καλεῖ καὶ μονονουχὶ παρασκευάζει τὸν βασιλέα ἱκέτην αὐτοῦ γενέσθαι. «Προσεύξεται γὰρ περὶ σοῦ καὶ ζήσῃ», φησίν. 'Εκεῖνος μὲν οὖν, δεδοικὼς τὸν παρὰ σοῦ θάνατον, τὸ δρᾶμα τοῦτο κατεσκεύασε καὶ μονονουχὶ συνέπραξε πρὸς τὴν τῆς Σάρρας ὕβριν· γίνωσκε δὲ ὅτι αἱ παρ' ἐκείνου προσευχαὶ τὴν ζωήν σοι παρέξουσιν. Εἶτα ἵνα μὴ τῇ ἐπιθυμίᾳ φλεγόμενος καὶ ὑπὸ τοῦ κάλλους τῆς Σάρρας ἡττώμενος, ἔλαττον

ὅτι σὺ ἔκαμες αὐτό, ἐπειδὴ ἐξηπατήθης ἀπὸ τοὺς λόγους των. Καὶ διὰ τὸν λόγον αὐτόν, διὰ νὰ μὴ ἁμαρτήσῃς δηλαδὴ ἐξ αἰτίας τῆς ἀπάτης ἐκείνων, «Σὲ ἐλυπήθην ὥστε νὰ μὴ ἁμαρτήσῃς ἐνώπιόν μου». Μεγάλη εἶναι ἡ συγκατάβασις τῶν λόγων καὶ μεγίστη ἡ φιλανθρωπία τοῦ Κυρίου. Εἰς ἐμέ, λέγει, ἐπρόκειτο νὰ γίνῃ τὸ ἁμάρτημα. Ὅπως ἀκριβῶς δηλαδὴ μὲ τοὺς ἀνθρώπους, ὅταν κάποιος εἰπῇ κάτι τὸ προσβλητικὸν εἰς κάποιον ἀπὸ τοὺς ὑπηρέτας, ὁ ὁποῖος χαίρει μεγάλης ἐκτιμήσεως ἀπὸ τὸν κύριόν του, ἰδικήν του θεωρεῖ τὴν προσβολὴν ὁ κύριος καὶ λέγει, ἐμένα ὕβρισες, μὲ ὅσα ἔκαμες εἰς τὸν δοῦλον μου, ἀφοῦ, ὅσα γίνονται εἰς αὐτόν, περνοῦν εἰς ἐμένα, κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ὁ ἀγαθὸς Κύριος λέγει «Σὲ ἐλυπήθην, ὥστε νὰ μὴ ἁμαρτήσῃς ἐνώπιόν μου». Ἰδικοί μου δοῦλοι εἶναι, λέγει, καὶ τόσον πολὺ ἐνδιαφέρομαι δι᾽ αὐτούς, ὥστε οἰκειοποιοῦμαι, ὅσα γίνονται εἰς αὐτούς, εἴτε αὐτὰ εἶναι καλὰ εἴτε ὄχι.

«Διὰ τοῦτο δὲν σὲ ἄφησα νὰ ἐγγίσῃς αὐτήν». Ἐπειδὴ φροντίζω πολὺ δι᾽ αὐτοὺς καὶ ἐπειδὴ ἐγνώριζα, ὅτι ἀπὸ ἄγνοιαν ἐπρόκειτο νὰ προσβάλῃς αὐτοὺς «Σὲ ἐλυπήθην, ὥστε νὰ μὴ ἁμαρτήσῃς ἐνώπιόν μου». Νὰ μὴ θεωρῇς λοιπὸν τὸν ἄνθρωπον αὐτὸν ἁπλῶς ὡς ἕνα ἀπὸ τοὺς τυχόντας, ἀλλὰ νὰ ἔχῃς ὑπ᾽ ὄψιν σου, ὅτι εἶναι ἀπ᾽ αὐτούς, τοὺς ὁποίους φροντίζω πάρα πολὺ καὶ ἀπ᾽ αὐτούς, οἱ ὁποῖοι εἶναι πολὺ συνδεδεμένοι μαζί μου. «Νὰ ἐπιστρέψῃς λοιπὸν τὴν γυναῖκα εἰς τὸν ἄνθρωπον, διότι εἶναι προφήτης καὶ θὰ προσευχηθῇ διὰ σὲ καὶ ἔτσι θὰ ζήσῃς». Βλέπε, μὲ ποῖον τρόπον ἀποκαλύπτει τὴν ἀρετὴν τοῦ δικαίου καὶ ὀνομάζει αὐτὸν προφήτην καὶ προετοιμάζει σχεδὸν τὸν βασιλέα νὰ γίνῃ ὑπηρέτης του. Διότι λέγει· «Θὰ προσευχηθῇ διὰ σὲ καὶ ἔτσι θὰ ζήσῃς». Ἐκεῖνος μὲν λοιπόν, ἐπειδὴ ἐφοβήθη, μήπως τὸν θανατώσῃς, ἐδημιούργησε αὐτὸ τὸ τέχνασμα καὶ ἐβοήθησε σχεδὸν διὰ τὴν ἀτίμωσιν τῆς Σάρρας. Νὰ γνωρίζῃς ὅμως, ὅτι αἱ προσευχαὶ ἐκείνου θὰ σοῦ χαρίσουν τὴν ζωήν. Ἔπειτα διὰ νὰ μὴ φροντίσῃ ὀλιγώτερον διὰ τὰς ἐντολὰς παρασυρόμενος ἀπὸ τὴν ἐπι-

φροντίσῃ τῶν προσταττομένων, ἐπιτείνει τὸν φόβον καὶ τὴν τιμωρίαν ἐπαγγέλλεται μείζονα ἐπάξειν. «Εἰ γὰρ μὴ ἀποδίδως», φησί, «γνῶθι ὅτι ἀποθανῇ σύ τε καὶ πάντα τὰ σά». Οὐ μόνον αὐτὸς τῆς παρακοῆς, φησίν, ὑφέξεις τὴν τιμωρίαν, ἀλλὰ καὶ πάντα τὰ σὰ διὰ σὲ θάνατος καταλήψεται. Διὰ τοῦτο δὲ κατὰ τὸν τῆς νυκτὸς καιρὸν ταῦτα ἅπαντα ὁ Θεὸς αὐτῷ διελέγετο, ἵνα μετὰ ἡσυχίας δεξάμενος τὴν παραίνεσιν, μετὰ πολλοῦ τοῦ φόβου τὸ προσταχθὲν εἰς ἔργον ἀγάγῃ. «Εὐθέως γὰρ ὀρθρίσας ᾿Αβιμέλεχ», φησίν, «ἐκάλεσε τοὺς παῖδας αὐτοῦ καὶ ἐλάλησε πάντα τὰ ῥήματα ταῦτα εἰς τὰ ὦτα αὐτῶν».

4. Ὅρα πῶς κῆρυξ γίνεται λοιπὸν ὁ βασιλεὺς τῆς τοῦ δικαίου ἀρετῆς καὶ πᾶσιν αὐτὸν κατάδηλον ποιεῖ. Καλέσας γάρ, φησί, πάντας τοὺς παῖδας αὐτοῦ, διηγήσατο πάντα τὰ πρὸς αὐτὸν παρὰ τοῦ Θεοῦ δηλωθέντα, ἵνα πάντες γνῶσι καὶ τοῦ Θεοῦ πρὸς αὐτὸν τὴν εὔνοιαν καὶ τῆς προνοίας ἧς ἀξιοῦται παρὰ τοῦ Δεσπότου διὰ τὴν τῶν τρόπων ἀρετήν. «᾿Εφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα». Εἶδες πῶς οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τὰς μεταναστάσεις ἐποιεῖτο ὁ δίκαιος; Εἰ γὰρ ἐπὶ τῆς σκηνῆς τῆς προτέρας ἔμενε, πόθεν εἶχον ἅπαντες οἱ ἐν Γεράροις γνῶναι, ὅσης ὁ δίκαιος ἀπολαύει τῆς παρὰ τοῦ Θεοῦ προνοίας; «᾿Εφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα». Πολὺς αὐτῶν φόβος κατεσκεδάσθη, περὶ τοῦ παντὸς ἠγωνίασαν. Εἶτα, «᾿Εκάλεσε», φησίν, «᾿Αβιμέλεχ τὸν ᾿Αβραάμ». ᾿Εννόει μοι μεθ᾿ ὅσης λοιπὸν τῆς περιφανείας ὁ δίκαιος εἰσάγεται πρὸς τὸν βασιλέα, ὁ πρὸ μικροῦ παρ᾿ αὐτοῖς εὐκαταφρόνητος νομιζόμενος καὶ καθάπερ ἀλήτης καὶ ξένος. ᾿Αθρόον πάντων συνδραμόντων καλεῖται ὁ πατριάρχης οὐδὲν τούτων εἰδὼς τέως καὶ ἐμάνθανε λοιπὸν παρ᾿ αὐτοῦ τοῦ βασιλέως τὰ πα-

θυμίαν καὶ νικώμενος ἀπὸ τὸ κάλλος τῆς Σάρρας, αὐξάνει τὸν φόβον καὶ τοῦ ἀναγγέλλει, ὅτι θὰ τοῦ ἐπιβάλῃ μεγαλυτέραν τιμωρίαν. Διότι λέγει, «Ἐὰν δὲν ἐπιστρέψῃς αὐτήν, μάθε, ὅτι θὰ θανατωθῇς καὶ σὺ καὶ ὅλοι οἱ δικοί σου». Δὲν θὰ ὑποστῇς σὺ μόνον τὴν τιμωρίαν τῆς παρακοῆς, λέγει, ἀλλὰ καὶ ὅλους τοὺς δικούς σου θὰ τοὺς θανατώσω ἐξ αἰτίας σου. Διὰ τοῦτο ὁ Θεὸς συζητεῖ μὲ αὐτὸν ὅλα αὐτὰ κατὰ τὴν διάρκειαν τῆς νυκτός, διὰ νὰ πραγματοποιήσῃ δηλαδὴ μὲ μεγάλον φόβον τὴν ἐντολήν, ἀφοῦ δεχθῇ τὴν συμβουλὴν μὲ ἡσυχίαν. Διότι λέγει «Ὁ Ἀβιμέλεχ ἠγέρθη ἀμέσως καὶ προσεκάλεσε τοὺς δούλους του καὶ εἶπεν ὅλους τοὺς λόγους αὐτοὺς ἐμπρὸς εἰς ὅλους».

4. Πρόσεχε λοιπόν, πῶς ὁ βασιλεὺς γίνεται κήρυκας τῆς ἀρετῆς τοῦ δικαίου καὶ καθιστᾷ αὐτὸν ὁλοφάνερον εἰς ὅλους τοὺς ἀνθρώπους. Διότι λέγει, ἀφοῦ ἐκάλεσεν ὅλους τοὺς δούλους του, διηγήθη εἰς αὐτοὺς ὅλα, ὅσα ἐφανερώθησαν ὑπὸ τοῦ Θεοῦ εἰς αὐτόν, ὥστε ὅλοι νὰ μάθουν καὶ τὴν πρὸς αὐτὸν ἀγάπην τοῦ Θεοῦ καὶ τὴν φροντίδα, ποὺ ἠξιώθη νὰ ἔχῃ ἀπὸ τὸν Κύριον ἐξ αἰτίας τῆς ἐμπράκτου ἀρετῆς του. «Καὶ ἐφοβήθησαν πολὺ ὅλοι οἱ ἄνθρωποι τοῦ βασιλέως». Εἶδες, πῶς ὁ δίκαιος δὲν ἔκαμε χωρὶς σκοπὸν καὶ ἁπλῶς τὰς μετακινήσεις; Διότι ἂν ἔμενεν εἰς τὴν προηγουμένην σκηνήν του, πῶς θὰ ἠμποροῦσαν ὅλοι οἱ κάτοικοι τῶν Γεράρων νὰ μάθουν, πόσην φροντίδα ἀπολαμβάνει ὁ δίκαιος παρὰ τοῦ Θεοῦ; «Καὶ ἐφοβήθησαν πολὺ ὅλοι οἱ ἄνθρωποι τοῦ βασιλέως». Ἐκυρίευσεν αὐτοὺς μεγάλος φόβος καὶ εἶχον ἀγωνίαν διὰ τὸ κάθε τί. Ἔπειτα λέγει, «Ὁ Ἀβιμέλεχ ἐκάλεσε τὸν Ἀβραάμ». Σκέψου, παρακαλῶ, μὲ πόσην λαμπρότητα εἰσάγεται ὁ δίκαιος πρὸς τὸν βασιλέα, αὐτός, ὁ ὁποῖος πρὶν ἀπ' ὀλίγον ἐθεωρεῖτο ἀπ' αὐτοὺς ἄξιος περιφρονήσεως καὶ ὡς κάποιος περιπλανώμενος καὶ ξένος. Ἀφοῦ συνεκεντρώθησαν ὅλοι μαζί, καλεῖται ὁ πατριάρχης, χωρὶς νὰ γνωρίζῃ κανένα μέχρι πρὸ ὀλίγου, καὶ ἐμάνθανεν εἰς τὸ ἑξῆς ἀπὸ τὸν ἴδιον τὸν βασιλέα αὐτά, τὰ ὁποῖα ἔκαμεν ὁ Θεὸς εἰς αὐ-

ρὰ τοῦ Θεοῦ δι' αὐτὸν εἰς ἐκεῖνον γεγενημένα. «Εἶπε γὰρ αὐτῷ· τί τοῦτο ἐποίησας ἡμῖν; τί ἡμάρτομεν εἰς σέ, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; Ἔργον, ὃ οὐδεὶς ποιήσει, ἐποίησας ἡμῖν. Τί ἐνιδὼν ἐποίησας τοῦτο;». Διὰ τί, φησί, τοσαύτῃ με περιβαλεῖν ἁμαρτίᾳ ἠβουλήθης; τίνος ἕνεκεν καὶ τί ἐννοήσας τοῦτο πεποίηκας;

Ὅρα πῶς διὰ τῶν οἰκείων ρημάτων δείκνυσι τὴν παρὰ τοῦ Θεοῦ ἀπειλὴν τὴν εἰς αὐτὸν γεγενημένην. Ἐπειδὴ γὰρ εἶπεν αὐτῷ, ὅτι «Εἰ μὴ ἀποδίδως, ἀποθανῇ σὺ καὶ πάντα τὰ σά», τοῦτο αὐτὸ ἑρμηνεύων ὁ Ἀβιμέλεχ φησί, «Τί ἥμαρτον εἰς σέ, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; Μὴ γὰρ μέχρις ἐμοῦ εἶχε στῆναι τὰ τῆς τιμωρίας; Πᾶσά μου ἡ βασιλεία ἄρδην ἔμελλεν ἀφανίζεσθαι ἐκ τῆς ἀπάτης τῆς παρὰ σοῦ γεγενημένης. «Τί οὖν ἐνιδὼν ἐποίησας τοῦτο;». Σκόπει ἐνταῦθα, ἀγαπητέ, τοῦ δικαίου τὸ φρόνημα, ὅπως ἐν τάξει ἀπολογίας διδασκαλίαν αὐτοῖς θεογνωσίας εἰσάγει. «Εἶπα γάρ», φησί, «μήποτε οὐκ ἔστι θεοσέβειαν ἐν τῷ τόπῳ τούτῳ, ἐμέ τε ἀποκτενοῦσιν ἕνεκεν τῆς γυναικός μου». Ἐναγώνιος, φησί, γέγονα, μήποτε διὰ τὸ ἔτι τῇ πλάνῃ ὑμᾶς κατέχεσθαι οὐδεμίαν τοῦ δικαίου πρόνοιαν ποιῆσθε καὶ διὰ τοῦτο ὑμῶν φειδόμενος, μὴ μαθόντες αὐτὴν γυναῖκά μου γεγενῆσθαι διὰ τὴν περὶ ταύτην ἐπιθυμίαν ἐμὲ ἀνελεῖν ἐπιχειρήσητε, τοῦτο ἐποίησα. Ὅρα πῶς διὰ τῶν ὀλίγων τούτων ρημάτων ὁμοῦ καὶ καθήψατο αὐτῶν καὶ ἐδίδαξεν ὅτι δεῖ τὸν ἐπὶ πάντων Θεὸν ἐν νῷ λαμβάνοντα μηδὲν τῶν παρανόμων διαπράττεσθαι, ἀλλὰ τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν δεδοικέναι καὶ διὰ τὴν ἐκεῖθεν ἐπηρτημένην δίκην πολλὴν τοῦ δικαίου ποιεῖσθαι τὴν πρόνοιαν.

Εἶτα βουλόμενος τὴν ὑπὲρ ἑαυτοῦ ἀπολογίαν ποιῆσαι, φησί· μὴ νομίσητέ με καὶ οὕτως ἐψεῦσθαι. «Καὶ γὰρ ἀδελφή μού ἐστιν ἐκ πατρός, ἀλλ' οὐκ ἐκ μητρός· ἐγενήθη δέ μοι εἰς γυναῖκα». Τὸν αὐτόν μοι, φησί,

τόν, ἐξ αἰτίας αὐτοῦ. «Εἶπεν εἰς αὐτόν. Διατί μᾶς ἔκαμες αὐτό; Μήπως ἐκάμαμεν κάποιο κακὸν εἰς σὲ καὶ ἐπροκάλεσες εἰς ἐμὲ καὶ εἰς τὸ βασίλειόν μου τόσον μεγάλο κακόν; Ἔκαμες εἰς ἡμᾶς πρᾶξιν, τὴν ὁποίαν κανεὶς δὲν θὰ κάμῃ. Διὰ ποῖον σκοπὸν ἔκαμες αὐτό;». Διατί, λέγει, ἠθέλησες νὰ μὲ ρίψῃς εἰς τόσον μεγάλην ἁμαρτίαν; Διὰ ποῖον λόγον καὶ τί ἐσκέφθης καὶ ἔκαμες αὐτό;

Πρόσεχε πῶς μὲ τοὺς ἰδικούς του λόγους ἀποκαλύπτει τὴν ἀπειλήν, τὴν ὁποίαν τοῦ ἔκαμεν ὁ Θεός. Ἐπειδὴ δηλαδὴ εἶπεν εἰς αὐτόν, ὅτι «Ἐὰν δὲν ἐπιστρέψῃς αὐτήν, θὰ καταστραφῇς καὶ σὺ καὶ ὅλοι οἱ ἰδικοί σου», αὐτὸ τὸ ἴδιον ἐξηγῶν ὁ Ἀβιμέλεχ λέγει· «Μήπως ἐκάμαμεν κάποιο κακὸν εἰς σὲ καὶ ἐπροκάλεσες εἰς ἐμὲ καὶ τὸ βασίλειόν μου τόσον μεγάλο κακόν;». Διότι μήπως ἡ τιμωρία θὰ ἔφθανε μέχρις ἐμένα; Ὁλόκληρη ἡ βασιλεία μου ἐπρόκειτο νὰ ἀφανισθῇ ἐξ αἰτίας τῆς ἀπάτης, τὴν ὁποίαν σὺ ἔκαμες. «Διὰ ποῖον σκοπὸν λοιπὸν ἔκαμες αὐτό;». Πρόσεχε ἐδῶ, ἀγαπητέ, τὸ θάρρος τοῦ δικαίου, πῶς, ἐνῷ εὑρίσκετο εἰς ἀπολογίαν, τοὺς διδάσκει διὰ νὰ γνωρίσουν τὸν Θεόν. Διότι λέγει· «Ἐσκέφθην, μήπως δὲν ὑπάρχει εὐσέβεια εἰς τὸν τόπον αὐτὸν καὶ θὰ μὲ φονεύσουν ἐξ αἰτίας τῆς γυναικός μου». Μὲ κατέλαβεν ἡ ἀγωνία, λέγει, μήπως, ἐπειδὴ εὑρίσκεσθε εἰς τὴν πλάνην, δὲν θὰ ἐνδιαφερθῆτε καθόλου διὰ τὸ δίκαιον καὶ διὰ τοῦτο ἔκαμα αὐτό, ἐπειδὴ σᾶς ἐλυπήθην, μήπως, ἐὰν μάθετε, ὅτι αὐτὴ εἶναι γυναῖκα μου, ἐπιχειρήσετε νὰ μὲ φονεύσετε ἐξ αἰτίας τῆς ἐπιθυμίας σας δι' αὐτήν. Βλέπε πῶς μὲ τοὺς ὀλίγους αὐτοὺς λόγους καὶ ἤλεγξεν αὐτοὺς καὶ τοὺς ἐδίδαξεν, ὅτι πρέπει ὁ καθεὶς νὰ σκέπτεται τὸν Θεὸν καὶ νὰ μὴ κάμῃ τίποτε τὸ παράνομον, ἀλλὰ νὰ φοβῆται τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν καὶ νὰ φροντίζῃ πολὺ διὰ τὸ δίκαιον ἐξ αἰτίας τῆς τιμωρίας, ἡ ὁποία ἐπικρέμαται ἀπὸ ἐκεῖ.

Ἔπειτα ἐπιθυμῶν νὰ ἀπολογηθῇ διὰ τὴν κατηγορίαν λέγει· Νὰ μὴ νομίσετε, ὅτι καὶ ἔτσι σᾶς εἶπα ψέματα. «Πράγματι εἶναι ἀδελφή μου ἀπὸ πατέρα καὶ ὄχι ἀπὸ μητέρα καὶ ἔγινε γυναῖκα μου». Ἀπὸ τὸν ἴδιον πατέρα, λέ-

πατέρα ἐπιγράφεται, δι' ὃ καὶ ἀδελφὴν αὐτὴν ἐκάλεσα. Μὴ τοίνυν καταγνῶτέ μου. Εἰ γὰρ καὶ ὁ φόβος τοῦ θανάτου εἰς τὴν ἀνάγκην με ταύτην μετέστησε καὶ τὸ δεδοικέναι μήποτε διὰ ταύτην ἐμὲ μὲν ἀποκτείνητε, ταύτην δὲ περιποιήσησθε· ἀλλ' ὅμως οὐδὲ οὕτως ἐστὶ ψεῦδος τὸ παρ' ἐμοῦ εἰρημένον. Ὅρα πόσην ποιεῖται τὴν σπουδὴν ὁ δίκαιος, ὥστε δεῖξαι μηδὲ ἐν τούτῳ ἑαυτὸν ψευσάμενον. Καὶ ἵνα πάντα μετὰ ἀκριβείας μάθητε παρ' ἐμοῦ, ἀκούσατε καὶ τὴν βουλήν, ἣν μεταξὺ ἀλλήλων ἐσχήκαμεν, «Ἡνίκα ἐξήγαγέ με ὁ Θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου». Θέα μοι ἐνταῦθα τὴν πολλὴν τοῦ δικαίου σοφίαν, πῶς ἐν τάξει διηγήσεως διδάσκει αὐτούς, ὡς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τῶν ᾠκειωμένων ἐστὶ τῷ Θεῷ καὶ ὅτι αὐτὸς καὶ οἴκοθεν αὐτὸν ἀνέστησε καὶ ἐκεῖσε ἤγαγεν, ἵνα μάθῃ ὁ βασιλεύς, ὅτι τῶν πολλὴν ἐχόντων ἐστὶ πρὸς τὸν Θεὸν παρρησίαν. «Ἡνίκα», φησίν, «ἐξήγαγέ με ὁ Θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου, εἶπον αὐτῇ· ταύτην τὴν δικαιοσύνην ποιήσεις ἐπ' ἐμέ· εἰς πάντα τόπον, οὗ ἐὰν εἰσέλθωμεν ἐκεῖ, εἰπέ, ὅτι ἀδελφός μού ἐστιν».

Ἐπειδὴ γὰρ ἀνωτέρω εἶπεν· «Εἶπα γάρ, μήποτε οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ»· καὶ ἐδόκει πολὺ αὐτῶν καθάπτεσθαι, βουλόμενος τὸ σφοδρὸν τοῦ ῥήματος ὑπεκλῦσαι, ἐνταῦθά φησιν, ὅτι μὴ νομίσητε, ὅτι ὑμῶν ἕνεκεν μόνον τοῦτο πεποιηκέναι ἐπέγνωμεν. Εὐθέως γὰρ «Ἡνίκα ἐξήγαγέ με ὁ Θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου, εἶπον αὐτῇ· ταύτην τὴν δικαιοσύνην ποιήσεις εἰς ἐμὲ εἰς πάντα τόπον, οὗ ἐὰν εἰσέλθωμεν». Περὶ πάντων τῶν τὴν γῆν, φησίν, ταύτην οἰκούντων τὴν παραγγελίαν πρὸς αὐτὴν ἐποιησάμην· καὶ ἐδίδαξε ὅτι καὶ οὕτως ἐκτὸς ψεύδους ἐστὶν ἡ ὑπόκρισις. Ὁ γὰρ τοῦ θανάτου φόβος εἰς τοῦτο ἡμᾶς ἐλθεῖν κατηνάγκασε. Ταῦτα εἰπὼν ὁ δίκαι-

γει, προερχόμεθα καὶ δι᾽ αὐτὸ ἀπεκάλεσα αὐτὴν ἀδελφήν. Νὰ μὴ μὲ καταδικάσετε λοιπόν. Διότι, καὶ ἐὰν ὁ φόβος τοῦ θανάτου μὲ ὡδήγησε εἰς αὐτὴν τὴν δύσκολον θέσιν καὶ ὁ φόβος μήπως ἐξ αἰτίας αὐτῆς ἐμένα μὲν θὰ φονεύσετε, ἐνῷ ἐκείνην θὰ τὴν περιποιηθῆτε, ὅμως οὔτε ἔτσι εἶναι ψεῦδος, ὅ,τι σᾶς εἶπα. Πρόσεχε, πόσον φροντίζει ὁ δίκαιος, διὰ νὰ ἀποδείξῃ, ὅτι δὲν τοὺς εἶπε ψέμματα. Καὶ διὰ νὰ μάθετε ἀπὸ ἐμένα τὰ πάντα μὲ λεπτομέρειαν, ἀκούσατε τὴν συμφωνίαν, τὴν ὁποίαν εἴχομεν κάμει μεταξύ μας ἐγὼ καὶ ἡ σύζυγός μου, «Ὅταν ὁ Θεὸς μὲ διέταξε νὰ φύγω ἀπὸ τὸν οἶκον τοῦ πατρός μου». Πρόσεχε ἐδῶ, παρακαλῶ, τὴν μεγάλην σοφίαν τοῦ δικαίου, πῶς δηλαδὴ διὰ τῆς διηγήσεως διδάσκει εἰς αὐτούς, ὅτι ἀπὸ τὴν ἀρχὴν καὶ ἀπὸ τοὺς πρώτους εἶναι ἐκ τῶν ἐκλεκτῶν τοῦ Θεοῦ καὶ ὅτι ὁ ἴδιος ὁ Θεὸς ἔλαβεν αὐτὸν ἀπὸ τὸν οἶκον του καὶ τὸν ὡδήγησεν ἐκεῖ, διὰ νὰ καταλάβῃ ὁ βασιλεύς, ὅτι εἶναι ἀπ᾽ αὐτούς, οἱ ὁποῖοι ἔχουν πολλὴν παρρησίαν ἐνώπιον τοῦ Θεοῦ. «Καὶ ὅταν μὲ διέταξεν ὁ Θεός», λέγει, «νὰ φύγω ἀπ᾽ τὸν οἶκον τοῦ πατρός μου, εἶπον εἰς αὐτήν. Θὰ κάμῃς αὐτὸ τὸ καλὸν εἰς ἐμέ. Εἰς κάθε τόπον, ὅπου θὰ πηγαίνωμεν, θὰ λέγῃς, ὅτι αὐτὸς εἶναι ἀδελφός μου».

Ἐπειδὴ ὅμως προηγουμένως εἶπε· «Διότι εἶπον, μήπως δὲν ὑπάρχει εὐσέβεια εἰς τὸν τόπον αὐτόν», καὶ ἐπειδὴ ἐνόμιζεν, ὅτι ἔθιξεν αὐτοὺς πολύ, ἐπιθυμῶν νὰ μαλακώσῃ τοὺς λόγους του, τότε λέγει, νὰ μὴ νομίσετε, ὅτι ἐξ αἰτίας σας μόνον ἀπεφασίσαμεν νὰ κάμωμεν αὐτό. Διότι ἀμέσως «Ὅταν ὁ Θεὸς μὲ διέταξε νὰ φύγω ἀπὸ τὸν οἶκον τοῦ πατρός μου εἶπον εἰς αὐτήν. Αὐτὸ τὸ καλὸν θὰ κάμῃς εἰς ἐμὲ εἰς κάθε τόπον, ὅπου θὰ πηγαίνωμεν». Ἔδωσα αὐτὴν τὴν παραγγελίαν, λέγει, καὶ ἴσχυε δι᾽ ὅλους τοὺς κατοίκους αὐτῆς τῆς γῆς. Καὶ ἀπέδειξεν ὅτι, καὶ μὲ αὐτὸν τὸν τρόπον ἡ προσποίησις ἐκείνη ἦτο ἀπηλλαγμένη παντὸς ψεύδους. Καθ᾽ ὅσον ὁ φόβος τοῦ θανάτου μᾶς ἠνάγκασε νὰ καταφύγωμεν εἰς αὐτὸ τὸ τέχνασμα. Ἀφοῦ εἶπεν αὐτὰ ὁ δίκαιος καὶ τὸν θυμὸν αὐτῶν

ος καὶ τὸν θυμὸν αὐτῶν κατεμάλαξε καὶ τὴν οἰκείαν ἀρετὴν ἐξεκάλυψε καὶ ἀρκοῦσαν αὐτοῖς διδασκαλίαν ἐνέθηκε θεοσεβείας. Αἰδεσθεὶς τοίνυν ὁ βασιλεὺς τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, τῇ οἰκείᾳ φιλοτιμίᾳ ἀμείβεται τὸν πατριάρχην. «Ἔλαβε γάρ», φησίν, Ἀβιμέλεχ χίλια δίδραχμα καὶ πρόβατα καὶ μόσχους καὶ παῖδας καὶ παιδίσκας καὶ ἀπέδωκεν αὐτῷ Σάρραν τὴν γυναῖκα αὐτοῦ». Εἶδες, ἀγαπητέ, τὴν εὐμήχανον τοῦ Θεοῦ σοφίαν; Ὁ γὰρ περὶ τοῦ θανάτου δεδοικὼς καὶ πάντα ποιῶν ὥστε δυνηθῆναι τοῦτον διαφυγεῖν, οὐ μόνον τὸν θάνατον διέφυγεν, ἀλλὰ καὶ πολλῆς ἀξιοῦται παρρησίας καὶ περιφανὴς ἀθρόον γίνεται.

5. Τοιαῦτα γὰρ τὰ παρὰ τοῦ Θεοῦ· οὐ μόνον τῶν λυπηρῶν ἐλευθεροῖ τοὺς γενναίως ἀντέχειν πρὸς τοὺς ἐπιόντας πειρασμοὺς σπουδάζοντας, ἀλλὰ καὶ τοσαύτην ἐν αὐτοῖς λυπηροῖς παρέχει τὴν εὐφροσύνην, ὡς καὶ λήθην ἡμᾶς ἔχειν παντελῆ καὶ ἐν πολλῇ γίνεσθαι τῶν ἀγαθῶν περιουσίᾳ. Καὶ ὅρα λοιπὸν τοῦ βασιλέως τὴν πρὸς τὸν δίκαιον θεραπείαν. Οὐ μόνον γὰρ τοῖς τοσούτοις αὐτὸν δώροις τιμᾷ, ἀλλὰ καὶ τὴν ἐξουσίαν αὐτῷ δίδωσι τῆς ἐν τῇ γῇ κατοικήσεως. «Ἰδοὺ γάρ», φησίν, «ἡ γῆ μου ἐναντίον σού ἐστιν· οὗ ἐάν σοι ἀρέσκῃ, κατοίκει». Ἐπειδὴ γὰρ ἔμαθεν, ὅτι δι' ἐκεῖνον καὶ διὰ τὰς ἐκείνου προσευχὰς ἡ ζωὴ αὐτῷ κεχάρισται, ὡς εὐεργέτην λοιπὸν καὶ προστάτην, τὸν ξένον, τὸν ἀλήτην, τὸν οὐδαμόθεν γνώριμον οὕτω θεραπεύειν ἐπείγεται. «Τῇ δὲ Σάρρᾳ», φησίν, «εἶπεν· ἰδοὺ δέδωκα χίλια δίδραχμα τῷ ἀδελφῷ σου». Ὅρα πῶς δεξάμενος τὴν παρὰ τοῦ δικαίου διδασκαλίαν καὶ πιστεύσας τοῖς παρ' αὐτοῦ εἰρημένοις καὶ αὐτὸς ἀδελφὸν αὐτῆς αὐτὸν καλεῖ. «Ἅπερ δέδωκα», φησί, «τῷ ἀδελφῷ σου, ἔσται εἰς τιμὴν τοῦ προσώπου σου καὶ πάντα ἀλήθευσον». Τί ἐστιν, «Εἰς τιμὴν τοῦ προ-

κατεπράϋνε, καὶ ἀπεκάλυψε τὴν ἰδικήν του ἀρετήν, καὶ ἱκανοποιητικὴν διδασκαλίαν περὶ εὐσεβείας προσέφερεν εἰς αὐτούς. Ἀφοῦ ἐσεβάσθη λοιπὸν ὁ βασιλεὺς τὴν μεγάλην ἀρετὴν τοῦ δικαίου, ἀμείβει μὲ τὴν ἰδικήν του μεγαλοδωρίαν τὸν πατριάρχην. Διότι λέγει, «Ἔλαβεν ὁ Ἀβιμέλεχ χίλια δίδραχμα, πρόβατα, μόσχους, ὑπηρέτας καὶ ὑπηρετρίας καὶ τὰ ἔδωκεν εἰς τὸν Ἀβραὰμ μαζὶ μὲ τὴν γυναῖκα του τὴν Σάρραν». Εἶδες, ἀγαπητέ, τὴν ἐφευρετικὴν σοφίαν τοῦ Θεοῦ; Διότι αὐτός, ὁ ὁποῖος ἐφοβεῖτο διὰ τὸν θάνατον καὶ ἔκαμε τὰ πάντα, διὰ νὰ ἠμπορέσῃ νὰ ἀποφύγῃ αὐτόν, αὐτὸς ὄχι μόνον τὸν ἀπέφυγεν, ἀλλὰ καὶ γίνεται ἄξιος μεγάλης παρρησίας καὶ γίνεται ἀμέσως περιφανής.

5. Κατ' αὐτὸν τὸν τρόπον λοιπὸν ἐνεργεῖ ὁ Θεός. Ὄχι μόνον ἀπαλλάσσει ἀπὸ τὰ λυπηρὰ γεγονότα αὐτούς, οἱ ὁποῖοι φροντίζουν νὰ ἀντιμετωπίζουν μὲ γενναιότητα τοὺς ἐπερχομένους πειρασμούς, ἀλλὰ καὶ παρέχει τόσην εὐφροσύνην μέσα εἰς τὰς δυστυχίας, ὥστε καὶ νὰ λησμονῶμεν τελείως αὐτὰς καὶ νὰ ἔχωμεν μεγάλην ἀφθονίαν ἀγαθῶν. Βλέπε λοιπὸν τὴν μεγάλην περιποίησιν, τὴν ὁποίαν κάνει ὁ βασιλεὺς πρὸς τὸν δίκαιον. Διότι δὲν τιμᾷ αὐτὸν μόνον μὲ τόσα πολλὰ δῶρα, ἀλλὰ καὶ τοῦ δίδει τὴν ἄδειαν νὰ ἐγκατασταθῇ εἰς τὴν χώραν του. Διότι λέγει ἡ Γραφή· «Ἰδοὺ ἡ χώρα μου εὑρίσκεται εἰς τὴν διάθεσίν σου, ὅπου σοῦ ἀρέσει, ἐκεῖ νὰ κατοικήσῃς». Ὅταν δηλαδὴ ἔμαθεν, ὅτι ἡ ζωή του ἐχαρίσθη εἰς αὐτὸν ἐξ αἰτίας ἐκείνου καὶ τῶν προσευχῶν του, ἐπείγεται νὰ περιποιηθῇ ὡς εὐεργέτην καὶ προστάτην τὸν ξένον, τὸν περιπλανώμενον, τὸν τελείως ἄγνωστον. «Καὶ εἰς τὴν Σάρραν», λέγει, «εἶπεν· Ἰδοὺ ἔδωσα χίλια δίδραχμα εἰς τὸν ἀδελφόν σου καὶ σύζυγόν σου». Βλέπε, πῶς ἐδέχθη τὴν διδασκαλίαν τοῦ δικαίου καὶ ἐπίστευσεν εἰς τοὺς λόγους του καὶ ἀποκαλεῖ καὶ αὐτὸς αὐτὸν ἀδελφὸν αὐτῆς. «Ὅσα ἔδωσα εἰς τὸν ἀδελφόν σου», λέγει, «θὰ εἶναι ὡς ἐκτίμησις τοῦ προσώπου σου, ἀλλὰ νὰ εἰπῇς ὁλόκληρον τὴν ἀλήθειαν». Τί σημαίνει «Ὡς ἐκτίμησις τοῦ προσώπου σου, ἀλλὰ νὰ

σώπου σου καὶ πάντα ἀλήθευσον»; Ὑπὲρ ὧν δι' ἄγνοιαν ἐπεχείρησα γαμετήν τε οὖσαν τοῦ δικαίου εἰς τὴν οἰκίαν τὴν ἐμὴν ἀγαγεῖν, ὑπὲρ τοῦ μόνου, ἐπειδὴ ὕβρεώς σοι αἴτιος γέγονα, τὰ χίλια δέδωκα δίδραχμα, θεραπεύων τὰ παρ' ἐμοῦ γεγενημένα εἰς σέ.

'Αλλὰ «Πάντα ἀλήθευσον». Τί ἐστι, «Πάντα ἀλήθευσον»; Πάντες, φησί, παρὰ σοῦ μανθανέτωσαν, ὅτι οὐδὲν γέγονε παρ' ἐμοῦ παράνομον, ὅτι ἀνέπαφος ἐξῆλθες ἐκ τῆς οἰκίας τῆς ἐμῆς. Δίδαξον, φησί, τὸν ἄνδρα τὸν σόν, ὅτι ἀθῷός εἰμι τῆς ἁμαρτίας· μανθανέτω παρὰ σοῦ, ὡς οὐδὲν εἴργασταί μοι. Τίνος δὲ ἕνεκεν ταῦτά φησιν; Ἵνα μαθὼν παρ' αὐτῆς ὁ δίκαιος καὶ πληροφορηθεὶς τὰς ὑπὲρ αὐτοῦ προσευχὰς ἀνενέγκῃ τῷ Δεσπότῃ. 'Επειδὴ γὰρ εἶπεν ἐκεῖνος, ὅτι «Πάντα ἀλήθευσον», ἀντὶ τοῦ, «δίδαξόν σου τὸν ἄνδρα τὰ γεγενημένα», εὐθέως ἐπήγαγεν ἡ Γραφή· «Καὶ προσηύξατο 'Αβραὰμ πρὸς τὸν Θεὸν καὶ ἰάσατο ὁ Θεὸς τὸν 'Αβιμέλεχ καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰς παιδίσκας αὐτοῦ καὶ ἔτικτον· ὅτι συγκλείων συνέκλεισεν ἔξωθεν πᾶσαν μήτραν ἐν τῷ οἴκῳ τοῦ 'Αβιμέλεχ ἕνεκεν Σάρρας τῆς γυναικὸς 'Αβραάμ». Ὅρα πῶς διὰ πάντων περιφανέστερον τὸν δίκαιον ποιῆσαι βουλόμενος ὁ Δεσπότης, ταῖς προσευχαῖς τοῦ πατριάρχου τὴν σωτηρίαν τοῦ βασιλέως καὶ πάντων τῶν ἐν τῷ οἴκῳ αὐτοῦ χαρίζεται. «Προσηύξατο γάρ», φησίν, «'Αβραὰμ πρὸς τὸν Θεὸν καὶ ἰάσατο ὁ Θεὸς τὸν 'Αβιμέλεχ καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰς παιδίσκας αὐτοῦ καὶ ἔτικτον· ὅτι συγκλείων συνέκλεισε Κύριος ἔξωθεν πᾶσαν μήτραν ἐν τῷ οἴκῳ τοῦ 'Αβιμέλεχ». Διὰ τοῦτο, καίτοι τῆς ἁμαρτίας ἐκτὸς γενομένου τοῦ βασιλέως, τὴν τιμωρίαν ταύτην αὐτῷ ἐπήγαγεν ὁ ἀγαθὸς Δεσπότης, ἵνα ταῖς προσευχαῖς τοῦ δικαίου ἐπινεύσας, οὕτω τὴν λύσιν ἐπαγάγῃ καὶ περιφανέστερον καὶ λαμπρότερον τὸν δίκαιον ἀπεργάσηται. Πάντα γὰρ ἀεὶ ποιεῖ καὶ πραγματεύεται καὶ οὕτως ἕκαστον οἰκονομεῖ, ὥστε τοὺς αὐτῷ δουλεύοντας, καθά-

εἰπῇς ὁλόκληρον τὴν ἀλήθειαν»; Ἐπειδὴ ἀπὸ ἄγνοιαν ἐπεχείρησα νὰ σὲ ὁδηγήσω εἰς τὴν οἰκίαν μου, ἀφοῦ εἶσαι σύζυγος τοῦ δικαίου, διὰ τὸν λόγον καὶ μόνον αὐτόν, ἐπειδὴ ἔγινα αἴτιος προσβολῆς σου, ἔδωσα τὰ χίλια δίδραχμα διὰ νὰ ἀποκαταστήσω, ὅσα ἔκαμα εἰς σέ.

Ἀλλὰ «Νὰ λέγῃς ὁλόκληρον τὴν ἀλήθειαν». Τί σημαίνει, «Ἀλλὰ νὰ λέγῃς ὁλόκληρον τὴν ἀλήθειαν»; Ὅλοι, λέγει, ἂς μάθουν ἀπὸ ἐσένα, ὅτι δὲν ἔγινε τίποτε τὸ παράνομον ἀπὸ ἐμένα καὶ ὅτι ἐξῆλθες ἀνέπαφος ἀπὸ τὴν οἰκίαν μου. Νὰ ἐξηγήσῃς, λέγει, εἰς τὸν ἄνδρα σου, ὅτι εἶμαι ἀθῶος ἀπὸ κάθε ἁμαρτίαν. Ἄς μάθῃ ἀπὸ ἐσένα, ὅτι δὲν ἔκαμα τίποτε τὸ κακόν. Διὰ ποῖον λόγον ὅμως λέγει αὐτά; Διὰ νὰ προσευχηθῇ ὑπὲρ αὐτοῦ ὁ δίκαιος εἰς τὸν Κύριον, ὅταν μάθῃ καὶ πληροφορηθῇ ἀπ' αὐτὴν τὰ συμβάντα. Ἀφοῦ λοιπὸν εἶπεν ἐκεῖνος, ὅτι «ἀλλὰ νὰ εἰπῇς ὁλόκληρον τὴν ἀλήθειαν», ἀντὶ νὰ εἰπῇ 'νὰ ἐξηγήσῃς εἰς τὸν ἄνδρα σου, ὅσα συνέβησαν', ἀμέσως ἡ Γραφὴ προσέθεσε· «Καὶ προσευχήθη ὁ Ἀβραὰμ εἰς τὸν Θεὸν καὶ ὁ Θεὸς ἐθεράπευσε τὸν Ἀβιμέλεχ καὶ τὴν γυναῖκα του καὶ τοὺς δούλους του καὶ ἐγέννησαν. Διότι ὁ Κύριος εἶχε κλείσει ἐντελῶς κάθε μήτραν διὰ νὰ μὴ γεννᾷ εἰς τὸν οἶκον τοῦ Ἀβιμέλεχ ἐξ αἰτίας τῆς Σάρρας, τῆς γυναικὸς τοῦ Ἀβραάμ». Πρόσεχε πῶς ὁ Κύριος, ἐπιθυμῶν νὰ κάμῃ τὸν δίκαιον μὲ ὅλα ἐνδοξότερον, μὲ τὰς προσευχὰς τοῦ πατριάρχου χαρίζει τὴν σωτηρίαν εἰς τὸν βασιλέα καὶ εἰς ὅλους τοὺς ἰδικούς του. Διότι λέγει, «Προσηυχήθη ὁ Ἀβραὰμ εἰς τὸν Θεὸν καὶ ὁ Θεὸς ἐθεράπευσε τὸν Ἀβιμέλεχ καὶ τὴν γυναῖκα του καὶ τὰς δούλας του καὶ ἐγέννησαν. Διότι ὁ Κύριος εἶχε κλείσει ἐντελῶς κάθε μήτραν διὰ νὰ μὴ γεννᾷ εἰς τὸν οἶκον τοῦ Ἀβιμέλεχ». Διὰ τοῦτο ἂν καὶ ὁ βασιλεὺς δὲν διέπραξε τὴν ἁμαρτίαν, τοῦ ἐπέβαλεν αὐτὴν τὴν τιμωρίαν ὁ ἀγαθὸς Κύριος, ὥστε, ἀφοῦ ἀκούσῃ τὰς προσευχὰς τοῦ δικαίου, νὰ δώσῃ τὴν λύσιν καὶ νὰ καταστήσῃ τὸν δίκαιον ἐνδοξότερον καὶ λαμπρότερον. Διότι πάντοτε ὁ Θεὸς κάμνει τὰ πάντα καὶ ἀποφασίζει καὶ σχεδιάζει τὸ καθένα μὲ τέτοιον τρόπον, ὥστε αὐτοί, οἱ ὁποῖοι ὑπηρετοῦν τὸ θελη-

περ φωστῆρας, οὕτω διαλάμπειν καὶ τὴν τούτων ἀρετὴν πανταχοῦ κατάδηλον γίνεσθαι.

Καὶ ὅρα μοι λοιπόν, ἀγαπητέ, μετὰ τὴν τῶν λυπηρῶν ἀπαλλαγήν, πῶς πάλιν διαδέχεται τὸν δίκαιον ἡ κορωνὶς τῶν ἀγαθῶν, ἡ τῆς ἐπαγγελίας ὑπόσχεσις καὶ εἰς ἔργον λοιπὸν ἐξήει τὰ πάλαι παρὰ τοῦ Θεοῦ ἐπαγγελθέντα αὐτῷ. «Καὶ Κύριος», φησίν, «ἐπεσκέψατο τὴν Σάρραν, καθὰ εἶπε, καὶ ἐποίησε τῇ Σάρρᾳ, καθ' ἃ ἐλάλησε. Καὶ συλλαβοῦσα ἔτεκε Σάρρα τῷ 'Αβραὰμ υἱὸν εἰς τὸ γῆρας, εἰς τὸν καιρόν, καθὰ ἐλάλησεν αὐτῷ Κύριος». Τί ἐστι, «Καθὰ ἐλάλησε», καὶ «Καθὰ εἶπε»; Καθάπερ, φησίν, ὑπέσχετο, ἡνίκα ἐπεξενώθη μετὰ τῶν ἀγγέλων εἰς τὴν δρῦν Μαμβρῇ, εἰρηκὼς ὅτι «Εἰς τὸν καιρὸν τοῦτον ἐλεύσομαι καὶ ἔσται τῇ Σάρρᾳ υἱός». Ταῦτα τοίνυν εἰς ἔργον ἐξῆλθε καὶ τὰ τῇ φύσει ἀπηγορευμένα, ταῦτα ἑώρων εἰς ἔργον ἐκβεβηκότα, οὐ κατὰ ἀνθρωπίνην ἀκολουθίαν, ἀλλὰ κατὰ θείαν χάριν. «Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ, ὃν ἔτεκεν αὐτῷ Σάρρα, 'Ισαάκ». Οὐχ ἁπλῶς ἐπεσημήνατο ἡ θεία Γραφὴ τό, «Ὃν ἔτεκεν αὐτῷ Σάρρα»· οὐ γὰρ εἶπεν ἁπλῶς, «'Εκάλεσε τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ», ἀλλὰ προσέθηκεν, «Ὃν ἔτεκεν αὐτῷ Σάρρα», τοῦτ' ἔστιν ἡ στεῖρα, ἡ ἄγονος, ἡ γεγηρακυῖα. «Καὶ περιέτεμεν αὐτόν», φησί, «τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καθὰ ἐνετείλατο Κύριος». Οὕτω γὰρ ἦν διαταξάμενος, ὥστε τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτέμνεσθαι λοιπὸν τὰ τικτόμενα.

Εἶτα ἵνα μάθωμεν λοιπὸν τὴν ἄφατον δύναμιν τοῦ Θεοῦ, ὅτι καὶ τὰ παρὰ ἀνθρώποις ἀδύνατα παρ' αὐτῷ δυνατά, διὰ τοῦτο καὶ τὸν χρόνον ἡμῖν πάλιν ἐπισημαίνεται ἡ θεία Γραφή, καὶ μετὰ τὸν τόκον διδάσκει ἡμᾶς λέγουσα· «'Αβραὰμ δὲ ἦν ἐτῶν ἑκατόν, ἡνίκα ἐγένετο αὐτῷ 'Ισαὰκ ὁ υἱὸς αὐτοῦ. Εἶπε δὲ

7. Γέν. 18, 10.

μά του, νά λάμπουν ώς άστέρες καί ή άρετή αύτών νά γίνεται όλοφάνερη παντοῦ.

Ἀλλά πρόσεχε, παρακαλῶ, ἀγαπητέ, μετά τήν ἀπαλλαγήν ἀπό τά λυπηρά γεγονότα, πῶς πάλιν ἀκολουθεῖ τόν δίκαιον ἡ κορωνίς τῶν ἀγαθῶν, ἡ πραγματοποίησις τῆς ὑποσχέσεως, καί πραγματοποιοῦνται εἰς τό ἑξῆς αὐτά, τά ὁποῖα εἶχεν ὑποσχεθῆ εἰς αὐτόν ὁ Θεός. «Καί ὁ Κύριος», λέγει, «ἐπεσκέφθη τήν Σάρραν, ὅπως εἶπε, καί ἔκαμεν εἰς αὐτήν, ὅσα ὑπεσχέθη. Καί ἡ Σάρρα ἀφοῦ συνέλαβεν, ἐγέννησεν εἰς τόν Ἀβραάμ υἱόν κατά τήν γεροντικήν ἡλικίαν, εἰς τήν ἐποχήν, κατά τήν ὁποίαν τοῦ εἶπεν ὁ Κύριος». Τί σημαίνει «ὅπως εἶπε» καί «ὅσα ὑπεσχέθη»; Ὅπως ἀκριβῶς, λέγει, ὑπεσχέθη ὁ Θεός εἰς τόν Ἀβραάμ, ὅταν ἐφιλοξενήθη μαζί μέ τούς ἀγγέλους εἰς τήν δρῦν τοῦ Μαμβρῆ, ὅταν τοῦ εἶπεν, ὅτι «Θά ἔλθω εἰς σέ τόν ἐπόμενον χρόνον τήν ἰδία ἐποχήν καί ἡ Σάρρα θά ἔχῃ υἱόν»[7]. Αὐτά λοιπόν ἐπραγματοποιήθησαν καί ἀκόμη αὐτά, τά ὁποῖα φυσιολογικά εἶναι ἀδύνατα, αὐτά τά ἔβλεπον νά πραγματοποιοῦνται, ὄχι κατά τήν ἀνθρωπίνην λογικήν, ἀλλά μέ τήν βοήθειαν τῆς θείας χάριτος. «Καί ὁ Ἀβραάμ ὠνόμασε τόν υἱόν του, τόν ὁποῖον ἐγέννησεν εἰς αὐτόν ἡ Σάρρα, Ἰσαάκ». Δέν ἐπεσήμανε χωρίς λόγον ἡ ἁγία Γραφή τό «Τόν ὁποῖον ἐγέννησεν εἰς αὐτόν ἡ Σάρρα». Διότι δέν εἶπε μόνον, «Ὠνόμασε τόν υἱόν του», ἀλλά καί προσέθεσε, «Τόν ὁποῖον ἐγέννησεν εἰς αὐτόν ἡ Σάρρα», δηλαδή ἡ στεῖρα, ἡ ἄγονος, ἡ γηρασμένη. «Καί ὁ Ἀβραάμ περιέτεμε τόν Ἰσαάκ, ὅπως διέταξεν αὐτόν ὁ Κύριος». Καθ' ὅσον αὐτήν τήν διαταγήν εἶχε λάβει, ὥστε εἰς τό ἑξῆς κατά τήν ὀγδόην ἡμέραν νά περιτέμνωνται ὅλα τά γεννώμενα ἄρρενα τέκνα.

Ἔπειτα διά νά μάθωμεν τήν ἀπερίγραπτον δύναμιν τοῦ Θεοῦ, ὅτι δηλαδή καί αὐτά πού εἶναι ἀδύνατα εἰς τούς ἀνθρώπους εἶναι δυνατά εἰς αὐτόν, διά τοῦτο ἡ ἁγία Γραφή μᾶς ἐπισημαίνει καί πάλιν τήν ἡλικίαν καί μετά ἀπό τήν γέννησιν μᾶς ἐξηγεῖ λέγουσα· «Ὁ δέ Ἀβραάμ ἦτο ἑκατόν ἐτῶν, ὅταν ἀπέκτησε τόν υἱόν του τόν Ἰσαάκ.

Σάρρα· γέλωτά μοι ἐποίησεν ὁ Κύριος· ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι». Τί ἐστι, «Γέλωτά μοι ἐποίησεν ὁ Κύριος»; Εὐφροσύνης ὑπόθεσίς μοι ὁ τόκος ἐστίν. Καὶ τί θαυμαστόν, εἰ ἐμοί; Καὶ πάντας τοὺς ἀκούοντας συνηδομένους ἔξω, οὐκ ἐπειδὴ ἔτεκον, ἀλλ' ἐπειδὴ οὕτως ἔτεκον. Τὸ παράδοξον τοῦ γεγενημένου πάντας εἰς θαῦμα καταστήσει καὶ πλείονα πᾶσι παρέξει τὴν ἡδονήν, ὅταν μάθωσιν, ὅτι ἐγὼ ἡ τῶν νεκρῶν οὐδὲν ἄμεινον διακειμένη, ἀθρόον μήτηρ γέγονα καὶ ἀπὸ κατεψυγμένης μήτρας παιδίον ἔτεκον, καὶ μὴν θηλάζειν δύναμαι καὶ πηγὰς γάλακτος ἀφιέναι ἡ μηδεμίαν ἐλπίδα λοιπὸν τεκνογονίας ἔχουσα. «Καὶ εἶπε· τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ὅτι θηλάζει παιδίον Σάρρα;». Διὰ γὰρ τοῦτο καὶ τοῦ γάλακτος αἱ πηγαὶ παρεσχέθησαν, ἵνα τὸν τόκον πιστώσωνται καὶ μή τις ὑπόβλητον εἶναι νομίσῃ τὸ παιδίον· αἱ γὰρ πηγαὶ τοῦ γάλακτος πᾶσιν ἐκήρυττον παρὰ πᾶσαν ἀνθρωπίνην προσδοκίαν εἶναι τὸ γεγενημένον. «Τίς ἀναγγελεῖ, ὅτι θηλάζει παιδίον Σάρρα; ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου;» ὅτι ἐγὼ ἡ γεγηρακυῖα τεκεῖν ἠδυνήθην, καὶ ἐν ἡλικίᾳ τοιαύτῃ παιδίον τρέφειν δύναμαι; «Καὶ ηὐξήθη», φησί, «τὸ παιδίον καὶ ἀπεγαλακτίσθη. Καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην, ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη ὁ υἱὸς αὐτοῦ».

6. Εἶδες τοῦ Θεοῦ τὴν ἄφατον σοφίαν, ὅπως διὰ πάντων τὴν ὑπομονὴν τοῦ δικαίου βασανίσας, ὅτε ἀπαγορεύειν ἔδοξε καὶ αὐτὸς καὶ πάντες οἱ εἰς αὐτὸν ὁρῶντες, τῇ ἀνθρωπείᾳ φύσει κατακολουθοῦντες, τότε τὴν οἰκείαν ὑπόσχεσιν εἰς ἔργον ἤγαγε; Καὶ ἡμεῖς τοίνυν, ἀγαπητοί, τὴν αὐτὴν τῷ δικαίῳ ὑπομονὴν ἐπιδεικνυώμεθα καὶ μηδέποτε ναρκῶμεν, ἀλλὰ ταῖς χρησταῖς ἐλπίσι τρεφώμεθα, εἰδότες ὅτι οὔτε δυσκολία πραγμάτων, οὔτε ἕτερόν τι τῶν ἀνθρωπί-

Καὶ ἡ Σάρρα εἶπε· Χαρὰν μοῦ ἐχάρισεν ὁ Κύριος. Διότι, ὅποιος ἀκούσῃ, θὰ χαρῇ μαζί μου». Τί σημαίνει «Χαρὰν μοῦ ἐχάρισεν ὁ Κύριος»; Ἡ γέννησις τοῦ υἱοῦ μου ἔγινεν αἰτία τῆς χαρᾶς μου. Ἀλλὰ διατί εἶναι ἀξιοθαύμαστον, ἐὰν μοῦ ἐχάρισε χαράν; Θὰ χαίρωνται μαζί μου ὅλοι ὅσοι θὰ ἀκούσουν, ὄχι ἐπειδὴ ἐγέννησα, ἀλλ' ἐπειδὴ ἐγέννησα ὑπὸ τοιαύτας συνθήκας. Τὸ παράδοξον τοῦ γεγονότος θὰ προκαλέσῃ εἰς ὅλους θαυμασμὸν καὶ θὰ χαρίσῃ εἰς ὅλους μεγαλυτέραν χαράν, ὅταν θὰ μάθουν, ὅτι ἐγώ, ἡ ὁποία δὲν εὑρισκόμουν εἰς καλυτέραν κατάστασιν ἀπὸ τοὺς νεκρούς, ἔγινα αἰφνιδίως μητέρα καὶ ἀπὸ νεκρὰν μήτραν ἐγέννησα τέκνον καὶ ἠμπορῶ νὰ τὸ θηλάζω καὶ νὰ ἔχω πηγὰς γάλακτος ἐγώ, ἡ ὁποία δὲν εἶχον καμμίαν ἐλπίδα τεκνοποιΐας. «Καὶ εἶπεν ἡ Σάρρα· Ποῖος θὰ ἀναγγείλῃ εἰς τὸν Ἀβραάμ, ὅτι ἡ Σάρρα θηλάζει υἱόν;». Διὰ τὸν λόγον αὐτὸν ἀκριβῶς προσεφέρθησαν αἱ πηγαὶ τοῦ γάλακτος, διὰ νὰ εἶναι δηλαδὴ πιστευτὴ ἡ γέννησις καὶ νὰ μὴ νομίσῃ κανείς, ὅτι τὸ παιδίον εἶναι νόθον. Καθ' ὅσον ἡ ἀφθονία τοῦ γάλακτος ἐμαρτύρει εἰς ὅλους, ὅτι τὸ γεγονὸς αὐτὸ ἦτο ὑπεράνω κάθε ἀνθρωπίνης προσδοκίας. «Ποῖος θὰ ἀναγγείλῃ, ὅτι ἡ Σάρρα θηλάζει υἱόν; Ὅτι ἀπέκτησα υἱὸν κατὰ τὴν γεροντικήν μου ἡλικίαν;». Ὅτι ἐγὼ ἡ γηρασμένη ἠμπόρεσα νὰ γεννήσω καὶ εἰς τοιαύτην ἡλικίαν δύναμαι νὰ τρέφω παιδίον; «Καὶ τὸ παιδίον», λέγει, «ἐμεγάλωσε καὶ ἀπεγαλακτίσθη. Καὶ ὁ Ἀβραὰμ ἔκαμε μεγάλο συμπόσιον κατὰ τὴν ἡμέραν, κατὰ τὴν ὁποίαν ὁ υἱός του ἀπεγαλακτίσθη».

6. Εἶδες, ὅτι ἡ ἀπερίγραπτος σοφία τοῦ Θεοῦ, ἀφοῦ ἐδοκίμασε μὲ ὅλα τὴν ὑπομονὴν τοῦ δικαίου, ὅταν πλέον ἐφάνη, ὅτι ἀπελπίσθη καὶ αὐτὸς καὶ ὅλοι οἱ ἄνθρωποί του, σύμφωνα μὲ τὴν ἀνθρωπίνην φύσιν των, τότε ἐπραγματοποίησε τὴν ὑπόσχεσίν του. Καὶ ἡμεῖς λοιπόν, ἀγαπητοί μου, ἂς ἐπιδεικνύωμεν τὴν ἰδίαν ὑπομονὴν μὲ τὸν δίκαιον καὶ νὰ μὴ ἀδιαφοροῦμεν ποτέ, ἀλλὰ νὰ τρεφώμεθα μὲ τὰς καλὰς ἐλπίδας ἔχοντες ὑπ' ὄψιν, ὅτι οὔτε τὰ δύσκολα πράγματα, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ ἀνθρώπινα εἶναι ἱκα-

νων ἱκανὸν κώλυμα ἡμῖν γενέσθαι, ἐπειδὰν ἡ τοῦ Θεοῦ χάρις τὴν οἰκείαν φιλοτιμίαν ἐπιδείξασθαι βουληθῇ. Ὅταν γὰρ ἐκεῖνος νεύσῃ, πάντα εἴκει καὶ παραχωρεῖ καὶ τὰ δύσκολα εὔκολα γίνεται καὶ τὰ ἀδύνατα δυνατά· μόνον ἐὰν ἡμεῖς στερρὰν τὴν εἰς αὐτὸν πίστιν ἐπιδεικνώμεθα, καὶ πρὸς τὸ μέγεθος αὐτοῦ ἀφορῶντες, ἀνώτεροι γινώμεθα τῶν ἀνθρωπίνων ἁπάντων. Ὁ γὰρ τὰ μέλλοντα ἀγαθὰ καὶ τὰ ἀπόρρητα ἐκεῖνα ὑποσχόμενος τοῖς μετ' ἀρετῆς τὴν ἐνταῦθα ζωὴν διανύουσιν, οὐ πολλῷ μᾶλλον καὶ τὰ ἐνταῦθα παρέξει καὶ μάλιστα, ἐὰν ἡμεῖς ἐκείνων ἐφιέμενοι, τῶν παρόντων ὑπερορῶμεν; Τότε γὰρ αὐτῶν μάλιστα ἀπολαύσομεν μετὰ δαψιλείας, ὅταν αὐτῶν ὑπεριδεῖν βουληθῶμεν.

Ταῦτ' οὖν εἰδότες, ἐκεῖνα ποθῶμεν τὰ μένοντα καὶ ἀκίνητα ἀγαθά, τὰ τέλος οὐκ ἐπιστάμενα, ἵνα καὶ τὸν παρόντα βίον ἀλύπως διανύσωμεν, κἀκείνων ἐπιτυχεῖν δυνηθῶμεν, ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νὸν νὰ μᾶς ἐμποδίσῃ, ὅταν ἡ χάρις τοῦ Θεοῦ θελήσῃ νὰ δείξῃ τὴν μεγαλοδωρίαν της. Καθ' ὅσον, ὅταν ἐκεῖνος κάνῃ ἕνα νεῦμα, τὰ πάντα ὑποχωροῦν καὶ ἐξαφανίζονται καὶ τὰ δύσκολα γίνονται εὔκολα καὶ τὰ ἀδύνατα δυνατά, μόνον ἐὰν ἡμεῖς ἔχωμεν σταθερὰν πίστιν εἰς αὐτὸν καὶ ἐὰν γινώμεθα ἀνώτεροι τῶν ἀνθρωπίνων πραγμάτων βασιζόμενοι εἰς τὴν παντοδυναμίαν του. Διότι αὐτός, ὁ ὁποῖος ὑπεσχέθη τὰ μέλλοντα ἀγαθὰ καὶ ἐκεῖνα τὰ ἀνέκφραστα εἰς αὐτούς, οἱ ὁποῖοι ζοῦν ἐνάρετα τὴν παροῦσαν ζωήν, δὲν θὰ μᾶς δώσῃ πολὺ περισσότερον καὶ τὰ ἐπίγεια ἀγαθὰ καὶ μάλιστα, ἐὰν ἡμεῖς περιφρονοῦμεν τὰ παρόντα καὶ ἐπιθυμοῦμεν τὰ οὐράνια; Καθ' ὅσον τότε θὰ ἀπολαύσωμεν μὲ ἀφθονίαν τὰ ἐπουράνια ἀγαθά, ὅταν δηλαδὴ θελήσωμεν νὰ περιφρονήσωμεν τὰ ἐπίγεια.

Γνωρίζοντες λοιπὸν αὐτά, ἂς ἐπιθυμοῦμεν ἐκεῖνα τὰ σταθερὰ καὶ παντοτεινὰ ἀγαθά, τὰ ὁποῖα δὲν γνωρίζουν τέλος, ὥστε καὶ τὴν παροῦσαν ζωὴν νὰ διανύσωμεν χωρὶς λύπην καὶ ἐκεῖνα νὰ κατορθώσωμεν νὰ ἐπιτύχωμεν, τὰ ὁποῖα μακάρι νὰ τὰ ἀπολαύσωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜϚ΄
(Γέν. 21, 7 - 26)

«Καὶ εἶπε Σάρρα· τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ὅτι θηλάζει παιδίον Σάρρα; ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου;».

1. Φέρε καὶ σήμερον, ἀγαπητοί, τὴν ἀκολουθίαν τῶν χθὲς εἰρημένων ἀναλαβόντες, οὕτω τὴν ἑστίασιν ὑμῖν παραθῶμεν ταύτην τὴν πνευματικήν, ἵνα μάθωμεν πάλιν, καθάπερ χθὲς ἠκούσατε, τοῦ ἀγαθοῦ Θεοῦ τὴν ἄφατον κηδεμονίαν καὶ συγκατάβασιν, καὶ τοῦ πατριάρχου τὴν πολλὴν ὑπακοὴν καὶ εὐγνωμοσύνην. Εἴδετε, ὅπως ἡ τοῦ Ἰσαὰκ γέννησις περιχαρῆ τὴν Σάρραν ἐποίησεν; «Εἶπε γάρ», φησί, «γέλωτά μοι ἐποίησεν ὁ Θεός· ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι». Ἕκαστον, φησί, τῶν ἀκουόντων εἰς κοινωνίαν τῆς χαρᾶς ἐπισπάσομαι. Μεγάλη γάρ ἐστιν ἡ παρὰ τοῦ Θεοῦ παρασχεθεῖσά μοι δωρεὰ καὶ ὑπερβαίνουσα τὴν ἀνθρωπίνην ἀσθένειαν. Τίς γάρ, φησίν, οὐκ ἂν ἐκπλαγείη ὁρῶν ἐμὲ γαλακτοτροφοῦσαν καὶ τιθηνουμένην, τὴν ἐν ἐσχάτῳ γήρᾳ καὶ μέχρι τοῦ παρόντος ἐν ἀπαιδίᾳ γεγενημένην; Καὶ ὡσανεὶ θαυμάζουσα καὶ ἐκπληττομένη τὸ γεγονός, ἐπήγαγε· «Τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ὅτι θηλάζει παιδίον Σάρρα; ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου;». Ἐπειδὴ ὑπὲρ φύσιν ἐστὶ τὸ γεγονός, διὰ τοῦτο, φησί, «Τίς ἀναγγελεῖ;» ἀντὶ τοῦ, 'τίς ἀναλογίσετε; τίς ἂν ἐνθυμηθείη; ποία διάνοια καταλαβεῖν δυνήσεται; ποῖος λογισμὸς εὑρεῖν ἱκανὸς τοῦ γεγενημένου τὴν ἀκρίβειαν;'. Οὐχ οὕτω θαυμαστὸν ἦν, τὸ ἐκ τῆς πέτρας κατὰ τὴν ἔρημον ἀναβλύσαι τὰς πηγὰς τῶν ὑδάτων, ἡνίκα τῇ ῥάβδῳ Μωϋσῆς ταύτην ἔπαισεν, ὡς τοῦτο τὸ ἀπὸ μήτρας ἤδη νενε-

ΟΜΙΛΙΑ ΜS΄
(Γέν. 21, 7-26)

«Καὶ εἶπεν ἡ Σάρρα· Ποῖος θὰ ἀναγγείλῃ εἰς τὸν Ἀβραάμ, ὅτι ἡ Σάρρα θηλάζει παιδί; Ὅτι εἰς τὴν γεροντικήν μου ἡλικίαν ἀπέκτησα υἱόν;».

1. Ἐμπρὸς καὶ σήμερον, ἀγαπητοί, ἀφοῦ συνεχίσωμεν τὰ ὅσα σᾶς εἶπα χθές, νὰ σᾶς παραθέσω αὐτὴν τὴν πνευματικὴν τράπεζαν, διὰ νὰ μάθωμεν πάλιν, ὅπως ἠκούσατε καὶ χθές, τὴν ἀπερίγραπτον φροντίδα καὶ συγκατάβασιν τοῦ ἀγαθοῦ Θεοῦ καὶ τὴν μεγάλην ὑπακοὴν καὶ τὴν εὐγνωμοσύνην τοῦ πατριάρχου. Εἴδατε, πῶς ἡ γέννησις τοῦ Ἰσαὰκ κατέστησε τὴν Σάρραν πολὺ χαρούμενην. Διότι λέγει «Εἶπεν ἡ Σάρρα· Χαρὰν μοῦ ἐγέμισεν ὁ Θεός, διότι ἐκεῖνος, ὁ ὁποῖος θὰ ἀκούσῃ αὐτό, θὰ χαρῇ μαζί μου». Τὸν καθένα, λέγει, ποὺ θὰ μάθῃ αὐτό, θὰ τὸν κάμω μέτοχον εἰς τὴν χαράν μου. Διότι εἶναι μεγάλη ἡ δωρεά, τὴν ὁποίαν μοῦ ἐχάρισεν ὁ Θεὸς καὶ ὑπερβαίνει τὴν ἀνθρωπίνην ἀδυναμίαν. Διότι λέγει, ποῖος δὲν θὰ ἐκπλαγῇ, ὅταν ἰδῇ ἐμένα νὰ τρέφω μὲ γάλα καὶ νὰ θηλάζω, ἡ ὁποία εὑρίσκομαι εἰς τὸ ἔσχατον γῆρας καὶ ποὺ μέχρι τώρα ἤμουν ἄτεκνη; Καὶ κατεχομένη ἀπὸ κάποιον θαυμασμὸν καὶ ἔκπληξιν διὰ τὸ γεγονὸς προσέθεσε· «Ποῖος θὰ ἀναγγείλῃ εἰς τὸν Ἀβραάμ, ὅτι ἡ Σάρρα θηλάζει παιδί; Ὅτι εἰς τὴν γεροντικήν μου ἡλικίαν ἀπέκτησα υἱόν;». Ἐπειδὴ τὸ γεγονὸς εἶναι ὑπερφυσικόν, διὰ τοῦτο λέγει· «Ποῖος θὰ ἀναγγείλῃ;» ἀντὶ νὰ εἰπῇ, Ποῖος θὰ ἀναλογισθῇ; Ποῖος θὰ ἠμπορέσῃ νὰ τὸ σκεφθῇ; Ποία διάνοια θὰ ἠμπορέσῃ νὰ τὸ καταλάβῃ; Ποία σκέψις εἶναι ἱκανὴ νὰ ἐξηγήσῃ τὴν ἀκρίβειαν τοῦ γεγονότος;'. Δὲν ἦτο τόσον ἀξιοθαύμαστον τὸ γεγονός, ὅτι ἀνέβλυσαν πηγαὶ ὑδάτων ἀπὸ τὴν πέτραν τῆς ἐρήμου, ὅταν ὁ Μωυσῆς ἐκτύπησεν αὐτὴν μὲ τὴν ράβδον του, ὅσον ἦτο θαυμαστὸν αὐτό, τὸ νὰ

κρωμένης παιδίον τεχθῆναι καὶ γάλακτος πηγὰς ἀναβλύσαι.

Ἵνα γὰρ πᾶσιν ὁ τόκος κατάδηλος γένηται καὶ πάντας καὶ τοὺς τότε παρόντας καὶ τοὺς μετὰ ταῦτα ἀκούοντας, εἰς πίστιν τοῦ θαύματος ἐναγάγῃ, διὰ τοῦτο καὶ αὐτὴ τρέφει παιδίον καὶ τῆς γαλακτοτροφίας ἀνέχεται. Καί φησι, «Τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ὅτι θηλάζει παιδίον Σάρρα;» τοῦτο τὸ καινόν, παράδοξον, καὶ παρ' ἐλπίδα ἐμοὶ παρασχεθέν, «ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου;». Τί ἐστιν, «Ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου»; Ὅτι καὶ ἄνευ τῆς στειρώσεως ἱκανὸς ἦν, φησὶ καὶ ὁ τῆς ἡλικίας χρόνος ἀπαγορεῦσαι τὸν τόκον. Ἀλλὰ ταῦτα πάντα τὰ κωλύματα ὁ Δεσπότης ἐκποδὼν ποιησάμενος, καὶ τοῦ παιδὸς τὸν τόκον ἐμοὶ κεχάρισται καὶ τοῦ γάλακτος τὰς πηγάς.

Ἀλλ' ἴδωμεν λοιπὸν τὰ ἑξῆς. Ἐπειδὴ γὰρ ἀπήρτιστο τὰ τῆς γαλακτοτροφίας, «Εἶδε», φησί, «Σάρρα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὃς ἐγένετο τῷ Ἀβραάμ, παίζοντα μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς. Καὶ εἶπε τῷ Ἀβραάμ· ἔκβαλε τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς. Οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ. Σκληρὸν δὲ ἐφάνη τὸ ῥῆμα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ».

Ὅρα μοι, ἀγαπητέ, ἐνταῦθα τὴν Σάρραν πάλιν οὐ φέρουσαν τοῦ Ἰσμαὴλ τὴν πολλὴν παρρησίαν, οὐδὲ ἀνεκτῶς ἐνεγκεῖν δυναμένην τὸν τῆς παιδίσκης υἱὸν μετὰ τοῦ Ἰσαὰκ ἀναστρεφόμενον. Καθάπερ οὖν πρῴην καταστεῖλαι τῆς Ἄγαρ τὸ φρόνημα βουλομένη, διὰ τῆς σφοδρᾶς ἀγανακτήσεως εἰς φυγὴν αὐτὴν τραπῆναι παρεσκεύασεν, οὕτω καὶ νῦν βουλομένη ἐκ προοιμίων ἀναστεῖλαι τοῦ Ἰσμαὴλ τὴν προπέτειαν καὶ μὴ φέρουσα ὁρᾶν τὸν ἐκ χάριτος τεχθέντα υἱὸν καὶ ἐξ αὐτῆς τοῦ Θεοῦ τῆς δωρεᾶς μετὰ τοῦ τῆς παιδίσκης τῆς Αἰγυπτίας συναναστρεφόμενον,

γεννηθῇ δηλαδὴ παιδὶ ἀπὸ μήτραν νεκρωμένην καὶ νὰ ἀναβλύσῃ γάλα ἀπὸ τὴν Σάρραν.

Διὰ νὰ καταστῇ δηλαδὴ πασίγνωστη ἡ γέννησις καὶ νὰ κάμῃ ὅλους καὶ τοὺς συγχρόνους καὶ τοὺς μεταγενεστέρους, οἱ ὁποῖοι θὰ ἤκουον αὐτά, νὰ πιστεύσουν τὸ θαῦμα, διὰ τοῦτο καὶ ἡ ἰδία τρέφει τὸ παιδὶ καὶ ὑπομένει τὴν γαλακτοτροφίαν καὶ τὴν ταλαιπωρίαν. Καὶ λέγει· «Ποῖος θὰ ἀναγγείλῃ εἰς τὸν Ἀβραάμ, ὅτι ἡ Σάρρα θηλάζει παιδί;» αὐτὸ τὸ καινοφανὲς καὶ παράδοξον καὶ χωρὶς ἐλπίδα παρασχεθὲν εἰς ἐμένα, τὸ «Ὅτι ἀπέκτησα υἱὸν κατὰ τὴν γεροντικήν μου ἡλικίαν;». Τί σημαίνει «Ὅτι ἀπέκτησα υἱὸν κατὰ τὴν γεροντικήν μου ἡλικίαν»; Ὅτι δηλαδὴ καὶ χωρὶς τὴν στείρωσιν, λέγει, ἦτο ἱκανὴ ἡ ἡλικία νὰ μοῦ ἀποκλείσῃ τὴν γέννησιν. Αὐτὰ ὅμως ὅλα τὰ ἐμπόδια, ἀφοῦ τὰ ἐξηφάνισεν ὁ Κύριος, ἐχάρισεν εἰς ἐμένα καὶ τὴν γέννησιν τοῦ παιδιοῦ καὶ τὰς πηγὰς τοῦ γάλακτος. Ἀλλ' ἂς ἰδοῦμεν τὴν συνέχειαν τῶν γεγονότων. Ὅταν δηλαδὴ ἔπαυσεν ἡ γαλακτοτροφία, λέγει, «Εἶδεν ἡ Σάρρα τὸν υἱὸν τῆς Αἰγυπτίας Ἄγαρ, ποὺ τὸν ἀπέκτησε μὲ τὸν Ἀβραάμ, νὰ παίζῃ μὲ τὸν Ἰσαὰκ τὸν υἱόν της καὶ εἶπεν εἰς τὸν Ἀβραάμ. Νὰ ἀπομακρύνῃς ἀπὸ ἐδῶ τὴν δούλην αὐτὴν καὶ τὸν υἱόν της, διότι δὲν θὰ μᾶς κληρονομήσῃ ὁ υἱὸς τῆς δούλης αὐτῆς μαζὶ μὲ τὸν υἱόν μου Ἰσαάκ. Ὁ λόγος δὲ αὐτὸς ἐφάνη σκληρὸς εἰς τὸν Ἀβραὰμ διὰ τὸν υἱόν του τὸν Ἰσμαήλ».

Πρόσεχε, ἐδῶ, ἀγαπητέ, ὅτι ἡ Σάρρα δὲν ὑποφέρει τὸ θάρρος τοῦ Ἰσμαήλ, οὔτε ἠμπορεῖ νὰ ἀνέχεται τὴν συναναστροφὴν τοῦ υἱοῦ τῆς δούλης μὲ τὸν Ἰσαάκ. Ὅπως δηλαδὴ παλαιότερον, ἐπειδὴ ἤθελε νὰ ταπεινώσῃ τὸ ἠθικὸν τῆς Ἄγαρ, ἔκαμεν αὐτὴν νὰ τραπῇ εἰς φυγὴν λόγῳ τῆς μεγάλης της ὀργῆς, κατὰ παρόμοιον τρόπον καὶ τώρα, ἐπειδὴ ἤθελε νὰ συγκρατήσῃ ἀπὸ τὴν ἀρχὴν τὴν αὐθάδειαν τοῦ Ἰσμαὴλ καὶ ἐπειδὴ δὲν ἠμποροῦσε νὰ ἀνέχεται νὰ βλέπῃ τὸν υἱόν της, ὁ ὁποῖος ἐγεννήθη κατὰ χάριν καὶ μὲ τὴν δωρεὰν τοῦ Θεοῦ, νὰ συναναστρέφεται μὲ τὸν υἱὸν τῆς Αἰγυπτίας δούλης, λέγει πρὸς τὸν

φησὶ πρὸς τὸν 'Αβραάμ· «Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς. Οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ μου». 'Επειδὴ ᾔδει, ὅτι καὶ αὐτὴ ἐν ἐσχάτῳ γήρᾳ τυγχάνει καὶ τὸν πατριάρχην ἑώρα προβεβηκότα (ἦσαν γὰρ ἀμφότεροι προβεβηκότες ἡμερῶν), ὑφορῶσα μήποτε, ἀθρόον αὐτῶν τελευτησάντων, ὁ 'Ισμαήλ, διὰ τὸ ἐκ τῆς τοῦ πατριάρχου συνουσίας τεχθῆναι, ἐπιχειρήσει εἰς τὸν κλῆρον ἑαυτὸν τοῦ πατρὸς εἰσαγαγεῖν καὶ κοινωνὸς γενέσθαι τῷ 'Ισαάκ, διὰ τοῦτό φησιν, «Ἔκβαλε τὴν παιδίσκην ἐντεῦθεν καὶ τὸν υἱὸν αὐτῆς». Μανθανέτω, φησίν, ἤδη ὅτι οὐδὲν κοινὸν ἕξει ὁ τῆς παιδίσκης υἱὸς μετὰ τοῦ υἱοῦ μου 'Ισαάκ. Οὐδὲ γὰρ εὔλογον τὸν τῆς δούλης υἱὸν μετὰ τοῦ υἱοῦ τοῦ ἐμοῦ τῆς δεσποίνης συναναστρέφεσθαι. 'Αλλ' ἡ μὲν Σάρρα οὐκ ἀπεικὸς πρᾶγμα πέπονθεν, ἀλλὰ καὶ σφόδρα ἀκόλουθον, καὶ οὕτως ἀκόλουθον, ὡς καὶ τὸν Θεὸν συναινέσαι τοῖς παρ' αὐτῆς εἰρημένοις. Ὁ δὲ πατριάρχης φιλόστοργος ὢν καὶ συμπαθῶς διακείμενος πρὸς τὸν 'Ισμαήλ, ἐπαχθῶς ἐδέξατο τὰ παρὰ τῆς Σάρρας εἰρημένα. «Σκληρὸν γάρ», φησίν, «ἐφάνη τὸ ῥῆμα ἐναντίον 'Αβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ». Οὐδὲ γὰρ τῆς Ἄγαρ ἐποιήσατο λόγον, ἀλλὰ συμπαθῶς πρὸς τὸν παῖδα διέκειτο, ὅτε δὴ λοιπὸν ἐν ἡλικίᾳ γεγονότα.

'Αλλὰ σκόπει μοι ἐνταῦτα τοῦ φιλανθρώπου Θεοῦ τὴν ὑπερβάλλουσαν συγκατάβασιν. 'Επειδὴ γὰρ εἶδε καὶ τὴν Σάρραν κατὰ τὸ εἰκὸς παθοῦσάν τι ἀνθρώπινον, καὶ δυσχεραίνουσαν ἐπὶ τῇ ὁμοτιμίᾳ τῶν παίδων καὶ τὸν 'Αβραὰμ οὐ φέροντα πρᾴως τὴν ἐκβολὴν τοῦ 'Ισμαὴλ καὶ τῆς παιδίσκης (εἰ γὰρ καὶ μὴ ἀντέτεινε τῇ Σάρρᾳ διὰ πολλὴν τὴν ἐπιείκειαν, ἀλλ' ὅμως σκληρὸν αὐτῷ κατεφαίνετο, τοῦτ' ἔστι, βαρύ, φησί, καὶ ἐπαχθὲς καὶ φορτικόν), τότε λοιπὸν τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος ὁ Δεσπότης καὶ τῆς ὁμονοίας τὸν σύνδεσμον αὐτῶν συσφίγγων, φησὶ πρὸς τὸν 'Αβραάμ· «Μὴ σκληρὸν ἔστω ἐναντίον σου

᾽Αβραάμ. «Νὰ ἀπομακρύνῃς ἀπὸ ἐδῶ τὴν δούλην αὐτὴν καὶ τὸν υἱόν της, διότι δὲν θὰ μᾶς κληρονομήσῃ ὁ υἱὸς τῆς δούλης αὐτῆς μαζὶ μὲ τὸν υἱόν μου». ᾽Επειδὴ ἐγνώριζεν, ὅτι καὶ αὐτὴ εὑρίσκετο εἰς βαθὺ γῆρας καὶ ἔβλεπεν, ὅτι καὶ ὁ πατριάρχης εἶχε γηράσει, (ἀφοῦ ἦσαν καὶ οἱ δύο πολὺ μεγάλης ἡλικίας), ὑποπτευομένη μήπως, ἐὰν αὐτοὶ ἀποθάνουν αἰφνιδίως, ὁ ᾽Ισμαήλ, ἐπειδὴ ἐγεννήθη ἀπὸ τὴν ἕνωσιν τῆς μητρός του μὲ τόν πατριάρχην, ἀποπειραθῇ νὰ συμμετάσχῃ εἰς τὴν κληρονομίαν τοῦ πατρὸς του καὶ διαμοιράσῃ αὐτὴν μὲ τὸν ᾽Ισαάκ, διὰ τοῦτο λέγει· «Νὰ ἀπομακρύνῃς ἀπὸ ἐδῶ τὴν δούλην αὐτὴν καὶ τὸν υἱόν της». Ἂς μάθῃ πλέον, λέγει, ὅτι δὲν θὰ ἔχῃ τίποτε τὸ κοινόν ὁ υἱὸς τῆς δούλης μὲ τὸν υἱόν μου τὸν ᾽Ισαάκ. Καθ᾽ ὅσον δὲν ἐπιτρέπεται νὰ συναναστρέφεται ὁ υἱός τῆς δούλης μὲ τὸν υἱὸν τὸν ἰδικόν μου ἡ ὁποία εἶμαι κυρία. ᾽Αλλ᾽ ἡ Σάρρα δὲν εἶπε κάτι τὸ τόσον παράλογον, ἀλλὰ μάλιστα πολὺ φυσικὸν καὶ τόσον φυσικόν, ὥστε καὶ ὁ Θεὸς νὰ συμφωνήσῃ, μὲ ὅσα αὐτὴ εἶχεν εἰπεῖ. ῾Ο πατριάρχης ὅμως, ἐπειδὴ ἦτο φιλόστοργος καὶ ἠγάπα τὸν ᾽Ισμαήλ, ἤκουσε μὲ λύπην τοὺς λόγους τῆς Σάρρας. Διότι λέγει· «῾Ο λόγος αὐτὸς ἐφάνη εἰς τὸν ᾽Αβραὰμ πολὺ σκληρός διὰ τόν υἱόν του τὸν ᾽Ισμαήλ». Διότι δὲν ἐνδιεφέρθη διὰ τὴν Ἄγαρ, ἀλλὰ εἶχε μεγάλην συμπάθειαν εἰς τὸν υἱόν του, καθ᾽ ὅτι εἶχεν ἤδη μεγαλώσει.

Πρόσεχε ὅμως ἐδῶ, παρακαλῶ, τὴν ὑπερβολικὴν συγκατάβασιν τοῦ φιλανθρώπου Θεοῦ. Ὅταν δηλαδὴ εἶδεν, ὅτι καὶ ἡ Σάρρα κατελήφθη ἀπὸ κάποιο πάθος, ὅπως ἦτο φυσικὸν καὶ ὅτι ἐστενοχωρεῖτο διὰ τὴν ἰσοτιμίαν τῶν δύο παιδίων καὶ ὅτι καὶ ὁ ᾽Αβραὰμ ἔφερε βαρέως τὴν ἐκδίωξιν τοῦ ᾽Ισμαὴλ καὶ τῆς δούλης (διότι, ἂν καὶ δὲν ἔφερεν ἀντίρρησιν εἰς τὴν Σάρραν λόγῳ τῆς μεγάλης του πραότητος, ὅμως αὐτὸ τοῦ ἐφαίνετο πολὺ σκληρόν, δηλαδὴ βαρύ, λέγει, καὶ ἐπαχθὲς καὶ φορτικόν), τότε λοιπὸν ὁ Κύριος σύμφωνα μὲ τὴν φιλανθρωπίαν του καὶ συσφίγγει περισσότερον τὸν σύνδεσμον τῆς ὁμονοίας των, λέγει εἰς τὸν ᾽Αβραάμ, «Νά μὴ σοῦ φαίνωνται σκληροὶ οἱ

τὸ ῥῆμα περὶ τοῦ παιδίου καὶ τῆς παιδίσκης. Πάντα ὅσα ἂν εἴπῃ σοι Σάρρα, ἄκουσον τῆς φωνῆς αὐτῆς». Μὴ δέξῃ, φησί, βαρέως τὸ παρ' αὐτῆς ῥηθέν σοι, ἀλλὰ «Πάντα ὅσα ἂν εἴπῃ σοι Σάρρα, ἄκουσον τῆς φωνῆς αὐτῆς».

2. Ταῦτα πάντα, φησίν, ἅπερ σοι νῦν διαλέγεται περὶ τοῦ Ἰσμαὴλ καὶ τῆς Ἄγαρ, κατάδεξαι καὶ ὑπάκουσον τῆς φωνῆς αὐτῆς. Μὴ θελήσῃς λυπῆσαι τὴν ἐν παντὶ τῷ χρόνῳ τοσαύτην περὶ σὲ τὴν φιλοστοργίαν ἐπιδειξαμένην, τὴν οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δεύτερον, ἵνα τοῦ θανάτου σε ἐξαρπάσῃ, ἑαυτὴν ἐκδεδωκυῖαν ὑπὲρ τῆς σῆς σωτηρίας καὶ ὑπόθεσίν σοι γενομένην τοσαύτης περιφανείας· καὶ πρότερον μὲν μετὰ τοσούτου πλούτου ἀπὸ τῆς Αἰγύπτου ἐπανελθεῖν πεποιηκυῖαν· μετὰ ταῦτα δὲ τοσαύτης τιμῆς ποιήσασαν ἀξιωθῆναί σε ὑπὸ τοῦ Ἀβιμέλεχ. Μὴ τοίνυν ἀνάσχῃ ἐναντία τοῖς παρ' αὐτῆς λεγομένοις βουλεύσασθαι· καὶ γὰρ οὐδὲ ἄλλως ἔσται. Ἐν γὰρ τῷ Ἰσαὰκ τῷ παρ' αὐτῆς τεχθέντι τὸ σπέρμα σοι κληθήσεται, καὶ οὗτος ἔσται σου κληρονόμος. «Καὶ τὸν υἱὸν δὲ τοῦτον τῆς παιδίσκης αὐξηθῆναι παρασκευάσω, καὶ εἰς ἔθνος μέγα ποιήσω αὐτόν, ἐπειδὴ σπέρμα σόν ἐστι». Ποίει οὖν τὰ παρ' αὐτῆς σοι λεγόμενα καὶ ὑπάκουσον τῆς φωνῆς αὐτῆς. Ἐννόησόν σοι λοιπόν, ὅση ἀθρόον ἡ εἰρήνη καὶ ἡ ὁμόνοια εἰς τὸ συνοικέσιον αὐτῶν ἐπολιτεύετο, τῆς τοῦ Θεοῦ ἀγαθότητος τὸν σύνδεσμον αὐτῶν συσφιγγούσης. «Ἀνέστη γάρ», φησί, «τῷ πρωῒ καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος καὶ ἔδωκεν Ἄγαρ καὶ ἐπέθηκεν ἐπὶ τῶν ὤμων αὐτῆς καὶ τὸ παιδίον, καὶ ἀπέστειλεν αὐτήν».

Ὅρα μοι πάλιν τοῦ δικαίου τὴν πολλὴν εὐγνωμοσύνην καὶ ὅπως διὰ πάντων τὸν φιλόθεον αὐτοῦ σκοπὸν δείκνυσιν. Ὅτε μὲν γὰρ ἤκουσε τῆς Σάρρας λεγούσης, «Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς», πονηρὸν αὐτῷ ἐφάνη, ἐπειδὴ φιλοστόργως πρὸς τὸν

λόγοι τῆς Σάρρας διὰ τὸ παιδὶ καὶ τὴν δούλην. Ὅλα, ὅσα θὰ σοῦ εἰπῇ ἡ Σάρρα νὰ τὰ ἀκούσῃς». Νὰ μὴ φέρῃς βαρέως, λέγει, αὐτά, τὰ ὁποῖα ἤκουσες, ἀλλὰ «Ὅλα, ὅσα θὰ σοῦ εἰπῇ ἡ Σάρρα, νά τὰ ἀκούσῃς».

2. Ὅλα αὐτά, λέγει, τὰ ὁποῖα σοῦ λέγει τώρα διὰ τὸν Ἰσμαὴλ καὶ τὴν Ἄγαρ νὰ τὰ δεχθῇς καὶ νὰ ἀκούσῃς τοὺς λόγους της. Νὰ μὴ θελήσῃς νὰ λυπήσῃς αὐτήν, ἡ ὁποία ἐπὶ τόσον χρόνον ἔδειξε τόσην φιλοστοργίαν εἰς σέ, αὐτὴν ἡ ὁποία ὄχι μόνον μίαν φοράν, ἀλλὰ καὶ δευτέραν, διὰ νά σὲ γλυτώσῃ ἀπὸ τὸν θάνατον, ἐξέδωκε τὸν ἑαυτόν της διά τὴν ἰδικήν σου σωτηρίαν καὶ ἔγινεν ἀφορμή, διὰ νὰ ἀποκτήσῃς τόσην δόξαν. Καὶ παλαιότερον σοῦ ἔκαμε νὰ ἐπανέλθῃς μὲ τόσον πλοῦτον ἀπὸ τὴν Αἴγυπτον καὶ νὰ ἀξιωθῇς ἀργότερον τόσης τιμῆς ἀπὸ τὸν Ἀβιμέλεχ. Νά μὴ ἀνεχθῇς λοιπὸν νὰ σκεφθῇς κατὰ διαφορετικόν τρόπον, ἀπ' ὅ,τι αὐτὴ σοῦ λέγει. Καθ' ὅσον δὲν θὰ γίνῃ διαφορετικά. Διότι θὰ ἀναγνωρισθοῦν ὡς ἀπόγονοί σου οἱ ἀπόγονοι τοῦ Ἰσαὰκ καὶ αὐτός θὰ εἶναι ὁ κληρονόμος σου. «Καὶ τὸν υἱὸν τῆς δούλης αὐτῆς θὰ τὸν καταστήσω μεγάλον καὶ θὰ τὸν κάμω γενάρχη μεγάλου ἔθνους, ἐπειδὴ εἶναι ἰδικόν σου σπέρμα». Κάμε λοιπόν, ὅσα αὐτὴ σοῦ λέγει καὶ ἄκουσε τοὺς λόγους της. Νὰ σκεφθῇς, παρακαλῶ, πόση εἰρήνη καὶ ὁμόνοια ὑπῆρχε εἰς τὴν οἰκογένειάν των, ἀφοῦ ἡ ἀγαθότης τοῦ Θεοῦ ἔσφιγγε περισσότερον τὸν δεσμόν των. Διότι λέγει, «Ἐσηκώθη ὁ Ἀβραὰμ τὸ πρωὶ καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος καὶ ἔδωκεν αὐτὰ εἰς τὴν Ἄγαρ, ἔθεσεν ἐπάνω εἰς τοὺς ὤμους της τὸ παιδὶ καὶ τὴν ἀπεμάκρυνε».

Βλέπε, παρακαλῶ, πάλιν τὴν μεγάλην εὐγνωμοσύνην τοῦ δικαίου καὶ πῶς ἀποδεικνύει μὲ κάθε μέσον τὸν εὐσεβῆ σκοπόν του. Ὅταν ἤκουσε τὴν Σάρραν νὰ λέγῃ «Νὰ ἀπομακρύνῃς τὴν δούλην καὶ τὸν υἱόν της», τοῦ ἐφάνη κακόν, ἐπειδὴ ἠγάπα τὸν Ἰσμαήλ. Ὅταν ὅμως διέταξεν

Ἰσμαὴλ διέκειτο· ἐπειδὴ δὲ ὁ Δεσπότης ἐκέλευσεν, εὐθέως ἐποίει τὸ ἐπιταχθὲν καὶ ἐπελανθάνετο τῆς φυσικῆς φιλοστοργίας. Ὅταν γάρ, φησίν, αὐτὸς ἐπιτάττῃ, σχολαζέτω πάντα τὰ πάθη· ὁ γὰρ τῆς φύσεώς ἐστι Δεσπότης ὁ κελεύων. «Λαβοῦσα τοίνυν ἡ παιδίσκη, φησί, τοὺς ἄρτους καὶ τὸν ἀσκὸν τοῦ ὕδατος, ἐξῄει μετὰ τοῦ παιδίου». Ἀλλ' ὅρα μοι πάλιν, διὰ τὴν πρὸς τὸν δίκαιον εὔνοιαν πῶς καὶ αὐτὴ ἀξιοῦται τῆς κηδεμονίας τῆς ἄνωθεν. Ἀπελθοῦσα τοίνυν ἐπλανᾶτο κατὰ τὴν ἔρημον καὶ τοῦ ὕδατος ἀναλωθέντος καὶ οὐδεμίαν οὐδαμόθεν εὑρίσκουσα παραμυθίαν, «Ἔρριψε», φησί, «τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης» καὶ διακοπτομένη τὰ σπλάγχνα καὶ ὑπὸ τῆς ὀδύνης συνεχομένη καὶ τῆς πρὸς τὸ παιδίον φιλοστοργίας, «Ἐκάθητο», φησίν, «ἀπέναντι αὐτοῦ, ὡσεὶ τόξου βολήν. Εἶπε γάρ· οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου μου. Καὶ ἐκάθισεν ἀπέναντι παιδίου. Καὶ ἀναβοῆσαν τὸ παιδίον, ἔκλαυσεν». Ἀλλ' ὁ ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς καὶ πατρὸς καὶ μητρὸς φιλοστοργίαν εἰς τὴν περὶ ἡμᾶς κηδεμονίαν ὑπερακοντίζων, «Εἰσήκουσε τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου οὗ ἦν»· ᾤκτειρε τὸ παιδίον, ἠλέησε τὴν συμφορὰν τῆς Ἄγαρ· συνεχώρησεν αἴσθησιν αὐτὴν λαβεῖν τῆς ἐρημίας καὶ εὐθέως τὴν παρ' ἑαυτοῦ ἀντίληψιν ἐχαρίσατο.

«Καὶ ἐκάλεσε», φησίν, «ἄγγελος τοῦ Θεοῦ τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν αὐτῇ· τί ἐστιν, Ἄγαρ; Μὴ φοβοῦ· ἐπακήκοε γὰρ ὁ Θεὸς τῆς φωνῆς τοῦ παιδίου σου ἐκ τοῦ τόπου οὗ ἐστιν. Ἀνάστηθι, λάβε τὸ παιδίον καὶ κράτησον τῆς χειρὸς αὐτοῦ· εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό». Ὢ φιλανθρωπίας Δεσπότου. Οὐκ ἐπειδὴ παιδίσκη ἦν, ὑπερεῖδεν αὐτήν, ἀλλ' ἐπειδὴ ἐπαγγελίαν ἐποιήσατο πρὸς τὸν πατριάρχην καὶ ἐπειδὴ ἐκείνου τὸ σπέρμα ἐτύγχανε, τοσαύτης προνοίας καὶ αὐτὴν ἀξιοῖ καί φησι· «Τί ἐστιν,

αὐτὸν ὁ Κύριος, ἀμέσως ἐξεπλήρωσε τὴν ἐντολὴν καὶ ἐλησμόνησε τὴν φυσικὴν στοργήν. Διότι λέγει, ὅταν αὐτὸς διατάσσῃ ἂς σιωποῦν ὅλα τὰ ἔθνη, καθ' ὅσον ὁ Κύριος τῆς φύσεως εἶναι ποὺ διατάσσει. «Ἀφοῦ ἔλαβε λοιπὸν ἡ δούλη», λέγει, «τοὺς ἄρτους καὶ τὸν ἀσκὸν τοῦ ὕδατος ἔφυγε μαζὶ μὲ τὸ παιδί». Ἀλλὰ πρόσεχε, παρακαλῶ, καὶ πάλιν πῶς καὶ αὐτή, ἐξ αἰτίας τῆς ἀγάπης τοῦ Θεοῦ πρὸς τὸν δίκαιον, γίνεται ἀξία τῆς ἄνωθεν βοηθείας. Ἀφοῦ ἔφυγε, λοιπόν, ἐπλανᾶτο εἰς τὴν ἔρημον καὶ ἀφοῦ τὸ ὕδωρ ἐτελείωσε καὶ δὲν εὕρισκε ἀπὸ πουθενὰ καμμίαν βοήθειαν, «Ἔρριψε», λέγει, «τὸ παιδὶ κάτω ἀπὸ ἕνα ἔλατον». Καὶ ἔκλαιγε μὲ σπαραγμοὺς καὶ κατεχομένη ἀπὸ τὴν ὀδύνην καὶ ἀπὸ τὴν στοργὴν πρὸς τὸ παιδί, «Ἐκάθησε», λέγει, «ἀπέναντι αὐτοῦ εἰς ἀπόστασιν βολῆς τόξου περίπου. Διότι εἶπε· «Νὰ μὴ ἰδῶ τὸν θάνατον τοῦ παιδιοῦ μου. Καὶ ἐκάθησεν ἀπέναντι τοῦ παιδιοῦ. Τὸ παιδὶ δὲ ἐφώναξε καὶ ἔκλαυσεν». Ὁ ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὅμως, αὐτὸς ποὺ ὑπερβαίνει τὴν στοργὴν τοῦ πατρὸς καὶ τῆς μητρὸς κατὰ τὸ ἐνδιαφέρον του πρὸς ἡμᾶς, «Ἄκουσε τὴν φωνὴν τοῦ παιδιοῦ ἐκεῖ ὅπου ἦτο». Ἐλυπήθη τὸ παιδίον, ἐλέησε τὴν συμφορὰν τῆς Ἄγαρ. Ἄφησε αὐτὴν νὰ καταλάβῃ τὸν φόβον τῆς ἐρημίας καὶ ἀμέσως τῆς ἐχάρισε τὴν βοήθειάν του.

«Καὶ ἄγγελος τοῦ Θεοῦ», λέγει, «ἀπὸ τὸν οὐρανὸν προσεκάλεσε τὴν Ἄγαρ καὶ εἶπεν εἰς αὐτήν· τί συμβαίνει Ἄγαρ; Μὴ φοβῆσαι, διότι ὁ Θεὸς ἤκουσε τὴν φωνὴν τοῦ υἱοῦ σου ἀπὸ τὸν τόπον, ὅπου εὑρίσκεται. Νὰ σηκωθῇς νὰ πάρῃς τὸ παιδὶ καὶ νὰ τὸ κρατήσῃς ἀπὸ τὸ χέρι του, διότι θὰ τὸ καταστήσω γενάρχην μεγάλου ἔθνους». Ὢ φιλανθρωπία τοῦ Κυρίου. Δὲν περιεφρόνησεν αὐτὴν ἐπειδὴ ἦτο δούλη, ἀλλ' ἐπειδὴ εἶχεν ὑποσχεθῆ εἰς τὸν πατριάρχην καὶ ἐπειδὴ ὁ Ἰσμαὴλ ἐτύγχανε νὰ εἶναι σπέρμα ἐκείνου, καθιστᾷ καὶ αὐτὴν ἀξίαν τόσης φροντίδος καὶ λέγει· «Τί συμβαίνει, Ἄγαρ; Μὴ φοβεῖσαι, διότι ὁ Θεὸς

Ἄγαρ; Μὴ φοβοῦ· ἐπήκουσε γὰρ ὁ Θεὸς τῆς φωνῆς τοῦ παιδίου. Ἀνάστηθι καὶ λάβε αὐτὸ καὶ κράτησον τῆς χειρὸς αὐτοῦ· εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό». Μὴ ἀθύμει, φησί, διὰ τὸ ἐκβληθῆναί σε τῆς οἰκίας. Τοσαύτης γὰρ ἀπολαύσεται τῆς παρ' ἐμοῦ προνοίας, ὡς καὶ εἰς ἔθνος μέγα γενέσθαι καὶ αὐτό. «Καὶ ἤνοιξε», φησί, «τοὺς ὀφθαλμοὺς αὐτῆς»· οὐκ ἐπειδὴ πρὸ τούτου οὐχ ἑώρα, ἀλλ' ἐπειδὴ καὶ τῶν ὀφθαλμῶν ἀνεῳγμένων οὐδὲν αὐτῇ ὄφελος ἐγένετο πρὸ τῆς ἄνωθεν ἐπισκοπῆς. Διὰ τοῦτο, ὅτε ἐβουλήθη τὴν παρ' ἑαυτοῦ κηδεμονίαν ἐπιδείξασθαι, φησίν, «Ἀνέῳξε τοὺς ὀφθαλμοὺς αὐτῆς»· ἀντὶ τοῦ, 'ὑπέδειξεν αὐτῇ ἀγνοούσῃ, τὴν διάνοιαν αὐτῆς διέγειρεν, ὡδήγησεν αὐτήν', ὥστε ἰδεῖν τὸν τόπον τὸν ἀναβλύζοντα τοῦ ὕδατος τὰς πηγάς.

«Καὶ εἶδε», φησί, «φρέαρ ὕδατος ζῶντος καὶ ἐπορεύθη καὶ ἔπλησε τὸν ἀσκὸν καὶ ἐπότισε τὸ παιδίον». Ἐν ἀπόροις πόρον ἐχαρίσατο ὁ Κύριος καὶ ἐν ἀμηχανίᾳ τοιαύτῃ τυγχανούσῃ καὶ οὐδεμίαν ἐλπίδα σωτηρίας ἐχούσῃ, τὴν οἰκείαν φιλοτιμίαν εἰς αὐτὴν ἐπεδείξατο, ὁμοῦ καὶ αὐτὴν παραμυθησάμενος καὶ τοῦ παιδίου τὴν πρόνοιαν ποιησάμενος. Οὕτως ὅταν βούληται ὁ Θεός, κἂν ἐν ἐρημίᾳ ὦμεν, κἂν ἐν αὐτοῖς τοῖς ἐσχάτοις κακοῖς, κἂν μηδεμίαν ἐλπίδα σωτηρίας ἔχωμεν, οὐδενὸς ἑτέρου δεησόμεθα, τῆς τοῦ Θεοῦ ῥοπῆς τὰ πάντα ἡμῖν γινομένης. Ἐὰν γὰρ τὴν παρ' αὐτοῦ εὔνοιαν ἐπισπασώμεθα, οὐδεὶς ἡμῶν περιέσται, ἀλλὰ πάντων ἐσόμεθα ὑψηλότεροι. Καὶ ἦν ὁ Θεὸς μετὰ τοῦ παιδίου», φησί, «καὶ ηὐξήθη καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ». Οὕτως ὅταν εὐμενῆ τὸν Θεὸν ἔχωμεν, κἂν ἐν ἐρήμῳ ὦμεν, τῶν ἐν ταῖς πόλεσι διαγόντων ἀσφαλέστερον διατρίψομεν. Μεγίστη γὰρ ἀσφάλεια καὶ τεῖχος ἀκαταγώνιστον ἡ παρὰ τοῦ Θεοῦ ῥοπή.

Καὶ ἵνα μάθῃς ὅπως ὁ ἐν ἐρήμῳ τυγχάνων τοῦ ἐν μέσαις ταῖς πόλεσι διατρίβοντος καὶ πολλῆς τῆς

ἤκουσε τὴν φωνὴν τοῦ υἱοῦ σου. Νὰ σηκωθῇς καὶ νὰ πάρῃς τὸ παιδὶ καὶ νὰ τὸ κρατήσῃς ἀπὸ τὸ χέρι του, διότι θὰ τὸ καταστήσω γενάρχην μεγάλου ἔθνους». Νὰ μὴ λυπῆσαι, λέγει, διότι ἐξεδιώχθης ἀπὸ τὴν οἰκίαν. Διότι θὰ ἔχῃ τόσην φροντίδα ἀπὸ ἐμένα, ὥστε καὶ αὐτὸ νὰ καταστῇ γενάρχης μεγάλου ἔθνους. «Καὶ ἤνοιξε», λέγει, «τοὺς ὀφθαλμούς της», ὄχι ἐπειδὴ προηγουμένως δὲν ἔβλεπεν, ἀλλ' ἐπειδή, ἂν καὶ εἶχεν ἀνοικτοὺς τοὺς ὀφθαλμούς της, ὅμως δὲν ὠφελοῦσαν τίποτε εἰς αὐτήν, πρὶν ἀπὸ τὴν ἄνωθεν βοήθειαν. Διὰ τοῦτο, ὅταν ἠθέλησε νὰ δείξῃ τὴν βοήθειάν του, λέγει, «Ἤνοιξε τοὺς ὀφθαλμούς της», ἀντὶ νὰ εἰπῇ 'ὑπέδειξεν εἰς αὐτήν, ἐπειδὴ εἶχεν ἄγνοιαν, ἐφώτισε τὸν νοῦν της, ὡδήγησεν αὐτήν', ὥστε νὰ ἰδῇ τὸν τόπον, ὅπου ἀνέβλυζον πηγαὶ ὕδατος.

«Καὶ εἶδε», λέγει, «πηγὴν ρέοντος ὕδατος καὶ ἐπῆγε καὶ ἐγέμισε τὸν ἀσκὸν καὶ ἐπότισε τὸ παιδί». Εἰς τὴν ἀπόγνωσιν ὁ Κύριος ἔδωσε τὴν λύσιν καὶ ἐνῷ εὑρίσκετο εἰς τόσον μεγάλην ἀμηχανίαν καὶ δὲν εἶχε καμμίαν ἐλπίδα σωτηρίας, ἔδειξεν εἰς αὐτὴν τὴν φιλοτιμίαν του καὶ συγχρόνως τὴν ἐπαρηγόρησεν, ἀφοῦ καὶ διὰ τὸ παιδὶ ἐφρόντισεν. Ἔτσι ὅταν ὁ Θεὸς θέλῃ, εἴτε εὑρισκόμεθα εἰς τὴν ἔρημον, εἴτε ἀντιμετωπίζομεν τὰς μεγαλυτέρας συμφοράς, καὶ ἂν δὲν ἔχωμεν καμμίαν ἐλπίδα σωτηρίας, δὲν θὰ χρειασθῶμεν κανένα ἄλλον, ἀφοῦ ἡ βοήθεια τοῦ Θεοῦ θὰ κάνῃ τὰ πάντα. Ἐὰν δηλαδὴ κερδήσωμεν τὴν ἀγάπην του, κανεὶς δὲν θὰ μᾶς νικήσῃ, ἀλλὰ θὰ εἴμεθα ἀνώτεροι ὅλων. «Καὶ ὁ Θεός», λέγει, «ἦτο μαζὶ μὲ τὸ παιδὶ καὶ αὐτὸ ἐμεγάλωσε καὶ κατῴκησε εἰς τὴν ἔρημον». Ἔτσι ὅταν ἔχωμεν τὸν Θεὸν μαζί μας, καὶ ἂν εὑρισκώμεθα εἰς τὴν ἔρημον, θὰ ζήσωμεν ἀσφαλέστερον ἀπ' αὐτούς, οἱ ὁποῖοι ζοῦν μέσα εἰς τὰς πόλεις. Καθ' ὅσον εἶναι μεγίστη ἀσφάλεια καὶ ἀκαταγώνιστον τεῖχος ἡ βοήθεια τοῦ Θεοῦ.

Καὶ διὰ νὰ καταλάβῃς, πῶς αὐτός, ὁ ὁποῖος ζῇ εἰς τὴν ἔρημον, ἀπεδείχθη ἀσφαλέστερος καὶ δυνατώτερος

ἀνθρωπίνης συμμαχίας ἀπολαύοντος καὶ ἀσφαλέστερος καὶ δυνατώτερος καθέστηκεν, ἴδωμεν πῶς ὁ μὲν Δαυὶδ τόπους ἐκ τόπων ἀμείβων καὶ καθάπερ ἀλήτης διάγων, ὑπὸ τῆς ἄνωθεν χειρὸς ἐτειχίζετο· ὁ δὲ Σαοὺλ ἐν μέσαις ταῖς πόλεσι τυγχάνων, καὶ στρατόπεδα τοσαῦτα ἐπαγόμενος καὶ δορυφόρους καὶ ὑπασπιστὰς ἔχων, καθ' ἑκάστην ἡμέραν ἐδεδοίκει καὶ ἔτρεμε τῶν πολεμίων τὴν ἔφοδον. Καὶ ὁ μέν, μόνος ὤν, καὶ οὐδένα ἔχων μεθ' ἑαυτοῦ ἕτερον, οὐκ ἐδεῖτο τῆς παρὰ τῶν ἀνθρώπων συμμαχίας· ὁ δὲ τὸ διάδημα περικείμενος καὶ τὴν ἁλουργίδα ἔχων, τῆς παρὰ τούτου βοηθείας ἔχρῃζεν· ὁ βασιλεὺς τοῦ ποιμένος ἐδεῖτο καὶ ὁ τὸ διάδημα περικείμενος τοῦ ἰδιώτου.

3. 'Αλλ' εἰ βούλεσθε, ἀνωτέρω ἀναγάγωμεν τὴν ἀκολουθίαν τοῦ λόγου, ἵνα πᾶσαν αὐτοῦ τὴν ἱστορίαν εἰς μέσον ἀγαγόντες, μάθωμεν ὡς οὐδὲν ἰσχυρότερον τοῦ πεφραγμένου τῇ ἄνωθεν συμμαχίᾳ καὶ οὐδὲν ἀσθενέστερον τοῦ ταύτης ἐρήμου τυγχάνοντος, κἂν ὑπὸ μυρίων στρατοπέδων κυκλούμενος ᾖ. Οὗτος οὖν ὁ Δαυὶδ νέος ὢν κομιδῇ καὶ διὰ τὸ τῆς ἡλικίας ἄωρον ἐν τῇ οἰκίᾳ τῇ πατρικῇ διάγων, ἐπειδή ποτε καιρὸς ἐκάλει τούτου τὴν ἀρετὴν φανερὰν γενέσθαι, προτραπεὶς ὑπὸ τοῦ πατρὸς ἐπισκέψασθαι τοὺς ἑαυτοῦ ἀδελφούς, ὑπήκουσε καὶ ἀπεστέλλετο πρὸς αὐτούς. Παραγενόμενος οὖν εἰς τὴν τούτων ἐπίσκεψιν, ἐπειδὴ εἶδε τὸν πόλεμον συνεστῶτα τὸν τοῦ ἀλλοφύλου Γολιὰθ καὶ πάντα τὸν λαὸν κατεπτηχότα τὸν μετὰ τοῦ Σαοὺλ καὶ αὐτὸν τὸν βασιλέα εἰς τὸν περὶ τοῦ παντὸς κίνδυνον καθεστῶτα, τέως θεατὴς ἐβούλετο γενέσθαι καὶ ἀπῄει ἰδεῖν τὸ καινὸν καὶ παράδοξον, ὅτι εἷς ἄνθρωπος τοσούτων μυριάδων κατεξανίστατο. 'Αλλ' οἱ ἀδελφοὶ τοῦ φρονήματος αὐτοῦ οὐ ἐνεγκόντες τὴν ἀνδρείαν, εἰς φθόνον διηγέρθησαν καί φασι πρὸς αὐτόν· «Δι' οὐδὲν ἕτερον ἐλήλυθας, ἢ ἵνα τὸν

ἀπ' αὐτόν, ὁ ὁποῖος ζῇ μέσα εἰς τὰς πόλεις καὶ ἀπολαμβάνει τὴν ἀλληλεγγύην τῶν συνανθρώπων του, ἂς ἰδοῦμεν, πῶς ὁ μὲν Δαυίδ, ἂν καὶ ἐπήγαινεν ἀπὸ τόπον εἰς τόπον καὶ ἔζη κατὰ κάποιον τρόπον ὡσὰν περιπλανώμενος, ὅμως ἐπροστατεύετο ὑπὸ τῆς ἄνωθεν χειρός. Ὁ δὲ Σαούλ, ἂν καὶ ἔζη μέσα εἰς τὰς πόλεις καὶ ἠκολουθεῖτο ἀπὸ τόσον στρατὸν καὶ ἂν καὶ εἶχε σωματοφύλακας καὶ ὑπασπιστάς, κάθε ἡμέραν ἐφοβεῖτο καὶ ἔτρεμε τὴν ἐπίθεσιν τῶν ἐχθρῶν. Καὶ ὁ μὲν Δαυίδ, ἂν καὶ ἦτο μόνος καὶ δὲν εἶχε κανένα μαζί του, δὲν εἶχε ἀνάγκην τὴν ἀνθρωπίνην συμμαχίαν, ἐνῷ ὁ Σαούλ, ὁ ὁποῖος ἐφόρει τὸ στέμμα καὶ τὴν βασιλικὴν στολήν, ἐχρειάζετο τὴν βοήθειαν ἐκείνου. Ὁ βασιλεὺς εἶχεν ἀνάγκην ἀπὸ τὸν βοσκὸν καὶ ὁ φορῶν τὸ στέμμα ἀπὸ τὸν ἁπλὸν πολίτην.

3. Ἀλλ' ἐὰν θέλετε, ἂς ἐπιστρέψωμεν ὀπίσω καὶ ἂς συνεχίσωμεν τὴν ὁμιλίαν, ὥστε, ἀφοῦ σᾶς ἀναφέρω ὁλόκληρον τὴν ἱστορίαν, νὰ ἀντιληφθῶμεν, ὅτι τίποτε δὲν εἶναι ἰσχυρότερον ἀπ' αὐτόν, ὁ ὁποῖος προστατεύεται ἀπὸ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ὅτι τίποτε δὲν εἶναι πιὸ ἀνίσχυρον ἀπ' αὐτόν, ποὺ στερεῖται αὐτὴν τὴν βοήθειαν, καὶ ἂν ἀκόμη αὐτὸς περικφρουρῆται ἀπὸ μυριάδας στρατοῦ. Αὐτὸς λοιπὸν ὁ Δαυίδ, ἂν καὶ ἦτο νέος καὶ παρέμενε εἰς τὴν πατρικὴν οἰκίαν λόγῳ τῆς νεαρᾶς του ἡλικίας, ὅταν κάποτε ἡ περίστασις ἀπῄτει νὰ φανερωθῇ ἡ ἀρετή του, ἀφοῦ ἐδέχθη τὴν προτροπὴν τοῦ πατρὸς νὰ ἐπισκεφθῇ τοὺς ἀδελφούς του, ὑπήκουσε καὶ ἀπεστάλη πρὸς αὐτούς. Ὅταν ἔφθασε λοιπὸν ἐκεῖ καὶ τοὺς ἐπεσκέφθη, μόλις εἶδεν, ὅτι ὁ πόλεμος ἐξηρτᾶτο ἀπὸ τὸν ἀλλόφυλον Γολιὰθ καὶ ὅτι ὁλόκληρος ὁ στρατὸς τοῦ Σαοὺλ κατελήφθη ἀπὸ τρόμον καὶ ὅτι ὁ ἴδιος ὁ βασιλεὺς περιῆλθεν εἰς τὸν ἔσχατον κίνδυνον, κατ' ἀρχὰς ἤθελε νὰ παραμείνῃ ἁπλὸς θεατὴς καὶ ἐπῆγε νὰ ἴδῃ κάτι τὸ καινοφανὲς καὶ παράδοξον, ἕνα ἄνθρωπον δηλαδὴ νὰ καταφέρεται ἐναντίον τόσων χιλιάδων. Οἱ ἀδελφοί του ὅμως δὲν ἠνέχθησαν τὴν ἀνδρείαν του καὶ τὸν ἐφθόνησαν καὶ λέγουν πρὸς αὐτόν.

πόλεμον ἴδῃς;». Οὐδὲ γὰρ διὰ τὴν ἐπίσκεψιν τὴν ἡμετέραν παραγέγονας.

᾽Αλλ᾽ ὅρα τούτου τὴν σύνεσιν καὶ τὴν πολλὴν ἐπιείκειαν. Οὐδὲν προπετὲς πρὸς αὐτοὺς φθέγγεται, οὐδὲν τραχύ, ἀλλὰ καταστέλλων αὐτῶν τὴν φλόγα καὶ τὸν φθόνον καταπραΰνων, φησίν· «Οὐχὶ ρῆμά ἐστι;». Μὴ γὰρ ὅπλα με εἴδετε μεταχειριζόμενον, μὴ γὰρ παραταττόμενον ἐθεάσασθε; Ἁπλῶς ἰδιεῖν ἐβουλήθην καὶ πυθέσθαι πόθεν τούτῳ τῆς τοσαύτης μανίας ἡ ὑπερβολή. «Τίς γάρ ἐστιν ὁ ἀλλόφυλος, ὁ ὀνειδίζων παράταξιν Θεοῦ ζῶντος;». Εἶτα ἀκούων κἀκείνου τὴν πολλὴν μεγαλορρημοσύνην καὶ τῶν μετὰ τοῦ Σαοὺλ ἀφιγμένων τὴν ἄφατον δειλίαν, φησί· τί ἔσται τῷ ἀνθρώπῳ τῷ τούτου τὴν κεφαλὴν ἐκτέμνοντι; Καὶ πολλὴν τῆς ψυχῆς τὴν ἀνδρείαν ἐδείκνυ διὰ τῶν ρημάτων πάντας εἰς ἔκπληξιν ἀγαγών. Ταῦτα γνοὺς ὁ Σαοὺλ μεταπέμπεται τὸν νέον τὸν τῆς ποιμαντικῆς πλέον εἰδότα οὐδὲν καὶ ἰδὼν αὐτοῦ τὴν ἡλικίαν ἐξευτέλισεν. Εἶτα μαθὼν παρ᾽ αὐτοῦ, ὅπως τοῖς ἄρκτοις ἐκέχρητο, ἡνίκα ἐπῄεσαν τοῖς ποιμνίοις· ἠναγκάσθη γὰρ ταῦτα διηγήσασθαι ὁ θαυμάσιος οὗτος, οὐ κενοδοξῆσαι βουλόμενος, ἀλλ᾽ εἰς ἀνάγκην καταστάς, ὥστε ἐκείνῳ θάρσος ἐνθεῖναι καὶ μὴ πρὸς τὴν εὐτέλειαν τοῦ φαινομένου ἰδεῖν, ἀλλὰ πρὸς τὴν πίστιν τὴν ἔνδοθεν κρυπτομένην καὶ τὴν συμμαχίαν τὴν ἄνωθεν, δι᾽ ἣν ὁ νέος τῶν ἀνδρῶν ἦν ἰσχυρότερος καὶ ὁ ἄοπλος τῶν ὡπλισμένων καὶ ὁ ποιμὴν τῶν στρατιωτῶν· εἶτα ἰδὼν αὐτοῦ τὸ παράστημα τῆς γνώμης ὁ βασιλεύς, τὰ οἰκεῖα ὅπλα ἐνδύειν αὐτὸν ἐβούλετο· ὁ δὲ ταῦτα περιθέμενος οὐδὲ ἐνεγκεῖν αὐτὰ ἴσχυσε. Τοῦτο δὲ ἐγίνετο, ἵνα γυμνὴ δειχθῇ ἡ τοῦ Θεοῦ δύναμις, ἡ δι᾽ αὐτοῦ ἐνεργοῦσα καὶ μὴ τοῖς ὅπλοις λογίσωνται τὰ γινόμενα. ᾽Επειδὴ γὰρ μετὰ τὸ ἐνδύσασθαι ταῦτα

«Δὲν ἦλθες διὰ τίποτε ἄλλο παρὰ διὰ νὰ ἰδῇς τὸν πόλεμον;». Καθ' ὅσον οὔτε διὰ νὰ μᾶς ἐπισκεφθῇς ἦλθες.

Πρόσεχε ὅμως τὴν σωφροσύνην καὶ τὴν μεγάλην ἐπιείκειαν τοῦ Δαυίδ. Δὲν λέγει τίποτε τὸ προσβλητικὸν πρὸς αὐτούς, τίποτε τὸ σκληρόν, ἀλλὰ καταπραΰνων τὴν ὀργήν των καὶ τὸν φθόνον των, λέγει· «Ἕναν ἁπλὸν λόγον δὲν εἶπα;». Μήπως δηλαδὴ μὲ εἴδατε νὰ χρησιμοποιῶ ὅπλα ἢ νὰ παρατάσσωμαι εἰς μάχην; Ἠθέλησα ἁπλῶς νὰ ἰδῶ καὶ νὰ μάθω ἀπὸ ποῦ αὐτὸς ἔχει τόσον ὑπερβολικὴν μανίαν. «Διότι ποῖος εἶναι ὁ ἀλλόφυλος αὐτός, ὁ ὁποῖος ὀνειδίζει τὴν παράταξιν τοῦ Θεοῦ τοῦ ζῶντος;». Ἔπειτα ἀκούων καὶ τὴν πολλὴν καυχησιολογίαν ἐκείνου καὶ τὴν ἀπερίγραπτον δειλίαν τῶν ἀνδρῶν τοῦ Σαούλ, λέγει· Τί θὰ γίνῃ ὁ ἄνθρωπος αὐτός, ὁ ὁποῖος θὰ κόψῃ τὴν κεφαλὴν αὐτοῦ; Μὲ τοὺς λόγους αὐτοὺς ἔκαμε τοὺς πάντας νὰ ἐκπλήσσονται καὶ ἐφανέρωνε τὴν μεγάλην ἀνδρείαν τῆς ψυχῆς του. Ὅταν ἔμαθεν αὐτὰ ὁ Σαοὺλ ἔστειλε καὶ ἐκάλεσε τὸν νέον, ὁ ὁποῖος δὲν ἐγνώριζε τίποτε περισσότερον ἀπὸ τὸ νὰ βόσκῃ τὰ κοπάδια καὶ ὅταν εἶδε τὸ νεαρὸν τῆς ἡλικίας του τὸν ἐθεώρησε ἀσήμαντον. Ἀργότερον ὅταν ἔμαθεν ἀπὸ τὸν ἴδιον, μὲ ποῖον τρόπον ἐφόνευσε τὰς ἄρκτους, ὅταν ἐπετέθηκαν ἐναντίον τῶν ποιμνίων του, καθ' ὅσον ὑπεχρεώθη νὰ διηγηθῇ αὐτὰ ὁ θαυμάσιος αὐτός, χωρὶς νὰ θέλῃ νὰ κενοδοξήσῃ, ἀλλ' ἐπειδὴ εὑρέθη εἰς τὴν ἀνάγκην, διὰ νὰ ἐνθαρρύνῃ ἐκεῖνον καὶ νὰ μὴ βλέπῃ μόνον τὴν ταπεινήν του ἐμφάνισιν, ἀλλὰ νὰ διακρίνῃ τὴν πίστιν, ἡ ὁποία κρύπτεται μέσα του καὶ τὴν βοήθειαν, τὴν ὁποίαν εἶχεν ἄνωθεν καὶ ἐξ αἰτίας τῆς ὁποίας ὁ νεώτερος ἦτο ὁ πιὸ δυνατὸς ἀπ' ὅλους τοὺς ἄνδρας, ὁ ἄοπλος ἀπ' τοὺς ὡπλισμένους, καὶ ὁ βοσκὸς ἀπ' τοὺς στρατιώτας. Ἔπειτα ὅταν ὁ βασιλεὺς εἶδε τὴν γενναιότητα τῆς ψυχῆς, ἤθελε νὰ τὸν ἁρματώσῃ μὲ τὰ ἰδικά του ὅπλα, ἀλλὰ αὐτὸς ὅταν τὰ ἐφόρεσε δὲν ἠμπόρεσε νὰ τὰ σηκώσῃ. Αὐτὸ ἔγινε, διὰ νὰ μείνῃ μόνη ἡ δύναμις τοῦ Θεοῦ, ἡ ὁποία ἐνήργει μέσῳ αὐτοῦ καὶ νὰ μὴ καταλογισθοῦν εἰς τὰ ὅπλα, ὅσα θὰ συμβοῦν. Ἐπειδὴ δηλαδὴ δὲν

ἐχώλευεν, ἐπέθετο τὰ ὅπλα καὶ τὴν κάδον τὴν ποιμαντικὴν λαβὼν καὶ τὰς βώλους, οὕτως ἐπὶ τὸν σαρκικὸν ἐκεῖνον πύργον ἐξήει.

Ἀλλ' ὅρα πάλιν καὶ τὸν ἀλλόφυλον πρὸς τὸ εὐτελὲς τῆς ἡλικίας ὁρῶντα καὶ ἐντεῦθεν ἐξευτελίζοντα τὸν δίκαιον καὶ καθάπερ παιδίου εὐτελοῦς κατεξανιστάμενον διὰ τῶν ῥημάτων. Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν μετὰ τῆς κάδου τῆς ποιμαντικῆς ἐπ' αὐτὸν ὁρμήσαντα καὶ τὰς βώλους μόνας ἐπιφερόμενον, μονονουχὶ πρὸς αὐτὸν ἔλεγεν· ἐνόμισας σὺ πάλιν προβάτοις ἐφεστάναι καὶ κύνας τινὰς ἐκδιώκειν καὶ διὰ τοῦτο καθάπερ κύνα τινὰ ἐλαύνων, οὕτω μετὰ τῶν ὀργάνων ἐκείνων ἐπὶ τὴν πρὸς ἐμὲ μάχην ὥρμησας; ἄρτι σε ἡ πεῖρα διδάξει, ὡς οὐ πρὸς τὸν τυχόντα σοι ὁ πόλεμος. Καὶ πολλῇ τῇ μεγαλορρημοσύνῃ χρησάμενος ἔσπευδε καὶ ἠπείγετο καὶ τὴν παντευχίαν ἐκίνει καὶ τὰ ὅπλα ἐξέτεινεν. Ἀλλ' ὁ μὲν τῇ δυνάμει τῶν ὅπλων πεποιθὼς ἥπτετο τῆς μάχης· ὁ δέ, τῇ πίστει καὶ τῇ ἄνωθεν συμμαχίᾳ συμφράξας ἑαυτόν. Καὶ πρότερον διὰ τῶν ῥημάτων τοῦ ἀλλοφύλου τὸ φρύαγμα κατενεγκὼν καὶ εἰπὼν πρὸς αὐτόν· σὺ μὲν ἔρχῃ πρός με ἐν ὅπλῳ καὶ δόρατι καὶ τῇ οἰκείᾳ ἰσχύϊ νομίζεις περιγενέσθαι· ἐγὼ δὲ ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ. Καὶ ταῦτα εἰπὼν καὶ ἀνελόμενος ἐκ τῆς κάδου τῆς ποιμενικῆς μίαν βῶλον, καθάπερ ὄντως κύνα τινὰ μέλλων ἀπελαύνειν ἐπιόντα τῇ ποίμνῃ, οὕτω τῇ σφενδόνῃ ἐξακοντίσας, παραχρῆμα κατὰ τοῦ μετώπου πλήξας τὸν ἀλλόφυλον κατήνεγκε καὶ σπεύσας καὶ ἀφελὼν αὐτοῦ τὸ ξίφος, δι' ἐκείνου τὴν κεφαλὴν ἀποτεμών, οὕτως ἤνεγκε τῷ βασιλεῖ καὶ τέλος τῷ πολέμῳ δέδωκε. Καὶ δι' ἐκείνου καὶ ὁ βασιλεὺς τὴν σωτηρίαν εὕρατο καὶ πᾶς ὁ τούτου στρατὸς ἀνέπνευσε. Καὶ ἦν ἰδεῖν θαυμαστὰ καὶ παράδοξα πράγματα, τὸν ὡπλισμένον ὑπὸ τοῦ ἀόπλου κατηνεγμένον καὶ τὸν τὰ πολεμικὰ

ἠμποροῦσε νὰ βαδίσῃ, ὅταν ἐφόρεσεν αὐτά, τὰ ἄφησε καὶ ἐπῆρε τὸν ποιμενικὸν σάκκον καὶ τοὺς βώλους καὶ ἤρχετο ἔτσι ἐναντίον ἐκείνου τοῦ σάρκινου πύργου.

Ἀλλὰ πρόσεχε πάλιν, ὅτι καὶ ὁ ἀλλόφυλος βλέπων τὸ νεαρὸν τῆς ἡλικίας περιφρονεῖ ἐξ αἰτίας αὐτῆς τὸν δίκαιον καὶ τὸν ὁμιλεῖ ὡσὰν νὰ ἀπευθύνεται εἰς ἀσήμαντον παιδίον. Ὅταν λοιπὸν εἶδεν αὐτὸν νὰ ἔρχεται ἐναντίον του κρατῶν τὸν ποιμενικόν του σάκκον καὶ νὰ ἔχῃ μόνον τοὺς βώλους, ἔλεγε περίπου εἰς αὐτόν. Ἐνόμισες, ὅτι φυλάσσεις πάλιν πρόβατα καὶ ὅτι ἐκδιώκεις κάποιους σκύλους καὶ διὰ τοῦτο ὡσὰν νὰ κυνηγᾷς κάποιον σκύλον ἔτσι μὲ τὰ ὅπλα αὐτὰ ἦλθες ἐναντίον μου, διὰ νὰ μὲ ἀντιμετωπίσῃς; Γρήγορα ἡ πεῖρα θὰ σὲ διδάξῃ, ὅτι ἡ μάχη σου δὲν θὰ εἶναι μὲ τυχαῖον ἄνθρωπον. Καὶ ἀφοῦ εἶπε πολλοὺς λόγους ὑπερηφανευόμενος ἔσπευδε καὶ ἐβιάζετο καὶ ἐκίνει τὴν πανοπλίαν του καὶ ἐτέντωνε τὰ ὅπλα του. Ἀλλ' αὐτὸς μὲν ἤρχιζε τὴν μάχην βασιζόμενος εἰς τὴν δύναμιν τῶν ὅπλων του, ἐνῷ ὁ Δαυῒδ ἀφοῦ ἐθωράκισε τὸν ἑαυτόν του μὲ τὴν πίστιν καὶ τὴν ἄνωθεν βοήθειαν. Καὶ κατ' ἀρχὰς ἐταπείνωσε μὲ τοὺς λόγους τὴν αὐθάδη ἔπαρσιν τοῦ ἀλλοφύλου καὶ εἶπε πρὸς αὐτόν· Σὺ μὲν ἔρχεσαι ἐναντίον μου μὲ ὅπλα καὶ μὲ δόρυ καὶ νομίζεις, ὅτι θὰ μὲ νικήσῃς μὲ τὴν δύναμίν σου. Ἐγὼ ὅμως ἔρχομαι ἐναντίον σου ἐν ὀνόματι τοῦ Κυρίου τοῦ Θεοῦ. Καὶ ἀφοῦ εἶπεν αὐτὰ καὶ ἔβγαλεν ἕναν βῶλον ἀπὸ τὸν ποιμενικὸν σάκκον, ὡσὰν νὰ ἐπρόκειτο εἰς τὴν πραγματικότητα νὰ ἐκδιώξῃ κάποιον σκύλον, ὁ ὁποῖος ἐπετίθετο κατὰ τῆς ποίμνης, ἔτσι ἔρριψεν αὐτὸν μὲ τὴν σφενδόνην του καὶ ἔπληξε τὸν ἀλλόφυλον εἰς τὸ μέτωπον καὶ τὸν ἔρριψε κάτω. Καὶ ἀφοῦ ἔτρεξε καὶ ἀφήρεσεν ἀπ' αὐτὸν τὸ ξίφος, ἔκοψε μὲ ἐκεῖνο τὴν κεφαλήν του, ἔφερεν αὐτὴν εἰς τὸν βασιλέα καὶ ἔδωσε ἔτσι τέλος εἰς τὸν πόλεμον. Μέσῳ ἐκείνου εὗρε τὴν σωτηρίαν καὶ ὁ βασιλεὺς καὶ ὅλος ὁ στρατός του ἀνέπνευσε. Καὶ ἦτο δυνατὸν νὰ ἴδῃς θαυμαστὰ καὶ παράξενα πράγματα, τὸν ὡπλισμένον νὰ ἔχῃ ριφθῇ κάτω ἀπὸ τὸν ἄοπλον καὶ τὸν ἔμπειρον εἰς τὰ πολεμικὰ νὰ πίπτῃ ἀπ' αὐ-

ἔμπειρον ὑπὸ τοῦ τῆς ποιμενικῆς πλέον εἰδότος μηδὲν πίπτοντα. Τίνος ἕνεκεν καὶ διὰ τί; Ὅτι ὁ μὲν τὴν ἄνωθεν εἶχε συμμαχίαν συνεφαπτομένην αὐτῷ, ὁ δὲ ταύτης ἔρημος ὢν ὑπὸ ταῖς τούτου χερσὶν ἐγίνετο.

Ἀλλ' ὅρα λοιπὸν ἐνταῦθα τὸ πάθος τοῦ φθόνου ὅσην εἰργάσατο τὴν ἀτοπίαν. Ἐπειδὴ γὰρ εἶδεν ὁ βασιλεὺς εὐφημίας πολλῆς ἀπολαύσαντα τὸν δίκαιον τοῦτον καὶ τὰς χορευούσας κραζούσας, «Ἐνίκησε Σαοὺλ ἐν χιλιάσι καὶ Δαυὶδ ἐν μυριάσιν», οὐκ ἐνεγκὼν πρᾴως τὰ παρ' αὐτῶν ῥηθέντα (καίτοι κατὰ τὸν τοῦ δικαίου λόγον αὐτῷ μᾶλλον ἐχαρίσαντο, ἢ τῷ Δαυίδ), ἡττηθεὶς ὑπὸ τοῦ φθόνου τὸν εὐεργέτην τοῖς ἐναντίοις λοιπὸν ἠμείβετο καὶ ὃν ἐχρῆν σωτῆρα καὶ εὐεργέτην ἐπιγράφεσθαι, τοῦτον ἀνελεῖν ἐπεχείρει. Ὢ μανίας ὑπερβολή· ὢ παραπληξίας ἐπίτασις. Τὸν τὴν ζωὴν αὐτῷ χαρισάμενον καὶ πάντα τὸν στρατὸν αὐτοῦ ἐλευθερώσαντα τῆς τοῦ ἀλλοφύλου μανίας, τοῦτον ὡς πολέμιον λοιπὸν ὑφωρᾶτο καὶ οὐδὲ ἔναυλος οὖσα ἡ εὐεργεσία περιεγίνετο τοῦ πάθους, ἀλλὰ καθάπερ ὑπὸ μέθης τινός, ὑπὸ τοῦ φθόνου σκοτωθεὶς τὸν τῆς διανοίας λογισμόν, τὸν εὐεργέτην ὡς πολέμιον ἑώρα.

4. Τοιοῦτον γὰρ ἡ κακία τοῦ πάθους τούτου· αὐτῷ πρότερον λυμαίνεται τῷ τοῦτο τίκτοντι. Καὶ καθάπερ σκώληξ ὑπὸ τοῦ ξύλου τικτόμενος αὐτὸ πρότερον τὸ ξύλον καταναλίσκει, οὕτω καὶ ὁ φθόνος ἐκείνην πρότερον διαφθείρει τὴν τεκοῦσαν αὐτὸν ψυχὴν καὶ τὸ ἐναντίον ἢ βούλεται τὸν φθονούμενον διατίθησι. Μὴ γάρ μοι τὰ προοίμια σκόπει ἐπὶ τῶν φθονουμένων, ἀλλὰ πρὸς τὸ τέλος ἀφόρα, καὶ ἐννόει ὅτι αὐτὴ ἡ κακία τῶν φθονούντων εἰς μείζονα περιφάνειαν ἄγει τοὺς φθονουμένους. Οἱ μὲν γὰρ καὶ τὸν Θεὸν ἐφέλκονται εἰς συμμαχίαν καὶ τῆς ἄνωθεν ἀπολαύουσι ῥοπῆς· ὁ δὲ ταύτης ἔρημος, πᾶσιν εὐεπιχείρητος γί-

---

1. Α΄ Βασ. 18, 7.

τόν, ὁ ὁποῖος δὲν ἐγνώριζε τίποτε περισσότερον ἀπὸ τὸ νὰ ποιμαίνῃ τὰ πρόβατα. Διὰ ποῖον λόγον καὶ διατί; Διότι ὁ μὲν Δαυὶδ εἶχε μαζί του τὴν ἄνωθεν βοήθειαν, ὁ δὲ Γολιὰθ ἐστερεῖτο αὐτὴν καὶ ὑπετάγη ἔτσι εἰς τὰς χεῖρας αὐτοῦ.

Ἀλλὰ βλέπε ἐδῶ πόσην παρανομίαν προεκάλεσε τὸ πάθος τοῦ φθόνου. Ὅταν λοιπὸν εἶδεν ὁ βασιλεύς, ὅτι ὁ δίκαιος αὐτὸς ἀπήλαυσε μεγάλας τιμὰς καὶ ὅτι αἱ χορεύτριαι ἐφώναζον «Ἐνίκησεν ὁ Σαοὺλ χιλιάδας καὶ ὁ Δαυὶδ μυριάδας»[1], δὲν ὑπέφερε μὲ πραότητα τοὺς λόγους των, (ἂν καὶ σύμφωνα μὲ τὸν λόγον τοῦ δικαίου ἐπευφήμησαν περισσότερον αὐτόν, παρὰ τὸν Δαυίδ), νικηθεὶς ἀπὸ τὸν φθόνον ἔδωσεν ὡς ἀμοιβὴν εἰς τὸν εὐεργέτην τὰ ἀντίθετα καὶ αὐτόν, τὸν ὁποῖον ἔπρεπε νὰ ἀποκαλῇ σωτῆρα καὶ εὐεργέτην, αὐτὸν ἐπεχείρει νὰ τὸν φονεύσῃ. Ὢ ὑπερβολικὴ μανία. Ὢ μέγεθος παραλογισμοῦ. Αὐτὸν ποὺ τοῦ ἐχάρισε τὴν ζωὴν καὶ ἔσωσεν ὁλόκληρον τὸν στρατόν του ἀπὸ τὴν μανίαν τοῦ ἀλλοφύλου, αὐτὸν τὸν ἔβλεπεν ὡσὰν ἐχθρὸν καὶ ἐνῷ ἡ εὐεργεσία ἦτο ἀκόμη νωπὴ δὲν κατεσίγασε τὸ πάθος, ἀλλ' ὡσὰν νὰ ἦτο μεθυσμένος ὁ φθόνος ἐσκότωσε τὴν λειτουργίαν τῆς λογικῆς καὶ τὸν εὐεργέτην τὸν ἔβλεπε σὰν ἐχθρόν.

4. Πράγματι τόσον μεγάλη εἶναι ἡ κακία αὐτοῦ τοῦ πάθους. Καταστρέφει δηλαδὴ πρῶτον αὐτόν, ὁ ὁποῖος γεννᾷ αὐτό. Καὶ ὅπως ἀκριβῶς ὁ σκώληξ, ὁ ὁποῖος δημιουργεῖται ἀπὸ τὸ ξύλον, κατατρώγει πρῶτον αὐτό, ἔτσι καὶ ὁ φθόνος καταστρέφει πρώτην τὴν ψυχὴν ἐκείνην, ἡ ὁποία τὸν ἐγέννησε καὶ κάμει τὸν φθονούμενον τὸ ἀντίθετον ἀπ' ὅ,τι ἐπιδιώκει ὁ φθονῶν. Νὰ μὴ ἐξετάζῃς παρακαλῶ αὐτά, τὰ ὁποῖα ὑποφέρουν εἰς τὴν ἀρχὴν οἱ φθονούμενοι, ἀλλὰ νὰ βλέπῃς πρὸς τὸ τέλος καὶ νὰ σκέπτεσαι, ὅτι ἡ ἰδία ἡ κακία τῶν φθονούντων ὁδηγεῖ τοὺς φθονουμένους εἰς μεγαλυτέραν δόξαν. Καθ' ὅσον οἱ μὲν φθονούμενοι προσελκύουν εἰς συμμαχίαν καὶ τὸν Θεὸν καὶ ἀπολαμβάνουν τὴν ἄνωθεν βοήθειαν. Αὐτὸς ὅμως, ὁ ὁποῖος στερεῖται αὐτήν, γίνεται εὔκολα ὑποχείριος εἰς ὅλους καὶ πρὶν

νεται καὶ πρὸ τῶν ἔξωθεν πολεμίων ὑπ' αὐτοῦ τοῦ πάθους πολιορκούμενος μονονουχὶ καταναλίσκεται καὶ ὥσπερ ἀδήλοις γνάθοις κατεσθιόμενος, οὕτω δαπανώμενος ὑποβρύχιος, ὡς εἰπεῖν, γίνεται. Ὅπερ εἰδότες φεύγωμεν, παρακαλῶ, τὴν λύμην τοῦ πάθους καὶ πάσῃ δυνάμει ἐξορίζωμεν τοῦτο τῆς ἑαυτῶν ψυχῆς. Πάντων γὰρ τῶν παθῶν τοῦτο ὀλεθριώτερον καὶ αὐτῇ ἡμῶν τῇ σωτηρίᾳ λυμαινόμενον· τοῦ γὰρ πονηροῦ διαβόλου ἐστὶν εὕρημα. Δι' ὃ καί τις σοφὸς ἔλεγε· «Φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον». Τί ἐστι, «Φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον»; Ἐπειδὴ γὰρ εἶδε τὸ πονηρὸν τοῦτο θηρίον ἀθάνατον γενόμενον τὸν πρωτόπλαστον, διὰ τῆς οἰκείας πονηρίας εἰς τὴν τῆς ἐντολῆς παρακοὴν αὐτὸν ἤγαγε καὶ δι' ἐκείνης τοῦ θανάτου τὴν τιμωρίαν παρεσκεύασεν αὐτὸν ἐπισπάσασθαι. Ὁ φθόνος τοίνυν τὴν ἀπάτην εἰργάσατο, ἡ ἀπάτη τὴν παρακοήν, ἡ παρακοὴ τὸν θάνατον. Διὰ τοῦτό φησι· «Φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον».

Εἶδες πόση τοῦ πάθους ἡ λύμη; Τὸν ἀθανασίᾳ τιμηθέντα θανάτῳ ὑποκεῖσθαι πεποίηκεν. Ἀλλ' ὁ μὲν ἐχθρὸς τῆς ἡμετέρας σωτηρίας, τὸν οἰκεῖον φθόνον κινήσας, ὄντα ἀθάνατον τὸν πρωτόπλαστον θανάτῳ καταδικασθῆναι πεποίηκεν· ὁ δὲ κηδεμὼν καὶ φιλάνθρωπος δεσπότης διὰ τοῦ θανάτου τοῦ οἰκείου πάλιν τὴν ἀθανασίαν ἡμῖν ἐχαρίσατο καὶ μείζονα ὧν ἀπωλέσαμεν εὕραμεν. Παραδείσου ἐκεῖνος ἐξήγαγε καὶ εἰς τὸν οὐρανὸν οὗτος ἀνήγαγε· θανάτῳ καταδικασθῆναι ἐκεῖνος πεποίηκε καὶ τὴν ἀθανασίαν ἡμῖν οὗτος ἐχαρίσατο· τῆς ἐν παραδείσῳ τρυφῆς ἀπεστέρησεν ἐκεῖνος καὶ βασιλείαν ἡμῖν οὐρανῶν εὐτρέπισεν οὗτος. Εἶδες τοῦ Δεσπότου σου τὸ εὐμήχανον καὶ ὅπως τὰ παρὰ τῆς βασκανίας ὅπλα τοῦ διαβόλου κατὰ τῆς ἡμετέρας σωτηρίας γεγενημένα, ἐκεῖνα αὐτὰ περιέτρε-

2. Σοφ. Σολ. 2, 24.

πολιορκηθῇ ἀπὸ τοὺς ἐξωτερικοὺς ἐχθροὺς φθείρεται σχεδὸν πολιορκούμενος ὑπὸ τοῦ πάθους αὐτοῦ καὶ ὡσὰν νὰ κατατρώγεται ἀπὸ ἀοράτους σιαγόνας, ἔτσι ἀποδυναμώνεται καὶ κατὰ κάποιον τρόπον ἐξαφανίζεται. Γνωρίζοντες αὐτό, ἂς ἀποφεύγωμεν, παρακαλῶ, τὴν φθορὰν τοῦ πάθους αὐτοῦ καὶ ἂς βγάλωμεν αὐτὸ μὲ ὅλας μας τὰς δυνάμεις ἀπὸ τὰς ψυχάς μας. Διότι αὐτὸ εἶναι τὸ καταστρεπτικώτερον ἀπ' ὅλα τὰ πάθη, ἀφοῦ ὑπονομεύει καὶ τὴν σωτηρίαν μας, ἀφοῦ εἶναι ἐφεύρεσις τοῦ πονηροῦ διαβόλου. Διὰ τοῦτο καὶ κάποιος σοφὸς ἔλεγεν· «Ἀπὸ τὸν φθόνον τοῦ διαβόλου εἰσῆλθεν ὁ θάνατος εἰς τὸν κόσμον»[2]. Τί σημαίνει «Ἀπὸ τὸν φθόνον τοῦ διαβόλου εἰσῆλθεν εἰς τὸν κόσμον ὁ θάνατος»; Ἐπειδὴ δηλαδὴ εἶδε τὸ πονηρὸν αὐτὸ θηρίον, ὅτι ὁ πρωτόπλαστος ἔγινεν ἀθάνατος, τὸν ὡδήγησεν εἰς τὴν παρακοὴν τῆς ἐντολῆς μὲ τὴν πονηρίαν του καὶ μὲ αὐτὴν τὸν προετοίμασε νὰ δεχθῇ ὡς τιμωρίαν τὸν θάνατον. Ὁ φθόνος λοιπὸν ἔφερε τὴν ἀπάτην, ἡ ἀπάτη τὴν παρακοὴν καὶ ἡ παρακοὴ τὸν θάνατον. Διὰ τοῦτο λέγει· «Ἀπὸ τὸν φθόνον τοῦ διαβόλου εἰσῆλθεν εἰς τὸν κόσμον ὁ θάνατος».

Εἶδες πόση εἶναι ἡ καταστροφὴ αὐτοῦ τοῦ πάθους; Ἐκεῖνον, ὁ ὁποῖος εἶχε τιμηθῇ μὲ τὴν ἀθανασίαν, τὸν ἔκανε νὰ γίνῃ θνητός. Ἀλλ' ὁ μὲν ἐχθρὸς τῆς σωτηρίας μας, ἀφοῦ ἐνεργοποίησε τὸν φθόνον του, ἔκαμε τὸν πρωτόπλαστον νὰ τιμωρηθῇ μὲ τὸν θάνατον, ἂν καὶ ἦτο ἀθάνατος. Ὁ κηδεμὼν καὶ φιλάνθρωπος Κύριος ὅμως μὲ τὸν θάνατόν του μᾶς ἐχάρισε τὴν ἀθανασίαν καὶ εὕρομεν περισσότερα ἀπ' ὅσα ἐχάσαμεν. Ἐκεῖνος μᾶς ἐξεδίωξεν ἐκ τοῦ Παραδείσου, ἐνῷ ὁ Κύριος μᾶς ἀνέβασεν εἰς τὸν οὐρανόν. Ἐκεῖνος μᾶς ἔκανε νὰ καταδικασθῶμεν, ἐνῷ αὐτὸς μᾶς ἐχάρισε τὴν ἀθανασίαν. Ἐκεῖνος μᾶς ἐστέρησε τὴν ἀπόλαυσιν τοῦ παραδείσου, ἐνῷ αὐτὸς μᾶς ἑτοίμασε τὴν βασιλείαν τῶν οὐρανῶν. Εἶδες τὴν ἐφευρετικότητα τοῦ Κυρίου σου καὶ πῶς τὰ πονηρὰ ὅπλα τοῦ διαβόλου, τὰ ὁποῖα ἐδημιούργησεν ἐναντίον τῆς σωτηρίας μας,

ψεν εἰς τὴν αὐτοῦ κεφαλήν; Οὐ μόνον γὰρ ἡμᾶς μειζόνων ἠξίωσεν, ἀλλὰ καὶ ἐκεῖνον ἡμῖν ὑποχείριον ἔδωκεν, εἰπών· «Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων».

Ταῦτα τοίνυν ἅπαντα λογιζόμενοι καὶ τὸν φθόνον τῆς ἑαυτῶν ψυχῆς ἐξορίζωμεν καὶ τὴν εὔνοιαν τὴν παρὰ τοῦ Θεοῦ ἐπισπασώμεθα. Τοῦτο γὰρ ἡμῶν τὸ ὅπλον τὸ ἀκαταγώνιστον· τοῦτο ἡμῶν ἡ μεγίστη περιουσία. Διὰ τοῦτο καὶ ὁ Ἰσμαήλ, καίτοι νέος καὶ ἐν ἐρημίᾳ ὢν καὶ πολλῇ ἀπορίᾳ, ἀθρόον ηὐξήθη καὶ εἰς ἔθνος μέγα ἐπέδωκεν· ἐπειδὴ «Ὁ Θεὸς ἦν», φησί, «μετὰ τοῦ παιδίου». Ἐντεῦθεν γὰρ ἡμῖν ὁ λόγος ἅπας ἐξεκυλίσθη. Ὑπερίδωμεν οὖν, παρακαλῶ, τῶν παρόντων, ποθήσωμεν τὰ μέλλοντα, τὴν εὔνοιαν τὴν παρὰ τοῦ Θεοῦ πάντων προτιμῶμεν καὶ διὰ τῆς ἀρίστης πολιτείας ἑαυτοῖς πολλὴν προαποθώμεθα τὴν παρρησίαν, ἵνα καὶ τὸν παρόντα βίον ἀλύπως διανύσαι δυνηθῶμεν καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

3. Λουκᾶ 10, 19.

αὐτὰ τὰ ἴδια τὰ ἔστρεψεν ὁ Κύριος ἐναντίον τῆς κεφαλῆς τοῦ διαβόλου; Διότι ὄχι μόνον μᾶς ἔκαμεν ἀξίους μεγαλυτέρων ἀγαθῶν, ἀλλὰ καὶ μᾶς παρέδωσεν ἐκεῖνον αἰχμάλωτον μὲ τὸ νὰ εἰπῇ· «Ἰδοὺ σᾶς δίδω τὴν ἐξουσίαν νὰ πατῆτε ἐπάνω εἰς ὄφεις καὶ σκορπιούς»[8].

Αὐτὰ λοιπὸν ὅλα ἔχοντες ὑπ' ὄψιν ἂς βγάζωμεν τὸν φθόνον ἀπὸ τὴν ψυχήν μας καὶ ἂς προσπαθήσωμεν νὰ κερδήσωμεν τὴν ἀγάπην τοῦ Θεοῦ. Καθ' ὅσον αὐτὸ εἶναι τὸ ἀσυναγώνιστον ὅπλον μας. Αὐτὸ εἶναι ἡ μεγαλύτερη περιουσία μας. Διὰ τοῦτο καὶ ὁ Ἰσμαήλ, ἂν καὶ ἦτο νέος καὶ μέσα εἰς τὴν ἔρημον καὶ ἀντεμετώπιζε μεγάλας δυσκολίας, ὅμως γρήγορα ἐμεγάλωσε καὶ κατέστη γενάρχης μεγάλου ἔθνους, διότι λέγει ἡ Γραφή· «Ὁ Θεὸς ἦτο μαζὶ μὲ τὸ παιδί». Καὶ ἀπὸ τὸ σημεῖον αὐτὸ ὁ λόγος μας ἔφθασεν εἰς τὸν Δαυίδ. Ἂς περιφρονήσωμεν λοιπόν, παρακαλῶ, τὰ παρόντα καὶ ἂς ποθήσωμεν τὰ μέλλοντα, ἂς προτιμῶμεν περισσότερον ἀπ' ὅλα τὴν εὔνοιαν τοῦ Θεοῦ καὶ μὲ τὴν ἐνάρετον ζωήν μας ἂς ἀποκτήσωμεν ἐκ τῶν προτέρων μεγάλην παρρησίαν διὰ τοὺς ἑαυτούς μας, ὥστε νὰ ἠμπορέσωμεν νὰ περάσωμεν καὶ τὸν παρόντα βίον χωρὶς λύπας καὶ νὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ ἐξουσία καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΖ΄
(Γεν. 22, 1 - 18)

«Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ».

1. Πολὺ τῶν σήμερον ἡμῖν ἀναγνωσθέντων τὸ κέρδος καὶ ἄφατος ὁ θησαυρὸς ὁ τοῖς βραχέσι τούτοις ῥήμασιν ἐγκεκρυμμένος. Τοιαῦτα γὰρ τὰ θεῖα λόγια· οὐκ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ' ἐν τῇ συντομίᾳ τῶν λόγων πολὺν ἐναποκείμενον ἔχει τὸν πλοῦτον. Φέρε οὖν, ἀναπτύξωμεν τὰ εἰρημένα καὶ καταμάθωμεν ἀκριβῶς τῶν σήμερον ἀναγνωσθέντων τὴν δύναμιν. Οὕτω γὰρ πάλιν εἰσόμεθα καὶ τοῦ πατριάρχου τὴν πολλὴν ἀρετὴν καὶ τοῦ Θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν. «Καὶ ἐγένετο», φησί, «μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ». Τί βούλεται ταυτὶ τὰ ῥήματα, «Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ»; Σκόπει μοι τὴν θείαν Γραφήν, πῶς ἐντεῦθεν ἤδη βούλεται ἐκκαλύψαι ἡμῖν τοῦ δικαίου τὴν ἀρετήν. Καὶ ἐπειδὴ μέλλει διηγεῖσθαι τὴν πεῖραν τὴν παρὰ τοῦ Θεοῦ ἐπαγομένην τῷ Ἀβραάμ, πρότερον ἡμᾶς βούλεται τὸν καιρὸν διδάξαι, καθ' ὃν ταῦτα ὁ πατριάρχης ἐπετάττετο καὶ πότε τὸν Ἰσαὰκ ἀνενεγκεῖν ἐκελεύετο, ἵνα μάθῃς τὴν πολλὴν τοῦ πατριάρχου ὑπακοὴν καὶ ὅπως τῶν τῷ Θεῷ δοκούντων οὐδὲν προτιμᾶν ἠνέσχετο.

Τί οὖν ἐστιν, «Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα»; Ἐπειδὴ γὰρ μετὰ τὸν τοῦ Ἰσαὰκ τόκον, ἡνίκα ἐθεάσατο ἡ Σάρρα τὸν Ἰσμαὴλ συναναστρεφόμενον τῷ Ἰσαάκ, καθάπερ χθὲς πρὸς ὑμᾶς διελέχθημεν, δυσχεράνασα πρὸς τοῦτο ἡ Σάρρα ἔλεγε πρὸς τὸν Ἀβραάμ· «Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ

Ο Μ Ι Λ Ι Α ΜΖ΄
(Γεν. 22, 1 - 18)

«Καὶ μετὰ ἀπὸ τὰ γεγονότα αὐτὰ ὁ Θεὸς ἐδοκίμαζε τὸν Ἀβραάμ».

1. Μεγάλο εἶναι τὸ κέρδος ἀπ' ὅσα ἀνεγνώσαμεν σήμερον καὶ ἀπερίγραπτος ὁ θησαυρός, ὁ ὁποῖος εἶναι κρυμμένος μέσα εἰς αὐτοὺς τοὺς συντόμους λόγους. Διότι τέτοιοι εἶναι οἱ θεῖοι λόγοι. Ὁ πλοῦτος δὲν εὑρίσκεται εἰς τοὺς πολλοὺς λόγους ἀλλ' εἰς τὴν συντομίαν αὐτῶν. Ἐμπρὸς λοιπόν, ἂς ἀναπτύξωμεν, ὅσα ἔχουν λεχθῆ καὶ ἂς μάθωμεν ἀκριβῶς τὴν δύναμιν αὐτῶν, τὰ ὁποῖα ἀνεγνώσθησαν σήμερον. Καθ' ὅσον ἔτσι θὰ γνωρίσωμεν πάλιν καὶ τὴν μεγάλην ἀρετὴν τοῦ πατριάρχου καὶ τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ Θεοῦ· «Καὶ μετὰ ἀπὸ τὰ γεγονότα αὐτά», λέγει, «ὁ Θεὸς ἐδοκίμαζε τὸν Ἀβραάμ». Τί θέλει νὰ εἰπῇ μὲ τοὺς λόγους, «Καὶ μετὰ ἀπὸ τὰ γεγονότα αὐτὰ ὁ Θεὸς ἐδοκίμαζε τὸν Ἀβραάμ»; Πρόσεχε, παρακαλῶ, τὴν ἁγίαν Γραφήν, πῶς θέλει ἤδη ἀπ' ἐδῶ νὰ μᾶς ἀποκαλύψῃ τὴν ἀρετὴν τοῦ δικαίου. Καὶ ἐπειδὴ πρόκειται νὰ διηγηθῇ τὴν δοκιμασίαν, τὴν ὁποίαν ἔστειλεν ὁ Θεὸς εἰς τὸν Ἀβραάμ, προηγουμένως θέλει νὰ μᾶς γνωρίσῃ τὸν χρόνον, κατὰ τὸν ὁποῖον ὁ πατριάρχης ἔλαβε τὴν ἐντολὴν καὶ πότε τοῦ παρήγγειλε νὰ προσφέρῃ τὸν Ἰσαάκ, διὰ νὰ ἀντιληφθῇς τὴν μεγάλην ὑπακοὴν τοῦ πατριάρχου καὶ ὅτι δὲν ἠνέχθη νὰ προτιμήσῃ τίποτε ἐκτὸς ἀπὸ ἐκεῖνα, τὰ ὁποῖα ἐφαίνοντο καλὰ εἰς τὸν Θεόν.

Τί σημαίνει λοιπόν, «Μετὰ ἀπὸ τὰ γεγονότα αὐτά»; Ἐπειδὴ δηλαδὴ μετὰ τὴν γέννησιν τοῦ Ἰσαὰκ ἡ Σάρρα, ὅπως σᾶς εἴπομεν χθές, ἐλυπήθη, ὅταν εἶδε τὸν Ἰσμαὴλ νὰ συναναστρέφεται τὸν Ἰσαάκ, εἶπεν εἰς τὸν Ἀβραάμ· «Νὰ ἐκδιώξῃς αὐτὴν τὴν δούλην καὶ τὸν υἱόν της, διότι δὲν θὰ κληρονομήσῃ ὁ υἱὸς τῆς δούλης μαζὶ μὲ τὸν υἱόν

τοῦ υἱοῦ μου»· ἐφάνη δὲ τοῦτο σκληρὸν τῷ πατριάρχῃ, βουλόμενος ὁ Θεὸς παραμυθήσασθαι τὸν δίκαιον. φησίν· ὑπάκουσον Σάρρας τῆς γυναικός σου, καὶ ποίει τὸ παρ' αὐτῆς λεχθέν· καὶ μὴ σκληρόν σοι φαινέσθω τὸ περὶ τοῦ παιδίου καὶ τῆς παιδίσκης. «'Εν γὰρ τῷ 'Ισαὰκ κληθήσεταί σοι σπέρμα, καὶ τοῦτον δὲ ποιήσω εἰς ἔθνος μέγα, ἐπειδὴ σπέρμα σόν ἐστι». Καὶ πᾶσα ἡ ὑπόσχεσις αὐτῷ καὶ ἡ παρὰ τοῦ Θεοῦ ἐπαγγελία αὕτη ἦν, ὥστε εἰς πολὺ πλῆθος ἐκτείνεσθαι τοὺς ἐκ τοῦ 'Ισαὰκ τεχθέντας. 'Επειδὴ ταύταις ταῖς ἐλπίσι τρεφόμενος ὁ δίκαιος διετέλει καὶ ὡς τῶν τοσούτων καὶ ἐπαλλήλων θλίψεων καὶ πειρασμῶν τὰς ἀμοιβὰς κομισάμενος καὶ ἐν ἀσφαλείᾳ λοιπὸν γεγονώς, καὶ ὁρῶν ἐν ὀφθαλμοῖς τὸν μέλλοντα διαδέχεσθαι αὐτοῦ τὸν κλῆρον, οὕτω μετὰ ἀδείας καθειστήκει μεγίστην ἐντεῦθεν παραμυθίαν καρπούμενος.

'Αλλ' ὁ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος, βουλόμενος ἡμῖν ἐκκαλύψαι τοῦ δικαίου τὴν ἀρετὴν καὶ τὸν πολὺν πόθον, ὃν περὶ αὐτὸν ἐπεδείκνυτο, μετὰ τὰς τοσαύτας ὑποσχέσεις καὶ ταύτην τὴν πρόσφατον γεγενημένην καὶ ἧς τὴν μνήμην ἔναυλον εἶχεν, ὅτε λοιπὸν ἐν ἡλικίᾳ γέγονεν ὁ 'Ισαὰκ καὶ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας ἐτύγχανε καὶ τὸν πόθον τοῦ πατρὸς τὸν περὶ αὐτὸν ἦν ἰδεῖν αὐξανόμενον, τότε μετὰ τὰ ρήματα ταῦτα τῆς ἐπαγγελίας καὶ μετὰ τὸ εἰπεῖν, ὅτι «'Εν αὐτῷ κληθήσεταί μοι σπέρμα» καὶ αὐτὸς ἔσται σου διάδοχος. «Μετὰ τὰ ρήματα ταῦτα ὁ Θεὸς ἐπείραζε τὸν 'Αβραάμ». Τί ἐστιν, «'Επείραζεν»; Οὐχ ὡς αὐτὸς ἀγνοῶν, ἀλλὰ προσῆγεν αὐτῷ τὴν πεῖραν, ἵνα καὶ οἱ τότε παρόντες καὶ οἱ ἐξ ἐκείνου μέχρι τοῦ παρόντος παιδεύωνται τὸν αὐτὸν πόθον τῷ πατριάρχῃ καὶ τὴν ὑπακοὴν ἐπιδείκνυσθαι περὶ τὰ τοῦ Δεσπότου προστάγματα.

«Καὶ εἶπε», φησί, «πρὸς αὐτόν· 'Αβραάμ, 'Αβραάμ. 'Ο δὲ εἶπεν· ἰδοὺ ἐγώ». Τί βούλεται ὁ τοῦ ὀνό-

---

1. Γέν. 21, 10. 2. Γέν. 21, 12.

μου»[1]. Ὁ λόγος αὐτὸς ἐφάνη σκληρὸς εἰς τὸν πατριάρχην, ἀλλ' ὁ Θεὸς ἐπιθυμῶν νὰ παρηγορήσῃ τὸν δίκαιον λέγει· Ὑπάκουσε εἰς τὴν Σάρραν τὴν γυναῖκα σου καὶ νὰ κάνῃς ἐκεῖνο, τὸ ὁποῖον αὐτὴ σοῦ εἶπε. Καὶ νὰ μὴ σοῦ φαίνεται σκληρὸν ἐκεῖνο ποὺ εἶπε διὰ τὸ παιδὶ καὶ τὴν δούλην. «Καθ' ὅσον οἱ ἀπόγονοι τοῦ Ἰσαὰκ θὰ θεωρηθοῦν ἀπόγονοί σου, ἀλλὰ καὶ αὐτὸν τὸν υἱὸν τῆς δούλης θὰ τὸν ἀναδείξω γενάρχην μεγάλου ἔθνους, διότι εἶναι σπέρμα σου»[2]. Καὶ κάθε ὑπόσχεσις εἰς αὐτὸν καὶ ἡ ἐκ μέρους τοῦ Θεοῦ ἐπαγγελία αὐτὴ ἦτο, ὥστε νὰ αὐξηθοῦν δηλαδὴ πολὺ οἱ ἀπόγονοι τοῦ Ἰσαάκ. Ἐπειδὴ ὁ δίκαιος ἐτρέφετο μὲ αὐτὰς τὰς ἐλπίδας καὶ ἀφοῦ ἔλαβε τὴν ἀμοιβὴν τόσων καὶ ἀλλεπαλλήλων θλίψεων καὶ πειρασμῶν καὶ ἔζη εἰς τὸ ἑξῆς μὲ ἀσφάλειαν καὶ ἀφοῦ ἔβλεπε μὲ τοὺς ὀφθαλμούς του ἐκεῖνον, ὁ ὁποῖος ἐπρόκειτο νὰ τὸν κληρονομήσῃ, ἔμενεν ἔτσι χωρὶς κανένα φόβον, ἀφοῦ ἀπελάμβανεν ἀπὸ τὸ γεγονὸς αὐτὸ μεγάλην παρηγορίαν.

Ἀλλ' ὁ Θεός, ὁ ὁποῖος γνωρίζει καλῶς τὰ ἀπόρρητα τῆς σκέψεώς μας, ἐπειδὴ ἤθελε νὰ ἀποκαλύψῃ εἰς ἡμᾶς τὴν ἀρετὴν τοῦ δικαίου καὶ τὴν μεγάλην του ἀγάπην, τὴν ὁποίαν ἐδείκνυε πρὸς αὐτὸν μετὰ ἀπὸ τόσας ὑποσχέσεις καὶ μάλιστα αὐτήν, ἡ ὁποία εἶχε δοθῇ τελευταία καὶ τὴν ὁποίαν εἶχε νωπὴν εἰς τὴν μνήμην του, ὅταν λοιπὸν ὁ Ἰσαὰκ ἐνηλικιώθη καὶ εὑρίσκετο εἰς τὸ ἄνθος τῆς ἡλικίας του καὶ ἠμποροῦσε νὰ ἰδῇ τὴν πρὸς αὐτὸν ἀγάπην τοῦ πατρός του νὰ αὐξάνεται, τότε μετὰ ἀπὸ τὴν ὑπόσχεσιν αὐτὴν καὶ ἀφοῦ εἶπεν, ὅτι «Οἱ ἀπόγονοι τοῦ Ἰσαὰκ θὰ εἶναι ἀπόγονοί σου» καὶ αὐτὸς θὰ εἶναι διάδοχός σου, «Μετὰ ἀπὸ τοὺς λόγους αὐτοὺς ὁ Θεὸς ἐδοκίμαζε τὸν Ἀβραάμ». Τί σημαίνει, «Ἐδοκίμαζε»; Τοῦ ἔστειλε τὴν δοκιμασίαν, ὄχι ἐπειδὴ αὐτὸς εἶχε ἄγνοιαν, ἀλλὰ διὰ νὰ μάθουν καὶ οἱ σύγχρονοί του καὶ οἱ μεταγενέστεροι μέχρι σήμερον νὰ ἔχουν τὴν ἰδίαν ἀγάπην καὶ τὴν ἰδίαν ὑπακοὴν μὲ τὸν πατριάρχην εἰς τὰ προστάγματα τοῦ Κυρίου.

«Καὶ εἶπε», λέγει, «πρὸς αὐτὸν ὁ Θεός· Ἀβραάμ, Ἀβραάμ. Καὶ αὐτὸς εἶπεν· Ἰδοὺ ἐγώ». Τί θέλει νὰ δείξῃ

ματος διπλασιασμός; Τῆς πολλῆς εὐνοίας τῆς περὶ τὸν πατριάρχην σημεῖόν ἐστι καὶ ἐδείκνυ αὐτῷ καὶ διὰ τῆς κλήσεως, ὅτι μέλλει τι τῶν ἀναγκαίων αὐτῷ ἐπιτάττειν. Παρασκευάζων τοίνυν αὐτὸν συντεῖναι ἑαυτὸν καὶ μετὰ σπουδῆς προσέχειν τοῖς παρ' αὐτοῦ λεγομένοις, τῷ διπλασιασμῷ τῆς κλήσεως ἐχρήσατο, καί φησιν· «'Αβραάμ, 'Αβραάμ. 'Ο δὲ εἶπεν· 'Ιδοὺ ἐγώ. Καὶ εἶπε· λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν 'Ισαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν καὶ ἀνένεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω». Μέγας ὁ ὄγκος τοῦ ἐπιτάγματος καὶ ὑπερβαῖνον ἀνθρωπίνην φύσιν τὸ πρᾶγμα. «Λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν 'Ισαάκ». Ὅρα πῶς δι' αὐτῶν τῶν ρημάτων μείζονα τὴν πυρὰν ἀνάπτει καὶ τὴν κάμινον τῆς φιλοστοργίας τοῦ δικαίου, ἣν περὶ τὸν 'Ισαὰκ ἐκέκτητο, σφοδρότερον διεγείρει. «Λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν 'Ισαάκ». Ἕκαστον καθ' ἑαυτὸ ἱκανὸν καθικέσθαι τῆς τοῦ δικαίου ψυχῆς. Οὐ γὰρ ἁπλῶς εἶπε, «Τὸν 'Ισαάκ», ἀλλὰ προσέθηκε, «Τὸν υἱόν σου», ὃν παρὰ πᾶσαν προσδοκίαν ἐκτήσω καὶ ἐν αὐτῷ τῷ γήρᾳ σχεῖν ἠδυνήθης, «Τὸν ἀγαπητόν», τὸν περιπόθητόν σου, ὃν μεθ' ὑπερβολῆς ἀγαπᾷς, τὸν 'Ισαάκ, ὃν διάδοχον ἕξειν προσδοκᾷς, ἐξ οὗ καὶ τὸ σπέρμα σου αὔξεσθαι ἐπηγγειλάμην, καὶ τοσοῦτον αὔξεσθαι, ὡς τῷ πλήθει τῶν ἄστρων καὶ τῇ ἄμμῳ τῇ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἐξισωθῆναι. Τοῦτον οὖν αὐτὸν «Λάβε καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν καὶ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκαύτωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω». Θαυμάσαι μοι ἔπεισι, πῶς καὶ τὴν ἀκοὴν ἤνεγκεν ὁ δίκαιος. Τοῦτον γὰρ αὐτόν, φησί, τὸν οὕτω σοι περιπόθητον, ἀνένεγκέ μοι εἰς ὁλοκαύτωσιν ἐφ' ἓν τῶν ὀρέων.

Τί οὖν ὁ δίκαιος; Οὐκ ἐταράχθη τὸν λογισμόν, οὐ

ὁ διπλασιασμὸς τοῦ ὀνόματος; Εἶναι ἀπόδειξις τῆς πολλῆς ἀγάπης πρὸς τὸν πατριάρχην καὶ ἐδείκνυε εἰς αὐτὸν μὲ τὴν πρόσκλησιν, ὅτι πρόκειται νὰ τοῦ διατάξῃ κάτι τὸ πολὺ σπουδαῖον. Διὰ νὰ προετοιμάσῃ λοιπὸν αὐτὸν νὰ συγκεντρωθῇ καὶ νὰ ἀκούσῃ μὲ προσοχήν, εἰς ὅσα θὰ τοῦ ἔλεγεν, ἐχρησιμοποίησε τὴν διπλῆν πρόσκλησιν καὶ λέγει· «Ἀβραάμ, Ἀβραάμ. Καὶ αὐτὸς εἶπεν. Ἰδοὺ ἐγώ. Καὶ ὁ Θεὸς εἶπε· νὰ πάρῃς τὸν υἱόν σου τὸν ἀγαπητόν, τὸν ὁποῖον ἠγάπησες, τὸν Ἰσαάκ, καὶ νὰ ὑπάγῃς εἰς τὸ ὀροπέδιον καὶ νὰ τὸν προσφέρῃς θυσίαν εἰς ἕνα ἀπὸ τὰ ὄρη, τὰ ὁποῖα θὰ σοῦ εἰπῶ». Μεγάλο εἶναι τὸ βάρος τῆς ἐντολῆς καὶ ὑπερβαίνει τὴν ἀνθρωπίνην φύσιν τὸ πρᾶγμα. «Νὰ πάρῃς τὸν υἱόν σου τὸν ἀγαπητόν, τὸν ὁποῖον ἠγάπησες, τὸν Ἰσαάκ». Βλέπε πῶς μὲ αὐτοὺς τοὺς λόγους ἀνάπτει μεγαλυτέραν τὴν πυρὰν καὶ τὴν κάμινον τῆς στοργῆς τοῦ δικαίου, τὴν ὁποίαν εἶχε διὰ τὸν Ἰσαάκ. «Νὰ πάρῃς τὸν υἱόν σου τὸν ἀγαπητόν, τὸν ὁποῖον ἠγάπησες, τὸν Ἰσαάκ». Ὁ κάθε λόγος μόνος του εἶναι ἀρκετὸς νὰ καταβάλῃ τὴν ψυχὴν τοῦ δικαίου. Διότι δὲν εἶπεν ἁπλῶς, «Τὸν Ἰσαάκ», ἀλλὰ προσέθεσε, «Τὸν υἱόν σου», τὸν ὁποῖον ἀπέκτησες χωρὶς νὰ τὸ περιμένῃς καὶ ἠμπόρεσες νὰ τὸν ἔχῃς εἰς αὐτὴν τὴν γεροντικήν σου ἡλικίαν, «Τὸν ἀγαπητόν», τὸν λατρευτόν σου, τὸν ὁποῖον ἀγαπᾷς μὲ ὑπερβολήν, τὸν Ἰσαάκ, τὸν ὁποῖον περιμένεις νὰ ἔχῃς διάδοχον καὶ ἀπὸ τὸν ὁποῖον ὑπεσχέθην, ὅτι θὰ αὐξηθοῦν οἱ ἀπόγονοί σου καὶ θὰ αὐξηθοῦν τόσον, ὥστε νὰ γίνουν ὡσὰν τὸ πλῆθος τῶν ἄστρων καὶ νὰ γίνουν ἴσοι μὲ τὴν ἄμμον τῆς θαλάσσης. Αὐτὸν λοιπὸν τὸν ἴδιον «Νὰ τὸν πάρῃς καὶ νὰ τὸν ὑπάγῃς εἰς τὸν λόφον Μορία καὶ νὰ τὸν προσφέρῃς θυσίαν εἰς ἕνα ἀπὸ τὰ ὄρη, τὰ ὁποῖα θὰ σοῦ εἰπῶ». Μοῦ ἔρχεται εἰς τὸν νοῦν νὰ θαυμάσω, πῶς ὁ δίκαιος ὑπέφερε καὶ τὸ νὰ ἀκούσῃ αὐτό. Αὐτὸν λοιπὸν τὸν ἴδιον, λέγει, αὐτόν, ὁ ὁποῖος σοῦ εἶναι τόσον πολὺ ἀγαπητός, νὰ τὸν προσφέρῃς θυσία ἐπάνω εἰς ἕνα ἀπὸ τὰ ὄρη.

Τί ἔκανε λοιπὸν ὁ δίκαιος; Δὲν ἐταράχθη ἡ ψυχὴ

συνεχύθη τὴν διάνοιαν, οὐκ ἠπόρησε πρὸς τὸ ξένον τοῦ ἐπιτάγματος, οὐκ ἐνενόησεν, οὐκ ἐλογίσατο πρὸς ἑαυτόν· τί τοῦτο; ὁ παρὰ πᾶσαν προσδοκίαν σπέρμα χαρισάμενος, ὁ διὰ τὴν οἰκείαν φιλανθρωπίαν τὴν μήτραν τῆς Σάρρας ζωογονήσας νεκρωθεῖσαν, λοιπὸν μετὰ τὸ γαλακτοτροφηθῆναι καὶ αὐξηθῆναι καὶ λοιπὸν ἐν ἡλικίᾳ γενέσθαι, σφαγῆναι τὸ τεχθέν μοι κελεύει καὶ εἰς ὁλοκαύτωσιν ἀνενεχθῆναι· ὁ πρὸ βραχέως εἰπών, «Ἐν αὐτῷ κληθήσεταί σοι σπέρμα», νῦν τὰ ἐναντία ἐπιτάττει; Καὶ πῶς ἂν εἰς ἔργον ἐξέλθοι ποτὲ τὰ παρ' αὐτοῦ ἐπαγγελθέντα; Πῶς γὰρ οἷόν τε τῆς ῥίζης ἐκτεμνομένης τοὺς κλάδους φυῆναί ποτε, ἢ τοῦ δένδρου ἐκκοπτομένου τὸν καρπὸν ἐνεχθῆναι, ἢ τῆς πηγῆς ξηρανθείσης ποταμοὺς ἀναδοθῆναι; Κατὰ μὲν τὴν ἀνθρωπίνην ἀκολουθίαν ταῦτα γενέσθαι ἀμήχανον· Θεοῦ δὲ βουληθέντος πάντα γενέσθαι δυνατόν.

2. Ἀλλὰ τούτων μὲν οὐδὲν ἐλογίσατο ὁ δίκαιος οὗτος, ἀλλὰ καθάπερ εὐγνώμων οἰκέτης, πάντα λογισμὸν ἀνθρώπινον παρωσάμενος, ἑνὸς μόνου ἐγίνετο, τοῦ τὸ ἐπιταχθὲν εἰς ἔργον ἀγαγεῖν καὶ ὥσπερ ἐκτὸς γεγονὼς τῆς ἀνθρωπείας φύσεως καὶ πᾶσαν συμπάθειαν καὶ πατρικὴν φιλοστοργίαν δευτέραν ἡγησάμενος τῶν τοῦ Θεοῦ προσταγμάτων, ἐπὶ τὴν ἐκπλήρωσιν ἔσπευδε. «Καὶ ἀναστάς», φησίν, «Ἀβραὰμ τῷ πρωΐ, ἐπέσαξε τὴν ὄνον αὐτοῦ. Παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ· καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν ἀναστὰς ἐπορεύθη καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός, τῇ ἡμέρᾳ τῇ τρίτῃ». Ὅρα τὸν φιλάνθρωπον Δεσπότην, πῶς καὶ ἐν τῷ διαστήματι βασανίζει τοῦ δικαίου τὴν ἀρετήν. Ἐννόησον δὲ καὶ τὸν δίκαιον τί εἰκὸς ἦν ὑπομένειν ταῖς τρισὶν ἡμέραις, αὐτὸν καθ' ἑαυτὸν μὲν ἀναλογιζόμενον τὸ ἐπίταγμα, καὶ ὅτι αὐτὸς μέλλει ταῖς οἰκείαις χερσὶ τὸν οὕτω ποθούμενον σφάζειν υἱὸν ἐνθυμούμενον, οὐδενὶ δὲ τὸ πρᾶγμα κοινώσασθαι ἔχοντα· καὶ καταπλάγηθι τὴν γνώμην αὐτοῦ τὴν φιλόθε-

του, δὲν ἔπαθεν σύγχυσιν τοῦ νοῦ, δὲν ἠπόρησε διὰ τὴν παράδοξον ἐντολήν, δὲν ἐσκέφθη, οὔτε εἶπε μέσα του· τί σημαίνει αὐτό; Αὐτὸς ὁ ὁποῖος μοῦ ἐχάρισεν ἀπόγονον πέρα ἀπὸ κάθε προσδοκίαν, αὐτὸς ὁ ὁποῖος ἐξ αἰτίας τῆς φιλανθρωπίας του ἔδωσε ζωὴν εἰς τὴν μήτραν τῆς Σάρρας, ἂν καὶ εἶχε νεκρωθῆ, μετὰ τὴν γαλακτοτροφίαν καὶ τὴν ἀνάπτυξιν καὶ μετὰ τὴν ἐνηλικίωσιν διατάσσει νὰ σφαγῇ τὸ τέκνον μου καὶ νὰ προσφερθῇ θυσία. Αὐτὸς ὁ ὁποῖος πρὶν ἀπ' ὀλίγον εἶπεν· «Οἱ ἀπόγονοι τοῦ Ἰσαὰκ θὰ ἀναγνωρισθοῦν ὡς ἀπόγονοί σου», τώρα διατάσσει τὰ ἀντίθετα; Καὶ πῶς θὰ ἦτο δυνατὸν νὰ πραγματοποιηθοῦν ποτὲ αἱ ὑποσχέσεις αὐτοῦ; Πῶς δηλαδὴ εἶναι δυνατὸν νὰ ἀνθίζουν οἱ κλάδοι, ὅταν κοπῇ ἡ ρίζα ἢ νὰ παραχθῇ καρπός, ὅταν τὸ δένδρον κοπῇ, ἢ νὰ ρέουν ποταμοί, ὅταν ἡ πηγὴ ξηρανθῇ; Κατὰ τὴν ἀνθρωπίνην λογικὴν αὐτὰ μὲν εἶναι ἀδύνατον νὰ γίνουν. Ὅταν ὅμως θέλῃ ὁ Θεὸς ὅλα αὐτὰ εἶναι δυνατὸν νὰ γίνουν.

2. Ἀλλὰ τίποτε ἀπ' αὐτὰ δὲν ἐσκέφθη αὐτὸς ὁ δίκαιος, ἀλλ' ὡς εὐγνώμων δοῦλος, ἀφοῦ ἀπεμάκρυνε κάθε ἀνθρώπινον λογισμόν, ἕνα μόνον ἐσκέπτετο, τὸ νὰ πραγματοποιήσῃ τὴν ἐντολὴν καὶ ὡσὰν νὰ ἔχασε τὴν ἀνθρωπίνην φύσιν καὶ ἀφοῦ ἔθεσε κάθε συμπάθειαν καὶ πατρικὴν στοργὴν εἰς δευτέραν θέσιν ἀπὸ τὰς ἐντολὰς τοῦ Θεοῦ ἔσπευδε, διὰ νὰ τὰς ἐκπληρώσῃ. «Καὶ ἀφοῦ ἐσηκώθη ὁ Ἀβραὰμ τὸ πρωί», λέγει, «ἐσαμάρωσε τὴν ὄνον αὐτοῦ. Παρέλαβε δὲ μαζί του δύο δούλους καὶ τὸν Ἰσαὰκ τὸν υἱόν του καὶ ἀφοῦ ἔσχισε ξύλα διὰ τὴν θυσίαν ἐσηκώθη καὶ ἐξεκίνησε καὶ ἦλθεν εἰς τὸν τόπον, τὸν ὁποῖον εἶπεν εἰς αὐτὸν ὁ Θεός, κατὰ τὴν τρίτην ἡμέραν». Πρόσεχε πῶς ὁ φιλάνθρωπος Κύριος δοκιμάζει τὴν ἀρετὴν τοῦ δικαίου καὶ κατὰ τὸ διάστημα τοῦ ταξιδίου. Νὰ σκεφθῇς καὶ τὸν δίκαιον, τί ἦτο φυσικὸν νὰ ὑποφέρῃ κατὰ τὰς τρεῖς ἡμέρας ἀναλογιζόμενος τὴν ἐντολὴν καὶ ἐνθυμούμενος, ὅτι αὐτὸς ὁ ἴδιος πρόκειται μὲ τὰ ἴδια τὰ χέρια του νὰ σφάξῃ τὸν τόσον ἀγαπητὸν υἱόν, ἀλλὰ νὰ μὴ ἠμπορῇ νὰ ἀνακοινώσῃ εἰς κανένα τὴν ὑπόθεσιν. Καὶ

ον καὶ τὴν σύνεσιν. Ἐπειδὴ γὰρ ᾔδει τὸ μέγεθος τοῦ ἐπιτάγματος, οὐδενὶ ὅλως τοῦτο γνώριμον ποιεῖ, οὔτε τοῖς παισίν, οὔτε αὐτῷ τῷ Ἰσαάκ, ἀλλὰ μόνος καθ' ἑαυτὸν τὸν ἀγῶνα τοῦτον ἠγωνίζετο, καὶ καθάπερ ἀδάμας τις οὕτως ἀκαταγώνιστος ἔμενε, τὴν ἀνδρείαν τῶν λογισμῶν ἐπιδεικνύμενος, οὐδὲ πολυπραγμονῶν, ἀλλ' εἴκων μετὰ πολλοῦ τοῦ πόθου τῷ τοῦ Θεοῦ νεύματι. Καὶ ἐπειδὴ περὶ τὸν τόπον ἔφθασεν, «Ἀναβλέψας», φησίν, «Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου».

Ὅρα καὶ ἐνταῦθα τοῦ δικαίου τὴν πολλὴν σύνεσιν· καὶ τοὺς παῖδας λαθεῖν ἐβούλετο, διὰ πάντων δεικνὺς ὅτι μετὰ προθυμίας ζεούσης καὶ ἐπιτεταμένου πόθου πληροῦν ἐβούλετο τὸ τῷ Θεῷ δοκοῦν. Ἐπειδὴ γὰρ ᾔδει, ὅτι καινὸν καὶ παράδοξον ἦν καὶ οὐ πρότερον ὑφ' ἑτέρου γεγονὸς τὸ παρ' αὐτοῦ μέλλον γίνεσθαι, κρύπτει τοὺς παῖδας καὶ καταλιπὼν αὐτοὺς μετὰ τῆς ὄνου, φησίν· «Ἐνταῦθα ἀναμείνατε· Ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσώμεθα ἕως ὧδε καὶ προσκυνήσαντες ἀνακάμψομεν πρὸς ὑμᾶς». Οὐκ εἰδὼς ὅτι τοῦτο ἔσται, ὃ ἔλεγεν, ἀλλὰ προεφήτευσε μέν, ἴσως τοῦτο ἀγνοῶν. Ἔλεγε δὲ τοῖς παισί, τάχα ἐξαπατῶν αὐτοὺς καὶ παρασκευάζων αὐτόθι μένειν· καὶ λοιπὸν ἦν ὁ πατριάρχης μετὰ τοῦ παιδός. «Ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ. Ἔλαβε δὲ μετὰ χεῖρας τὸ πῦρ καὶ τὴν μάχαιραν καὶ ἐπορεύθησαν οἱ δύο ἅμα». Ὢ ψυχῆς ἀνδρεία· ὢ φρονήματος στερρότης. «Ἐπέθηκε», φησί, «τῷ Ἰσαὰκ τὰ ξύλα τῆς ὁλοκαρπώσεως· αὐτὸς δὲ τὴν μάχαιραν καὶ τὸ πῦρ ἔλαβε καὶ ἐπορεύοντο οἱ δύο ἅμα». Ποίοις ὀφθαλμοῖς ἑώρα τὸ παιδίον τὰ ξύλα ἐπιφερόμενον, οἷς ἔμελλεν αὐτὸν μετ' οὐ πολὺ ἐπιθύειν; πῶς ἡ χεὶρ φέρειν ἠδύνατο τὸ πῦρ καὶ τὴν μάχαιραν; Καὶ ἡ μὲν χεὶρ ἐπεφέρετο τὸ πῦρ τὸ αἰ-

νὰ ἐκπλαγῇς διὰ τὴν εὐσεβῆ γνώμην του καὶ τὴν σύνεσίν του. Ἐπειδὴ δηλαδὴ ἐγνώριζε τὸ μέγεθος τῆς ἐντολῆς, δὲν γνωστοποιεῖ αὐτὴν εἰς κανένα, οὔτε εἰς τοὺς δούλους, οὔτε εἰς τὸν ἴδιον τὸν Ἰσαάκ, ἀλλὰ μόνος ἠγωνίζετο αὐτὸν τὸν ἀγῶνα καὶ ὡς κάποιος ἀδάμας, ἔτσι ἔμενεν ἀνίκητος ἐπιδεικνύων τὴν γενναιότητα τῶν ἀποφάσεών του, οὔτε ἐξήταζε λεπτομερῶς, ἀλλ' ὑπετάσσετο μὲ πολλὴν ἀγάπην εἰς τὴν ἐντολὴν τοῦ Θεοῦ. Καὶ ὅταν ἔφθασεν εἰς τὸν τόπον, «Ἐσήκωσε τὰ βλέμματά του ὁ Ἀβραάμ», λέγει, «καὶ εἶδε τὸν τόπον ἀπὸ μακριὰ καὶ εἶπεν εἰς τοὺς δούλους· καθίσατε ἐδῶ μὲ τὴν ὄνον».

Πρόσεχε καὶ ἐδῶ τὴν ὑπερβολικὴν σύνεσιν τοῦ δικαίου. Ἤθελε νὰ διαφύγῃ τὴν προσοχὴν τῶν δούλων δεικνύων μὲ ὅλα, ὅτι ἤθελε νὰ ἐκπληρώσῃ αὐτό, τὸ ὁποῖον ἐφαίνετο καλὸν εἰς τὸν Θεὸν μὲ θερμὴν προθυμίαν καὶ ἔντονον πόθον. Ἐπειδὴ δηλαδὴ ἐγνώριζεν, ὅτι ἦτο πρωτοφανὲς καὶ παράδοξον καὶ ὅτι δὲν εἶχε γίνει προηγουμένως αὐτό, τὸ ὁποῖον ἐπρόκειτο νὰ γίνῃ, τὸ ἀποκρύπτει ἀπὸ τοὺς δούλους καὶ ἀφοῦ τοὺς ἄφησε μὲ τὴν ὄνον, λέγει· «Νὰ περιμένετε ἐδῶ. Ἐγὼ δὲ καὶ τὸ παιδὶ θὰ μεταβῶμεν ἕως ἐκεῖ καὶ ἀφοῦ προσκυνήσωμεν θὰ ἐπιστρέψωμεν εἰς σᾶς». Δὲν ἐγνώριζεν, ὅτι θὰ συμβῇ αὐτό, τὸ ὁποῖον ἔλεγεν, ἀλλὰ τὸ προεφήτευεν, ἂν καὶ εἶχεν ἄγνοιαν αὐτοῦ. Ἔλεγε δὲ αὐτὸ εἰς τοὺς δούλους δῆθεν διὰ νὰ τοὺς ἐξαπατήσῃ καὶ νὰ τοὺς προετοιμάσῃ νὰ μείνουν ἐκεῖ. Εἰς τὸ ἑξῆς ὁ πατριάρχης ἦτο μόνος του μὲ τὸ παιδί. «Ἔλαβε δὲ ὁ Ἀβραὰμ τὰ ξύλα τῆς θυσίας καὶ ἐφόρτωσεν αὐτὰ εἰς τὸν Ἰσαὰκ τὸν υἱόν του. Ἐπῆρεν εἰς τὰς χεῖρας του τὴν φωτιὰν καὶ τὴν μάχαιραν καὶ ἐξεκίνησαν οἱ δύο μαζί». Ὢ γενναιότης ψυχῆς· ὢ σταθερότης φρονήματος. «Ἐφόρτωσε», λέγει, «εἰς τὸν Ἰσαὰκ τὰ ξύλα τῆς θυσίας», ἐνῷ αὐτὸς ἐπῆρε τὴν μάχαιραν καὶ τὴν φωτιὰν καὶ ἐβάδιζον καὶ οἱ δύο μαζί. Μὲ τί ὀφθαλμοὺς ἔβλεπε τὸ παιδίον νὰ μεταφέρῃ τὰ ξύλα, μὲ τὰ ὁποῖα ἐπρόκειτο μετὰ ἀπ' ὀλίγον νὰ τὸ θυσιάσῃ; Πῶς ἠδύνατο ἡ χεὶρ νὰ μεταφέρῃ τὴν φωτιὰν καὶ τὴν μάχαιραν; Καὶ

σθητόν, τὸ δὲ ἔνδοθεν πῦρ κατέφλεγεν αὐτοῦ τὴν διάνοιαν καὶ ἐδαπάνα τὸν λογισμόν, πεῖθον νικᾶν τῷ πρὸς τὸν Θεὸν πόθῳ καὶ παρασκευάζον λογίζεσθαι, ὅτι ὁ ἤδη παρασχὼν καὶ ὑπὲρ φύσιν ἀνθρωπίνην πατέρα γενέσθαι παρασκευάσας δυνήσεται καὶ νῦν τὰ ὑπερβαίνοντα τὸν ἀνθρώπινον λογισμὸν ἐργάσασθαι.

'Αλλ' ὅρα μοι λοιπὸν πρὸ τοῦ αἰσθητοῦ πυρὸς τὴν ἔνδοθεν κατὰ μικρὸν ἐξαπτομένην κάμινον καὶ φλέγουσαν τοῦ δικαίου τὴν ψυχήν. «Εἶπε δέ», φησίν, «'Ισαὰκ πρὸς 'Αβραὰμ τὸν πατέρα αὐτοῦ· πάτερ». 'Ικανὸν τὸ ῥῆμα τῶν σπλάγχνων αὐτῶν τοῦ δικαίου καθάψασθαι. «'Ο δὲ εἶπε· τί ἐστι, τέκνον;». Πατέρα καλεῖς τὸν μετὰ μικρὸν ἄπαιδα ἐσόμενον, κἀγὼ τέκνον προσαγορεύω τὸν μετ' οὐ πολὺ μέλλοντα ἐπὶ τὸν βωμὸν ἀνιέναι καὶ ὃν ταῖς οἰκείαις χερσὶ μέλλω σφάζειν. Εἶτα ὁ παῖς φησιν· «'Ιδοὺ τὸ πῦρ ἐπιφέρῃ, κἀγὼ τὰ ξύλα· ποῦ ἐστι τὸ θῦμα τὸ μέλλον προσάγεσθαι; Ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς τὴν ὁλοκάρπωσιν;». 'Εννόει μοι ἐνταῦθα τοῦ δικαίου τὴν βάσανον, πῶς ἤνεγκε τὴν ἀκοήν, πῶς ἴσχυσεν ἀποκρίνασθαι τῷ παιδί, πῶς οὐ συνεχύθη, πῶς ἤνεγκε ταμιεύσασθαι καὶ μὴ κατάδηλον ποιῆσαι τῷ παιδὶ τὸ μέλλον ἔσεσθαι· ἀλλά φησι γενναίῳ φρονήματι καὶ ἀνδρείᾳ τῇ ψυχῇ· «'Ο Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον».

"Ορα καὶ ἐνταῦθα πῶς οὐκ εἰδὼς πάλιν μηνύει τὸ μέλλον ἔσεσθαι. "Εδοξε γὰρ διὰ τῆς ἀποκρίσεως παραλογίζεσθαι τὸν 'Ισαάκ, ἀλλ' ἐκεῖνον μὲν διὰ τῶν ῥημάτων πρὸς τὸ παρὸν ἔπεισεν, αὐτὸς δὲ μείζονα τὴν ὀδύνην καὶ ἐπιτεταμένην ὑπέμενε, τὰ ῥήματα αὐτὰ στρέφων ἐν τῇ διανοίᾳ καὶ ἐννοῶν τοῦ παιδὸς τὴν εὐμορφίαν τὴν ἔξωθεν, τῆς ψυχῆς τὸ κάλλος, τὸ πειθήνιον, τὸ ἐπέραστον, αὐτὸ τῆς ἡλικίας τὸ ἄνθος. «Πορευθέντες δὲ ἀμφότεροι ἦλθον ἐπὶ τὸν τόπον, ὃν

ἡ μὲν χεὶρ μετέφερε τὸ αἰσθητὸν πῦρ, τὸ ἐσωτερικὸν ὅμως πῦρ κατέκαιε τὸν νοῦν του καὶ διέλυε τὴν σκέψιν του καὶ τὸν ἔπειθεν, ὅτι νικᾷ μὲ τὴν ἀγάπην πρὸς τὸν Θεὸν καὶ τὸν ἔκαμε νὰ σκέπτεται, ὅτι αὐτὸς ὁ ὁποῖος τὸν ἔκαμε νὰ γίνῃ πατέρας μὲ ὑπερφυσικὸν τρόπον, αὐτὸς θὰ ἠμπορέσῃ καὶ τώρα νὰ ἐκπληρώσῃ ἐκεῖνα, τὰ ὁποῖα ὑπερβαίνουν τὴν ἀνθρωπίνην λογικήν.

Ἀλλὰ πρόσεχε, παρακαλῶ, πρὶν ἀπὸ τὴν ὁρατὴν φωτιὰν τὴν κάμινον, ἡ ὁποία ἐξήπτετο ὀλίγον κατ' ὀλίγον καὶ κατέκαιε τὴν ψυχὴν τοῦ δικαίου. «Καὶ εἶπεν ὁ Ἰσαὰκ εἰς τὸν Ἀβραὰμ τὸν πατέρα του· πάτερ». Ἦτο ἀρκετὴ ἡ λέξις αὐτὴ νὰ κατακάψῃ τὰ ἴδια τὰ σπλάγχνα τοῦ δικαίου. «Καὶ ὁ Ἀβραὰμ ἀπήντησε· τί συμβαίνει, τέκνον μου;». Ὀνομάζεις πατέρα αὐτόν, ὁ ὁποῖος μετὰ ἀπ' ὀλίγον θὰ εἶναι ἄπαιδος, καὶ ἐγὼ ὀνομάζω τέκνον αὐτόν, ὁ ὁποῖος μετὰ ἀπ' ὀλίγον πρόκειται νὰ ἀναβῇ εἰς τὸν βωμὸν καὶ αὐτὸν ποὺ πρόκειται νὰ τὸν σφάξω μὲ τὰς ἰδίας τὰς χεῖρας μου. Ἔπειτα τὸ παιδίον λέγει· Ἰδοὺ σὺ μεταφέρεις τὸ πῦρ καὶ ἐγὼ τὰ ξύλα· ποῦ εἶναι τὸ ζῶον, τὸ ὁποῖον πρόκειται νὰ θυσιασθῇ; «Ποῦ εἶναι τὸ πρόβατον διὰ τὴν θυσίαν;». Σκέψου, παρακαλῶ, ἐδῶ τὸ βάσανον τοῦ δικαίου, πῶς ὑπέφερεν, ὅσα ἤκουε, πῶς ἠμπόρεσε νὰ ἀποκριθῇ εἰς τὸ παιδίον, πῶς δὲν ἔπαθε σύγχυσιν, πῶς ὑπέφερε νὰ τὸ ἀποκρύψῃ καὶ νὰ μὴ φανερώσῃ εἰς τὸ παιδίον αὐτό, τὸ ὁποῖον πρόκειται νὰ συμβῇ. Ἀπαντᾷ ὅμως μὲ γενναῖον φρόνημα καὶ ἀνδρείαν ψυχήν. «Ὁ Θεός, τέκνον, θὰ φροντίσῃ ὁ ἴδιος διὰ τὸ πρόβατον τῆς θυσίας».

Πρόσεχε καὶ ἐδῶ, ὅτι προμηνύει πάλιν αὐτό, τὸ ὁποῖον θὰ συμβῇ, ἂν καὶ δὲν τὸ ἐγνώριζε. Καθ' ὅσον ἐνόμιζεν, ὅτι μὲ τὴν ἀπάντησιν ἐξαπατᾷ τὸν Ἰσαάκ, ἀλλ' ἔπεισεν μὲν ἐκεῖνον πρὸς τὸ παρὸν μὲ τοὺς λόγους, ἐνῷ ὁ ἴδιος ὑπέφερε μεγαλύτερον καὶ ἐντονώτερον πόνον μὲ τὸ νὰ σκέπτεται αὐτοὺς τοὺς λόγους καὶ μὲ τὸ νὰ ἀναλογίζεται τὴν ἐξωτερικὴν ὀμορφιὰν τοῦ παιδίου, τὴν ὡραιότητα τῆς ψυχῆς, τὴν ὑπακοήν, αὐτὸ τὸ πολὺ ἀγαπητὸν ἄνθος τῆς ἡλικίας. «Βαδίζοντες δὲ καὶ οἱ δύο μαζὶ ἦλθον

εἶπεν αὐτῷ ὁ Θεός». Παρεγένοντο, φησίν, ἐπὶ τὸ ὄρος τὸ ὑψηλόν, ὅπερ αὐτῷ ὁ Θεὸς ἐγνώρισε· «Καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ θυσιαστήριον». Πάλιν ἐκπλήττομαι τοῦ δικαίου τὴν ἀνδρείαν, πῶς ἠδυνήθη τὸ θυσιαστήριον οἰκοδομῆσαι, πῶς ἴσχυσε, πῶς οὐ διελύθη ὑπὸ τῆς ἀγωνίας. Ἀλλὰ καὶ τὸ θυσιαστήριον ᾠκοδόμησε καὶ ἐπέθηκε τὰ ξύλα. «Καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ, λαβεῖν τὴν μάχαιραν, σφάξαι τὸν υἱὸν αὐτοῦ».

3. Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὰ εἰρημένα, ἀλλ' ἐννοήσωμεν πῶς οὐκ ἀπέπτη τοῦ σώματος ἡ ψυχή, πῶς ἤνεγκε ταῖς οἰκείαις χερσὶ συμποδίσαι καὶ τοῖς ξύλοις ἐπιθεῖναι τὸν ἀγαπητόν, τὸν ἐπέραστον, τὸν μονογενῆ. «Καὶ ἐξέτεινε», φησίν, «Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ, λαβεῖν τὴν μάχαιραν, σφάξαι τὸν υἱὸν αὐτοῦ». Ὢ φιλοθέου ψυχῆς, ὢ γνώμης ἀνδρείας, ὢ πόθου ἐπιτεταμένου, ὢ λογισμοῦ νικῶντος ἀνθρωπίνην φύσιν. «Ἔλαβε», φησί, «τὴν μάχαιραν, σφάξαι τὸν υἱὸν αὐτοῦ. Τίνα θαυμάσω καὶ ἐκπλαγῶ; τοῦ πατριάρχου τὸ ἀνδρεῖον φρόνημα, ἢ τοῦ παιδὸς τὴν ὑπακοήν; ὅτι οὐκ ἀπεσκίρτησεν, οὐδὲ ἐδυσχέρανε πρὸς τὸ γινόμενον, ἀλλ' ἐπείθετο καὶ εἶκε τοῖς ὑπὸ τοῦ πατρὸς γινομένοις καὶ καθάπερ ἀρνίον μεθ' ἡσυχίας τῷ βωμῷ ἐπέκειτο, ἀναμένων τοῦ πατρὸς τὴν δεξιάν; Ἀλλ' ἐπειδὴ τὰ τῆς γνώμης ἅπαντα ἀπηρτίσθη καὶ οὐδὲν λοιπὸν ἐνέλιπε, δεικνὺς ὁ ἀγαθὸς Δεσπότης ὅτι οὐ σφαγῆναι τὸν παῖδα βουλόμενος ταῦτα ἐπέταξεν, ἀλλὰ τοῦ δικαίου θέλων ἐκκαλύψαι τὴν ἀρετήν, ἀπὸ τῆς γνώμης στεφανώσας τὸν δίκαιον καὶ ἀπὸ τῆς προαιρέσεως τοῦ πατριάρχου τὴν ἀπηρτισμένην θυσίαν δεξάμενος, λοιπὸν τὴν οἰκείαν ἐπιδείκνυται φιλανθρωπίαν.

«Καὶ ἐκάλεσεν αὐτόν», φησίν, «ἄγγελος Κυρίου

εἰς τὸν τόπον, τὸν ὁποῖον ὥρισεν εἰς αὐτὸν ὁ Θεός». Ἔφθασαν, λέγει, εἰς τὸ ὑψηλὸν ὄρος, τὸ ὁποῖον ἐγνώρισεν εἰς αὐτὸν ὁ Θεός. «Καὶ ἔκτισεν ὁ Ἀβραὰμ ἐκεῖ θυσιαστήριον». Ἐκπλήσσομαι πάλιν διὰ τὴν ἀνδρείαν τοῦ δικαίου, πῶς ἠμπόρεσε νὰ κτίσῃ τὸ θυσιαστήριον, πῶς εἶχε δύναμιν, πῶς δὲν ἀπέθανεν ἀπὸ τὴν ἀγωνίαν. Ἀλλὰ καὶ τὸ θυσιαστήριον ἔκτισε καὶ τὰ ξύλα ἔβαλεν ἐπάνω. «Καὶ ἀφοῦ ἔδεσε τοὺς πόδας τοῦ υἱοῦ του Ἰσαὰκ ἐτοποθέτησεν αὐτὸν ἐπάνω εἰς τὸ θυσιαστήριον καὶ ἥπλωσεν ὁ Ἀβραὰμ τὴν χεῖρα, διὰ νὰ πάρῃ τὴν μάχαιραν καὶ νὰ σφάξῃ τὸν υἱόν του».

3. Νὰ μὴ παρατρέξωμεν, ἀγαπητοί, τοὺς λόγους χωρὶς προσοχήν, ἀλλὰ νὰ σκεφθῶμεν, πῶς ἡ ψυχὴ δὲν ἔφυγεν ἀπὸ τὸ σῶμα, πῶς ἠμπόρεσε νὰ δέσῃ μὲ τὰς ἰδίας τὰς χεῖρας του καὶ νὰ βάλῃ ἐπάνω εἰς τὰ ξύλα τὸν ἀγαπητὸν υἱὸν του τὸν λατρευτὸν καὶ μονογενῆ. «Καὶ ἥπλωσεν ὁ Ἀβραὰμ τὴν χεῖρα», λέγει, «διὰ νὰ πάρῃ τὴν μάχαιραν καὶ νὰ σφάξῃ τὸν υἱόν του». Ὢ εὐσεβὴς ψυχή, ὢ γενναία ἀπόφασις, ὢ ἀγάπη ὑπερβολική, ὢ σκέψις ἡ ὁποία νικᾷ τὴν ἀνθρωπίνην φύσιν. Ἐπῆρε, λέγει, «τὴν μάχαιραν νὰ σφάξῃ τὸν υἱόν του». Ποῖον νὰ θαυμάσω καὶ διὰ ποῖον νὰ ἐκπλαγῶ; Διὰ τὸ γενναῖον φρόνημα τοῦ πατριάρχου, ἢ διὰ τὴν ὑπακοὴν τοῦ παιδιοῦ; Ἀφοῦ δὲν ἐπανεστάτησεν, οὔτε ἐδυσανασχέτησε δι' ἐκεῖνο, τὸ ὁποῖον θὰ συνέβαινεν, ἀλλ' ὑπήκουε καὶ ὑποχωροῦσεν εἰς αὐτά, τὰ ὁποῖα ἐγίνοντο ὑπὸ τοῦ πατρὸς καὶ ὡς ἀρνίον ἐπλησίασε τὸν βωμὸν χωρὶς φωνὴν καὶ ἐπερίμενε τὴν δεξιὰν τοῦ πατρός του; Ὅταν ὅμως ἐξεπληρώθη ἡ ἐντολὴ καὶ δὲν ἔμενε τίποτε, ὁ ἀγαθὸς Κύριος ἀπέδειξεν, ὅτι διέταξεν αὐτά, ὄχι ἐπειδὴ ἤθελε νὰ σφαγῇ τὸ παιδί, ἀλλ' ἐπειδὴ ἤθελε νὰ ἀποκαλύψῃ τὴν ἀρετὴν τοῦ δικαίου, ἀφοῦ ἐστεφάνωσεν αὐτὸν διὰ τὴν καλήν του θέλησιν καὶ ἐδέχθη τὴν ὁλοκληρωμένην θυσίαν λόγῳ τῆς καλῆς διαθέσεως τοῦ πατριάρχου καὶ εἰς τὸ ἑξῆς ἀποδεικνύει τὴν ἰδικήν του φιλανθρωπίαν.

«Καὶ ἐκάλεσεν αὐτόν», λέγει, «ἄγγελος Κυρίου ἀπὸ

ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν· Ἀβραάμ, Ἀβραάμ». Ἐπειδὴ γὰρ ἑώρα συντεταμένον τὸν δίκαιον καὶ ἕτοιμον ὄντα πρὸς τὴν σφαγὴν καὶ τὸ ἐπίταγμα πληρῶσαι βουλόμενον, διὰ τοῦτο καλεῖ αὐτὸν ἐκ τοῦ οὐρανοῦ καί φησιν, «Ἀβραάμ, Ἀβραάμ». Καλῶς καὶ ἐνταῦθα τῷ διπλασιασμῷ ἐχρήσατο, ἵνα περιγένηται τῆς ὁρμῆς τοῦ δικαίου καὶ μονονουχὶ διὰ τῆς φωνῆς κατάσχῃ τοῦ πατριάρχου τὴν δεξιὰν ἐπειγομένην πρὸς τὴν τοῦ παιδὸς σφαγήν. «Καὶ εἶπεν· ἰδοὺ ἐγώ. Καὶ εἶπε· μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μηδὲ ποιήσῃς αὐτῷ μηδέν. Νῦν γὰρ ἔγνων, ὅτι φοβῇ τὸν Θεὸν σὺ καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ». «Μὴ ἐπιβάλῃς», φησί, «τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον». Οὐ τὸ ἔργον γενέσθαι βουλόμενος τοῦτο ἐπέταξα, οὐδὲ σφαγῆναι θέλων τὸν παῖδα τὸν σόν, ἀλλὰ τὴν ὑπακοὴν τὴν σὴν ἅπασι κατάδηλον ποιῆσαι. Μὴ τοίνυν ποιήσῃς αὐτῷ μηδέν, ἀρκοῦμαι γὰρ τῇ γνώμῃ τῇ σῇ καὶ ἐντεῦθεν στεφανῶ καὶ ἀνακηρύττω σε. «Νῦν γὰρ ἔγνων ὅτι φοβῇ σὺ τὸν Θεόν».

Ὅρα λέξεως συγκατάβασιν. Τί οὖν: πρὸ τούτου ἠγνόει τοῦ δικαίου τὴν ἀρετὴν καὶ νῦν ἔγνω ὁ τῶν ὅλων Δεσπότης; Οὐ τοῦτό φησιν, ὅτι αὐτὸς νῦν ἔγνω. Ἀλλὰ τί; Νῦν, φησίν, ἅπασιν ἐγνώρισας ὅπως εἰλικρινῆ τὸν φόβον ἔχεις τὸν πρὸς τὸν Θεόν. Ἐγὼ μὲν γὰρ ᾔδειν τὸν ἐμὸν θεράποντα· τὰ δὲ νῦν παρὰ σοῦ γενόμενα τοῖς τε νῦν οὖσι, ταῖς τε μετὰ ταῦτα γενεαῖς διδασκαλίας ὑπόθεσις γενήσεται. Ἐγνώρισας γὰρ νῦν ἅπασιν ὅπως φοβῇ τὸν Θεὸν καὶ τὰ προσταττόμενα εἰς ἔργον ἀγαγεῖν σπεύδεις· «Καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ»· τοῦ σφόδρα σοι περιποθήτου καὶ γνησίως ὑπὸ σοῦ ἀγαπωμένου οὐκ ἐφείσω δι' ἐμέ, διὰ τὸ πρόσταγμα τὸ ἐμόν, διὰ τὸ ἐπίταγμα τὸ παρ' ἐμοῦ· ἀλλὰ προετίμησας τὸ παρ' ἐ-

τὸν οὐρανὸν καὶ τοῦ εἶπεν· Ἀβραάμ, Ἀβραάμ». Ἐπειδὴ δηλαδὴ ὁ Θεὸς ἔβλεπε τὸν Ἀβραὰμ νὰ εὑρίσκεται εἰς ὑπερένταςιν καὶ νὰ εἶναι ἕτοιμος διὰ τὴν σφαγὴν καὶ νὰ θέλῃ νὰ ἐκπληρώσῃ τὴν ἐντολήν, διὰ τοῦτο καλεῖ αὐτὸν ἀπὸ τὸν οὐρανὸν καὶ τοῦ λέγει, «Ἀβραάμ, Ἀβραάμ». Καλῶς ἐχρησιμοποίησε καὶ ἐδῶ τὸν διπλασιασμὸν τοῦ ὀνόματος, διὰ νὰ ἀνακόψῃ τὴν ὁρμὴν τοῦ δικαίου καὶ μὲ τὴν φωνὴν κατὰ κάποιον τρόπον νὰ συγκρατήσῃ τὴν δεξιὰν τοῦ πατριάρχου, ἡ ὁποία ἦτο ἕτοιμος διὰ τὴν σφαγὴν τοῦ παιδίου. «Καὶ εἶπεν ὁ Ἀβραάμ. Ἰδοὺ ἐγώ. Καὶ ὁ Θεὸς εἶπε. Νὰ μὴ ἁπλώσῃς τὴν χεῖρα σου ἐπάνω εἰς τὸ παιδὶ καὶ νὰ μὴ κάνῃς τίποτε εἰς αὐτό. Διότι τώρα ἔμαθον ὅτι σὺ φοβεῖσαι τὸν Θεὸν καὶ δὲν ἐλυπήθης τὸν ἀγαπητόν σου υἱὸν πρὸς χάριν μου». «Νὰ μὴ ἁπλώσῃς» λέγει, «ἐπάνω εἰς τὸ παιδί». Δὲν διέταξα αὐτό, ἐπειδὴ ἤθελον νὰ γίνῃ ἡ πρᾶξις αὐτή, οὔτε ἐπειδὴ ἤθελον νὰ σφαγῇ ὁ υἱός σου, ἀλλὰ διὰ νὰ φανερώσω εἰς ὅλους τὴν ἰδικήν σου ὑπακοήν. Νὰ μὴ κάμῃς λοιπὸν εἰς αὐτὸ τίποτε, διότι μοῦ εἶναι ἀρκετὴ ἡ ἀπόφασίς σου καὶ δι' αὐτὴν σὲ στεφανώνω καὶ σὲ ἀνακηρύσσω. «Καθ' ὅσον τώρα ἔμαθον, ὅτι σὺ φοβεῖσαι τὸν Θεόν».

Πρόσεχε συγκατάβασιν λέξεως. Τί συμβαίνει λοιπόν; Πρὶν ἀπ' αὐτὸ ἠγνόει τὴν ἀρετὴν τοῦ δικαίου καὶ τώρα τὴν ἔμαθεν ὁ Κύριος τῶν πάντων; Δὲν λέγει αὐτό, ὅτι δηλαδὴ αὐτὸς τὴν ἔμαθε τώρα. Ἀλλὰ τί λέγει; Τώρα, λέγει, ἔκανες γνωστὸν εἰς ὅλους, ὅτι σέβεσαι εἰλικρινὰ τὸν Θεόν. Καθ' ὅσον ἐγὼ ἐγνώριζον τὸν δοῦλον μου. Αὐτὰ δὲ τὰ ὁποῖα ἔγιναν ἀπὸ ἐσένα τώρα νὰ γίνουν αἰτία διδασκαλίας καὶ εἰς τοὺς συγχρόνους καὶ εἰς τοὺς μεταγενεστέρους. Διότι τώρα ἀπέδειξες εἰς ὅλους, ὅτι σέβεσαι τὸν Θεὸν καὶ ὅτι σπεύδεις νὰ πραγματοποιήσῃς τὰς ἐντολάς του. «Καὶ δὲν ἐλυπήθης τὸν υἱόν σου τὸν ἀγαπητὸν πρὸς χάριν μου». Αὐτὸν ὁ ὁποῖος τόσον πολὺ καὶ τόσον ἀληθινὰ ἀγαπᾶται ἀπὸ ἐσένα, αὐτὸν δὲν τὸν ἐλυπήθης πρὸς χάριν μου, διὰ τὸ πρόσταγμα τὸ ἰδικόν μου, διὰ τὴν ἰδικήν μου ἐντολήν, ἀλλὰ προετίμησες τὴν διαταγήν μου

μοῦ κελευχθὲν τοῦ παιδὸς τοῦ σοῦ. Διὰ τοῦτο καὶ τὸν παῖδα δέχου τὸν σόν. Διὰ τοῦτο γάρ σοι ἐπηγγειλάμην τὸ σπέρμα τὸ σὸν ἐκταθήσεσθαι· καὶ τὸν ἐπὶ τῇ ὑπακοῇ στέφανον ἀναδησάμενος ἄπιθι. Ἐγὼ γὰρ τὴν προαίρεσιν οἶδα στεφανοῦν καὶ ἀπὸ τῆς γνώμης τὰ βραβεῖα παρέχειν. Εἰς ἔργον γὰρ ἐκβῆναι προσήκει τὰ παρὰ σοῦ ῥηθέντα καὶ ταῖς παισὶ τοῖς σοῖς καὶ τῷ Ἰσαάκ· ἐκείνοις γὰρ ἐπηγγείλω, ὅτι «Προσκυνήσαντες ἀναστρέψομεν»· καὶ τοῦτο ἤδη ἔσται· καὶ τῷ παιδὶ πυθομένῳ, «Ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; «Ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν», εἶπας. Ἰδοὺ οὖν ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου ὅρα τὸ προρρηθὲν παρὰ σοῦ πρόβατον, ὅπερ ἀντὶ τοῦ παιδὸς ὁλοκαρπώσεις.

«Ἀναβλέψας δὲ τοῖς ὀθαλμοφῖς εἶδε, καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος τῶν κεράτων ἐν φυτῷ Σαβέκ. Καὶ ἐπορεύθη Ἀβραὰμ καὶ ἔλαβε τὸν κριὸν καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ». Εἶδον σου, φησί, τῆς γνώμης τὸ φιλόθεον, ἰδοὺ ὅπερ προλαβὼν εἶπες τῷ παιδί, τοῦτό σοι παρεσκεύασα. «Καὶ ἔλαβε καὶ ἀνήνεγκεν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ». Εἶδες Θεοῦ φιλανθρωπίαν; Καὶ ἡ θυσία ἀπηρτίσθη καὶ ὁ πατριάρχης τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης ἐπεδείξατο καὶ ἀπὸ τῆς προαιρέσεως τὸν στέφανον ἐκομίσατο καὶ τὸν Ἰσαὰκ λαβὼν ἐπάνεισι μετὰ μυρίων στεφάνων. Ταῦτα δὲ πάντα τύπος ἐγίνετο τοῦ σταυροῦ. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῖς Ἰουδαίοις ἔλεγεν· «Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη». Πῶς εἶδεν ὁ πρὸ τοσούτων γεγενημένος χρόνων; Διὰ τοῦ τύπου, διὰ τῆς σκιᾶς. Καθάπερ γὰρ ἐνταῦθα τὸ πρόβατον προσηνέχθη ἀντὶ τοῦ Ἰσαάκ, οὕτως ὁ λογικὸς ἀμνὸς προσηνέχθη ὑπὲρ τῆς οἰκουμένης. Ἔδει γὰρ ἐν τῇ σκιᾷ προδιαγραφῆναι τὴν ἀλήθειαν.

---

3. Φυτὸν πυκνόκλαδον.
4. Ἰω. 8, 56.
5. Ὁ Χριστός.

ἀπὸ τὸ παιδί σου. Διὰ τοῦτο δέξου καὶ τὸν υἱόν σου. Διά τὸν λόγον αὐτὸν ἀκριβῶς σοῦ ὑπεσχέθην, ὅτι οἱ ἀπόγονοί σου θὰ αὐξηθοῦν. Ἀφοῦ ἔλαβες τὸν στέφανον τῆς ὑπακοῆς, πήγαινε. Διότι ἐγὼ γνωρίζω νὰ στεφανώνω τὴν προαίρεσιν καὶ νὰ παρέχω τὰ βραβεῖα ἀπὸ τὴν θέλησιν. Πρέπει λοιπὸν νὰ πραγματοποιηθοῦν αὐτά, τὰ ὁποῖα εἶπες καὶ εἰς τοὺς δούλους σου καὶ εἰς τὸν Ἰσαάκ. Διότι ὑπεσχέθης εἰς ἐκείνους, ὅτι· «Ἀφοῦ προσκυνήσωμεν θὰ ἐπιστρέψωμεν». Καὶ αὐτὸ θὰ γίνῃ. Καὶ ὅταν τὸ παιδὶ ἐζήτησε νὰ μάθῃ, «Ποῦ εἶναι τὸ πρόβατον τὸ προοριζόμενον διὰ τὴν θυσίαν;», ἐσὺ ἀπήντησες· «Ὁ Θεὸς θὰ φροντίσῃ μόνος του διὰ τὸ πρόβατον τῆς θυσίας». Ἰδοὺ λοιπὸν τώρα σήκωσε τοὺς ὀφθαλμούς σου καὶ ἰδὲ τὸ πρόβατον, τὸ ὁποῖον ἀνέφερες προηγουμένως καὶ τὸ ὁποῖον θὰ θυσιάσῃς ἀντὶ τοῦ υἱοῦ σου.

«Καὶ ἀφοῦ ἐσήκωσε τοὺς ὀφθαλμούς του ὁ Ἀβραὰμ εἶδεν ἕνα κριόν, ὁ ὁποῖος ἐκρατεῖτο ὑπὸ τῶν κεράτων του εἰς φυτὸν Σαβέκ[3]. Καὶ ἐπῆγεν ὁ Ἀβραὰμ καὶ ἐπῆρε τὸν κριὸν καὶ προσέφερεν αὐτὸν ὡς θυσίαν ἀντὶ τοῦ υἱοῦ του τοῦ Ἰσαάκ». Εἶδον, λέγει, τὴν εὐσέβειάν σου, ἰδοὺ ἐκεῖνο, τὸ ὁποῖον εἶπες προηγουμένως εἰς τὸ παιδί, αὐτὸ ἡτοίμασα διὰ σέ. «Καὶ ἐπῆρε τὸν κριὸν καὶ προσέφερεν αὐτὸν ὡς θυσίαν ἀντὶ τοῦ Ἰσαὰκ τοῦ υἱοῦ του». Εἶδες τὴν φιλανθρωπίαν τοῦ Θεοῦ; Καὶ ἡ θυσία ἔγινε καὶ ὁ πατριάρχης ἀπέδειξε τὴν εὐσεβῆ του ψυχὴν καὶ ἀπεκόμισε τὸν στέφανον μόνον διὰ τὴν ἀγαθήν του διάθεσιν καὶ ἀφοῦ ἐπῆρε τὸν Ἰσαὰκ ἐπέστρεψε μὲ μυρρίους στεφάνους. Ὅλα δὲ αὐτὰ ἀπεδείχθησαν ὡς τύπος τοῦ σταυροῦ. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν εἰς τοὺς Ἰουδαίους· «Ὁ Ἀβραὰμ ὁ πατήρ σας εἶχε ἀγαλλίασιν νὰ ἴδῃ τὴν ἰδικήν μου ἡμέραν καὶ εἶδε καὶ ἐχάρη»[4]. Πῶς εἶδεν αὐτός, ὁ ὁποῖος ἐγεννήθη πρὶν ἀπὸ τόσους χρόνους; Διὰ τοῦ τύπου, διὰ τῆς σκιᾶς. Ὅπως ἀκριβῶς ἐδῶ προσεφέρθη τὸ πρόβατον ἀντὶ τοῦ Ἰσαάκ, ἔτσι καὶ ὁ λογικὸς ἀμνὸς[5] προσεφέρθη ὑπὲρ τῆς οἰκουμένης. Καθ' ὅσον ἔπρεπεν ἡ ἀλήθεια νὰ προδιαγραφῇ μὲ σκιώδη μορφήν.

῎Ορα μοι γάρ, ἀγαπητέ, πῶς ἅπαντα διὰ τῆς σκιᾶς προετυποῦτο· μονογενὴς ἐκεῖ καὶ μονογενὴς ἐνταῦθα· ἀγαπητὸς ἐκεῖ καὶ γνήσιος, ἀγαπητὸς καὶ ἐνταῦθα καὶ γνήσιος. «Οὗτος γάρ ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός», φησίν, «ἐν ᾧ ηὐδόκησα». Ὑπὸ τοῦ πατρὸς ἐκεῖνος εἰς ὁλοκαύτωσιν ἀνεφέρετο, καὶ τοῦτον ὁ Πατὴρ ἐξέδωκε. Καὶ βοᾷ Παῦλος λέγων· «῞Ος γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;». Μέχρι τούτου ἡ σκιά· λοιπὸν δὲ τῶν πραγμάτων ἡ ἀλήθεια πολὺ τὸ ὑπερέχον ἐπιδείκνυται. Ὁ γὰρ ἀμνὸς οὗτος ὁ λογικὸς ὑπὲρ ἁπάσης τῆς οἰκουμένης προσεφέρετο, οὗτος τὴν οἰκουμένην ἅπασαν ἐξεκάθηρεν· οὗτος τοὺς ἀνθρώπους τῆς πλάνης ἠλευθέρωσε καὶ πρὸς τὴν ἀλήθειαν ἐπανήγαγεν· οὗτος τὴν γῆν οὐρανὸν ἐποίησεν, οὐ τῶν στοιχείων ἐναλλάξας τὴν φύσιν, ἀλλὰ τὴν ἐν τοῖς οὐρανοῖς πολιτείαν εἰς τοὺς ἐπὶ γῆς ἀνθρώπους μεταστήσας. Διὰ τούτου πᾶσα ἡ τῶν δαιμόνων θεραπεία λέλυται· διὰ τούτου οὐκ ἔτι λίθοις καὶ ξύλοις προσκυνοῦσιν ἄνθρωποι, οὐδὲ οἱ λόγῳ τετιμημένοι τοῖς ἀναισθήτοις ὑποκύπτουσιν, ἀλλὰ πᾶσα ἀπελήλαται ἡ πλάνη καὶ τὸ τῆς ἀληθείας φῶς τὴν οἰκουμένην κατηύγασεν.

4. Εἶδες τῆς ἀληθείας τὴν ὑπεροχήν; εἶδες τί μὲν ἡ σκιά, τί δὲ ἡ ἀλήθεια; «Καὶ ἐκάλεσε», φησίν, «Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Κύριος εἶδεν, ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει Κύριος ὤφθη». ῎Ορα τοῦ δικαίου τὴν φιλόθεον γνώμην, πῶς ἑκάστοτε ἐκ τῶν συμβαινόντων τὰς προσηγορίας τοῖς τόποις ἐπιτίθησι. Τὴν γὰρ παρὰ τοῦ Θεοῦ γενομένην ἐπίσκεψιν βουλόμενος, καθάπερ ἐν στήλῃ χαλκῇ, ἐναποθέσθαι τῷ τόπῳ διὰ τῆς προσηγορίας, φησί, «Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, Κύριος εἶδεν». ῎Ηρκει μὲν οὖν πρὸς ἀμοιβὴν τῷ δικαίῳ καὶ τὸ ζῶντα ἐπαναγαγεῖν τὸν Ἰσαὰκ καὶ τὸ ἀξιωθῆναι τοῦ ἐγκωμίου

6. Ματθ. 3, 17. 7. Ρωμ. 8, 32.

Πρόσεχε σὲ παρακαλῶ, ἀγαπητέ, πῶς ὅλα προετυπώθησαν μὲ σκιώδη μορφήν. Μονογενὴς ἦτο ἐκεῖ, μονογενὴς εἶναι καὶ ἐδῶ. Ἀγαπητὸς καὶ ἀληθινὸς ἐκεῖ, ἀγαπητὸς καὶ ἀληθινὸς καὶ ἐδῶ. Διότι λέγει· «Αὐτὸς εἶναι ὁ υἱός μου ὁ ἀγαπητός, εἰς τὸν ὁποῖον εὐαρεστοῦμαι»[6]. Ὑπὸ τοῦ πατρὸς ἐκεῖνος προσεφέρθη εἰς θυσίαν, καὶ Αὐτὸν ὁ Πατὴρ τὸν παρέδωσε νὰ θυσιασθῇ. Καὶ φωνάζει ὁ Παῦλος καὶ λέγει· «Αὐτὸς ὁ ὁποῖος δὲν ἐλυπήθη τὸν ἴδιον τὸν Υἱόν του, ἀλλὰ παρέδωσεν αὐτὸν πρὸς χάριν ὅλων ἡμῶν, πῶς μαζὶ μὲ αὐτὸν δὲν θὰ μᾶς χαρίσῃ τὰ πάντα;»[7]. Μέχρις αὐτοῦ τοῦ σημείου εἶναι ἡ σκιά. Ἔπειτα ὅμως ἡ ἀλήθεια τῶν πραγμάτων ἀποδεικνύεται πολὺ μεγαλυτέρα.[1] Διότι ὁ ἀμνὸς αὐτὸς ὁ λογικὸς προσεφέρθη χάριν ὁλοκλήρου τῆς οἰκουμένης, αὐτὸς ἐκαθάρισεν ὁλόκληρον τὴν οἰκουμένην ἀπὸ τὴν ἁμαρτίαν. Αὐτὸς ἐλευθέρωσε τοὺς ἀνθρώπους ἀπὸ τὴν πλάνην καὶ τοὺς ἐπανέφερεν εἰς τὴν ἀλήθειαν. Αὐτὸς ἔκαμε τὴν γῆν οὐρανόν, χωρὶς νὰ ἀλλάξῃ τὴν φύσιν τῶν πραγμάτων, ἀλλὰ μὲ τὸ νὰ μεταφέρῃ τὴν πολιτείαν τῶν οὐρανῶν εἰς τοὺς ἀνθρώπους τῆς γῆς. Μέσῳ αὐτοῦ κατελύθη κάθε λατρεία τῶν δαιμόνων. Μέσῳ αὐτοῦ οἱ ἄνθρωποι δὲν προσκυνοῦν πλέον λίθους καὶ ξύλα, οὔτε ὑποκύπτουν εἰς ἄψυχα πράγματα αὐτοί, οἱ ὁποῖοι ἔχουν προικισθῆ μὲ τὴν λογικήν, ἀλλὰ κάθε πλάνη ἐξηφανίσθη καὶ τὸ φῶς τῆς ἀληθείας κατηύγασε τὴν οἰκουμένην.

4. Εἶδες τὴν ὑπεροχὴν τῆς ἀληθείας; Εἶδες τί εἶναι ἡ σκιὰ καὶ τί εἶναι ἡ ἀλήθεια; «Καὶ ὠνόμασε ὁ Ἀβραάμ», λέγει, «τὸν τόπον ἐκεῖνον, Ὁ Κύριος εἶδεν', διὰ νὰ λέγουν μέχρις σήμερον, ὅτι ὁ Κύριος ἐφανερώθη εἰς τὸ ὄρος». Βλέπε τὴν εὐσεβῆ ψυχὴν τοῦ δικαίου, πῶς δηλαδὴ κάθε φορὰν δίδει τὰ ὀνόματα εἰς τοὺς τόπους ἀπὸ τὰ συμβάντα ἐκεῖ. Διότι, ἐπειδὴ ἤθελε νὰ κρατήσῃ ἀλησμόνητον, ὡς εἰς χαλκίνην στήλην, τὴν ἐπίσκεψιν τοῦ Θεοῦ μὲ τὴν ὀνομασίαν τοῦ τόπου, λέγει, «Καὶ ὠνόμασε τὸν τόπον ἐκεῖνον. Ὁ Κύριος εἶδεν». Ἦτο ἀρκετὴ λοιπὸν ἀμοιβὴ διὰ τὸν δίκαιον καὶ τὸ ὅτι ἐπανέφερε τὸν Ἰσαὰκ ζωντανὸν καὶ τὸ ὅτι ἠξιώθη τοῦ μεγάλου ἐπαίνου,

τοῦ μεγάλου, τοῦ, «Νῦν ἔγνων ὅτι φοβῇ τὸν Θεὸν σύ». Ἀλλ' ὁ φιλότιμος ταῖς δωρεαῖς ἀεὶ νικῶν καὶ ταῖς εὐεργεσίαις τὴν ἔννοιαν τὴν ἡμετέραν, ἐπιδαψιλεύεται καὶ νῦν τοῦ δικαίου τὴν γνώμην καὶ ἀμειβόμενός φησι πάλιν πρὸς αὐτόν· «Καὶ ἐκάλεσεν ἄγγελος Κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ οὐρανοῦ, λέγων· κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος, οὗ εἵνεκεν ἐποίησας τὸ ρῆμα τοῦτο καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, ἦ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς». Ἐπειδὴ ἐπλήρωσας, φησί, τὸ ἐπίταγμα τὸ ἐμὸν καὶ τὴν οἰκείαν ὑπακοὴν διὰ πάντων ἐπεδείξω, διὰ τοῦτο ἄκουε, ὅτι «Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος».

Ὅρα Θεοῦ συγκατάβασιν· «Κατ' ἐμαυτοῦ», φησίν, «ὤμοσα», ἵνα θαρρεῖν ἔχῃς, ὅτι πάντως ἔσται τὰ παρ' ἐμοῦ εἰρημένα. Ἐπειδὴ γὰρ οἱ ἄνθρωποι, ἐπὰν δὴ ὅρκον ἐπιθῶσι τοῖς ἐπαγγελθεῖσι, τότε ὡς βεβαίαν τὴν ὑπόσχεσιν δεξάμενοι (οὕτω διάκεινται οἱ τὴν ἐπαγγελίαν ἐσχηκότες), διὰ τοῦτο καὶ ὁ Δεσπότης τῇ ἀνθρωπίνῃ συνηθείᾳ χρησάμενός φησι· «Κατ' ἐμαυτοῦ ὤμοσα, οὗ εἵνεκεν ἐποίησας τὸ ρῆμα τοῦτο καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ». Σκόπει μοι φιλανθρωπίαν Δεσπότου. «Οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ». Καὶ μὴν ζῶντα αὐτὸν ἐπανάγει. Μὴ τὸ τέλος ἴδῃς, ἀγαπητέ, ἀλλὰ τὴν γνώμην μάθε, μεθ' ἧς ἀσυλλογίστως τὰ προσταττόμενα ἐπλήρου. Ὅσον γὰρ εἰς προαίρεσιν, ᾕμαξε τὴν δεξιὰν ὁ πατριάρχης, καὶ κατὰ τῆς δέρρας τοῦ παιδὸς ἐπαφῆκε τὸ ξίφος καὶ ἀπηρτισμένην ἀπειργάσατο τὴν θυσίαν· δι' ὃ καὶ ὁ Δεσπότης, ὡς εἰς ἔργον τῆς θυ-

του, «Τώρα άντελήφθην ότι σὺ σέβεσαι τὸν Θεόν». Ἀλλ' ὁ φιλότιμος Κύριος, ἀφοῦ ὑπερνικᾷ πάντοτε μὲ τὰς δωρεὰς καὶ τὰς εὐεργεσίας τὴν ἰδικήν μας λογικήν, ἀμείβει καὶ τώρα τὴν διάθεσιν τοῦ δικαίου καὶ ἀμείβων λέγει πάλιν πρὸς αὐτόν· «Καὶ ἐφώναξεν ὁ ἄγγελος τοῦ Κυρίου τὸν Ἀβραὰμ διὰ δευτέραν φορὰν ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν· ὡρκίσθην εἰς τὸν ἑαυτόν μου, λέγει ὁ Κύριος. Ἐπειδὴ ἐξεπλήρωσες τὴν ἐντολήν μου αὐτὴν καὶ δὲν ἐλυπήθης τὸν υἱόν σου τὸν ἀγαπητὸν δι' ἐμέ, σοῦ ὑπόσχομαι, ὅτι θὰ σὲ εὐλογήσω πλουσίως καὶ θὰ πληθύνω πολὺ τοὺς ἀπογόνους σου, ὅπως τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὅπως τὴν ἄμμον τῆς θαλάσσης καὶ οἱ ἀπόγονοί σου θὰ κληρονομήσουν τὰς πόλεις τῶν ἐχθρῶν καὶ θὰ εὐλογηθοῦν μαζὶ μὲ τοὺς ἀπογόνους σου ὅλα τὰ ἔθνη τῆς γῆς, διότι ὑπήκουσες εἰς τὴν φωνήν μου». Ἐπειδὴ ἐξεπλήρωσες τὴν ἐντολήν μου, λέγει, καὶ ἐπέδειξες τὴν ὑπακοήν σου μὲ κάθε τρόπον, διὰ τοῦτο ἄκουε, ὅτι «ὡρκίσθην εἰς τὸν ἑαυτόν μου, λέγει ὁ Κύριος».

Πρόσεχε συγκατάβασιν Θεοῦ. «Ὡρκίσθην εἰς τὸν ἑαυτόν μου, λέγει ὁ Κύριος», διὰ νὰ ἠμπορῇς νὰ εἶσαι σίγουρος, ὅτι ὁπωσδήποτε θὰ γίνουν, ὅσα ἔχω εἰπῇ. Ἐπειδὴ δηλαδὴ οἱ ἄνθρωποι δέχονται τότε ὡς βεβαίαν τὴν ὑπόσχεσιν, ὅταν δηλαδὴ δώσουν ὅρκον δι' αὐτὴν (τέτοιοι εἶναι αὐτοί, οἱ ὁποῖοι δίδουν ὑποσχέσεις), διὰ τοῦτο καὶ ὁ Κύριος ἀκολουθῶν τὴν ἀνθρωπίνην συνήθειαν λέγει· «Ὡρκίσθην εἰς τὸν ἑαυτόν μου, διότι ἐξεπλήρωσες τὴν ἐντολήν μου αὐτὴν καὶ δὲν ἐλυπήθης πρὸς χάριν μου τὸν υἱόν σου τὸν ἀγαπητόν». Πρόσεχε, παρακαλῶ, τὴν φιλανθρωπίαν τοῦ Κυρίου. «Δὲν ἐλυπήθης πρὸς χάριν μου τὸν υἱόν σου τὸν ἀγαπητόν». Καὶ ὅμως ἐπαναφέρει αὐτὸν ζῶντα. Νὰ μὴ ἰδῇς τὸ τέλος, ἀγαπητέ, ἀλλὰ νὰ γνωρίσῃς τὴν διάθεσιν, μὲ τὴν ὁποίαν χωρὶς σκέψιν ἐξεπλήρωσε τὰς ἐντολάς. Ὅσον ἀφορᾷ δὲ τὴν καλὴν διάθεσιν, ἐμάτωσε τὴν δεξιάν του ὁ πατριάρχης καὶ ἔμπηξε τὸ ξίφος εἰς τὸ δέρμα τοῦ παιδίου καὶ ἔτσι ἔκαμεν ὡλοκληρωμένην τὴν θυσίαν. Διὰ τοῦτο καὶ ὁ Κύριος ὡσὰν νὰ εἶχε

σίας ἐνεχθείσης, οὕτω τὸν ἔπαινον τοῦ δικαίου συντίθησι καί φησιν, ὅτι «Οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ». Σὺ μὲν οὐκ ἐφείσω διὰ τὸ ἐμὸν πρόσταγμα· Ἐγὼ δὲ ἐφεισάμην διὰ τὴν σὴν ὑπακοήν. Ἕνεκεν οὖν τῆς ὑπακοῆς ταύτης ἀμειβόμενός σε, «Εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ σε».

Ὅρα εὐλογίας ἐπίτασιν, ἀντὶ τοῦ, 'ἐπὶ πλέον πληθυνῶ τὸ σπέρμα σου'. Οὗτος γὰρ ὁ τῇ γνώμῃ σου σφαγιασθείς, οὕτως εἰς πλῆθος ἐκτεινόμενον ἕξει τὸ σπέρμα, ὡς τοῖς ἄστροις καὶ τῇ ἄμμῳ παρισωθῆναι, «Καὶ πάντα τὰ ἔθνη ἐνευλογηθῆναι ἐν τῷ σπέρματί σου, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς». Ταῦτα δέ σοι, φησίν, ἅπαντα ἔσται διὰ τὴν πολλὴν ὑπακοήν. Ἄρα τῶν μυρίων ἡμῖν ἀγαθῶν πρόξενον γίνεται τὸ ὑπακούειν τῷ Δεσπότῃ καὶ πείθεσθαι αὐτοῦ τοῖς προστάγμασι καὶ ὁμοίως τῷ πατριάρχῃ τούτῳ μὴ περιεργάζεσθαι τὰ παρ' αὐτοῦ ἐπιταττόμενα, ἀλλὰ καθάπερ εὐγνώμονας οἰκέτας πληροῦν τὰ διατεταγμένα καὶ τὸν ὑπὲρ τούτων λόγον παραχωρεῖν τῷ Δεσπότῃ. Ἐὰν οὖν οὕτω παιδεύσωμεν ἑαυτούς, δυνησόμεθα καὶ τὴν αὐτὴν ὑπακοὴν τῷ δικαίῳ ἐπιδείξασθαι καὶ τῶν αὐτῶν στεφάνων ἐπιτυχεῖν. Πῶς δὲ ὑπακούσομεν; Ἐὰν τὰς ἐντολὰς αὐτοῦ διὰ τῶν ἔργων πληρώσωμεν. «Οὐ γὰρ οἱ ἀκροαταί», φησί, «τοῦ νόμου δικαιωθήσονται, ἀλλ' οἱ ποιηταί». Τί γὰρ ὄφελος, ἐὰν καθ' ἑκάστην μὲν ἀκούωμεν, ἀμελῶμεν δὲ τῆς τούτων ἐργασίας; Διὸ παρακαλῶ, ἐπὶ τὴν ἐργασίαν αὐτῶν τῶν ἔργων σπεύσωμεν, οὐδὲ γὰρ ἄλλως σωθῆναι δυνατόν, ἵνα καὶ τὰ ἡμαρτημένα ἀπονιψώμεθα καὶ τῆς παρ' αὐτοῦ τοῦ Δεσπότου φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

8. Ρωμ. 2, 13.

πραγματοποιηθῇ ἡ θυσία, ἐπαινεῖ τὸν δίκαιον καὶ λέγει, ὅτι «Δὲν ἐλυπήθης πρὸς χάριν μου τὸν υἱόν σου τὸν ἀγαπητόν». Σὺ μὲν δὲν τὸν ἐλυπήθης ἐξ αἰτίας τῆς διαταγῆς μου. Ἐγὼ ὅμως τὸν ἐλυπήθην ἐξ αἰτίας τῆς ὑπακοῆς σου. Ἐξ αἰτίας λοιπὸν τῆς ὑπακοῆς σου αὐτῆς δίδων εἰς σὲ ἀμοιβήν, «Θὰ σὲ εὐλογήσω καὶ θὰ πληθύνω τοὺς ἀπογόνους σου πολύ».

Πρόσεχε μέγεθος εὐλογίας, ἀντὶ νὰ εἰπῇ 'Θὰ πληθύνω περισσότερον τοὺς ἀπογόνους σου'. Διότι αὐτός, ὁ ὁποῖος ἐσφάγη μὲ τὴν ἀπόφασίν σου, τόσον πολὺ θὰ αὐξηθοῦν οἱ ἀπόγονοί του, ὥστε νὰ ἐξισωθοῦν μὲ τὰ ἄστρα καὶ μὲ τὴν ἄμμον, «Καὶ ὅλα τὰ ἔθνη θὰ εὐλογηθοῦν μαζὶ μὲ τοὺς ἀπογόνους σου, διότι ὑπήκουσες εἰς τὴν φωνήν μου». Αὐτὰ ὅλα θὰ γίνουν εἰς σέ, λέγει, ἐξ αἰτίας τῆς μεγάλης σου ὑπακοῆς. Ἄρα ἡ ὑπακοὴ εἰς τὸν Κύριον γίνεται πρόξενος ἀναριθμήτων ἀγαθῶν δι' ἡμᾶς καὶ τὸ νὰ ὑπακούωμεν εἰς τὰ προστάγματα αὐτοῦ καὶ ὅμοια μὲ τὸν πατριάρχην αὐτὸν νὰ μὴ ἐξετάζωμεν αὐτά, τὰ ὁποῖα διατάσσει, ἀλλὰ νὰ ἐκτελῶμεν τὰς διαταγάς, ὅπως ἀκριβῶς οἱ εὐγνώμονες ὑπηρέται, καὶ νὰ ἀφήνωμεν εἰς τὸν Κύριον τὴν ἐξήγησιν αὐτῶν. Ἐὰν λοιπὸν ἐκπαιδεύσωμεν ἔτσι τοὺς ἑαυτούς μας, θὰ ἠμπορέσωμεν νὰ ἐπιδείξωμεν καὶ τὴν ἰδίαν ὑπακοὴν μὲ τὸν δίκαιον καὶ νὰ κερδήσωμεν τοὺς ἰδίους στεφάνους. Πῶς ὅμως θὰ ὑπακούσωμεν; Ἐὰν ἐκπληρώσωμεν τὰς ἐντολάς του μὲ ἔργα. Διότι λέγει· «Δὲν θὰ σωθοῦν οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλὰ ἐκεῖνοι, οἱ ὁποῖοι τὸν ἐφαρμόζουν»[8]. Διότι τί θὰ ὠφελήσῃ, ἐὰν κάθε ἡμέραν ἀκούωμεν, ἀλλ' ἀμελῶμεν νὰ ἐφαρμόσωμεν αὐτά; Διὰ τοῦτο, παρακαλῶ, νὰ σπεύσωμεν νὰ πραγματοποιήσωμεν αὐτὰ τὰ ἔργα, διότι δὲν εἶναι δυνατὸν νὰ σωθῶμεν κατ' ἄλλον τρόπον, ὥστε νὰ καθαρίσωμεν καὶ τὰς ἁμαρτίας καὶ νὰ γίνωμεν ἄξιοι τῆς φιλανθρωπίας τοῦ Κυρίου μὲ τὴν χάριν καὶ μὲ τὴν εὐσπλαχνίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα συγχρόνως καὶ εἰς τὸ ἅγιον καὶ ζωοποιὸν Πνεῦμα τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΗ΄
(Γέν. 23, 1 - 24, 67)

«Ἀπεκρίθησαν δὲ οἱ υἱοὶ τοῦ Χὲτ πρὸς Ἀβραάμ, καὶ εἶπαν· βασιλεὺς παρὰ Θεοῦ εἶ σὺ ἐν ἡμῖν, ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου».

1. Εἴδετε χθές, ἀγαπητοί, τοῦ πατριάρχου τὴν ἀνδρείαν· εἴδετε ψυχὴν ἀδάμαντος στερροτέραν, πῶς, τὸ ἧκον εἰς αὐτόν, διὰ τὸν περὶ τὸν Θεὸν πόθον ἱερεὺς τοῦ παιδὸς ἐγένετο καὶ τῇ μὲν γνώμῃ ἥμαξε τὴν δεξιὰν καὶ τὸ ἱερεῖον προσήνεγκε· διὰ δὲ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν σῶον καὶ ὑγιῆ τὸν παῖδα λαβὼν ἐπανῄει καὶ ἀπὸ τῆς προαιρέσεως ἀνεκηρύττετο ὁ πατριάρχης καὶ τὸν στέφανον λαμπρὸν ἀνεδήσατο καὶ τοῦτον τὸν τελευταῖον ἀγῶνα ἠγωνίσατο καὶ διὰ πάντων τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης ἐπεδείξατο. Ἴδωμεν καὶ σήμερον τοῦ δικαίου τούτου τὸ φιλόστοργον, ὅσην ποιεῖται τοῦ παιδὸς τὴν κηδεμονίαν. Ἐπειδὴ γὰρ μετὰ τὸ ἀπὸ τῆς θυσίας ταύτης ἐπανελθεῖν τῆς καινῆς καὶ παραδόξου διεδέξατο αὐτὸν τῆς Σάρρας τὸ πένθος, αἰτήσας παρὰ τῶν υἱῶν Χὲτ κτῆσιν τάφου καὶ πριάμενος τὸν τόπον, ἀπέθετο τὸν νεκρὸν καὶ ταύτην πρώτην ἀρχὴν κτήσεως ποιεῖται ὁ πατριάρχης διὰ τὴν τῆς Σάρρας τελευτήν.

Δεικνῦσα γὰρ ἡμῖν ἡ θεία Γραφὴ διὰ πάντων τοῦ δικαίου τὴν ἀρετὴν καὶ ὅτι ὡς πάροικος καὶ παρεπίδημος ἅπαντα διῆγε τὸν χρόνον, καὶ τοῦτο ἐπεσημήνατο, ἵνα μάθωμεν, ὅτι ὁ τοσαύτης ἀπολαύλων τῆς ἄνωθεν συμμαχίας, καὶ οὕτω περιφανὴς γεγονὼς καὶ ἐπὶ τοσοῦτον πλῆθος ἐκταθείς, οἰκεῖον τόπον οὐκ ἐ-

---

1. Ἡ Σάρρα, ἀφοῦ ἔζησεν ἑκατὸν εἴκοσι ἑπτὰ ἔτη, ἀπέθανεν εἰς τὴν πόλιν Χεβρών, εἰς τὴν Χαναάν. Ἐκεῖ σὰν ξένος ποὺ ἦτο ἐζήτησε

Ο Μ Ι Λ Ι Α ΜΗ΄
(Γέν. 23, 1 - 24, 67)

«Καὶ ἀπεκρίθησαν εἰς τὸν Ἀβραὰμ οἱ υἱοὶ τοῦ Χὲτ καὶ εἶπον· Σὺ εἶσαι μεταξὺ ἡμῶν ὡς ἡγεμὼν ἐκ Θεοῦ. Εἰς ἕνα ἀπὸ τὰ πιὸ ἐκλεκτὰ μνημεῖα μας θάψε τὸν νεκρόν σου»[1].

1. Εἴδετε χθές, ἀγαπητοί, τὴν γενναιότητα τοῦ πατριάρχου. Εἴδετε ψυχὴν πιὸ σταθερὰν καὶ ἀπὸ τὸν ἀδάμαντα, ὅτι δηλαδή, ὅσον ἦτο δυνατὸν εἰς αὐτόν, ἔγινεν ἱερεύς, θύτης τοῦ παιδίου ἐξ αἰτίας τῆς ἀγάπης πρὸς τὸν Θεὸν καὶ μὲ τὴν θέλησίν του ἐμάτωσε τὴν δεξιὰν καὶ προσέφερε τὸ θῦμα. Λόγῳ ὅμως τῆς ἀπεριγράπτου φιλανθρωπίας τοῦ Θεοῦ ἐπῆρε σῶον καὶ ὑγιῆ τὸν υἱόν του καὶ ἐπέστρεψεν. Ὁ πατριάρχης ἐτιμήθη διὰ τὴν καλήν του διάθεσιν καὶ ἀπεκόμισε τὸν λαμπρὸν στέφανον καὶ ἠγωνίσθη αὐτὸν τὸν τελευταῖον ἀγῶνα καὶ ἐφανέρωσε μὲ ὅλα αὐτὰ τὴν εὐσέβειάν του. Ἂς ἴδοῦμεν καὶ σήμερον τὴν μεγάλην στοργὴν αὐτοῦ τοῦ δικαίου, πόσον δηλαδὴ φροντίζει διὰ τὸν υἱόν του. Ἐπειδὴ λοιπὸν μετὰ τὴν ἐπιστροφήν του ἀπὸ τὴν θυσίαν αὐτὴν τὴν πρωτοφανῆ καὶ παράδοξον, ἠκολούθησεν ὁ θάνατος καὶ τὸ πένθος διὰ τὴν Σάρραν, ἀφοῦ ἐζήτησεν ἀπὸ τοὺς υἱοὺς τοῦ Χὲτ νὰ ἀποκτήσῃ τάφον καὶ ἀφοῦ ἠγόρασε τόπον, ἀπέθεσε τὸν νεκρὸν καὶ κάνει τὴν πρώτην αὐτὴν ἀρχὴν τῆς ἰδιοκτησίας ὁ πατριάρχης ἐξ ἀφορμῆς τοῦ θανάτου τῆς Σάρρας.

Ἀφοῦ λοιπὸν ἡ ἁγία Γραφὴ μᾶς ἐφανέρωσε μὲ ὅλα αὐτὰ τὴν ἀρετὴν τοῦ δικαίου καὶ ὅτι ἐπερνοῦσεν ὅλον τὸν χρόνον τῆς ζωῆς του ὡς ξένος καὶ φιλοξενούμενος, μᾶς ἐπεσήμανε καὶ αὐτό, διὰ νὰ μάθωμεν, ὅτι αὐτὸς ποὺ εἶχε δεχθῆ τόσην βοήθειαν ἐκ τοῦ οὐρανοῦ καὶ ἔγινε τόσον ὀνομαστὸς καὶ ἔφθασεν εἰς τόσον πλῆθος ἀπογόνων, δὲν

χῶρον γιὰ νὰ τὴν θάψῃ ἀπὸ τοὺς υἱοὺς τοῦ Χέτ, τοὺς Χετταίους, καὶ αὐτοὶ τοῦ παρεχώρησαν. Γέν. 23, 1 - 6.

κτήσατο, καθάπερ νῦν πολλοὶ ποιοῦσιν, ἀγροὺς καὶ κώμας καὶ πολλήν τινα καὶ ἄφατον περιουσίαν κατακτᾶσθαι σπουδάζοντες. Εἶχε γὰρ ἀρκοῦντα πλοῦτον τὸν ἀπὸ τῆς γνώμης καὶ οὐδεμίαν περὶ ταῦτα ἐποιεῖτο τὴν σπουδήν. Ἀκουέτωσαν οἱ ἀθρόον καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ τὰ πάντων περιβαλλόμενοι καὶ πανταχοῦ, ὡς εἰπεῖν, τῆς οἰκείας πλεονεξίας τὴν ἐπιθυμίαν ἐκτείνοντες καὶ μιμείσθωσαν τὸν πατριάρχην, τὸν οὐδὲ ὅπου καταθῇ τῆς Σάρρας τὸ λείψανον ἐσχηκότα, μέχρις ὅτε, καὶ ὑπ' αὐτῆς τῆς ἀνάγκης ὠθούμενος, ὠνήσατο τὸν ἀγρὸν καὶ τὸ σπήλαιον παρὰ τῶν υἱῶν Χέτ. Ὅτι γὰρ περίβλεπτος ἦν παρὰ τοῖς τὴν Χαναναίαν οἰκοῦσιν, ἄκουε τῶν υἱῶν Χὲτ πρὸς αὐτὸν λεγόντων· «Βασιλεὺς παρὰ Θεοῦ σὺ εἶ ἐν ἡμῖν, ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου· οὐδεὶς γὰρ ἡμῶν οὐ μὴ κωλύσῃ τὸ μνημεῖον αὐτοῦ ἀπὸ σοῦ».

Ἀλλ' ὅρα τὸν δίκαιον, ὅπως κἀκείνους παιδεύει δι' αὐτῶν τῶν ἔργων τὴν οἰκείαν φιλοσοφίαν καὶ οὐ πρότερον ἀνέχεται λαβεῖν τὸ μνημεῖον, πρὶν ἂν τὴν δικαίαν καταβάλῃ τιμήν. Εἰ γὰρ καὶ ὑμεῖς, φησίν, οὕτω περὶ ἐμὲ εὐγνώμονες γεγόνατε, ἀλλ' ἐγὼ οὐκ ἀνέξομαι, εἰ μὴ πρότερον τὴν δέουσαν τιμὴν καταβάλοιμι, λαβὼν παρ' ὑμῶν τὸ μνημεῖον. Καὶ δούς, φησί, τὸ ἀργύριον ἔλαβε τὸ μνημεῖον καὶ «Ἔθαψε Σάρραν τὴν γυναῖκα αὐτοῦ ἐν τῷ σπηλαίῳ τοῦ ἀγροῦ τῷ διπλῷ, ὅ ἐστιν ἀπέναντι Μαμβρῇ». Καὶ ὁ οὕτω περιφανὴς καὶ περίβλεπτος καὶ τοσαύτην παρρησίαν παρὰ τῷ Θεῷ ἔχων καὶ παρὰ πάντων, ὡς εἰπεῖν, τῶν αὐτόθι τοσαύτης ἀπολαύων θεραπείας, ὡς καὶ τοὺς υἱοὺς Χὲτ βασιλέα αὐτὸν ὀνομάζειν, οὐδὲ βῆμα ποδὸς ἐκέκτητο. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἀνακηρύττων τοῦ δικαίου τούτου τὴν ἀρετήν, γράφων ἔλεγε· «Πίστει παρῴκησεν Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας

εἶχε ἀποκτήσει ἰδικόν του τόπον, ὅπως κάμνουν τώρα πολλοί, οἱ ὁποῖοι φροντίζουν νὰ ἀποκτήσουν ἀγροὺς καὶ κώμας καὶ πολλὴν ἄλλην καὶ ὑπέρογκον περιουσίαν. Διότι ὁ Ἀβραὰμ εἶχεν ἀρκετὸν πλοῦτον θελήσεως καὶ δὲν ἐφρόντιζε καθόλου δι' αὐτά. Ἂς ἀκούσουν ἐκεῖνοι, οἱ ὁποῖοι ἀπότομα καὶ εἰς μίαν μεταβολὴν τῶν πραγμάτων ἀποκτοῦν τὰ πάντα καὶ παντοῦ, ὅπως θὰ ἐλέγαμεν, ἐπεκτείνουν τὴν ἐπιθυμίαν τῆς πλεονεξίας των καὶ ἂς μιμηθοῦν τὸν πατριάρχην, ὁ ὁποῖος δὲν εἶχεν οὔτε ποῦ νὰ ἐναποθέσῃ τό λείψανον τῆς Σάρρας, μέχρις ὅτου ὠθούμενος ἀπὸ τὴν ἀνάγκην ἠγόρασε τὸν ἀγρὸν καὶ τὸ σπήλαιον ἀπὸ τοὺς υἱοὺς τοῦ Χέτ. Ὅτι δηλαδὴ ὁ Ἀβραὰμ ἦτο ἀξιοθαύμαστος ἀπὸ τοὺς κατοίκους τῆς Χαναάν, ἄκουε τοὺς υἱοὺς τοῦ Χέτ, οἱ ὁποῖοι ἔλεγον πρὸς αὐτόν· «Σὺ εἶσαι μεταξὺ ἡμῶν ὡς βασιλεὺς ἐκ Θεοῦ. Εἰς ἕνα ἀπὸ τὰ πιὸ ἐκλεκτά μας μνημεῖα θάψε τὸν νεκρόν σου, διότι κανεὶς ἀπὸ ἡμᾶς δὲν θὰ ἀρνηθῇ τὸ μνημεῖον του ἀπὸ ἐσένα».

Πρόσεχε ὅμως, πῶς ὁ δίκαιος διδάσκει καὶ ἐκείνους μὲ τὰ ἴδια τὰ ἔργα τὴν ἀρετήν του καὶ δὲν δέχεται προηγουμένως νὰ πάρῃ τὸ μνημεῖον, προτοῦ καταβάλῃ τὴν πραγματικήν του ἀξίαν. Ἂν καὶ σεῖς, λέγει, μὲ ἔχετε εὐεργετήσει τόσον, ἐγὼ ὅμως δὲν θὰ ἀνεχθῶ νὰ πάρω ἀπὸ σᾶς τὸ μνημεῖον, ἐὰν προηγουμένως δὲν καταβάλω τὴν τιμὴν ποὺ πρέπει. Καὶ ἀφοῦ ἔδωσε τὰ χρήματα, λέγει, ἐπῆρε τὸ μνημεῖον καὶ «Ἔθαψε τὴν Σάρραν τὴν γυναῖκα του εἰς τὸ διπλὸν σπήλαιον τοῦ ἀγροῦ, τὸ ὁποῖον εὑρίσκεται ἀπέναντι ἀπὸ τὴν δρῦν Μαμβρῆ». Καὶ αὐτὸς ὁ ἀξιοθαύμαστος καὶ περιφανής, ποὺ εἶχε τόσην παρρησίαν ἐνώπιον τοῦ Θεοῦ καὶ ἀπελάμβανε τόσον μεγάλην τιμὴν ἀπὸ ὅλους αὐτούς, οἱ ὁποῖοι κατῴκουν ἐδῶ, διὰ νὰ εἰπῶ ἔτσι, ὥστε καὶ οἱ υἱοὶ τοῦ Χὲτ νὰ τὸν ἀποκαλοῦν βασιλέα, αὐτὸς δὲν εἶχεν οὔτε βῆμα γῆς. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος διακηρύττων τὴν ἀρετὴν τοῦ δικαίου αὐτοῦ ἔλεγε· «Μὲ τὴν πίστιν ὁ Ἀβραὰμ κατῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ξένος εἰς ξένην χώραν, ἀφοῦ ἔζησε μέσα

μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς».

Εἶτα διδάσκων ἡμᾶς πῶς πίστει παρῴκησεν, ἐπήγαγεν· «Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός». Τῇ ἐλπίδι, φησί, τῶν μελλόντων ὑπερεώρα τῶν παρόντων καὶ τῇ προσδοκίᾳ τῶν μειζόνων ἔλαττον ἐφρόντιζε τούτων τῶν ἐν τῷ παρόντι βίῳ· καὶ ταῦτα πρὸ τοῦ νόμου καὶ πρὸ τῆς χάριτος. Ποίαν οὖν ἕξομεν ἡμεῖς ἀπολογίαν, εἰπέ μοι, οἱ μετὰ τοσαύτας ἐπαγγελίας καὶ τὰς ὑποσχέσεις τῶν ἀπορρήτων ἀγαθῶν πρὸς τὰ παρόντα ἐπτοημένοι καὶ ὠνούμενοι ἀγροὺς καὶ πανταχοῦ φαιδρύνεσθαι σπουδάζοντες καὶ ἀπὸ πλεονεξίας καὶ ἁρπαγῆς ταῦτα ἅπαντα συλλέγοντες καὶ ὅπερ ὁ μακάριος προφήτης θρηνῶν ἔλεγε, τοῦτο διὰ τῶν ἔργων πληροῦντες, «Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι»; Ἢ οὐχὶ ταῦτα καθ' ἑκάστην ἡμέραν ὁρῶμεν γινόμενα καὶ χήρας μὲν ἁρπαζομένας, ὀρφανοὺς δὲ ἀποδυομένους καὶ τοὺς ἀσθενεῖς ὑπὸ τῶν δυνατωτέρων πιεζομένους; Ἀλλ' οὐχ οὕτως ὁ δίκαιος οὗτος· ἀλλὰ καὶ μνημεῖον ὠνήσασθαι βουληθείς, ἐπειδὴ εἶδεν ἑτοίμους διαδοῦναι βουλομένους τοὺς αἰτηθέντας, οὐ πρότερον ἠνέσχετο, πρὶν ἢ τὴν δικαίαν κατέβαλε τιμήν.

Ἅπερ ἐννοοῦντες, ἀγαπητοί, μιμησώμεθα οἱ ἐν τῇ χάριτι τὸν πρὸ τοῦ νόμου καὶ μὴ περὶ τὴν τῶν πλειόνων ἐπιθυμίαν ἐκκαιόμενοι, μεῖζον ἑαυτοῖς καὶ σφοδρότερον ἐπισωρεύωμεν τὸ πῦρ τὸ ἄσβεστον, τὴν φλόγα τὴν ἀφόρητον. Ἀκουσόμεθα γάρ, εἰ ἐπιμένοιμεν

---

2. Ἑβρ. 11, 9.
3. Ἑβρ. 11, 10.
4. Ἡσ. 5, 8.

εἰς τὰς σκηνὰς μαζὶ μὲ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ, οἱ ὁποῖοι ἦσαν συγκληρονόμοι τῆς ἰδίας ὑποσχέσεως»[2].

Ἔπειτα ὁ Παῦλος ἐξηγῶν εἰς ἡμᾶς πῶς κατῴκησεν ἐκεῖ μὲ τὴν πίστιν, προσέθεσε· «Διότι ἀνέμενε τὴν πόλιν, ἡ ὁποία εἶχε τὰ θεμέλια καὶ τῆς ὁποίας τεχνίτης καὶ δημιουργὸς ἦτο ὁ Θεός»[3]. Μὲ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν, λέγει, περιεφρόνει τὰ παρόντα καὶ μὲ τὴν προσδοκίαν τῶν μεγαλυτέρων ἐφρόντιζεν ὀλιγώτερον διὰ τὰ πράγματα τῆς παρούσης ζωῆς. Καὶ αὐτὰ συνέβαινον πρὶν ἀπὸ τὸν νόμον τοῦ Μωυσέως καὶ πρὶν ἀπὸ τὴν ἔλευσιν τῆς χάριτος τοῦ Χριστοῦ. Εἰπέ μου, ποίαν ἀπολογίαν θὰ ἔχωμεν ἡμεῖς, οἱ ὁποῖοι μετὰ ἀπὸ τόσας ἐπαγγελίας καὶ ὑποσχέσεις διὰ τὰ ἀνέκφραστα οὐράνια ἀγαθά, ἐνικήθημεν ἀπὸ τὰ παρόντα καὶ ἀγοράζομεν ἀγροὺς καὶ παντοῦ φροντίζομεν διὰ τὴν ἀπόλαυσιν καὶ συγκεντρώνομεν ὅλα αὐτὰ ἀπὸ πλεονεξίαν καὶ διάθεσιν δι' ἁρπαγὴν καὶ πραγματοποιοῦμεν μὲ ἔργα ἐκεῖνο, τὸ ὁποῖον ὁ μακάριος προφήτης ἔλεγε μὲ θρήνους, «Ἀλλοίμονον εἰς ἐκείνους, οἱ ὁποῖοι πλησιάζουν τὴν οἰκίαν των εἰς τὴν οἰκίαν τοῦ ἄλλου καὶ τὸν ἀγρὸν των εἰς τὸν ἀγρὸν τοῦ ἄλλου, διὰ νὰ ἀφαιρέσουν κάτι ἀπὸ τὸν πλησίον των»[4]; Ἢ μήπως δὲν βλέπομεν αὐτὰ νὰ γίνωνται κάθε ἡμέραν, καὶ αἱ χῆραι νὰ ληστεύωνται, τὰ ὀρφανὰ δὲ νὰ γυμνώνωνται καὶ οἱ ἀδύνατοι νὰ καταπιέζωνται ἀπὸ τοὺς δυνατούς; Ὁ δίκαιος ὅμως Ἀβραὰμ δὲν ἔκαμεν ἔτσι, ἀλλὰ καὶ ὅταν ἠθέλησε νὰ ἀγοράσῃ μνημεῖον, ἐπειδὴ εἶδεν, ὅτι αὐτοί, ἀπὸ τοὺς ὁποίους εἶχε ζητήσει, ἤθελον μὲ προθυμίαν νὰ τοῦ τὸ δώσουν, δὲν ἠνέχθη νὰ γίνῃ αὐτό, προτοῦ καταβάλῃ τὴν δικαίαν τιμήν.

Ἔχοντες ὑπ' ὄψιν αὐτά, ἀγαπητοί, ἂς μιμηθῶμεν ἡμεῖς, οἱ ὁποῖοι ζῶμεν εἰς τὴν ἐποχὴν τῆς χάριτος, αὐτόν, ὁ ὁποῖος ἔζησε πρὶν ἀπὸ τὸν νόμον τοῦ Μωυσέως καὶ νὰ μὴ συσσωρεύωμεν διὰ τοὺς ἑαυτούς μας μεγαλύτερον καὶ σφοδρότερον τὸ πῦρ τὸ ἄσβεστον καὶ τὴν ἀφόρητον φλόγα φλεγόμενοι ἀπὸ τὴν ἐπιθυμίαν τῆς ἀποκτήσεως περισσοτέρων. Ἐὰν ἐπιμένωμεν εἰς αὐτὰς τὰς ἁρπαγὰς καὶ

ταῖς τοιαύταις ἁρπαγαῖς καὶ πλεονεξίαις, τὰ πρὸς τὸν πλούσιον ἐκεῖνον εἰρημένα· «Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἐπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;». Τίνος γὰρ ἕνεκεν, ἀγαπητέ, τοσαῦτα συλλέγειν σπουδάζεις, ἅπερ μετ' οὐ πολὺ μέλλων ἐντεῦθεν ἀφαρπάζεσθαι καταλείψεις ἐνταῦθα, οὐ μόνον οὐδὲν ἀπ' αὐτῶν καρπώσασθαι δυνηθείς, ἀλλὰ καὶ τὸ φορτίον τῶν ἁμαρτημάτων ἐπὶ τῶν οἰκείων ὤμων ἐπιφερόμενος, καὶ ἄπρακτα λοιπὸν μεταγινώσκων; Καὶ τὰ μὲν παρὰ σοῦ μετὰ πλεονεξίας συλλεγέντα πολλάκις καὶ εἰς τὰς τῶν ἐχθρῶν χεῖρας ἐλεύσεται· αὐτὸς δὲ τὴν ἐπὶ τούτοις δίκην ἀπαιτηθήσῃ. Ποίας οὖν οὐκ ἂν εἴη τοῦτο παραφροσύνης, τὸ ἑτέροις πονεῖσθαι καὶ αὐτὸς τὴν ἐπὶ τούτοις δίκην διδόναι;

2. Ἀλλ' εἰ καὶ πρότερον οὕτω τὰ καθ' ἑαυτοὺς ῥαθύμως διεθήκαμεν, νῦν γοῦν τὸ δέον ϐουλευσώμεθα καὶ μὴ ἁπλῶς περιϐάλλεσθαι σπουδάζωμεν πολλὴν τὴν περιουσίαν, ἀλλὰ πολλὴν τοῦ δικαίου ποιώμεθα πρόνοιαν. Οὐδὲ γὰρ μέχρι τοῦ παρόντος στήσεται τὰ ἡμέτερα, οὐδὲ ἐπὶ τῆς ξένης διὰ παντὸς ἐσόμεθα, ἀλλὰ μετ' οὐ πολὺ εἰς τὴν οἰκείαν ἐπανήξομεν πατρίδα. Πάντα οὖν ποιῶμεν, ὥστε μὴ ἐκεῖ ἐν ἐνδείᾳ ἡμᾶς γενέσθαι. Τί γὰρ ὄφελος ἐν ξένῃ μὲν πολὺν τὸν πλοῦτον καταλιπεῖν, ἐν δὲ τῇ οἰκείᾳ πατρίδι μηδὲ τῶν ἀναγκαίων τὴν χρείαν ἔχειν; Σπεύσωμεν οὖν, παρακαλῶ, ὡς ἔτι καιρὸς καὶ τὰ ἐπὶ τῆς ξένης ἐκεῖ μεταθῶμεν. Εἰ γὰρ καὶ πολὺ τὸ διάστημα, ἀλλὰ σφόδρα εὔκολος ἡ μετακομιδή. Καὶ γὰρ οἱ μετακομίζοντες ἕτοιμοι καὶ μετὰ ἀσφαλείας ἐκεῖσε ϐαδίζοντες καὶ ἐν ἀσύλῳ θησαύρῳ ἀποτιθέμενοι, ἅπερ ἂν δι' αὐτῶν προαποστεῖλαι δυνηθῶμεν. Αἱ γὰρ τῶν πενήτων χεῖρες εἰς ταμιεῖα τῶν οὐρανῶν ἀποτίθενται τὰ παρ' ἡμῶν διδόμενα. Ὅταν οὖν καὶ ἡ εὐκολία ᾖ τοσαύτη καὶ

---

5. Λουκᾶ 12, 20.

τὰς πλεονεξίας, θὰ ἀκούσωμεν αὐτά, τὰ ὁποῖα ἐλέχθησαν πρὸς ἐκεῖνον τὸν πλούσιον. «Ἄφρον, αὐτὴν τὴν νύκτα ζητοῦν ἀπὸ ἐσένα τὴν ψυχήν σου. Αὐτὰ τὰ ὁποῖα ἑτοίμασες, ποίου θὰ εἶναι;»[5]. Διότι διὰ ποῖον λόγον, ἀγαπητέ, φροντίζεις νὰ συγκεντρώνῃς τόσα πολλά, τὰ ὁποῖα μετὰ ἀπὸ ὀλίγον θὰ τὰ ἐγκαταλείψῃς, ἀφοῦ πρόκειται νὰ φύγῃς ἀπ' ἐδῶ καὶ ὄχι μόνον δὲν θὰ ἠμπορέσῃς νὰ κερδήσῃς τίποτε ἐξ αὐτῶν, ἀλλὰ καὶ θὰ μεταφέρῃς τὸ φορτίον τῶν ἁμαρτιῶν εἰς τοὺς ὤμους σου καὶ θὰ μετανοῇς κατόπιν ματαίως; Καὶ αὐτὰ τὰ ὁποῖα σὺ ἐσυγκέντρωσες ἀπὸ πλεονεξίαν θὰ περιέλθουν πολλὰς φορὰς εἰς τὰς χεῖρας τῶν ἐχθρῶν, σὺ ὅμως ὁ ἴδιος θὰ ζητηθῇς νὰ δώσῃς λόγον δι' αὐτά. Ποίας παραφροσύνης λοιπὸν ἔργον δὲν θὰ ἦτο αὐτό, τὸ νὰ κουράζεσαι δηλαδὴ διὰ τοὺς ἄλλους καὶ σὺ ὁ ἴδιος νὰ τιμωρῆσαι δι' αὐτά;

2. Ἀλλὰ καὶ ἂν προηγουμένως ἐδείξαμεν ἀμέλειαν διὰ τὰ ἰδικά μας πράγματα, τώρα ὅμως ἂς σκεφθῶμεν νὰ κάμωμεν τὸ πρέπον καὶ νὰ μὴ φροντίζωμεν μόνον νὰ ἀποκτῶμεν μεγάλην περιουσίαν, ἀλλὰ νὰ φροντίζωμεν πολὺ διὰ τὴν δικαιοσύνην. Καθ' ὅσον δὲν θὰ σταματήσῃ μέχρις ἐδῶ ἡ ζωή μας, οὔτε θὰ εὑρισκώμεθα αἰωνίως εἰς τὴν ξένην πατρίδα τὴν γῆν, ἀλλὰ μετὰ ἀπ' ὀλίγον θὰ ἐπανέλθωμεν εἰς τὴν ἰδικήν μας πατρίδα τὸν οὐρανόν. Νὰ κάνωμεν λοιπὸν τὰ πάντα, διὰ νὰ μὴ εὑρεθῶμεν ἐκεῖ εἰς ἀνάγκην. Διότι, ποῖον τὸ ὄφελος νὰ ἀφήσωμεν πολὺν πλοῦτον εἰς τὴν ξένην πατρίδα, ἐνῷ εἰς τὴν ἰδικήν μας νὰ μὴ ἔχωμεν οὔτε τὰ ἀναγκαῖα; Ἂς σπεύσωμεν λοιπόν, παρακαλῶ, ἐν ὅσῳ εἶναι ἀκόμη καιρὸς καὶ ἂς μεταφέρωμεν ἐκεῖ τὰ πράγματα πού ἔχομεν εἰς τὴν ξένην πατρίδα. Καθ' ὅσον ἂν καὶ εἶναι μεγάλη ἡ ἀπόστασις, ὅμως ἡ μεταφορὰ εἶναι πολὺ εὔκολος. Μάλιστα οἱ μεταφορεῖς εἶναι ἕτοιμοι καὶ μὲ ἀσφάλειαν βαδίζουν πρὸς τὰ ἐκεῖ καὶ ἐναποθέτουν εἰς ἀσφαλὲς θησαυροφυλάκιον, ὅσα ἡμεῖς θὰ ἠμπορέσωμεν νὰ στείλωμεν δι' αὐτῶν ἐκ τῶν προτέρων. Διότι αἱ χεῖρες τῶν πτωχῶν ἀποθέτουν εἰς τὰ ταμεῖα τῶν οὐρανῶν αὐτά, τὰ ὁποῖα τοὺς δίδομεν ἡμεῖς. Ὅταν λοιπὸν καὶ

ἀσφάλεια, τίνος ἕνεκεν ἀναδυόμεθα, οὐχὶ δὲ μετὰ πάσης σπουδῆς τοῦτο διαπραττόμεθα, ἵνα ἐκεῖ ταῦτα εὕρωμεν, ἔνθα μάλιστα αὐτῶν χρῄζομεν; Διὰ τοῦτο καὶ ὁ πατριάρχης οὗτος ὡς ἀλλοτρίαν κατῴκει τὴν Χαναναίαν, ἐπειδὴ ἐκείνην «Ἐξεδέχετο τὴν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός». Ἐὰν τοίνυν βουληθῶμεν τὸν δίκαιον τοῦτον μιμήσασθαι, καὶ ἡμεῖς εἰς ἐκείνην καταντήσομεν ἂν καὶ εἰς τοὺς κόλπους τοῦ πατριάρχου φθάσομεν. Ἡ γὰρ κοινωνία τῶν πράξεων καὶ τῆς ἀπολαύσεως τὴν κοινωνίαν ἡμῖν χαρίζεται. Ἀλλ', εἰ δοκεῖ, ἐπανέλθωμεν λοιπὸν ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου καὶ ἴδωμεν μετὰ τὸν τῆς Σάρρας θάνατον, ὅσην ὁ δίκαιος ποιεῖται φροντίδα τοῦ παιδός, τοῦ Ἰσαὰκ λέγω. Ἀκούσωμεν τοίνυν τῆς θείας Γραφῆς διηγουμένης ἡμῖν.

«Καὶ Ἀβραάμ», φησίν, «ἦν πρεσβύτερος, προβεβηκὼς ἡμερῶν. Καὶ Κύριος ηὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα». Τίνος ἕνεκεν τοῦτο ἡμῖν ἐπεσημήνατο; Ἐπειδὴ μέλλει φροντίδα ποιεῖσθαι τοῦ Ἰσαὰκ καὶ σπουδήν, ὥστε νύμφην αὐτῷ ἀγαγέσθαι, διὰ τοῦτο ἐσήμανεν ἡμῖν τὴν ἡλικίαν τοῦ πατριάρχου. Ἡνίκα γάρ, φησί, πρὸς ἔσχατον γῆρας ἤλασε, βουλόμενος τὸν Ἰσαὰκ τῆς τῶν Χαναναίων συγγενείας ἀπαλλάξαι, ἵνα μὴ ἐκεῖθεν ἀγάγηται γυναῖκα, καλέσας, φησί, τῶν οἰκετῶν τὸν εὐνούστερον, ἐντέλλεται αὐτῷ περὶ τούτου καί φησι· «Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου». Τῇ μὲν Ἑλλάδι γλώττῃ οὕτω γέγραπται, «Ὑπὸ τὸν μηρόν μου»· ἐν δὲ τῇ Ἑβραΐδι φασίν, «Ὑπὸ τὴν ὀσφύν». Καὶ τίνος ἕνεκεν οὕτω φησίν; Ἰδίωμα τοῦτο τῶν παλαιῶν ἀνδρῶν ἦν. Ἄλλως δὲ καὶ ἐπειδὴ ἐντεῦθεν ἡ ἀρχὴ τοῦ Ἰσαὰκ γεννήσεως γέγονε. Καὶ ἵνα μάθῃς, ὅτι συνηθείας τινὸς ἦν τὸ γινόμενον, ὅρα αὐτὸν ἐπιτάττοντα τὴν μὲν χεῖρα αὐτόθι ἐπιθεῖναι, εὐθέως δὲ ἐπάγοντα· «Καὶ ἐξορκιῶ σε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τὸν Θεὸν τῆς γῆς». Ὅρα, πῶς καὶ τὸν οἰκέτην διδάσκει εἰδέναι τὸν τῶν ἁ-

ἡ εὐκολία καὶ ἡ ἀσφάλεια εἶναι τόση, διατί ὑποχωροῦμεν καὶ δὲν πράττομεν αὐτὸ μὲ πολλὴν φροντίδα, διὰ νὰ εὕρωμεν αὐτὰ ἐκεῖ, ὅπου κατ' ἐξοχὴν μᾶς χρειάζονται; Διὰ τοῦτο καὶ ὁ πατριάρχης αὐτὸς κατῴκει τὴν Χαναάν, ὡσὰν νὰ ἦτο ξένη, ἐπειδὴ δηλαδὴ ἐκείνην «Ἀνέμενε τὴν πόλιν, τῆς ὁποίας τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός». Ἐὰν λοιπὸν θελήσωμεν νὰ μιμηθῶμεν αὐτὸν τὸν δίκαιον, θὰ ἠμπορέσωμεν καὶ ἡμεῖς νὰ φθάσωμεν εἰς αὐτὴν τὴν πόλιν καὶ νὰ ἔλθωμεν εἰς τοὺς κόλπους τοῦ πατριάρχου. Διότι ἡ συμμετοχὴ εἰς τὰς πράξεις μᾶς χαρίζει καὶ τὴν συμμετοχὴν εἰς τὴν ἀπόλαυσιν. Ἀλλ' ἄς ἐπανέλθωμεν, ἐὰν θέλετε, εἰς τὴν συνέχειαν τοῦ λόγου καὶ ἄς ἰδοῦμεν μετὰ τὸν θάνατον τῆς Σάρρας, πόσον ὁ δίκαιος φροντίζει διὰ τὸ παιδί, ἐννοῶν τὸν Ἰσαάκ. Ἄς ἀκούσωμεν λοιπὸν τὴν ἁγίαν Γραφήν, ἡ ὁποία μᾶς διηγεῖται.

«Καὶ ὁ Ἀβραάμ», λέγει, «ἦτο γέρων προχωρημένος εἰς τὴν ἡλικίαν. Ὁ Θεὸς εὐλόγησε τὸν Ἀβραὰμ εἰς ὅλα». Διὰ ποῖον λόγον μᾶς ἐπεσήμανεν αὐτό; Ἐπειδὴ πρόκειται νὰ φροντίσῃ διὰ τὸν Ἰσαάκ, ὥστε νὰ τὸν νυμφεύσῃ, διὰ τοῦτο μᾶς ἐφανέρωσε τὴν ἡλικίαν τοῦ πατριάρχου. Διότι λέγει ἡ Γραφή, ὅταν ὁ Ἀβραὰμ ἔφθασεν εἰς τὸ τελευταῖον στάδιον τῶν γηρατειῶν, ἐπειδὴ ἤθελε νὰ ἀπαλλάξῃ τὸν Ἰσαὰκ ἀπὸ τὴν συγγένειαν τῶν Χαναναίων, διὰ νὰ μὴ πάρῃ γυναῖκα ἀπὸ ἐκεῖ, ἀφοῦ ἐκάλεσε, λέγει, τὸν πιὸ πιστὸν ἀπὸ τοὺς δούλους του, τοῦ δίδει ἐντολὴν δι' αὐτὸ καὶ τοῦ λέγει· «Βάλε τὴν χεῖρα σου ὑπὸ τὸν μηρόν μου». Εἰς μὲν τὴν ἑλληνικὴν γλῶσσαν ἔτσι ἔχει γραφῇ· «Ὑπὸ τὸν μηρόν μου», εἰς δὲ τὴν ἑβραϊκὴν λέγουν, «Ὑπὸ τὴν ὀσφύν». Καὶ διατί λέγουν ἔτσι; Τοῦτο ἦτο συνήθεια τῶν παλαιῶν ἀνθρώπων. Ἄλλωστε καὶ ἐπειδὴ ἀπ' ἐδῶ ἔγινεν ἡ ἀρχὴ τῆς γεννήσεως τοῦ Ἰσαάκ. Καὶ διὰ νὰ καταλάβῃς, ὅτι αὐτό, τὸ ὁποῖον ἐγίνετο, ἦτο κάποιο ἔθιμον, βλέπε αὐτὸν νὰ διατάσσῃ νὰ βάλῃ ἐκεῖ τὴν χεῖρα καὶ ἀμέσως νὰ προσθέτῃ· «Σὲ ἐξορκίζω εἰς τὸν Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τὸν Θεὸν τῆς γῆς». Πρόσεχε, πῶς διδάσκει καὶ τὸν δοῦλον νὰ γνωρίσῃ τὸν δημιουργὸν τῶν πάντων,

πάντων δημιουργόν. Εἰπὼν γάρ, «Θεὸν οὐρανοῦ καὶ Θεὸν γῆς», ἅπασαν τὴν κτίσιν συμπεριέλαβε. Καὶ τίς ὁ ὅρκος; «Ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων Χαναναίων, μεθ' ὧν ἐγὼ κατοικῶ ἐν αὐτοῖς· ἀλλ' εἰς τὴν γῆν μου, οὗ ἐγεννήθην, πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν».

Εἶδες τὴν ἐντολὴν τοῦ πατριάρχου τὴν πρὸς τὸν οἰκέτην γενομένην; Μὴ ἁπλῶς γὰρ παραδράμῃς τὰ εἰρημένα, ἀλλ' ἐννόησον τὸν σκοπὸν τοῦ δικαίου καὶ λόγισαι ὅπως τὸ παλαιὸν ἐποιοῦντο σπουδήν, οὐ χρημάτων ἐπιζητοῦντες περιουσίαν, οὐ πολὺν πλοῦτον, καὶ ἀνδράποδα, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, οὐ τοῦ ἔξωθεν κάλλους τὴν εὐμορφίαν, ἀλλὰ τῆς ψυχῆς τὸ κάλλος ἐπεζήτουν καὶ τρόπων εὐγένειαν. Ἐπειδὴ γὰρ εἶδε τῶν ἐν τῇ Χαναναίᾳ οἰκούντων τὴν πονηρίαν, εἰδὼς ὅσον ἐστὶν ἀγαθὸν ὁμότροπον ἔχειν σύζυγον, διατάττεται τῷ παιδὶ καὶ ὅρκον προστίθησιν, ὥστε ἐκ τῆς συγγενείας αὐτοῦ ἀγαγέσθαι τῷ Ἰσαὰκ γυναῖκα· καὶ οὔτε τὸ διάστημα τῶν τόπων, οὔτε αἱ ἄλλαι δυσκολίαι ὀκνηρότερον αὐτὸν περὶ τοῦτο πεποιήκασιν· ἀλλ' εἰδὼς τοῦ πράγματος τὸ ἀναγκαῖον, πᾶσαν ποιεῖται τὴν σπουδὴν καὶ ἀποστέλλει τὸν οἰκέτην. Ἀλλ' ὁ μὲν πατριάρχης ἐπιμελούμενος τῆς κατὰ ψυχὴν ἀρετῆς καὶ φεύγων τῶν ἐγχωρίων τὴν πονηρίαν, τοῦτο ποιεῖ· οἱ δὲ νῦν ἅπαντες οὐκ ἄν ποτε ἀνάσχοιντο τοιοῦτόν τι ἐννοῆσαι, ἀλλὰ κἂν μυρίων ᾖ κακῶν ἀνάμεστος, ἓν μόνον ἐπιζητοῦσι, τῶν χρημάτων τὴν περιουσίαν καὶ πάντα τὰ ἄλλα δεύτερα αὐτοῖς νενόμισται, οὐκ εἰδότες, ὅτι γνώμης διεφθαρμένης οὔσης, κἂν ἄφατος ἐπιρρέῃ πλοῦτος, θᾶττόν τις εἰς ἐσχάτην πενίαν ἥξει καὶ οὐδὲν ὄφελος ἔσται τῆς περιουσίας, οὐκ οὔσης τῆς οἰκονομεῖν ταῦτα δυναμένης δεόντως ψυχῆς.

Διότι μὲ τὸ νὰ εἰπῇ, «Τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τὸν Θεὸν τῆς γῆς», συμπεριέλαβε ὁλόκληρον τὴν κτίσιν. Καὶ ποῖος ἦτο ὁ ὅρκος; «Νὰ μὴ πάρῃς γυναῖκα διὰ τὸν υἱόν μου ἀπὸ τὰς θυγατέρας τῆς Χαναάν, μεταξὺ τῶν ὁποίων ἐγὼ κατοικῶ, ἀλλὰ νὰ ὑπάγῃς εἰς τοὺς συγγενεῖς μου καὶ εἰς τὴν χώραν, ὅπου ἐγὼ ἐγεννήθην, καὶ νὰ πάρῃς ἀπὸ ἐκεῖ γυναῖκα διὰ τὸν υἱόν μου τὸν Ἰσαάκ».

Ἐπρόσεξες τὴν ἐντολήν, τὴν ὁποίαν ὁ πατριάρχης ἔδωσεν εἰς τὸν δοῦλον; Νὰ μὴ διατρέξῃς λοιπὸν χωρὶς προσοχήν, ὅσα ἔχουν λεχθῆ, ἀλλὰ νὰ ἐννοήσῃς τὸν σκοπὸν τοῦ δικαίου καὶ νὰ σκεφθῇς, τί ἐφρόντιζον τὸν παλαιὸν καιρόν, ὅταν δὲν ἐπεδίωκον, οὔτε νὰ ἀποκτήσουν χρήματα, οὔτε μεγάλον πλοῦτον καὶ ζῶα καὶ τόσα καὶ τόσα πλέθρα γῆς, οὔτε τὴν ἐξωτερικὴν ὀμορφιάν, ἀλλ᾽ ἐπεζήτουν τὴν ὡραιότητα τῆς ψυχῆς καὶ τὸν εὐγενικὸν χαρακτῆρα. Ἐπειδὴ δηλαδὴ εἶδε τὴν πονηρίαν τῶν κατοίκων τῆς Χαναὰν καὶ ἐπειδὴ ἀκόμη ἐγνώριζε, πόσον καλὸν πρᾶγμα εἶναι νὰ ἔχῃ γυναῖκα μὲ τοὺς ἰδίους τρόπους, διατάσσει τὸν ὑπηρέτην καὶ τὸν ὁρκίζει ὥστε νὰ φέρῃ γυναῖκα διὰ τὸν Ἰσαὰκ ἀπὸ τὴν ἰδικήν του συγγένειαν. Καὶ οὔτε ἡ ἀπόστασις τῶν τόπων, οὔτε αἱ ἄλλαι δυσκολίαι ἔκαμαν αὐτὸν νὰ ἀμελήσῃ δι᾽ αὐτό, ἀλλ᾽ ἔχων ὑπ᾽ ὄψιν του τὴν ἀναγκαιότητα τοῦ πράγματος φροντίζει μὲ κάθε τρόπον καὶ ἀποστέλλει τὸν ὑπηρέτην. Ἀλλ᾽ ὁ μὲν πατριάρχης κάμνει αὐτό, ἐπειδὴ ἐπεδίωκε τὴν ἀρετὴν τῆς ψυχῆς καὶ ἐπειδὴ ἀπέφευγε τὴν πονηρίαν τῶν ἐντοπίων, ἐνῷ ὅλοι οἱ σύγχρονοι δὲν θὰ ἠμποροῦσαν νὰ σκεφθοῦν κάτι τέτοιο, ἀλλὰ καὶ ἂν ἀκόμη ἡ μέλλουσα γυναῖκα εἶναι γεμάτη ἀπὸ μύρια κακά, ἕνα μόνον ἐπιζητοῦν, τὴν ἀπόκτησιν τῶν χρημάτων καὶ ὅλα τὰ ἄλλα τὰ θεωροῦν δευτερεύοντα, ἐπειδὴ δὲν γνωρίζουν, ὅτι, ὅταν ὁ νοῦς εἶναι διεφθαρμένος, καὶ ἂν ἀκόμη ὑπάρχῃ ἀπερίγραπτος πλοῦτος, γρήγορα κανεὶς θὰ φθάσῃ εἰς τὴν ἐσχάτην πενίαν καὶ δὲν θὰ ἔχῃ κανένα ὄφελος ἀπὸ τὴν περιουσίαν, ἀφοῦ δὲν ὑπάρχει ἡ ψυχή, ἡ ὁποία ἠμπορεῖ νὰ διαχειρισθῇ αὐτά, ὅπως πρέπει.

3. Ἀλλ' ὁ μὲν πατριάρχης ἀρκοῦσαν τῷ παιδὶ τὴν ἐντολὴν ἐποιήσατο καὶ ὅρκοις αὐτὸν συνέδησεν. Ἴδωμεν δὲ λοιπὸν τὴν εὐγνωμοσύνην τοῦ οἰκέτου, ὅπως ἐζήλου τοῦ δεσπότου τὸ φιλόθεον. Ἐπειδὴ γὰρ εἶδε μετὰ πολλῆς σφοδρότητος ἐντελλόμενον τὸν δίκαιον, φησὶ πρὸς αὐτόν· «Ἐὰν μὴ βούληται ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ, βούλει τὸν υἱόν σου ἀποστρέψω εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες ἐκεῖθεν;». Ἵνα μή, φησί, δυσκολίας τινὸς παρεμπεσούσης ἐκβαίνειν δόξω τὰς ἐντολὰς τὰς σάς, διὰ τοῦτο πυνθάνομαι, τί δέοι με παραφυλάξασθαι, καὶ εἰ ἀρεστόν σοι τὸν Ἰσαὰκ ἐκεῖ ἀπελθεῖν, ὥστε λαβόντα τὴν γαμετὴν οὕτως ἐπανελθεῖν, εἰ μὴ ἀνάσχοιτο καθάπερ ἐνετείλω, μετ' ἐμοῦ παραγενέσθαι; Τί οὖν ὁ δίκαιος; Ἀπαγορεύει τοῦτο αὐτῷ καί φησι· «Πρόσεχε σεαυτῷ· μὴ ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ». Οὐ χρεία σοι γενήσεται τούτου, φησίν. Ὁ γὰρ τὴν ἐπαγγελίαν πρός με ποιησάμενος καὶ ἐπὶ τοσοῦτον αὐξηθῆναι τὸ σπέρμα αὐτοῦ ὑποσχόμενος, αὐτός σοι καὶ τοῦτο εὐοδώσει. «Μὴ τοίνυν ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ. Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ ὁ Θεὸς τῆς γῆς».

Ὅρα πῶς καὶ ἀνωτέρω ὁρκῶν τὸν παῖδα, τὸν δημιουργὸν τῶν ὅλων αὐτὸν ἐκπαιδεύει· καὶ νῦν μέλλων ἐπεύχεσθαι, τὰ αὐτὰ ῥήματά φησι, διὰ πάντων παιδεύων τὸν οἰκέτην ἐπ' ἐκεῖνον τὴν πεποίθησιν ἔχοντα, οὕτω τῆς ὁδοιπορίας ἅψασθαι καὶ θαρρεῖν καὶ ὑπὲρ τοῦ τέλους. Διδάσκει γὰρ αὐτόν, ὅσης ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀπήλαυσε τῆς παρὰ τοῦ τῶν ὅλων Θεοῦ εὐνοίας καὶ ὅτι αὐτὸς οὗτος, ὁ καὶ ἐκ τῆς οἰκείας πατρίδος ἀναστήσας καὶ μέχρι νῦν τὰ κατ' αὐτὸν οὕτως οἰκονομήσας καὶ ἐν αὐτῷ τῷ γήρᾳ τοῦ Ἰσαὰκ τὸν τόκον χαρισάμενος, αὐτὸς καὶ τὰ προκείμενα αὐτῷ κατευοδώσει. «Κύριος ὁ Θεός», φησί, «τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου καὶ ἐκ τῆς γῆς ἧς ἐγεννήθην, αὐτὸς οὗτος ὃς ἐλάλησέ μοι λέγων, σοὶ δώσω τὴν γῆν ταύτην

3. Ἀλλ' ὁ μὲν πατριάρχης ἔδωσεν αὐστηρὴν ἐντολὴν εἰς τὸν δοῦλον καὶ τὸν ἔδεσε μὲ ὅρκους. Ἄς ἰδοῦμεν λοιπὸν καὶ τὴν εὐγνωμοσύνην τοῦ ὑπηρέτου, πῶς ἐμιμεῖτο δηλαδὴ τὴν εὐσέβειαν τοῦ κυρίου του. Ἐπειδὴ εἶδεν, ὅτι ὁ δίκαιος τὸν διατάσσει μὲ αὐστηρότητα, λέγει πρὸς αὐτόν· «Ἐὰν ἡ γυναῖκα δὲν θελήσῃ νὰ ἔλθῃ μαζί μου, θέλεις νὰ φέρω τὸν υἱόν σου εἰς τὴν χώραν, ἀπ' ὅπου σὺ ἔφυγες;». Διὰ νὰ μὴ φανῶ, λέγει, ὅτι παραβαίνω τὰς ἐντολάς σου, ἐὰν παρουσιασθῇ κάποια δυσκολία, διὰ τοῦτο ζητῶ νὰ μάθω, τί πρέπει νὰ προσέξω, ἐὰν δηλαδὴ σοῦ ἀρέσῃ νὰ ὑπάγῃ ἐκεῖ ὁ Ἰσαὰκ καὶ ἀφοῦ λάβῃ τὴν σύζυγον νὰ ἐπανέλθῃ μὲ αὐτήν, ἂν ἡ γυναῖκα δὲν θὰ ἤθελε νὰ ἔλθῃ μαζί μου, ὅπως σὺ διέταξες. Τί λέγει λοιπὸν ὁ δίκαιος; Ἀπαγορεύει εἰς αὐτὸν νὰ κάνῃ αὐτὸ καὶ λέγει· «Πρόσεχε καλά· νὰ μὴ ὁδηγήσῃς ἐκεῖ τὸν υἱόν μου». Δὲν θὰ χρειασθῇ αὐτό, λέγει. Διότι αὐτὸς ποὺ μοῦ ἔδωσε τὴν ὑπόσχεσιν καὶ μοῦ εἶπεν, ὅτι θὰ αὐξηθοῦν τόσον οἱ ἀπόγονοί μου, αὐτὸς θὰ σὲ βοηθήσῃ νὰ ἔχῃ καὶ αὐτὸ καλὸ ἀποτέλεσμα. «Νὰ μὴ ὁδηγήσῃς λοιπὸν ἐκεῖ τὸν υἱόν μου. Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς».

Πρόσεχε πῶς μὲ τὸ νὰ ὁρκίζῃ προηγουμένως τὸν ὑπηρέτην, τὸν διδάσκει τὸν δημιουργὸν τῶν πάντων. Καὶ τώρα ποὺ πρόκειται νὰ εὐχηθῇ τοὺς ἰδίους λόγους λέγει καὶ διδάσκει μὲ ὅλα τὸν ὑπηρέτην νὰ ἔχῃ τὴν πίστιν εἰς τὸν Θεὸν καὶ ἔτσι νὰ πραγματοποιήσῃ τὴν πορείαν καὶ νὰ ἐλπίζῃ διὰ τὸ ἀποτέλεσμα. Διδάσκει εἰς αὐτόν, πόσην ἀγάπην ἀπήλαυσεν ἀπὸ τὸν Θεὸν τῶν πάντων ἀπὸ πολὺ παλαιὰ καὶ ὅτι αὐτὸς ὁ ἴδιος, ὁ ὁποῖος τὸν ἐκάλεσε νὰ φύγῃ ἀπὸ τὴν πατρίδα του καὶ μέχρι τώρα ἐρρύθμισεν ἔτσι τὰς ὑποθέσεις του καὶ τοῦ ἐχάρισεν εἰς αὐτὴν τὴν γεροντικὴν ἡλικίαν τὴν γέννησιν τοῦ Ἰσαάκ, αὐτὸς θὰ κατευοδώσῃ καὶ αὐτὰ ποὺ πρέπει νὰ κάνῃ. «Ὁ Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς», λέγει, «ὁ ὁποῖος μὲ ἔλαβεν ἀπὸ τὸν πατρικόν μου οἶκον καὶ ἀπὸ τὴν χώραν, εἰς τὴν ὁποίαν ἐγεννήθην, αὐτὸς εἶναι ἐκεῖνος, ὁ ὁποῖος μοῦ ὡμίλησε καὶ μοῦ εἶπε· Εἰς σὲ καὶ τοὺς ἀπογόνους σου θὰ

καὶ τῷ σπέρματί σου», οὗτος ὁ τοσαύτην περὶ ἐμὲ τὴν κηδεμονίαν ἐπιδειξάμενος, «αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν».

Θαρρῶν, φησίν, ἄπιθι· πέπεισμαι γάρ, ὅτι ὁ τοσαύτην περὶ ἐμὲ τὴν εὐεργεσίαν ἐπιδειξάμενος καὶ ταύτην προσθήσει ταῖς προλαβούσαις καὶ ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου. Αὐτός σοι προοδοποιήσει ἅπαντα, αὐτός σοι καὶ τὴν γυναῖκα γνώριμον ποιήσει καὶ λαβὼν αὐτὴν ἥξεις. Ἐὰν δὲ γένηται, ὃ μὴ γένοιτο, καὶ ἀντιτείνῃ ἡ γυνὴ τοῦ μὴ πορευθῆναι, ἀλλότριος ἔσῃ ἀπὸ τῆς ἀρᾶς τοῦ ὅρκου. Τὸν μέντοι υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ. Οὐκ ἀμφιβάλλω γάρ, ὅτι κατευοδώσει σε Κύριος. Καὶ δεικνὺς ὅπως ἐπεποίθει τῇ τοῦ Θεοῦ δυνάμει, ἀπαγορεύει τῷ παιδὶ τὸν Ἰσαὰκ ἐκεῖσε ἀπαγαγεῖν. Εἶτα ἐπειδὴ μετὰ ἀκριβείας διετείλατο τῷ παιδὶ καὶ ἀπήλλαξεν αὐτὸν τῆς φροντίδος (ἐδεδοίκει γὰρ ὁ παῖς, μὴ ἐπιορκίσας ἁλῷ τὸ προσταχθὲν μὴ πληρώσας), «Θείς», φησί, «τὴν χεῖρα αὐτοῦ ὑπὸ τὸν μηρόν, ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήματος τούτου», ὥστε μὴ τὸν Ἰσαὰκ ἐκεῖσε ἐπαγαγεῖν.

Εἶδες πῶς ἐκ προοιμίων ἔδειξεν ὁ οἰκέτης τὴν εὔνοιαν τὴν περὶ τὸν δεσπότην; Ὅρα λοιπὸν αὐτὸν ἐκ τῆς τοῦ πατριάρχου διδασκαλίας βελτίω γινόμενον καὶ μιμούμενον τοῦ δικαίου τὸ φιλόθεον. «Λαβὼν γάρ», φησίν, «ὁ παῖς δέκα καμήλους καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ, ἀναστὰς ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν εἰς τὴν πόλιν Ναχὼρ καὶ ἐκοίμισε τὰς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ ὕδατος τὸ πρὸς ὀψέ, ἡνίκα ἐκπορεύονται αἱ ὑδρευόμεναι. Καὶ εἶπε· Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ». Ὅρα τοῦ οἰκέτου τὴν εὐγνωμοσύνην. Τὸν τῆς οἰκουμένης Δεσπότην ἀπὸ τοῦ πατριάρχου ὀνομάζει· «Κύριε γὰρ ὁ Θεός», φησί, «τοῦ κυρίου μου Ἀβραάμ»,

δώσω αὐτὴν τὴν χώραν», αὐτὸς ὁ ὁποῖος ἐφρόντισε δι᾽ ἐμὲ τόσον πολύ, αὐτὸς θὰ στείλῃ τὸν ἄγγελόν του ἔμπροσθέν σου καὶ θὰ σὲ βοηθήσῃ νὰ διαλέξῃς ἀπὸ ἐκεῖ γυναῖκα διὰ τὸν υἱόν μου».

Μὲ θάρρος, λέγει, νὰ μεταβῇς ἐκεῖ· διότι ἔχω τὴν πεποίθησιν, ὅτι αὐτὸς ὁ ὁποῖος μοῦ ἔδειξε τόσας εὐεργεσίας θὰ προσθέσῃ καὶ αὐτὴν εἰς τὰς προηγουμένας καὶ θὰ στείλῃ τὸν ἄγγελόν του ἔμπροσθέν σου. Αὐτὸς θὰ σοῦ προετοιμάσῃ τὰ πάντα, αὐτὸς θὰ σοῦ γνωρίσῃ καὶ τὴν γυναῖκα καὶ θὰ τὴν πάρῃς καὶ θὰ ἔλθῃς. Ἐὰν δὲ συμβῇ, ὃ μὴ γένοιτο, καὶ ἡ γυναῖκα δὲν συμφωνήσῃ νὰ ἔλθῃ, θὰ ἀπαλλαγῇς ἀπὸ τὴν κατάραν τοῦ ὅρκου. «Τὸν υἱόν μου ὅμως νὰ μὴ τὸν ὁδηγήσῃς ἐκεῖ». Διότι δὲν ἀμφιβάλλω, ὅτι ὁ Κύριος θὰ τὰ φέρῃ ὅλα εὐνοϊκά. Καὶ διὰ νὰ δείξῃ, ὅτι εἶχεν ἐμπιστοσύνην εἰς τὴν δύναμιν τοῦ Θεοῦ, ἀπαγορεύει εἰς τὸν ὑπηρέτην νὰ πάρῃ τὸν Ἰσαὰκ ἐκεῖ. Ἔπειτα ἀφοῦ ἔδωσε ρητὴν ἐντολὴν εἰς τὸν ὑπηρέτην καὶ ἀπήλλαξεν αὐτὸν ἀπὸ τὴν φροντίδα (διότι ὁ ὑπηρέτης ἐφοβεῖτο, μήπως κηρυχθῇ ἔνοχος, ἐὰν παραβῇ τὸν ὅρκον, ἀφοῦ δὲν θὰ ἐξεπλήρωνε τὴν ἐντολήν). «Ἀφοῦ ἔθεσε», λέγει, «Τὴν χεῖρα του κάτω ἀπὸ τὸν μηρὸν τοῦ Ἀβραάμ, ὡρκίσθη εἰς αὐτόν, ὅτι θὰ ἐφαρμόσῃ τοὺς λόγους ἐκείνους», ὥστε νὰ μὴ ὁδηγήσῃ ἐκεῖ τὸν Ἰσαάκ.

Εἶδες πῶς ὁ ὑπηρέτης ἔδειξεν ἀπὸ τὴν ἀρχὴν τὴν ἀφοσίωσίν του πρὸς τὸν κύριόν του; Βλέπε λοιπόν, πῶς αὐτὸς ἔγινε καλύτερος μὲ τὴν διδασκαλίαν τοῦ πατριάρχου καὶ μὲ τὸ νὰ μιμῆται τὴν εὐσέβειαν τοῦ δικαίου. Διότι λέγει, «Ἀφοῦ ἔλαβεν ὁ δοῦλος δέκα καμήλους καὶ ἀπὸ ὅλα τὰ ἀγαθὰ τοῦ κυρίου του, ἀνεχώρησεν εἰς τὴν Μεσοποταμίαν εἰς τὴν πόλιν Ναχὼρ καὶ ἐκοίμισε τὰς καμήλους ἔξω ἀπὸ τὴν πόλιν πλησίον τοῦ φρέατος, κατὰ τὴν ἑσπέραν καὶ τὴν ὥραν ἐκείνην ποὺ πηγαίνουν αἱ γυναῖκες διὰ νὰ πάρουν νερό. Καὶ εἶπεν ὁ ὑπηρέτης. Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ». Βλέπε τὴν εὐγνωμοσύνην τοῦ ὑπηρέτου. Τὸν Κύριον τῆς οἰκουμένης τὸν καλεῖ χρησιμοποιῶν τὸ ὄνομα τοῦ πατριάρχου. Διότι λέγει· «Κύριε ὁ

ὁ τοσαύτας περὶ αὐτὸν εὐεργεσίας ἐπεδειξάμενος. Καὶ τί θαυμάζεις, εἰ ὁ οἰκέτης αὐτὸν οὕτω καλεῖ Θεὸν Ἀβραάμ; Αὐτὸς ὁ τῶν ὅλων Θεὸς δεικνὺς ὅπως τῶν δικαίων τὴν ἀρετὴν περὶ πολλοῦ ποιεῖται, φησίν· «Ἐγώ εἰμι ὁ Θεὸς Ἰακὼβ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἀβραάμ». «Κύριε», φησίν, «ὁ Θεὸς τοῦ Κυρίου μου Ἀβραάμ, εὐόδωσον ἐναντίον μου σήμερον καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ»· ὡς εἰ ἔλεγεν· εἰς ἔργον ἐλθεῖν ποίησον τὰ δόξαντα αὐτῷ καὶ κατὰ γνώμην τὴν αὐτοῦ πάντα εὐόδωσον. «Ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ». Τί ἐστι, «Ποίησον ἔλεος»; Τὴν ἐπιθυμίαν αὐτοῦ πλήρωσον.

Εἶτά φησιν· «Ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ. Καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, ἐπίκλινον τὴν ὑδρίαν σου, ἵνα πίω, καὶ εἴπῃ μοι, πίε, καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πᾶσαι πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαὰκ καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ». Ὅρα τοῦ οἰκέτου τὴν σύνεσιν. Ἐπειδὴ γὰρ ᾔδει τοῦ πατριάρχου τὸ φιλόξενον καὶ ὅτι τὴν κόρην τὴν ἐκεῖ μέλλουσαν ἀπάγεσθαι ὁμότροπον εἶναι προσήκει τῷ δικαίῳ, οὐδὲν ἕτερον τεκμήριον ἐπιζητεῖ, ἀλλ' ἀπὸ τῆς γνώμης τὴν φιλοξενίαν χαρακτηρίσαι βούλεται τῆς κόρης, καί φησιν· ἐὰν ἐμοῦ αἰτήσαντος παρ' αὐτῆς τὸ ὕδωρ, ἐπικλίνῃ μοι τὴν ὑδρίαν καὶ μὴ μόνον τὸ αἰτηθὲν ποιήσῃ, ἀλλὰ καὶ τὴν δαψίλειαν τῆς οἰκείας γνώμης ἐπιδείξηται καὶ εἴπῃ, καὶ ταῖς καμήλοις σου ἐφυδρεύσομαι, ἀρκοῦσαν ἀπόδειξιν παρέσχε διὰ τῆς τοῦ ὕδατος παροχῆς τῆς τῶν τρόπων ἐπιεικείας.

4. Ἐννόησον γάρ μοι, ἀγαπητέ, ὅσον ἦν κόρην ἁπαλὴν ὑδρευομένην, οὐ μόνον μὴ ἀνανεῦσαι πρὸς τὴν αἴ-

---

6. Ἐξ. 3, 6.

Θεὸς τοῦ κυρίου μου Ἀβραάμ», ἐσὺ ποὺ εὐεργέτησες αὐτὸν πολλὰς φοράς. Καὶ διατί ἀπορεῖς, ἐὰν ὁ ὑπηρέτης ἀποκαλῇ αὐτὸν ἔτσι, δηλαδὴ Θεὸν τοῦ Ἀβραάμ; Ὁ ἴδιος ὁ Θεὸς τῶν πάντων δεικνύων, πόσον πολὺ ἐκτιμᾷ τὴν ἀρετὴν τῶν δικαίων, λέγει· «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἰακὼβ καὶ ὁ Θεὸς τοῦ Ἰσαὰκ καὶ ὁ Θεὸς τοῦ Ἀβραάμ»'. «Κύριε», λέγει, «Ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραὰμ κατευόδωσε σήμερον τὸν δοῦλον σου καὶ κάμε ἔλεος εἰς τὸν κύριόν μου Ἀβραάμ». Ὡσὰν νὰ ἔλεγε· Κάμε νὰ πραγματοποιηθοῦν, ὅσα ἐφάνησαν εἰς αὐτὸν καλὰ καὶ νὰ πηγαίνουν ὅλα εὐνοϊκὰ σύμφωνα μὲ τὴν θέλησιν αὐτοῦ. «Κάμε τὸ ἔλεός σου εἰς τὸν κύριόν μου τὸν Ἀβραάμ». Τί σημαίνει «Κάμε τὸ ἔλεός σου»; Νὰ ἐκπληρώσῃς τὴν ἐπιθυμίαν του.

Ἔπειτα λέγει· «Ἰδοὺ ἐγὼ εὑρίσκομαι πλησίον τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν κατοίκων τῆς πόλεως ἐξέρχονται διὰ νὰ ἀντλήσουν ὕδωρ. Καὶ ἡ κόρη, εἰς τὴν ὁποίαν θὰ εἰπῶ νὰ γείρῃς τὴν ὑδρίαν σου διὰ νὰ πιῶ καὶ αὐτὴ θὰ μοῦ εἰπῇ, πίε καὶ θὰ πατήσω καὶ τὰς καμήλους σου, ἕως ὅτου ὅλαι χορτάσουν καὶ σταματήσουν νὰ πίνουν, αὐτὴ ἂς εἶναι ἐκείνη, τὴν ὁποίαν ἑτοίμασες εἰς τὸν δοῦλόν σου τὸν Ἰσαὰκ καὶ μὲ αὐτὸ θὰ καταλάβω, ὅτι ἐχάρισες τὸ ἔλεός σου εἰς τὸν κύριόν μου τὸν Ἀβραάμ». Πρόσεχε τὴν σύνεσιν τοῦ ὑπηρέτου. Ἐπειδὴ δηλαδὴ ἐγνώριζε τὴν φιλόξενον διάθεσιν τοῦ πατριάρχου καὶ ὅτι ἡ κόρη, ἡ ὁποία ἐπρόκειτο νὰ ὁδηγηθῇ ἐκεῖ, ἔπρεπε νὰ ἔχῃ τὸν ἴδιον χαρακτῆρα μὲ τὸν δίκαιον, δὲν ἐπιζητεῖ καμμίαν ἄλλην ἀπόδειξιν, ἀλλὰ θέλει νὰ χαρακτηρίσῃ τὴν κόρην ἀπὸ τὴν φιλόξενον διάθεσίν της καὶ λέγει· Ἐάν, ὅταν ἐγὼ ζητήσω ἀπ' αὐτὴν νερό, μοῦ γείρῃ τὴν ὑδρίαν καὶ δὲν κάμῃ μόνον, ὅ,τι ἐζήτησα, ἀλλὰ φανερώσῃ καὶ τὴν μεγαλοδωρίαν της καὶ εἰπῇ, θὰ δώσω νερὸ καὶ εἰς τὰς καμήλους σου, θὰ θεωρήσω, ὅτι μοῦ ἔχει δώσει ἀρκετὴν ἀπόδειξιν διὰ τὴν καλωσύνην τοῦ χαρακτῆρος της μὲ τὴν προσφορὰν τοῦ νεροῦ.

4. Σκέψου λοιπόν, παρακαλῶ, ἀγαπητέ μου, πόσον σπουδαῖον γεγονὸς ἦτο τὸ ὅτι κάποια ἁπλῆ κόρη, ἡ ὁποία

τησιν, ἀλλὰ καὶ καθεῖναι τὴν ὑδρίαν ἀπὸ τῶν ὤμων καὶ παρασχεῖν ἐμφορηθῆναι τῷ αἰτοῦντι καὶ ταῦτα ξένῳ ὄντι καὶ οὐδαμόθεν γνωρίμῳ· καὶ οὐ μόνον τούτῳ, ἀλλὰ καὶ ταῖς καμήλοις ἁπάσαις ὑδρεύσασθαι καὶ δεῖξαι διὰ τῶν γινομένων τῆς ἐν τῇ ψυχῇ εὐγενείας τὰ τεκμήρια. Ἢ οὐκ ἴστε, ὅτι πολλοὶ καὶ ἄνδρες ὄντες ἀνανεύουσι πολλάκις πρὸς τὰς τοιαύτας αἰτήσεις; Καὶ τί λέγω πρὸς ὕδατος παροχήν; Ἐνίοτε δᾷδας κατέχοντες καὶ ὑπὸ τῶν παριόντων παρακαλούμενοι, ὥστε παρασχεῖν βραχὺ ἀναμεῖναι, ἵνα λύχνον ἀνάψωσιν, οὐδὲ τοῦτο ποιῆσαι ἀνέχονται, καὶ ταῦτα τοῦ πυρὸς οὐδεμίαν ἐλάττωσιν ὑπομένοντος, κἂν μυρίοι ὦσιν οἱ μέλλοντες ἅπτειν. Ἐνταῦθα δὲ καὶ γυνὴ καὶ κόρη καὶ ὑδρίαν ἐπὶ τῶν ὤμων φέρουσα, οὐ μόνον οὐκ ἐδυσχέρανε πρὸς τὴν αἴτησιν, ἀλλὰ καὶ ἐπιδαψιλεύεται τῇ αἰτήσει καὶ τὸ ποτὸν παρέχει καὶ ἐξ οἰκείας γνώμης καὶ ταῖς καμήλοις ὑδρεύσασθαι ἐπείγεται. Ὁ γὰρ φιλάνθρωπος Θεὸς ἐπινεύσας ταῖς τοῦ πατριάρχου προσευχαῖς, τὸν ἄγγελον αὐτοῦ προπέμψας, ἅπαντα ταῦτα ᾠκονόμησε γενέσθαι καὶ καθάπερ ᾔτησεν ὁ παῖς, οὕτως ἅπαντα εἰς ἔργον ἐξῆλθεν. Εἶτα ἐπειδὴ εἶδε διὰ τῶν ἔργων τὴν ἐνέργειαν τῶν εὐχῶν τοῦ πατριάρχου καὶ ἐπέτυχε, καθάπερ ἐπεθύμει, τῆς κόρης, καὶ εἶδεν αὐτῆς τὴν ὑπερβάλλουσαν φιλοξενίαν. «Ἔσπευσε γάρ», φησί, «καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι καὶ ὑδρεύσατο πάσαις ταῖς καμήλοις».

Ὅρα τὴν προθυμίαν ἐπιτεταμένην. «Τὸ γὰρ Ἔσπευσε», «καὶ ἐξεκένωσε τὴν ὑδρίαν», καὶ «ἔδραμεν ἐπὶ τὸ φρέαρ», δείκνυσι τῆς κόρης τὴν ἄφατον προθυμίαν· ὅτι οὔτε ὡς ξένη ἀπέφυγεν, οὔτε προφάσει τῆς σωφροσύνης ἀνένευσε πρὸς τὴν αἴτησιν, ἀλλὰ μετὰ πολλῆς ἐπιεικείας φησί, «Πίε, κύριε». Ἐννόησόν μοι ἐν ἡλικίᾳ τοιαύτῃ πόσῃ καὶ σωφροσύνης ἀκρί-

ἔπαιρνε νερὸ καὶ ἡ ὁποία ὄχι μόνον δὲν ἠρνήθη νὰ ἐκπληρώσῃ τὴν αἴτησιν, ἀλλὰ καὶ κατέβασε τὴν ὑδρίαν ἀπὸ τοὺς ὤμους καὶ ἔδωσεν εἰς τὸν αἰτοῦντα νὰ πιῇ καὶ μάλιστα ἐνῷ αὐτὸς ἦτο ξένος καὶ τελείως ἄγνωστος. Καὶ ὄχι μόνον εἰς αὐτὸν ἔδωσε νερό, ἀλλὰ καὶ εἰς ὅλας τὰς καμήλους καὶ ἀπέδειξε μὲ ὅσα ἔγιναν τὴν εὐγένειαν τῆς ψυχῆς της. Ἢ δὲν γνωρίζετε, ὅτι πολλοὶ ἂν καὶ εἶναι ἄνδρες ἀρνοῦνται πολλὰς φορὰς παρομοίας προσφοράς; Καὶ διατί λέγω διὰ τὴν προσφορὰν νεροῦ; Μερικὰς φορὰς ποὺ κρατοῦν δάδας, ἐνῷ παρακαλοῦνται ἀπὸ τοὺς παρευρισκομένους νὰ κάμουν ὑπομονὴ καὶ νὰ περιμένουν ὀλίγον, διὰ νὰ ἀνάψουν κάποιον λύχνον, ὅμως οὔτε αὐτὸ ἀνέχονται νὰ κάμουν καὶ μάλιστα, ἐνῷ ἡ φωτιὰ δὲν ἐλαττώνεται καθόλου, ἔστω καὶ ἂν εἶναι ἀναρίθμητοι αὐτοί, οἱ ὁποῖοι πρόκειται νὰ ἀνάψουν. Ἐδῶ ὅμως γυναῖκα καὶ μάλιστα νεαρὰ κόρη, ἡ ὁποία ἔφερεν εἰς τοὺς ὤμους της ὑδρίαν, ὄχι μόνον δὲν ἐδυσαρεστήθη διὰ τὴν αἴτησιν, ἀλλὰ καὶ χορηγεῖ μὲ ἀφθονίαν, ὅταν τῆς ἐζητήθη, καὶ τὸ νερὸ προσφέρει καὶ σπεύδει μὲ τὴν ἰδικήν της θέλησιν νὰ ποτίσῃ καὶ τὰς καμήλους. Καθ᾿ ὅσον ὁ φιλάνθρωπος Θεός, ποὺ ἀπήντησεν εἰς τὰς προσευχὰς τοῦ πατριάρχου καὶ ἔστειλε τὸν ἄγγελόν του, ἐρρύθμισε νὰ γίνουν ὅλα αὐτά, καὶ ὅπως ἀκριβῶς ἐζήτησεν ὁ ὑπηρέτης, ἔτσι ἐπραγματοποιήθησαν τὰ πάντα. Ἔπειτα ὅταν εἶδε διὰ τῶν ἔργων τὴν δύναμιν τῶν προσευχῶν τοῦ πατριάρχου καὶ ἐπέτυχεν, ὅπως ἀκριβῶς ἤθελε, τὴν κόρην, εἶδε τὴν ὑπερβολικήν της φιλοξενίαν. Διότι λέγει «Ἔσπευσε καὶ ἄδειασε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον καὶ ἔτρεξεν εἰς τὸ φρέαρ νὰ ἀντλήσῃ καὶ ἐπότισεν ὅλας τὰς καμήλους».

Πρόσεχε τὴν ἔντονον προθυμίαν τῆς κόρης. Διότι τὸ «Ἔσπευσε καὶ ἄδειασε τὴν ὑδρίαν καὶ ἔτρεξεν εἰς τὸ φρέαρ», φανερώνει τὴν ἀπερίγραπτον προθυμίαν αὐτῆς. Διότι οὔτε ἀπέφυγεν ὡς ξένη, οὔτε μὲ τὴν πρόφασιν τῆς σωφροσύνης ἠρνήθη τὴν αἴτησιν, ἀλλὰ μὲ πολὺ καλὴν διάθεσιν λέγει, «Πίε, κύριε». Σκέψου, παρακαλῶ, πόσον τελείαν σωφροσύνην καὶ ὑπερβολικὴν ταπεινοφροσύνην

βεια καὶ ταπεινοφροσύνης ὑπερβολὴ καὶ φιλοξενίας ἐπίτασις. Πόσου πλούτου γοῦν οὐκ ἂν εἴη ταῦτα τιμιώτερα; πόσων θησαυρῶν ταῦτα οὐκ ἂν προτιμότερά τις ἡγήσαιτο; Τοῦτο ἡ μεγίστη προίξ, τοῦτο τὰ μυρία ἀγαθά, ὁ θησαυρὸς ὁ μηδέποτε δαπανώμενος. Ὁρῶν τοίνυν λοιπὸν ὁ εὐγνώμων οἰκέτης ἐναργῆ τοῦ Θεοῦ τὴν πρόνοιαν «Κατεμάνθανεν αὐτήν», φησί, «καὶ παρεσιώπα τοῦ γνῶναι, εἰ εὐώδωσε Κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ». Τί ἐστι, «Κατεμάνθανεν αὐτήν»; Αὐτὰ τὰ ῥήματα τῆς κόρης κατενόει, τὸ βλέμμα, τὴν βάδισιν, τὸ σχῆμα, τὰ ἄλλα ἅπαντα καὶ ἀνέμενεν ἰδεῖν, «Εἰ εὐώδωσε Κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ». Τὰ μὲν γὰρ ἤδη γγενημένα, φησί, πολλὴν δείκνυσι τῆς κόρς καὶ ὑπερβάλλουσαν τὴν ἀρετήν. Δι' ὃ καὶ ἀμειβόμενος αὐτὴν τῆς ὑπακοῆς καὶ τῆς τοῦ ὕδατος παροχῆς, περιτίθησιν αὐτῇ, φησίν, «Ἐνώτια χρυσᾶ καὶ δύο ψέλλια» καὶ περιειργάζετο μετὰ ἀκριβείας τὰ κατ' αὐτὴν καὶ ἠρώτα, «Τίνος θυγάτηρ εἶ;» καὶ «Εἰ ἔστι παρὰ τῷ πατρί σου τόπος ἡμῖν καταλῦσαι;».

Σκόπει καὶ ἐνταῦθα τῆς κόρης τὴν ἀπόκρισιν. Καθάπερ γὰρ ἐπὶ τοῦ ὕδατος οὐ μόνον τὸ αἰτηθὲν παρέσχεν, ἀλλὰ μετὰ τὸ πιεῖν αὐτὸν καὶ ταῖς καμήλοις ὑδρεύσατο, οὕτω καὶ ἐνταῦθα πυθομένου τοῦ παιδός, εἰ ἔστι μόνον τόπος καὶ τίνος ἦν θυγάτηρ, φησὶν ἡ κόρη· «Θυγάτηρ εἰμὶ Βαθουὴλ τοῦ Μελχᾶς, ὃν ἔτεκεν αὐτῷ Ναχώρ». Λέγει καὶ τὸν πατέρα καὶ τὸν πάππον, ἵνα γνωρίσας ἐκεῖνος προθυμότερος γένηται. Ὅρα εὐγνωμοσύνην τῆς παιδός. Περὶ τοῦ πατρὸς ἐρωτηθεῖσα οὐ μόνον τοῦτο καταμηνύει, ἀλλὰ καὶ τοῦ πατρὸς τὸν πατέρα. Καὶ πυθομένου, εἰ ἔστι τόπος μόνον καταλῦσαι, φησίν· οὐ μόνον τόπος, ἀλλὰ «Καὶ ἄχυρα καὶ χορτάσματα πολλὰ παρ' ἡμῖν». Ταῦτα ἀκούσας

καὶ φιλοξενίαν εἶχεν εἰς αὐτὴν τὴν ἡλικίαν. Διότι ἀπὸ πόσον πλοῦτον δὲν θὰ ἦσαν αὐτὰ τιμιώτερα; Ἀπὸ πόσους θησαυροὺς δὲν θὰ ἐθεωροῦσε κάποιος αὐτὰ προτιμότερα; Αὐτὸ εἶναι ἡ μεγαλυτέρα προῖκα, αὐτό εἶναι τὰ ἀναρίθμητα ἀγαθά, ὁ θησαυρός, ὁ ὁποῖος δὲν δαπανᾶται οὐδέποτε. Ὅταν λοιπὸν ὁ εὐγνώμων ὑπηρέτης εἶδε φανερὰν τὴν πρόνοιαν τοῦ Θεοῦ, «Παρετήρει αὐτήν», λέγει, «μὲ προσοχὴν καὶ ἐσιωποῦσε, διὰ νὰ καταλάβῃ, ἐὰν ὁ Κύριος εὐώδωσε τὴν ἀποστολήν του, ἢ ὄχι». Τί σημαίνει «Παρετήρει αὐτὴν μὲ προσοχήν»; Ἀνελογίζετο αὐτοὺς τοὺς λόγους τῆς κόρης, τὸ βλέμμα, τὸ βάδισμα, τὴν μορφήν της καὶ ὅλα τὰ ἄλλα καὶ ἐπερίμενε νὰ ἰδῇ, «Ἐὰν ὁ Κύριος εὐώδωσε τὴν ἀποστολήν του ἢ ὄχι». Διότι ὅσα εἶχον γίνει, ἀποδεικνύουν τὴν πολλὴν καὶ ὑπερβολικὴν ἀρετὴν τῆς κόρης. Διὰ τοῦτο καὶ ἐπειδὴ ἤθελε νὰ ἀμείψῃ αὐτὴν ἐξ αἰτίας τῆς προθυμίας καὶ τῆς προσφορᾶς τοῦ νεροῦ, φορεῖ εἰς αὐτήν, λέγει, «Χρυσᾶ σκουλαρήκια καὶ δύο βραχιόλια» καὶ περιεργάζετο αὐτὴν μὲ προσοχὴν καὶ ἠρώτα, «Τίνος θυγατέρα εἶσαι;» καὶ «Ἔχει ὁ πατέρας σου τόπον, διὰ νὰ μείνωμεν;».

Πρόσεχε καὶ ἐδῶ τὴν ἀπάντησιν τῆς κόρης. Ὅπως ἀκριβῶς δηλαδὴ εἰς τὴν περίπτωσιν τοῦ νεροῦ δὲν ἔδωσε μόνον, ὅσον ἐζήτησεν, ἀλλὰ ἀφοῦ ἤπιεν αὐτός, ἐπότισε καὶ τὰς καμήλους, κατὰ τὸν ἴδιον τρόπον καὶ ἐδῶ, ὅταν ὁ ὑπηρέτης ἠρώτησε, ἐὰν ὑπάρχῃ τόπος μόνον καὶ τίνος θυγατέρα ἦτο, ἡ κόρη ἀπαντᾷ· «Εἶμαι θυγατέρα τοῦ Βαθουὴλ τοῦ υἱοῦ τῆς Μελχᾶς, τὸν ὁποῖον ἐγέννησεν εἰς τὸν Ναχώρ». Ἀναφέρει καὶ τὸν πατέρα καὶ τὸν πάππον της, ὥστε, ὅταν ἀκούσῃ τὸ ὄνομά των νὰ γίνῃ προθυμότερος. Πρόσεχε τὴν εὐγνωμοσύνην τῆς κόρης. Ὅταν ἠρωτήθη διὰ τὸν πατέρα, ὄχι μόνον τὸ ὄνομα αὐτοῦ φανερώνει, ἀλλὰ καὶ τὸ ὄνομα, τὸ ὁποῖον εἶχεν ὁ πατὴρ τοῦ πατρός της. Καὶ ὅταν ἐζήτησε νὰ μάθῃ, ἐὰν ὑπάρχῃ τόπος μόνον διὰ νὰ μείνουν, λέγει· Ὄχι μόνον τόπος, ἀλλὰ «Καὶ ἄχυρα καὶ πολλαὶ ἄλλαι τροφαὶ ὑπάρχουν εἰς ἡμᾶς». Ὅταν ἤκουσεν αὐτὰ ὁ ὑπηρέτης καὶ ἐθαύμασε τὴν ἐγκάρ-

ὁ οἰκέτης καὶ θαυμάσας τὴν παῖδα τῆς δαψιλοῦς φιλοξενίας καὶ μαθὼν ὡς οὐ πρὸς ἀγνῶτάς τινας παραγέγονεν, ἀλλ' εἰς τὴν οἰκίαν τοῦ Ναχώρ, ὃς ἀδελφὸς ἦν τοῦ πατριάρχου, «Εὐδοκήσας», φησίν, «ὁ ἄνθρωπος προσεκύνησε τῷ Κυρίῳ». Ἡσθεὶς ἐπὶ τοῖς γνωσθεῖσιν, ἐπὶ τοῖς εἰρημένοις παρὰ τῆς παιδός, «Προσεκύνησε τῷ Κυρίῳ», τὴν εὐχαριστίαν ἀνήνεγκε τῷ Δεσπότῃ τῷ διὰ τὴν πρὸς τὸν πατέρα εὔνοιαν τοσαύτην καὶ περὶ αὐτὸν ἐπιδειξαμένῳ τὴν κηδεμονίαν καὶ οὕτω πάντα μετ' εὐκολίας αὐτῷ κατευοδώσαντι· καί φησιν· «Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν αὐτοῦ ἀπὸ τοῦ κυρίου μου». Ἐπειδὴ εἶδε τῆς παιδὸς τὴν εὐγνωμοσύνην καὶ ἔμαθεν ἅπαντα σαφῶς παρ' αὐτῆς, λοιπὸν καὶ αὐτὸς γνωρίζει τῇ κόρῃ, ὅστις ἐστί, καὶ διὰ τῆς εὐχαριστίας τῆς εἰς τὸν Θεὸν κατάδηλον αὐτῇ ποιεῖ, ὅτι οὐκ ἐξ ἀλλοτρίας οἰκίας παραγέγονεν, ἀλλὰ καὶ ἀδελφὸς τοῦ Ναχώρ ἐστιν ὁ τοῦτον διαπεμψάμενος. Ταῦτα πυθομένη «Ἡ παῖς μετὰ πολλῆς τῆς περιχαρείας δραμοῦσα», φησίν.

Ὅρα πῶς δι' ἑκάστου τῶν παρ' αὐτῆς γινομένων δείκνυσι τὸ πρόθυμον τὸ περὶ τὴν φιλοξενίαν, διὰ τοῦ δρόμου, διὰ τῶν ῥημάτων, διὰ τῆς ἐπιεικείας. «Ἔδραμε γάρ», φησί, «καὶ Ἀπήγγειλεν εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα». Πάντα ἅπερ ἤκουσε παρὰ τοῦ παιδὸς ἐγνώρισε τοῖς γονεῦσι. «Καὶ ἔδραμε», φησί, «Λάβαν πρὸς τὸν ἄνθρωπον ἔξω ἐπὶ τὴν πηγήν». Ὅρα καὶ τοῦτον διὰ τοῦ δρόμου δεικνύντα τὸν πόθον. Καὶ ἰδὼν τὸν ἄνθρωπον ἑστῶτα ἐπὶ τῆς πηγῆς μετὰ τῶν καμήλων, «Εἶπεν αὐτῷ· δεῦρο, εἴσελθε· εὐλογητὸς Κύριος· ἵνα τί ἕστηκας ἔξω; Ἐγὼ δὲ ἡτοίμασα τὴν οἰκίαν καὶ τόπον ταῖς καμήλοις». Ὅρα καὶ τοῦτον εὐλογοῦντα τὸν Κύριον ἐπὶ τῇ παρουσίᾳ τοῦ ξένου καὶ πρὸ τῆς διὰ τῶν ἔργων φιλοξενίας πολλὴν τὴν προτροπὴν ἐπιδεικνύμενον. «Δεῦρο», φησίν, «εἴσελθε» προλαβὼν «Ἡτοίμασα τὴν

διον φιλοξενίαν τῆς κόρης καὶ ἔμαθεν, ὅτι δὲν ἔχει ἔλθει εἰς κάποιους ἀγνώστους, ἀλλ' εἰς τὴν οἰκίαν τοῦ Ναχώρ, ὁ ὁποῖος ἦτο ἀδελφὸς τοῦ πατριάρχου, «Ἀφοῦ ηὐχαριστήθη», λέγει, «ὁ ἄνθρωπος προσεκύνησε τὸν Κύριον». Ἐπειδὴ ηὐχαριστήθη, δι' ὅσα ἔμαθε, δι' ὅσα εἶπεν ἡ κόρη, «Προσεκύνησε τὸν Κύριον», ηὐχαρίστησε τὸν Θεόν, ὁ ὁποῖος ἔδειξε τόσην ἀγάπην πρὸς τὸν πατριάρχην καὶ ἐφρόντισε τόσον πολὺ δι' αὐτὸν καὶ ἔτσι ἔκαμε μὲ εὐκολίαν ὅλα νὰ ἔλθουν εἰς αὐτὸν εὐνοϊκὰ καὶ λέγει· «Εὐλογητὸς ὁ Κύριος ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὁ ὁποῖος δὲν ἐγκατέλειψε τὸν Κύριόν μου, ἀλλ' ἦτο δίκαιος καὶ ἀληθής». Ἀφοῦ εἶδε τὴν εὐγνωμοσύνην τῆς κόρης καὶ ἔμαθεν ἀπ' αὐτὴν τὰ πάντα μὲ ἀκρίβειαν, φανερώνει εἰς τὸ ἑξῆς καὶ αὐτὸς εἰς τὴν κόρην, ποῖος εἶναι καὶ μὲ τὴν πρὸς τὸν Θεὸν εὐχαριστίαν καθιστᾷ εἰς αὐτὴν ὁλοφάνερον, ὅτι δὲν ἔχει ἔλθει ἀπὸ ξένην οἰκίαν, ἀλλ' ὅτι καὶ αὐτός, ὁ ὁποῖος τὸν ἔστειλεν, εἶναι ἀδελφὸς τοῦ Ναχώρ. Ἀφοῦ ἔμαθεν αὐτὰ ἡ κόρη ἔτρεξε μὲ μεγάλην χαρὰν καὶ εἶπε.

Πρόσεχε, πῶς μὲ τὸ καθένα, ἀπ' ὅσα αὐτὴ ἔκαμε, δεικνύει τὴν προθυμίαν της διὰ τὴν φιλοξενίαν, μὲ τὸ τρέξιμον, μὲ τοὺς λόγους, μὲ τὴν καλωσύνην. Διότι λέγει· «Ἔτρεξε καὶ ἀνήγγειλεν εἰς τὴν οἰκίαν τῆς μητρός της, ὅπως τὰ γεγονότα αὐτὰ συνέβησαν». Ὅλα ὅσα ἤκουσεν ἀπὸ τὸν ὑπηρέτην τὰ ἀνέφερεν εἰς τοὺς γονεῖς της. «Καὶ ἔτρεξεν ὁ Λάβαν», λέγει, «πρὸς τὸν ἄνθρωπον ἔξω ἀπὸ τὴν πόλιν πλησίον τῆς πηγῆς». Βλέπε, πῶς καὶ αὐτὸς φανερώνει τὴν μεγάλην του ἐπιθυμίαν νὰ τὸν δεχθῇ μὲ τὸ ὅτι ἔτρεξε γρήγορα. Καὶ ὅταν εἶδε τὸν ἄνθρωπον νὰ κάθεται εἰς τὴν πηγὴν μαζὶ μὲ τὰς καμήλους «Εἶπεν εἰς αὐτόν· Ἔλα, εἴσελθε εἰς τὴν οἰκίαν μου. Εὐλογημένος ὁ Κύριος. Διατί στέκεσαι ἔξω; Ἐγὼ ἡτοίμασα τὴν οἰκίαν καὶ τόπον διὰ τὰς καμήλους». Πρόσεχε ὅτι καὶ αὐτὸς εὐλογεῖ τὸν Κύριον μὲ τὴν παρουσίαν τοῦ ξένου καὶ προτοῦ τὸν φιλοξενήσῃ εἰς τὴν πρᾶξιν, δείχνει μεγάλην προθυμίαν. «Ἔλα», λέγει, «εἴσελθε εἰς τὴν οἰ-

οἰκίαν καὶ τόπον ταῖς καμήλοις». Εἶτα εἰσελθόντος αὐτοῦ, φησίν· «Ἀπέσαξε τὰς καμήλους καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα καὶ ὕδωρ νίψασθαι τοῖς ποσὶν αὐτοῦ».

5. Ὅρα, πῶς καὶ ἔτι τῆς πλάνης ἐχόμενοι περὶ τὴν φιλοξενίαν ἦσαν πολλὴν τὴν σπουδὴν ἐπιδεικνύμενοι. «Καὶ ἔδωκε νίψασθαι τοῖς ποσὶν αὐτοῦ καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ' αὐτοῦ. Καὶ παρέθηκεν αὐτοῖς ἄρτους φαγεῖν». Ἀλλ' ἐνταῦθα σκόπει μοι τοῦ οἰκέτου τὴν πολλὴν σύνεσιν. Τί γάρ φησιν; «Οὐ μὴ φάγω, ἕως τοῦ λαλῆσαί με τὰ ρήματά μου». Ὑμεῖς μέν, φησίν, ἐπεδείξασθε τὰ παρ' ἑαυτῶν· ἐγὼ δὲ οὐ πρότερον τῆς ἐμῆς ἀναπαύσεως λόγον τινὰ ποιήσομαι, μέχρις ἂν τὴν αἰτίαν ὑμᾶς διδάξω, δι' ἣν ἐστειλάμην τὴν τοσαύτην ὁδὸν καὶ τίνος ἕνεκεν ἀπὸ τῆς Χαναναίας ἐνταῦθα παραγέγονα καὶ πῶς εἰς τὸν οἶκον τὸν ὑμέτερον ὡδηγήθην, ἵνα πάντα μαθόντες οὕτω καὶ ὑμεῖς τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξησθε πρὸς τὸν ἐμὸν δεσπότην. Καὶ ἀρξάμενος διηγεῖσθαί φησι· «Παῖς Ἀβραὰμ ἐγώ εἰμι· Κύριος δὲ εὐλόγησε τὸν κύριόν μου σφόδρα καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ μόσχους καὶ χρυσίον καὶ ἀργύριον, καὶ παῖδας καὶ παιδίσκας, καὶ καμήλους καὶ ὄνους. Καὶ ἔτεκε Σάρρα ἡ γυνὴ τοῦ κυρίου μου υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτὸν καὶ ἔδωκε αὐτῷ πάντα, ὅσα ἦν αὐτῷ».

Ὅρα, πῶς μετὰ ἀκριβείας ἅπαντα αὐτοῖς διηγεῖται. Ἐκείνου εἰμὶ παῖς, φησίν, Ἀβραάμ, ὃν ἴστε· μανθάνετε τοίνυν, ὅτι τοσαύτης εὐλογίας ἀπήλαυσε παρὰ τοῦ τῶν ἁπάντων Δεσπότου, ὡς ἐν πλούτῳ γενέσθαι αὐτὸν πολλῷ. Εἶτα διδάσκων καὶ τοῦ πλούτου τὴν περιουσίαν, φησί, «Πρόβατα καὶ μόσχους, ἀργύριον καὶ χρυσίον, παῖδας καὶ παιδίσκας, καμήλους καὶ ὄνους αὐτῷ γεγενῆσθαι». Ἀκούετε οἱ πλούσιοι, οἱ πλέθρα γῆς τόσα καὶ τόσα καθ' ἑκάστην ἡμέραν ὠνούμενοι, καὶ λουτρὰ καὶ περιπάτους καὶ οἰκοδομὰς

κίαν μου», διότι ἀπὸ προηγουμένως «ἠτοίμασα τὴν οἰκίαν καὶ τόπον διὰ τὰς καμήλους». Ἔπειτα ἀφοῦ εἰσῆλθεν εἰς τὴν οἰκίαν, λέγει ἡ Γραφή· «Ἐξεφόρτωσε τὰς καμήλους καὶ ἔδωσεν εἰς αὐτὰς ἄχυρα καὶ τροφὰς καὶ εἰς τὸν ὑπηρέτην νερό, διὰ νὰ πλύνῃ τοὺς πόδας του».

5. Παρατήρησε, ὅτι, ἂν καὶ κατείχοντο ἀκόμη ἀπὸ τὴν πλάνην, ὅμως ἐφρόντιζον πολὺ διὰ τὴν φιλοξενίαν. «Καὶ ἔδωσε νερό, διὰ νὰ πλύνῃ τοὺς πόδας του αὐτὸς καὶ οἱ ἄνδρες, οἱ ὁποῖοι ἦσαν μαζί του. Καὶ παρέθεσεν εἰς αὐτοὺς τράπεζαν διὰ νὰ γευματίσουν». Ἀλλ' εἰς τὸ σημεῖον αὐτό, *παρακαλῶ, σκέψου* τὴν *μεγάλην σωφροσύνην* τοῦ ὑπηρέτου. Τί λέγει; «Δὲν θὰ φάγω ἂν δὲν σᾶς μιλήσω». Σεῖς μέν, λέγει, εἴπατε τὰ ἰδικά σας. Ἐγὼ ὅμως δὲν θὰ εἰπῶ, ὅτι ἀνεπαύθην προηγουμένως, πρὶν σᾶς ἀναφέρω τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἐστάλην νὰ κάμω τόσην ὁδοιπορίαν καὶ διὰ ποῖον λόγον ἔχω ἔλθει ἐδῶ ἀπὸ τὴν γῆν Χαναὰν καὶ πῶς ἔφθασα εἰς τὴν οἰκίαν σας, διὰ νὰ δείξητε ἔτσι καὶ σεῖς τὴν εὐγνωμοσύνην σας εἰς τὸν κύριόν μου, ἀφοῦ μάθετε ὅλα αὐτά. Καὶ ἤρχισε νὰ διηγῆται καὶ νὰ λέγῃ· «Ἐγὼ εἶμαι δοῦλος τοῦ Ἀβραάμ. Ὁ Θεὸς εὐλόγησε τὸν κύριόν μου πολὺ καὶ ἔδωσεν εἰς αὐτὸν πρόβατα καὶ μόσχους καὶ χρυσὸν καὶ ἄργυρον καὶ ὑπηρέτας καὶ ὑπηρετρίας καὶ καμήλους καὶ ὄνους. Καὶ ἐγέννησεν ἡ Σάρρα, ἡ γυναῖκα τοῦ κυρίου μου, ἕνα υἱὸν εἰς πολὺ γεροντικὴν ἡλικίαν καὶ ἔδωσεν εἰς αὐτὸν τὰ πάντα, ὅλα τὰ ὑπάρχοντά του».

Πρόσεχε πῶς διηγεῖται εἰς αὐτοὺς τὰ πάντα μὲ ἀκρίβειαν. Εἶμαι ὑπηρέτης, λέγει, ἐκείνου, τοῦ Ἀβραάμ, τὸν ὁποῖον γνωρίζετε Μάθετε λοιπόν, ὅτι ἔτυχε τόσον μεγάλης εὐλογίας ἀπὸ τὸν Κύριον τῶν πάντων, ὥστε νὰ πλουτίσῃ πάρα πολύ. Ἔπειτα ἀναφέρει καὶ τὸν μεγάλον πλοῦτον καὶ λέγει· «Πρόβατα καὶ μόσχους, ἄργυρον καὶ χρυσόν, δούλους καὶ δούλας, καμήλους καὶ ὄνους, ἀπέκτησεν αὐτός». Ἀκούσατε οἱ πλούσιοι ἐσεῖς, οἱ ὁποῖοι ἀγοράζετε κάθε ἡμέραν τόσην καὶ τόσην ἔκτασιν γῆς καὶ οἰκοδομεῖτε λουτρὰ καὶ χώρους περιπάτων καὶ λαμπρὰς

λαμπρὰς οἰκοδομούμενοι, ὁρᾶτε ἐν τίσιν ἦν τοῦ δικαίου ἡ περιουσία. Οὐδαμοῦ ἀγρός, οὐδαμοῦ οἰκοδομαὶ καὶ ἡ περιττὴ πολυτέλεια, ἀλλὰ πρόβατα καί μόσχοι καὶ κάμηλοι καὶ ὄνοι, παῖδες καὶ παιδίσκαι. Καὶ ἵνα μάθῃς τῶν οἰκετῶν τὸ πλῆθος πόθεν αὐτῷ ἐγεγόνει, ἐπήγαγεν ἑτέρωθι, ὅτι οἰκογενεῖς ἅπαντες ἦσαν. Οὗτος οὖν ὁ δεσπότης ὁ ἐμὸς ἐν τοσαύτῃ περιουσίᾳ γεγονὼς καὶ πολλῆς ἀπολαύσας τῆς ἄνωθεν ῥοπῆς, ἡνίκα εἰς γῆρας ἤλασεν, ἡ Σάρρα υἱὸν ἔτεκεν αὐτῷ· τοῦτον ἔχων τὸν μονογενῆ, πάντων αὐτὸν κληρονόμον ἤδη κατέστησε· «Πάντα γὰρ ἔδωκεν αὐτῷ, ὅσα ἦν αὐτῷ».

Εἶτα ἐπειδὴ διηγήσατο τοῦ δεσπότου τὴν περιφάνειαν, τοῦ Ἰσαὰκ τὸν τόκον, λέγει λοιπὸν τὰς ἐντολάς, ἃς λαβὼν παρὰ τοῦ δεσπότου αὐτοῦ εἰς τὴν Χαρρὰν παραγέγονε. «Καὶ ὥρκωσέ με», φησίν, «ὁ κύριός μου, λέγων· οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἐν οἷς ἐγὼ παροικῶ, ἀλλ' ἢ εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ καὶ εἰς τὴν φυλήν μου καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν». Καὶ αὐτὸς μὲν ταῦτα ἐνετείλατο· ἐγὼ δὲ τὰς δυσκολίας ἐννοῶν καὶ τοῦ πράγματος τὸ δυσχερὲς λογιζόμενος, ἐπυθόμην τοῦ κυρίου μου, εἰ μὴ βούλοιτο ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ. «Καὶ εἶπέ μοι· Κύριος ὁ Θεός, ᾧ εὐρέστησα ἐναντίον αὐτοῦ, αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ μετὰ σοῦ καὶ εὐοδώσει τὴν ὁδόν σου καὶ λήψῃ τῷ υἱῷ μου γυναῖκα ἐκ τῆς φυλῆς μου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός μου». Καὶ ἐὰν μὴ πείθηται ἡ γυνὴ τοῦ μὴ πορευθῆναι μετὰ σοῦ ἐνταῦθα, «Τότε ἀθῷος ἔσῃ ἀπὸ τῆς ἀρᾶς μου».

Ὁ μὲν οὖν δεσπότης, φησί, ταῦτα ἐντειλάμενος καὶ ταύταις με ταῖς προσευχαῖς ἐφοδιάσας, οὕτως ἐξέπεμψεν· ἐγὼ δὲ θαρρήσας ταῖς ἐκείνου προσευχαῖς, ἡνίκα παρεγενόμην ἐπὶ τὴν πηγήν, ταῦτα τὰ ῥήματα ἐφθεγξάμην καὶ εἶπον· «Κύριε ὁ Θεὸς τοῦ

οἰκοδομάς, βλέπετε ἀπό τί ἀποτελεῖται ἡ περιουσία τοῦ Ἀβραάμ. Πουθενὰ ἀγρός, πουθενὰ οἰκοδομήματα καὶ ἡ περιττὴ πολυτέλεια, ἀλλὰ μόνον πρόβατα καὶ μόσχοι καὶ κάμηλοι καὶ ὄνοι, δοῦλοι καὶ δοῦλαι. Καὶ διὰ νὰ μάθῃς, ἀπὸ ποῦ ἀπέκτησεν αὐτὸ τὸ πλῆθος τῶν ὑπηρετῶν, προσέθεσεν εἰς ἄλλο μέρος, ὅτι ὅλοι εἶχον γεννηθῆ εἰς τὴν οἰκίαν του. Αὐτός λοιπὸν ὁ κύριός μου, ὁ ὁποῖος ἔχει τόσην περιουσίαν καὶ ἀπήλαυσε πάρα πολὺ τὴν ἄνωθεν βοήθειαν, ὅταν ἔφθασεν εἰς τὰ βαθειὰ γηρατειά, ἡ Σάρρα ἐγέννησεν εἰς αὐτὸν υἱόν. Ἔχων δὲ αὐτὸν μόνον μονογενῆ, κατέστησεν αὐτὸν κληρονόμον ὅλης τῆς περιουσίας. «Καθ' ὅσον παρέδωσεν εἰς αὐτὸν ὅλα τὰ ὑπάρχοντά του».

Ἔπειτα, ἀφοῦ διηγήθη τὴν δόξαν τοῦ κυρίου του, τὴν γέννησιν τοῦ Ἰσαάκ, ὁμιλεῖ εἰς τὴν συνέχειαν διὰ τὰς ἐντολάς, τὰς ὁποίας ἔλαβεν ἀπὸ τόν κύριόν του καὶ ἦλθεν εἰς τὴν Χαρράν. «Καὶ μὲ ὥρκισεν ὁ κύριός μου», λέγει, «καὶ μοῦ εἶπε. Δὲν θὰ πάρῃς γυναῖκα διὰ τὸν υἱόν μου Ἰσαὰκ ἀπὸ τὰς θυγατέρας τῶν Χαναναίων, μεταξὺ τῶν ὁποίων ἐγὼ κατοικῶ, ἀλλὰ θὰ μεταβῇς εἰς τὸν οἶκον τοῦ πατρός μου καὶ εἰς τὴν φυλήν μου καὶ θὰ πάρῃς ἀπὸ ἐκεῖ γυναῖκα διὰ τὸν υἱόν μου». Καὶ αὐτὸς δὲ διέταξεν αὐτά, ἐγὼ ὅμως, ἐπειδὴ ἐγνώριζα τὰς δυσκολίας καὶ ἐπειδὴ ἐσκεπτόμην τὴν δυσχέρειαν τῆς ἀποστολῆς, ἠρώτησα τὸν κύριόν μου, μήπως ἡ γυναῖκα δέν θὰ ἤθελε νὰ ἔλθῃ μαζί μου. «Καὶ ἐκεῖνος μοῦ ἀπήντησεν· Ὁ Κύριος ὁ Θεὸς ἐνώπιον τοῦ ὁποίου ἤμουν εὐάρεστος, θὰ στείλῃ τὸν ἄγγελόν του μαζί σου καὶ θὰ κατευοδώσῃ τὴν πορείαν σου καὶ θὰ πάρῃς γυναῖκα διὰ τὸν υἱόν μου ἀπὸ τὴν φυλὴν μου καὶ ἀπὸ τόν οἶκον τοῦ πατρός μου». Καὶ ἂν ἡ γυναῖκα δὲν πεισθῇ νὰ ἔλθῃ μαζί σου ἐδῶ, «Τότε θὰ εἶσαι ἀπηλλαγμένος ἀπὸ τὴν κατάραν μου».

Ὁ μὲν κύριός μου, λοιπόν, λέγει, μοῦ ἔδωσεν αὐτὰς τὰς ἐντολὰς καὶ μὲ ἐφωδίασε μὲ τὰς εὐχάς του καὶ ἔτσι μὲ ἀπέστειλεν. Ἐγὼ δέ ἔλαβον θάρρος ἀπὸ τὰς προσευχὰς ἐκείνου, ὅταν ἔφθασα εἰς τὴν πηγὴν καὶ εἶπα αὐτοὺς τοὺς λόγους· «Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ἐὰν

κυρίου μου ᾿Αβραάμ, εἰ σὺ εὐοδοῖς τὴν ὁδόν, ἣν ἐγὼ πορεύομαι· ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν ἀνθρώπων τῆς πόλεως ἐξελεύσονται ὑδρεύσασθαι ὕδωρ· καὶ ἔσται ἡ παρθένος, ἣ ἂν ἐγὼ εἴπω, πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου, καὶ εἴπῃ μοι, καὶ σὺ πίε, καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, αὕτη ἡ γυνή, ἣν ἡτοίμασας τῷ θεράποντί σου ᾿Ισαάκ, καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος τῷ κυρίῳ μου ᾿Αβραάμ». Ταῦτα μὲν ἐγώ, φησί, κατ' ἐμαυτὸν εὐχόμενος τὸν Θεὸν καθικέτευσα· οὔπω δὲ τέλος εἰλήφει τὰ παρ' ἐμοῦ ῥηθέντα, καὶ παραχρῆμα εἰς ἔργον ἐξήει καὶ τὰ ῥήματα πράγματα ἐγίνετο. «Πρὸ τοῦ γὰρ συντελέσαι με λαλοῦντα, ἰδοὺ Ρεβέκκα ἐξεπορεύετο τὴν ὑδρίαν ἔχουσα ἐπὶ τῶν ὤμων αὐτῆς. Εἶπον δὲ αὐτῇ, πότισόν με, καὶ σπεύσασα καθεῖλε τὴν ὑδρίαν αὐτῆς, καὶ εἰπέ μοι, πίε καὶ σὺ καὶ τὰς καμήλους σου ποτιῶ». Καὶ θεασάμενος λοιπὸν ἐναργῆ τὴν παρὰ τοῦ Θεοῦ γεγενημένην πρόνοιαν, ἐπηρώτων τίνος εἴη θυγάτηρ· καὶ μαθών, ἐξ ὧν εἶπεν, ὅτι οὐ πρὸς ξένους ἀφικόμην, ἀλλ' εἰς τὴν οἰκίαν Ναχὼρ τοῦ ἀδελφοῦ τοῦ κυρίου μου, θαρσήσας, «Περιέθηκε αὐτῇ τὰ ἐνώτια καὶ τὰ ψέλλια καὶ εὐδοκήσας προσεκύνησα τῷ Κυρίῳ καὶ εὐλόγησα τὸν Θεὸν τοῦ κυρίου μου ᾿Αβραάμ, ὅτι εὐώδωσέ με λαβεῖν τὴν θυγατέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου».

᾿Αλλὰ τὰ μὲν παρὰ τοῦ Θεοῦ οὕτως ἐναργῶς ᾠκονομήθη· αἱ γὰρ προσευχαὶ ἐληλύθασιν αἱ γενόμεναι παρὰ τοῦ δεσπότου μου. ῾Υμεῖς δὲ λοιπόν, εἰ τὰ παρ' ἑαυτῶν ἐπιδείκνυσθε, «Ποιεῖτε ἔλεος καὶ δικαιοσύνην πρὸς τὸν κύριόν μου· εἰ δὲ μή, ἀπαγγείλατέ μοι». ῎Ηδη μοι, φησί, γνωρίσατε, ἵνα εἰδέναι ἔχω, ὅ,τι δέοι με διαπράξασθαι. Εἰ δὲ μή γε, ἵνα ἑτέρωθι τὴν ὁδὸν ποιήσωμαι, καὶ «᾿Επιστρέψω ἢ εἰς δεξιὰ ἢ εἰς ἀριστερά». Εἶτα ἐπειδὴ ὁ Θεὸς ἦν ὁ τὰ πάντα ἐξευμαρί-

σὺ κατευθύνῃς τὰς πράξεις μου καὶ ἁγιάζῃς τὸν σκοπὸν διὰ τὸν ὁποῖον ἐγὼ ἔχω ἔλθει, ἰδοὺ τώρα εὑρίσκομαι εἰς τὴν πηγὴν τοῦ ὕδατος καὶ αἱ θυγατέρες τῶν ἀνθρώπων τῆς πόλεως νὰ βγοῦν διὰ νὰ ἀντλήσουν ὕδωρ. Καὶ ὅποια κόρη συμβῇ νὰ ἔλθῃ καὶ τῆς εἰπῶ ἐγὼ πότισε μὲ ὀλίγο νερὸ ἀπὸ τὴν ὑδρίαν σου καὶ μοῦ εἰπῇ αὐτή, πιὲς καὶ σὺ καὶ θὰ ποτίσω καὶ τὰς καμήλους σου, αὐτὴ θὰ εἶναι ἡ γυναῖκα, τὴν ὁποίαν ἡτοίμασες διὰ τὸν δοῦλον σου τὸν Ἰσαὰκ καὶ μὲ αὐτὸ θὰ καταλάβω, ὅτι ἔκανες ἔλεος εἰς τὸν κύριόν μου τὸν Ἀβραάμ». Προσευχόμενος ἐγώ, λέγει, εἰς τὸν Θεόν, αὐτὰ ἐζήτησα ἀπ' αὐτόν. Καὶ ἐνῷ ἀκόμη δὲν εἶχα τελειώσει τοὺς λόγους μου, ἀμέσως ἐπραγματοποιήθησαν οἱ λόγοι μου καὶ ἔγιναν πρᾶξις. «Διότι προτοῦ νὰ τελειώσω τοὺς λόγους μου, ἰδοὺ ἤρχετο ἡ Ρεβέκκα, ἡ ὁποία εἶχεν εἰς τοὺς ὤμους της τὴν ὑδρίαν. Καὶ εἶπον εἰς αὐτήν, δός μου νὰ πιῶ νερὸ καὶ αὐτὴ ἔσπευσε καὶ ἔβγαλε τὴν ὑδρίαν της καὶ μοῦ εἶπε, πιὲς καὶ σὺ καὶ θὰ ποτίσω καὶ τὰς καμήλους σου». Καὶ ὅταν εἶδον φανερὰν τὴν πρόνοιαν τοῦ Θεοῦ, ἠρώτησα τίνος κόρη ἦτο. Καὶ ὅταν ἔμαθον, ἀπ' ὅσα εἶπεν, ὅτι δὲν εἶχον ἔλθει εἰς ξένους, ἀλλ' εἰς τὴν οἰκίαν τοῦ Ναχὼρ τοῦ ἀδελφοῦ τοῦ κυρίου μου, ἀφοῦ ἔλαβον θάρρος, «Τῆς ἐφόρεσα τὰ σκουλαρήκια καὶ τὰ βραχιόλια καὶ ἀφοῦ ηὐχαριστήθην, προσεκύνησα τὸν Κύριον καὶ ἐδόξασα τὸν Θεὸν τοῦ κυρίου μου Ἀβραάμ, διότι μὲ κατευώδωσεν εἰς τὴν ἀληθινὴν ὁδόν, διὰ νὰ λάβω τὴν θυγατέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου».

Ἀλλ' ὅτι ἐξηρτᾶτο ἀπὸ τὸν Θεὸν διηυθετήθη τόσον ἐμφανῶς, διότι αἱ προσευχαὶ τοῦ κυρίου μου εἰσηκούσθησαν. Σεῖς δέ, ἐπιδεικνύοντες τὰς προθέσεις σας, «Νὰ κάμετε ἔλεος καὶ νὰ φανῆτε δίκαιοι πρὸς τὸν κύριόν μου. Διαφορετικὰ νὰ μοῦ εἰπῆτε». Ἤδη, λέγει, νὰ μοῦ φανερώσητε, διὰ νὰ ἠμπορῶ νὰ γνωρίζω, τί πρέπει νὰ κάμω. Εἰ δὲ μὴ νὰ ἀκολουθήσω ἄλλην ὁδὸν καὶ «Νὰ στραφῶ δεξιὰ ἢ ἀριστερά». Ἔπειτα ἐπειδὴ ὁ Θεὸς ἦτο ἐκεῖνος, ὁ ὁποῖος ἔφερεν εὐνοϊκὰ τὰ πάντα ἐξ αἰτίας τῶν προσευ-

ζων διὰ τὰς τοῦ πατριάρχου προσευχάς, φησὶ πρὸς αὐτὸν ὁ πατὴρ τῆς κόρης καὶ ὁ ἀδελφός· «Παρὰ Κυρίου ἐξῆλθε τὸ ρῆμα τοῦτο· οὐ δυνησόμεθα ἀντειπεῖν καλόν, ἢ κακόν». Ἡ διήγησίς σου, φησί, δείκνυσιν ὅλον τῆς τοῦ Θεοῦ οἰκονομίας γεγενημένον. Μὴ τοίνυν νομίσῃς ἡμᾶς ἐναντιοῦσθαι τοῖς τῷ Θεῷ δόξασιν· οὐδὲ γὰρ οἷόν τε τοῦτο παρ' ἡμῶν γενέσθαι. «Ἰδοὺ ἔχεις τὴν κόρην· λαβὼν ἀπότρεχε καὶ ἔσται γυνὴ τῷ υἱῷ τοῦ κυρίου σου, καθὰ ἐλάλησε Κύριος».

6. Εἴδετε ὅπως τὸ παλαιὸν ἐσπούδαζον γυναῖκας ἄγεσθαι τοῖς ἑαυτῶν παισίν; ὅπως πρὸ τῶν χρημάτων ψυχῆς εὐγένειαν ἐπεζήτουν; Οὐδαμοῦ γραμματεῖα, οὐδαμοῦ συνθῆκαι καὶ τὰ ἄλλα τὰ καταγέλαστα, ἃ νῦν γίνεται καὶ αἱ αἱρέσεις ἐκεῖναι αἱ τοῖς γραμματείοις ἐντιθέμεναι· ἐὰν ἄπαις, φησί, τελευτήσῃ, ἐὰν τόδε καὶ τόδε συμβῇ· ἀλλὰ παρ' ἐκείνοις οὐδὲν τοιοῦτον, ἀλλὰ τὸ μέγιστον καὶ ἀσφαλὲς γραμματεῖον, τῆς κόρης ὁ τρόπος· οὐδαμοῦ κύμβαλα καὶ χορεῖαι. Καὶ τοῦτο εἴσῃ, ἐπειδὰν πρὸς τὸν νυμφίον τὴν κόρην ἴδῃς ἐπαναχθεῖσαν. «Ἀκούσας γὰρ ὁ παῖς ταῦτα, φησί, παρὰ τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ, προσεκύνησε τῷ Θεῷ ἐπὶ τὴν γῆν». Ὅρα πῶς καθ' ἕκαστον τῶν γενομένων τῷ Δεσπότῃ τῶν ὅλων τὴν εὐχαριστίαν ἀναφέρει. Αὐτὸς γὰρ ἦν ὁ πάντα προοδοποιῶν καὶ κατὰ τὸ ρῆμα τοῦ πατριάρχου, ἄγγελον προαποστείλας ἔμπροσθεν αὐτοῦ, τὰ πάντα αὐτῷ ἐξευμαρίζοντα. Καὶ λοιπὸν μαθὼν ὡς τέλος αὐτῷ τὸ σπουδαζόμενον ἔσχεν, «Ἐξενέγκας σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱματισμόν, ἔδωκε τῇ Ρεβέκκᾳ».

Λοιπὸν μετὰ παρρησίας αὐτὴν θεραπεύει, ὡς ἤδη διὰ τῶν ρημάτων ἐγγυηθεῖσαν τῷ Ἰσαάκ. Τιμᾷ δὲ δώροις καὶ τὸν ἀδελφὸν καὶ τὴν μητέρα, καὶ ὅτε εἰς ἔργον εἶδεν ἐκβᾶσαν τὴν παρὰ τοῦ δεσπότου ἐντολήν, τότε λοιπὸν τῆς οἰκείας ἀναπαύσεως γίνεται.

---

7. Ὁ Βαθουήλ. 8. Ὁ Λάβαν.

χῶν τοῦ πατριάρχου, λέγει εἰς αὐτὸν ὁ πατὴρ[7] τῆς κόρης καὶ ὁ ἀδελφός της[8]. «Ἀπὸ τὸν Κύριον ἐξῆλθεν ὁ λόγος αὐτός. Δὲν θὰ ἠμπορέσωμεν νὰ σοῦ εἰποῦμεν κακὸν ἢ καλόν». Ἡ διήγησίς σου, λέγει, δεικνύει ὅτι ὅλα αὐτὰ ἐσχεδιάσθησαν ἀπὸ τὸν Θεόν. Νὰ μὴ νομίσῃς λοιπόν, ὅτι ἡμεῖς ἐναντιούμεθα εἰς τὰς ἀποφάσεις τοῦ Θεοῦ, καθ' ὅσον αὐτὸ δὲν εἶναι δυνατὸν νὰ γίνῃ ἀπὸ ἡμᾶς. «Ἰδοὺ ἔχεις τὴν κόρην. Λάβε αὐτὴν καὶ πήγαινε καὶ ἂς γίνῃ γυναῖκα τοῦ υἱοῦ τοῦ κυρίου σου, ὅπως διέταξεν ὁ Θεός».

6. Εἴδατε πόσον ἐφρόντιζον τὴν παλαιὰν ἐποχὴν νὰ δώσουν γυναῖκας εἰς τοὺς υἱούς των; Πῶς πρὶν ἀπὸ τὰ χρήματα ἐπεζήτουν τὴν εὐγένειαν τῆς ψυχῆς; Πουθενὰ συμβόλαια, πουθενὰ συμφωνίαι καὶ τὰ ἄλλα τὰ καταγέλαστα, τὰ ὁποῖα συμβαίνουν τώρα καὶ οἱ ὅροι ἐκεῖνοι, οἱ ὁποῖοι γράφονται εἰς τὰ συμβόλαια. Ἐὰν ἀποθάνῃ, λέγει, ἄτεκνος, ἐὰν αὐτὸ καὶ αὐτὸ συμβῇ. Ἀλλ' εἰς ἐκείνους δὲν συνέβαινε τίποτε τέτοιο, ἀλλὰ τὸ μεγαλύτερον καὶ ἀσφαλὲς συμβόλαιον τῆς κόρης ἦτο ὁ χαρακτὴρ αὐτῆς. Πουθενὰ τύμπανα καὶ χοροί. Καὶ αὐτὸ θὰ τὸ γνωρίσῃς, ὅταν θὰ ἴδῃς τὴν κόρην νὰ ἔρχεται πρὸς τὸν νυμφίον. Διότι λέγει, «Ὅταν ἤκουσεν ὁ ὑπηρέτης αὐτοὺς τοὺς λόγους ἀπὸ τὸν πατέρα καὶ τὸν ἀδελφόν, προσεκύνησε τὸν Θεὸν μέχρι τὸ ἔδαφος». Πρόσεχε, πῶς εὐχαριστεῖ τὸν Κύριον τῶν πάντων διὰ κάθε ἕνα ποὺ ἐγίνετο. Διότι αὐτὸς ἦτο ἐκεῖνος, ὁ ὁποῖος προητοίμαζε τὰ πάντα καὶ κατὰ τὸν λόγον τοῦ πατριάρχου αὐτός, ὁ ὁποῖος, ἀφοῦ ἔστειλεν ἔμπροσθέν του ἄγγελον, διηυθέτησε τὰ πάντα ἐπιτυχῶς πρὸς χάριν του. Καὶ ὅταν ἔμαθεν εἰς τὸ ἑξῆς, ὅτι εἶχε καλὸν τέλος ἡ ἀποστολή του, «Ἔβγαλε χρυσᾶ σκεύη καὶ ἀργυρᾶ καὶ φορέματα καὶ ἔδωσεν εἰς τὴν Ρεβέκκαν».

Ἔπειτα περιποιεῖται αὐτὴν μὲ θάρρος, ὡσὰν νὰ εἶχεν ἤδη ἀρραβωνιασθῇ μὲ τοὺς λόγους μὲ τὸν Ἰσαάκ. Τιμᾷ δὲ μὲ δῶρα καὶ τὸν ἀδελφὸν καὶ τὴν μητέρα καὶ ὅταν εἶδεν, ὅτι ἐπραγματοποιήθη ἡ ἐντολὴ τοῦ κυρίου του, τότε πλέον φροντίζει διὰ τὴν ἀνάπαυσίν του. Διότι

«Ἔφαγον γάρ», φησί, «καὶ ἔπιον, αὐτὸς καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ καὶ ἐκοιμήθησαν. Καὶ ἀναστὰς τῷ πρωῒ εἶπεν· ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου». Ἐπειδὴ πάντα μοι οὕτω κατευωδώθη, φησί, καὶ οὐδέν ἐστι λοιπὸν τὸ ἐλλεῖπον, ἀλλὰ καὶ ὑμῖν τοῦτο ἀρεστὸν ἐφάνη, «Ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. Εἶπαν δέ, φησίν, οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ· μεινάτω ἡ παρθένος μεθ' ἡμῶν ἡμέρας ὡσεὶ δέκα καὶ μετὰ ταῦτα ἀπελεύσεσθε. Ὁ δὲ εἶπε πρὸς αὐτούς· μὴ κατέχετέ με, καὶ Κύριος εὐώδωσε τὴν ὁδόν μου· ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου». Τίνος ἕνεκεν, φησίν, ὑπερτίθεσθε καὶ διαναβάλλεσθε, τοῦ Θεοῦ τοσαύτην εὐκολίαν ἐν ἅπασί μοι παρεσχηκότος; «Ἀπολύσατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου». Οἱ δέ, φησίν, εἶπον· καλέσωμεν τὴν παῖδα καὶ ἐρωτήσωμεν αὐτήν. Καὶ ἐκάλεσαν καὶ εἶπαν αὐτῇ· πορεύσῃ μετὰ τοῦ ἀνθρώπου; Ἡ δὲ εἶπε, πορεύσομαι. Καὶ ἐξέπεμψαν Ῥεβέκκαν τὴν ἀδελφὴν αὐτῶν καὶ τὰ ὑπάρχοντα αὐτῆς καὶ τὸν παῖδα τοῦ Ἀβραάμ, καὶ τοὺς μετ' αὐτοῦ, «καὶ εὐλόγησαν Ῥεβέκκαν καὶ εἶπον αὐτῇ· ἀδελφὴ ἡμῶν εἶ, γενοῦ εἰς χιλιάδας μυριάδων καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων».

Ὅρα πῶς καὶ οὗτοι ἀγνοοῦντες σημαίνουσι τῇ κόρῃ τὰ μέλλοντα ἔσεσθαι, τοῦ Θεοῦ τὴν διάνοιαν αὐτῶν πρὸς τοῦτο κατευοδώσαντος. Ἀμφότερα γὰρ αὐτῇ προμηνύουσιν, ὅτι καὶ εἰς χιλιάδας μυριάδων ἔσται, καὶ ὅτι κληρονομήσει τὸ σπέρμα αὐτῆς τὰς πόλεις τῶν ὑπεναντίων. Εἶδες διὰ πάντων δεικνυμένην ἐναργῆ τοῦ Θεοῦ τὴν πρόνοιαν, πῶς καὶ διὰ τῶν ἀπίστων προμηνύεσθαι τὰ μέλλοντα οἰκονομεῖ ὁ τῶν ἁπάντων Δεσπότης; «Καὶ ἀναστᾶσα», φησί, «Ῥεβέκκα καὶ αἱ ἅβραι αὐτῆς ἐπέβησαν ἐπὶ τὰς καμήλους». Εἶδες, οἵαν ἄγεται νύμφην ὁ πατριάρχης; ὑδρευομέ-

λέγει, «Ἔφαγον καὶ ἔπιον αὐτὸς καὶ οἱ συνοδοί του καὶ ἐκοιμήθησαν. Καὶ ὅταν ἐσηκώθη τὸ πρωὶ εἶπεν· Ἐπιτρέψατέ μου νὰ ἀναχωρήσω πρὸς τὸν κύριόν μου». Ἐπειδὴ τὰ πάντα ἔχουν γίνει πολὺ εὐνοϊκὰ εἰς ἐμένα, λέγει, καὶ δὲν μένει τίποτε ἄλλο καὶ ἐφάνη καὶ εἰς σᾶς ἀρεστὸν «Ἐπιτρέψατέ μου νὰ ἀναχωρήσω πρὸς τὸν κύριόν μου. Καὶ εἶπον οἱ ἀδελφοὶ τῆς Ρεβέκκας καὶ ἡ μητέρα της· Ἄς μείνῃ ἡ κόρη μαζί μας δέκα ἡμέρας περίπου καὶ κατόπιν ἂς ἀναχωρήσῃ. Ὁ ὑπηρέτης ὅμως εἶπε πρὸς αὐτούς. Μὴ μὲ κρατεῖτε καὶ ὁ Κύριος κατευώδωσε τὴν ἀποστολήν μου. Ἐπιτρέψατέ μου νὰ ἀναχωρήσω πρὸς τὸν κύριόν μου». Διατί, λέγει, μὲ καθυστερεῖτε καὶ συνεχῶς ἀναβάλλετε, ἀφοῦ ὁ Θεὸς μοῦ προσέφερε τόσην εὐκολίαν εἰς ὅλα; «Ἀφήσατέ με νὰ ἀναχωρήσω πρὸς τὸν κύριόν μου». Ἐκεῖνοι ὅμως, λέγει, εἶπον. Ἄς καλέσωμεν τὴν κόρην καὶ ἂς τὴν ἐρωτήσωμεν. Καὶ ἐκάλεσαν τὴν Ρεβέκκαν καὶ ὡρώτησαν αὐτήν. Θὰ ὑπάγῃς μαζὶ μὲ τὸν ἄνθρωπον; Αὐτὴ ἀπήντησε θὰ ὑπάγω. Καὶ ἄφησαν τὴν Ρεβέκκαν τὴν ἀδελφήν των νὰ ἀναχωρήσῃ μὲ τὰ πράγματά της καὶ τὸν ὑπηρέτην τοῦ Ἀβραὰμ καὶ τοὺς συνοδούς του. «Καὶ εὐχήθησαν τὴν Ρεβέκκαν καὶ εἶπον εἰς αὐτήν. Εἶσαι ἀδελφή μας. Εἴθε νὰ γίνῃς πρόγονος χιλιάδων μυριάδων καὶ ἂς κληρονομήσουν οἱ ἀπόγονοί σου τὰς πόλεις τῶν ἀντιπάλων των».

Πρόσεχε, πῶς καὶ αὐτοί, ἂν καὶ ἀγνοοῦν τὴν ὑπόσχεσιν τοῦ Θεοῦ, ὅμως δηλώνουν εἰς τὴν κόρην αὐτά, τὰ ὁποῖα πρόκειται νὰ συμβοῦν, ἀφοῦ ὁ Θεὸς ἐφώτισε τὸν νοῦν των νὰ κάμουν αὐτό. Διότι καὶ τὰ δύο προμηνύουν εἰς αὐτὴν καὶ ὅτι θὰ γίνῃ πρόγονος χιλιάδων μυριάδων καὶ ὅτι οἱ ἀπόγονοι αὐτῆς θὰ κληρονομήσουν τὰς πόλεις τῶν ἐχθρῶν των. Εἶδες, ὅτι μὲ ὅλα ἀποδεικνύεται πολὺ καθαρὰ ἡ πρόνοια τοῦ Θεοῦ, ὅτι ὁ Κύριος τῶν πάντων φροντίζει καὶ διὰ τῶν ἀπίστων νὰ δηλωθοῦν ἐκεῖνα, τὰ ὁποῖα πρόκειται νὰ συμβοῦν; «Καὶ ἀφοῦ ἐσηκώθη», λέγει, «ἡ Ρεβέκκα καὶ αἱ θεραπαινίδες της ἐπεβιβάσθησαν εἰς τὰς καμήλους». Εἶδες ποίαν νύμφην παίρνει ὁ πατριάρχης;

*νην καὶ τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων φέρουσαν καὶ νῦν πάλιν ἐπιβᾶσαν ἐπὶ τὰς καμήλους. Οὐδαμοῦ ἡμίονοι ἀργύρῳ περιλαμπόμεναι τοὺς τραχήλους, οὐδὲ οἰκετῶν ἐσμός, οὐδὲ ἡ πολλὴ βλακεία ἡ νῦν γινομένη· ἀλλὰ τοσαύτη ἦν τῶν παλαιῶν γυναικῶν ἡ ἀνδρεία, ὡς καὶ ἐπὶ τὰς καμήλους αὐτὰς ἐπιβαίνειν καὶ οὕτως ὁδοιπορεῖν. «**Καὶ** ἐπορεύθησαν», φησί, «μετὰ τοῦ ἀνθρώπου. Ὁ δὲ Ἰσαὰκ ἐξῄει ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸς δείλης· καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδε τὰς καμήλους ἐρχομένας». **Εἰς** τὸν πεδίον, φησίν, ὁ Ἰσαὰκ διατρίβων ἐθεάσατο τὰς καμήλους. «Ἡ δὲ **Ρεβέκκα** ἰδοῦσα τὸν Ἰσαάκ, κατεπήδησεν ἀπὸ τῆς καμήλου καὶ εἶπε τῷ παιδί· **Τίς** ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῶν;».*

*Ὅρα τῆς κόρης τὴν εὐγένειαν· ἐπειδὴ εἶδε τὸν Ἰσαάκ, ἐπυνθάνετο τίς εἴη. **Καὶ** μαθοῦσα ὅτι αὐτός ἐστιν ὁ μέλλων αὐτὴν ἄγεσθαι, περιεβάλλετο, φησί, τὸ θέριστρον καὶ παραγενόμενος ὁ παῖς διηγήσατο πάντα μετὰ ἀκριβείας τῷ Ἰσαάκ. Ἐνταῦθα σκόπει μοι, ἀγαπητέ, πῶς οὐδαμοῦ τὰ περιττὰ ταῦτα καὶ ἀνόνητα, οὐδαμοῦ πομπὴ διαβολική, οὐδαμοῦ κύμβαλα καὶ αὐλοὶ καὶ χορεῖαι, καὶ τὰ σατανικὰ ἐκεῖνα συμπόσια, καὶ αἱ λοιδορίαι αἱ πάσης ἀσχημοσύνης γέμουσαι, ἀλλὰ πᾶσα σεμνότης, πᾶσα σοφία, πᾶσα ἐπιείκεια. «Εἰσῆλθε δέ», φησίν, «Ἰσαὰκ εἰς τὸν οἶκον τῆς μητρὸς αὐτοῦ καὶ ἔλαβε τὴν Ρεβέκκαν καὶ ἐγένετο αὐτῷ γυνὴ καὶ ἠγάπησεν αὐτὴν καὶ παρεκλήθη Ἰσαὰκ περὶ Σάρρας τῆς μητρὸς αὐτοῦ».*

*Ταύτην μιμείσθωσαν αἱ γυναῖκες· τοῦτον ζηλούτωσαν οἱ ἄνδρες· οὕτω τὰς νύμφας ἀγαγέσθαι σπουδαζέτωσαν. **Τίνος** γὰρ ἕνεκεν, εἰπέ μοι, ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων κηλίδων πληρῶσαι συγχωρεῖς τῆς κόρης τὰς ἀκοὰς διὰ τῶν αἰσχρῶν ᾀσμάτων, διὰ τῆς ἀκαίρου πομπῆς ἐκείνης; Οὐκ οἶσθα ὅπως ἡ νεότης*

Ἐκείνην ἡ ὁποία παίρνει νερὸ καὶ μεταφέρει τὴν ὑδρίαν εἰς τοὺς ὤμους της καὶ τώρα πάλιν ἀνεβαίνει εἰς τὰς καμήλους. Πουθενὰ δὲν ὑπάρχουν ἡμίονοι, τῶν ὁποίων οἱ λαιμοὶ νὰ λάμπουν ἀπὸ ἄργυρον, οὔτε πλῆθος δούλων, οὔτε ἡ μεγάλη ἀνοησία, ἡ ὁποία συμβαίνει καὶ σήμερον. Ἀλλὰ τόση ἦτο ἡ γενναιότης τῶν παλαιῶν γυναικῶν, ὥστε καὶ εἰς τὰς καμήλους νὰ ἀναβαίνουν καὶ ἔτσι νὰ ὁδοιποροῦν. «Καὶ ἀνεχώρησαν», λέγει, μαζὶ μὲ τὸν ὑπηρέτην. Ὁ δὲ Ἰσαὰκ ἐξῆλθε κατὰ τὸ δειλινὸν εἰς τὴν πεδιάδα διὰ νὰ προσευχηθῇ. Καὶ ὅταν ἐσήκωσε τοὺς ὀφθαλμούς του εἶδε τὰς καμήλους νὰ ἔρχωνται». Ἐνῷ ὁ Ἰσαάκ, λέγει, ἦτο εἰς τὴν πεδιάδα, εἶδε τὰς καμήλους. «Καὶ ἡ Ρεβέκκα ὅταν εἶδε τὸν Ἰσαὰκ ἐπήδησε ἀπὸ τὴν κάμηλον καὶ εἶπεν εἰς τὸν ὑπηρέτην. Ποῖος εἶναι ἐκεῖνος ὁ ἄνθρωπος, ὁ ὁποῖος βαδίζει εἰς τὴν πεδιάδα πρὸς συνάντησίν μας;».

Πρόσεχε τὴν εὐγένειαν τῆς κόρης. Μόλις εἶδε τὸν Ἰσαάκ, ἐζήτησε νὰ μάθῃ, ποῖος ἦτο. Καὶ ὅταν ἔμαθεν, ὅτι αὐτὸς ἦτο ἐκεῖνος, ὁ ὁποῖος ἐπρόκειτο νὰ τὴν νυμφευθῇ, ἔβαλε, λέγει, τὴν καλύπτραν της καὶ ὅταν ὁ ὑπηρέτης ἐπλησίασε, διηγήθη εἰς τὸν Ἰσαὰκ τὰ πάντα μὲ ἀκρίβειαν. Ἐδῶ σκέψου, ἀγαπητέ, ὅτι πουθενὰ δὲν συνέβησαν ἐκεῖνα τὰ περιττὰ καὶ ἀνόητα πράγματα, πουθενὰ διαβολικὴ πομπή, πουθενὰ τύμπανα καὶ αὐλοὶ καὶ χοροὶ καὶ τὰ σατανικὰ ἐκεῖνα συμπόσια καὶ αἱ ὕβρεις, αἱ ὁποῖαι εἶναι πλήρεις κάθε ἀσχημίας, ἀλλὰ κάθε σεμνότης, κάθε σοφία καὶ κάθε σύνεσις. «Ὁ δὲ Ἰσαὰκ ὡδήγησε τὴν Ρεβέκκαν εἰς τὴν σκηνὴν τῆς μητρός του καὶ ἐνυμφεύθη αὐτὴν καὶ ἠγάπησεν αὐτὴν καὶ παρηγορήθη ἔτσι ὁ Ἰσαὰκ ἀπὸ τὸν θάνατον τῆς μητρός του Σάρρας».

Αὐτὴν ἂς μιμηθοῦν αἱ γυναῖκες. Αὐτὸν ἂς μιμηθοῦν οἱ ἄνδρες. Ἔτσι ἂς φροντίζουν νὰ νυμφεύωνται. Διὰ ποῖον λόγον, εἰπέ μου, ἀπὸ τὴν ἀρχὴν ἀμέσως ἀφήνεις τὴν κόρην νὰ κηλιδωθῇ ἡ ἀκοή της μὲ τὰ αἰσχρὰ τραγούδια, μὲ τὴν ἀκατάλληλον ἐκείνην πομπήν; Δὲν γνωρίζεις, ὅτι

εὔκολος πρὸς ὄλισθον; τί τὰ σεμνὰ τοῦ γάμου ἐκπομπεύεις μυστήρια; δέον ἅπαντα ταῦτα ἀπελαύνειν καὶ τὴν αἰδῶ ἐκ προοιμίων ἐκπαιδεύειν τὴν κόρην καὶ ἱερέας καλεῖν καὶ δι' εὐχῶν καὶ εὐλογιῶν τὴν ὁμόνοιαν τοῦ συνοικεσίου συσφίγγειν, ἵνα καὶ ὁ πόθος τοῦ νυμφίου αὔξηται καὶ τῆς κόρης ἡ σωφροσύνη ἐπιτείνηται· καὶ διὰ πάντων τὰ τῆς ἀρετῆς ἔργα εἰσελεύσεται εἰς τὴν οἰκίαν ἐκείνην καὶ πᾶσαι τοῦ διαβόλου αἱ μηχαναὶ ἐκποδὼν ἔσονται καὶ αὐτοὶ μεθ' ἡδονῆς τὸν βίον διάξουσιν ὑπὸ τῆς τοῦ Θεοῦ ροπῆς συγκροτούμενοι· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἡ νεότης ρέπει πρὸς τὸ κακόν; Διατί διαπομπεύεις τὰ σεμνὰ μυστήρια τοῦ γάμου; Πρέπει ὅλα αὐτὰ νὰ τὰ ἀπομακρύνῃς καὶ νὰ διδάξῃς εἰς τὴν κόρην ἀπὸ τὴν ἀρχὴν τὴν σεμνότητα καὶ νὰ καλῇς ἱερεῖς καὶ νὰ σφραγίσῃς τὴν ὁμόνοιαν τοῦ συνοικεσίου μὲ εὐχὰς καὶ εὐλογίας, διὰ νὰ αὐξηθῇ ἡ ἀγάπη τοῦ νυμφίου καὶ νὰ δυναμώσῃ ἡ σωφροσύνη τῆς κόρης. Καὶ μὲ ὅλα αὐτὰ νὰ εἰσέλθουν εἰς ἐκείνην τὴν οἰκίαν τὰ ἔργα τῆς ἀρετῆς καὶ ὅλαι αἱ πανουργίαι τοῦ διαβόλου νὰ ἀπομακρύνωνται καὶ αὐτοὶ νὰ περάσουν τὴν ζωήν των εὐτυχισμένοι, ἑνωμένοι μὲ τὴν δύναμιν τοῦ Θεοῦ. Αὐτὴν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ ἐξουσία, ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΘ΄
(Γεν. 25, 19-26)

«Αὗται δὲ αἱ γενέσεις», φησίν, «Ἰσαὰκ τοῦ υἱοῦ Ἀβραάμ».

1. Πάλιν ὑμᾶς ἐπὶ τὴν συνήθη τράπεζαν ἀναγαγεῖν βούλομαι καὶ ἐκ τῶν παρὰ τοῦ Μωϋσέως ρημάτων τὴν ἑστίασιν ὑμῖν παραθεῖναι, μᾶλλον δὲ τῶν τοῦ Πνεύματος. Οὐδὲ γὰρ ἀφ' ἑαυτοῦ Μωϋσῆς ταῦτα ἡμῖν ἐξέθετο, ἀλλ' ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐνηχούμενος. Ἴδωμεν οὖν, τί καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται. Οὐδὲ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ τοὺς βίους ἡμῖν τῶν δικαίων ἐκτίθεται, ἀλλ' ἵνα ζηλώσωμεν τούτων τὴν ἀρετὴν καὶ μιμηταὶ γενώμεθα τῶν ἐκείνοις κατωρθωμένων. Ἐπειδὴ γὰρ ἡμῖν τὰ κατὰ τὸν πατριάρχην ἀκριβῶς διηγησάμενος καὶ τὸν τελευταῖον αὐτοῦ ἆθλον τὸν ἐπὶ τῇ τοῦ μονογενοῦς σφαγῇ, διδάξας ἡμᾶς πῶς ἂν τῷ Θεῷ αὐτὸν καλλιέρημα, εἰ καὶ μὴ αὐτῷ ἔργῳ, ἀλλὰ τῇ προθυμίᾳ εἰργάσατο, τέλος ἐπέθηκεν ἐκείνοις τοῖς διηγήμασι· νῦν ἡμῖν ἐκτίθεται τὰ κατὰ τὸν Ἰσαὰκ τὸν σφαγέντα καὶ μὴ σφαγέντα· αἰνίγματι γὰρ ἔοικε τὸ γεγονός. Ἄκουσον γὰρ Παύλου λέγοντος· «Πίστει προσενήνοχε τὸν Ἰσαὰκ Ἀβραὰμ πειραζόμενος· καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος».

Εἶτα ἵνα μάθωμεν ἀκριβῶς, πῶς πίστει ταῦτα πάντα διεπράττετο καὶ ἐναντία τῇ ὑποσχέσει ὁρῶν τὰ ὑπ' αὐτοῦ γίνεσθαι κελευόμενα, οὐκ ἐταράττετο, φησίν· «Ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο». Τί ἐστιν, «Ἐν παραβολῇ ἐκομίσατο»; Ἐπειδὴ γὰρ αὐτὸν

1. Ἑβρ. 11, 17.
2. Ἑβρ. 11, 19.

ΟΜΙΛΙΑ ΜΘ΄
(Γεν. 25, 19-26)

«Αὐτὴ εἶναι ἡ γενεαλογία», λέγει, «τοῦ Ἰσαὰκ τοῦ υἱοῦ τοῦ Ἀβραάμ».

1. Πάλιν ἐπιθυμῶ νὰ σᾶς ὁδηγήσω εἰς τὴν συνήθη τράπεζαν καὶ νὰ σᾶς παραθέσω συμπόσιον μὲ τοὺς λόγους τοῦ Μωυσέως, ἢ μᾶλλον μὲ τοὺς λόγους τοῦ Πνεύματος. Καθ' ὅσον δὲν ἐξέθεσεν αὐτὰ εἰς ἡμᾶς ὁ Μωυσῆς ἀπὸ μόνος του, ἀλλ' ὁδηγούμενος ὑπὸ τοῦ ἁγίου Πνεύματος. Ἂς ἰδοῦμεν λοιπόν, τί θέλει νὰ μᾶς διδάξῃ καὶ σήμερον. Καθ' ὅσον δὲν μᾶς ἐκθέτει ἁπλῶς καὶ χωρὶς λόγον τοὺς βίους τῶν δικαίων, ἀλλὰ διὰ νὰ μιμηθῶμεν τὴν ἀρετὴν αὐτῶν καὶ τὰ κατορθώματά των. Ἀφοῦ λοιπὸν διηγήθη εἰς ἡμᾶς λεπτομερῶς τὰ σχετικὰ μὲ τὸν πατριάρχην καὶ τὸν τελευταῖον ἆθλον του ἐξ αἰτίας τῆς θυσίας τοῦ μονογενοῦς του υἱοῦ καὶ ἀφοῦ ἐδίδαξεν εἰς ἡμᾶς, πῶς ἀπετέλεσε τὴν θυσίαν εἰς τὸν Θεόν, ἂν καὶ ὄχι μὲ ἔργα, ἀλλὰ μὲ προθυμίαν, ἐτελείωσεν ἐκείνας τὰς διηγήσεις. Τώρα ἐκτίθενται εἰς ἡμᾶς τὰ σχετικὰ μὲ τὸν Ἰσαὰκ τὸν θυσιασθέντα καὶ μὴ θυσιασθέντα. Ἀφοῦ μὲ αἴνιγμα ὁμοιάζει τὸ γεγονός. Ἄκουσε λοιπὸν καὶ τὸν Παῦλον, ὁ ὁποῖος λέγει· «Μὲ τὴν πίστιν προσέφερεν ὁ Ἀβραὰμ τὸν Ἰσαάκ, ὅταν ἐδοκιμάσθη. Καὶ τὸν μονογενῆ του προσέφερεν αὐτός, ὁ ὁποῖος ἔλαβε τόσας ὑποσχέσεις»[1].

Ἔπειτα διὰ νὰ μάθωμεν μὲ ἀκρίβειαν, πῶς ἔκαμεν ὅλα αὐτὰ μὲ πίστιν καὶ δὲν ἐταράσσετο, ἂν καὶ ἔβλεπεν, ὅτι ἐκεῖνα, τὰ ὁποῖα διετάσσετο νὰ κάμῃ, ἦσαν ἀντίθετα μὲ τὴν ὑπόσχεσιν, λέγει ὁ Παῦλος· «Ἀπὸ τοὺς νεκροὺς ἔλαβεν αὐτὸν πίσω ὁ Ἀβραάμ»[2]. Τί σημαίνει, «Ἔλαβε πίσω αὐτὸν ἀπὸ τοὺς νεκρούς»; Ἀφοῦ ἔφερεν αὐτὸν νὰ θυσια-

εἰς θυσίαν ἀνήνεγκε καὶ ἀπηρτισμένην τὴν γνώμην ἐπεδείξατο, αὐτός γε τὸν στέφανον ἀνεδήσατο καὶ τὸν παῖδα λαβὼν ἐπανήει καὶ ἡ θυσία διὰ προβάτου ἐπληροῦτο καὶ ἐδείκνυ διὰ πάντων ὁ τῶν ὅλων Θεὸς τῆς οἰκείας φιλανθρωπίας τὴν ὑπερβολήν, καὶ ὅτι οὐ σφαγῆναι τὸν Ἰσαὰκ βουλόμενος τοῦτο ἐπέταττεν, ἀλλὰ τοῦ δικαίου γυμνάζων τὴν ὑπακοήν. Ἀλλ' ὥσπερ εἴδομεν τοῦ πατριάρχου τὴν ἀρετὴν διὰ πάντων λάμπουσαν, φέρε καὶ τὰ κατὰ τὸν Ἰσαὰκ σήμερον εἰς μέσον προθέντες ἴδωμεν, ὅπως καὶ αὐτὸς τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης διὰ πάντων ἐπιδείκνυται. Ἄξιον δὲ καὶ αὐτῶν ἐπακοῦσαι τῶν τῆς Γραφῆς ῥημάτων. «Αὗται δὲ αἱ γενέσεις», φησίν, «Ἰσαὰκ τοῦ υἱοῦ Ἀβραάμ. Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ. Ἦν δὲ Ἰσαὰκ ἐτῶν τεσσαράκοντα, ὅτε ἔλαβε Ρεβέκκαν θυγατέρα Βαθουὴλ τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας, ἀδελφὴν δὲ Λάβαν τοῦ Σύρου, ἑαυτῷ εἰς γυναῖκα».

Σκόπει μοι, ἀγαπητέ, τῆς θείας Γραφῆς τὴν ἀκρίβειαν, ὅπως οὐδὲν παρέργως τίθησι. Τίνος γὰρ ἕνεκεν ἡμῖν τὸν χρόνον τοῦ Ἰσαὰκ ἐπισημαίνεται, καί φησιν, «Ἦν δὲ Ἰσαὰκ ἐτῶν τεσσαράκοντα, ὅτε ἔλαβε τὴν Ρεβέκκαν», Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ· ἀλλ' ἐπειδὴ μέλλει μετὰ ταῦτα τῆς Ρεβέκκας ἡμῖν διηγεῖσθαι τὴν στείρωσιν καὶ ὅτι ἐξ εὐχῆς τοῦ δικαίου τὰ τῆς παιδοποιίας αὐτῇ γέγονε, βούλεται διδάξαι ἡμᾶς τὸ μέγεθος τῆς ὑπομονῆς τοῦ Ἰσαὰκ καὶ σημᾶναι τὸν χρόνον ἀκριβῶς, ὅσον ἐν ἀπαιδίᾳ γέγονεν· ἵνα καὶ ἡμεῖς ζηλοῦντες τὸν δίκαιον, οὕτω προσεδρεύωμεν ταῖς πρὸς τὸν Θεὸν ἱκεσίαις, ἐπειδὰν αἰτῶμέν τι παρ' αὐτοῦ. Εἰ γὰρ ὁ δίκαιος οὗτος, οὕτως ἐνάρετος ὢν καὶ τοσαύτης εὐνοίας ἀπολαύων παρὰ τοῦ Θεοῦ, τοσαύτην ἐπεδείκνυτο σπουδὴν καὶ εὐτονίαν, τὸν Θεὸν διηνεκῶς παρακαλῶν, ὥστε λῦσαι τῆς Ρεβέκκας τὴν στείρωσιν, τί ἂν εἴποιμεν ἡμεῖς οἱ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντες ἐπικείμενα καὶ μηδὲ τὸ πολ-

σθῇ καὶ ἐφανέρωσεν ὁλοκληρωμένην τὴν θέλησίν του, αὐτὸς βεβαίως περιεβλήθη τὸν στέφανον καὶ ἀφοῦ ἔλαβε τὸ παιδὶ ἐπανῆλθε καὶ ἡ θυσία ἐξεπληρώθη μὲ τὸ πρόβατον καὶ μὲ ὅλα αὐτὰ ἀπέδειξεν ὁ Θεὸς τὴν ὑπερβολικήν του ἀγάπην, διότι διέταξεν αὐτό, ὄχι ἐπειδὴ ἤθελε νὰ σφαγῇ ὁ Ἰσαάκ, ἀλλ' ἐπειδὴ ἤθελε νὰ δοκιμάσῃ τὴν ὑπακοὴν τοῦ δικαίου. Ἀλλ' ὅπως ἀκριβῶς εἴδομεν τὴν ἀρετὴν τοῦ πατριάρχου νὰ λάμπῃ μὲ ὅλα αὐτά, ἐμπρὸς λοιπὸν νὰ ἐξετάσωμεν σήμερον καὶ τὰ σχετικὰ μὲ τὸν Ἰσαάκ, διὰ νὰ ἰδοῦμεν, πῶς καὶ αὐτὸς φανερώνει μὲ ὅλα τὴν εὐσέβειάν του. Ἀξίζει δὲ νὰ ἀκούσωμεν τοὺς ἰδίους τοὺς λόγους τῆς ἁγίας Γραφῆς· «Αὐτὴ εἶναι ἡ γενεαλογία τοῦ Ἰσαὰκ τοῦ υἱοῦ τοῦ Ἀβραάμ», λέγει. «Ὁ Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ. Ἦτο δὲ ὁ Ἰσαὰκ τεσσαράκοντα ἐτῶν, ὅταν ἔλαβε τὴν Ρεβέκκαν ὡς σύζυγον, τὴν κόρην τοῦ Βαθουὴλ τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας, ἀδελφὴν δὲ τοῦ Λάβαν τοῦ Σύρου».

Σκέψου, παρακαλῶ, ἀγαπητέ μου, τὴν ἀκρίβειαν τῆς ἁγίας Γραφῆς, πῶς δηλαδὴ δὲν περιέχει τίποτε τὸ μάταιον. Διὰ ποῖον λόγον δηλαδὴ δηλώνει εἰς ἡμᾶς τὴν ἡλικίαν τοῦ Ἰσαὰκ καὶ λέγει· «Ὁ δὲ Ἰσαὰκ ἦτο τεσσαράκοντα ἐτῶν, ὅταν ἔλαβεν ὡς γυναῖκα τὴν Ρεβέκκαν». Ὄχι ἀσκόπως, οὔτε τυχαίως, ἀλλ' ἐπειδὴ θέλει νὰ μᾶς διηγηθῇ μετὰ ἀπ' αὐτὰ τὴν στείρωσιν τῆς Ρεβέκκας καὶ ὅτι αὐτὴ ἐγέννησε μετὰ ἀπὸ τὴν εὐχὴν τοῦ δικαίου, διὰ τοῦτο ἐπιθυμεῖ νὰ μᾶς διδάξῃ τὸ μέγεθος τῆς ὑπομονῆς τοῦ Ἰσαὰκ καὶ νὰ ἐπισημάνῃ ἀκριβῶς τὸν χρόνον, κατὰ τὸν ὁποῖον ἦτο ἄτεκνος, ὥστε καὶ ἡμεῖς, ἀφοῦ μιμηθῶμεν τὸν δίκαιον, ἔτσι νὰ παρακαλῶμεν τὸν Θεόν, ὅταν ζητῶμεν κάτι ἀπ' αὐτόν. Διότι, ἐὰν ὁ δίκαιος αὐτός, ὁ ὁποῖος ἦτο τόσον ἐνάρετος καὶ ἀπελάμβανε τόσην ἀγάπην ἀπὸ τὸν Θεόν, ἐπεδείκνυε τόσην φροντίδα καὶ σταθερότητα μὲ τὸ νὰ παρακαλῇ διαρκῶς τὸν Θεόν, ὥστε νὰ λύσῃ τὴν στείρωσιν τῆς Ρεβέκκας, τί θὰ ἠμπορούσαμεν νὰ εἴπουμεν ἡμεῖς, οἱ ὁποῖοι ἔχομεν τόσα μεγάλα φορτία ἁμαρτιῶν καὶ δὲν ἐπιδεικνύομεν οὔτε ἕνα ἐλάχιστον μέρος ἀπὸ τὴν

λοστὸν τοῦ δικαίου τούτου μέρος ἐπιδεικνύμενοι, ἀλλὰ κἂν πρὸς ὀλίγον σπουδήν τινα ἐπιδειξώμεθα, ναρκῶντες καὶ ἀποπηδῶντες, εἰ μὴ θᾶττον εἰσακουσθείημεν; Διὰ τοῦτο, παρακαλῶ, ἐκ τῶν τῷ δικαίῳ τούτῳ συμβάντων παιδευόμενοι, μηδέποτε παυώμεθα τὸν Θεὸν παρακαλοῦντες ὑπὲρ τῆς συγχωρήσεως τῶν οἰκείων πλημμελημάτων, ἀλλὰ θερμὴν καὶ ζέουσαν προθυμίαν ἐπιδεικνυώμεθα καὶ μὴ ἀσχάλλωμεν, μηδὲ ὀκνηρότεροι γινώμεθα, εἰ μὴ θᾶττον εἰσακουσθείημεν. Ἴσως γάρ, ἴσως σοφιζόμενος ἡμῶν τὴν διηνεκῆ προσεδρίαν ὁ Δεσπότης, διαναβάλλεται, βουλόμενος καὶ τῆς ὑπομονῆς ἡμᾶς κομίσασθαι τὸν μισθὸν καὶ τὸν καιρὸν εἰδώς, καθ' ὃν λυσιτελές ἐστιν ἡμῖν τῶν σπουδαζομένων ἐπιτυχεῖν. Οὐδὲ γὰρ οὕτως ἡμεῖς ἴσμεν τὸ συμφέρον ἑαυτοῖς, ὡς αὐτὸς ἀκριβῶς ἐπίσταται, ὁ τὰ ἀπόρρητα τῆς διανοίας ἑκάστου ἐπιστάμενος. Δι' ὃ προσήκει μηδὲν περιεργάζεσθαι καὶ πολυπραγμονεῖν τῶν παρὰ τοῦ Θεοῦ γινομένων, ἀλλὰ πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι καὶ θαυμάζειν τῶν δικαίων τὰς ἀρετάς. Ἐπειδὴ γὰρ εἶπεν ἡμῖν ἡ θεία Γραφή, ὅσων ἐτῶν ἦν Ἰσαάκ, λέγει καὶ περὶ Ρεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν.

Θέα μοι τοῦ δικαίου τὸ φιλόθεον. Ἐπειδὴ γὰρ εἶδε χωλεύουσαν τὴν φύσιν, ἐπὶ τὸν τῆς φύσεως δημιουργὸν ἔδραμε καὶ τὰ δεσμὰ τῆς φύσεως διὰ τῆς εὐχῆς λύειν ἠπείγετο. «Ἐδέετο γάρ», φησίν, «Ἰσαὰκ περὶ Ρεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν». Ἓν τοῦτο πρῶτον ἄξιον ζητῆσαι, τίνος ἕνεκεν, βίου οὖσα θαυμαστοῦ καὶ αὐτὴ καὶ ὁ ἀνὴρ αὐτῆς καὶ πολλῆς τῆς σωφροσύνης ἀμφότεροι ἐπιμελούμενοι, στεῖρα ἦν; Οὐκ ἔχομεν ἐπιλαβέσθαι αὐτῶν τῆς ζωῆς καὶ εἰπεῖν, ὅτι τῶν ἁμαρτιῶν ἦν ἔργον ἡ στείρωσις. Καὶ ἵνα μάθῃς τὸ θαυμαστόν, ὅτι οὐκ αὐτὴ μόνον στεῖρα ἦν, ἀλλὰ καὶ ἡ μήτηρ τοῦ δικαίου ἡ Σάρρα· καὶ

εὐσέβειαν τοῦ δικαίου αὐτοῦ, ἀλλὰ καὶ ἂν ἀκόμη ἐπιδείξωμεν δι᾽ ὀλίγον κάποιαν προθυμίαν, γινόμεθα διστακτικοὶ καὶ ταρασσόμεθα, ἐὰν δὲν εἰσακουσθῶμεν τὸ ταχύτερον; Διὰ τοῦτο παρακαλῶ, ἀφοῦ διδαχθῶμεν ἀπὸ τὰ ὅσα συνέβησαν εἰς τὸν δίκαιον, νὰ μὴ παύωμεν ποτὲ νὰ παρακαλοῦμεν τὸν Θεὸν διὰ τὴν συγχώρησιν τῶν ἁμαρτιῶν μας, ἀλλὰ νὰ ἐπιδεικνύωμεν καὶ θερμὴν καὶ ζέουσαν προθυμίαν καὶ νὰ μὴ δυσανασχετοῦμεν, οὔτε νὰ γινώμεθα διστακτικώτεροι, ἐὰν δὲν εἰσακουσθῶμεν τὸ ταχύτερον. Διότι ἴσως, ἴσως ὁ Κύριος, ἀφοῦ δοκιμάσῃ τὴν συνεχῆ προσήλωσίν μας, ἀναβάλλει, ἐπειδὴ θέλει νὰ ἀποκομίσωμεν καὶ τὸν μισθὸν τῆς ὑπακοῆς, ἀφοῦ γνωρίζει καὶ τὴν στιγμήν, κατὰ τὴν ὁποίαν συμφέρει εἰς ἡμᾶς νὰ ἐπιτύχωμεν αὐτά, τὰ ὁποῖα ἐπιδιώκομεν. Καθ᾽ ὅσον ἡμεῖς δὲν γνωρίζομεν τὸ συμφέρον μας τόσον καλά, ὅσον τὸ γνωρίζει μὲ ἀκρίβειαν αὐτός, ὁ ὁποῖος γνωρίζει τὰς κρυφὰς σκέψεις τοῦ καθενός. Διὰ τοῦτο πρέπει νὰ μὴ περιεργαζώμεθα καὶ νὰ μὴ πολυεξετάζωμεν αὐτά, τὰ ὁποῖα γίνονται ἀπὸ τὸν Θεόν, ἀλλὰ νὰ δεικνύωμεν μεγάλην εὐγνωμοσύνην καὶ νὰ θαυμάζωμεν τὰς ἀρετὰς τῶν δικαίων. Ἀφοῦ λοιπὸν εἶπεν εἰς ἡμᾶς ἡ ἁγία Γραφή, πόσων ἐτῶν ἦτο ὁ Ἰσαάκ, μᾶς λέγει καὶ διὰ τὴν Ρεβέκκαν τὴν γυναῖκα του, ὅτι ἦτο στεῖρα.

Πρόσεχε, παρακαλῶ, τὴν εὐσέβειαν τοῦ δικαίου. Ἐπειδὴ δηλαδὴ εἶδεν, ὅτι ἡ φύσις ἔχει κάποιο σφάλμα, προσέτρεξε πρὸς τὸν δημιουργὸν τῆς φύσεως καὶ ἐβιάζετο νὰ λύσῃ μὲ τὴν προσευχὴν τὰ δεσμὰ τῆς φύσεως. Διότι λέγει· «Παρεκάλει ὁ Ἰσαὰκ τὸν Κύριον διὰ τὴν γυναῖκα του τὴν Ρεβέκκαν, διότι ἦτο στεῖρα». Ἀξίζει νὰ ἐξετάσωμεν πρῶτον αὐτό, τὸ διατί δηλαδὴ αὐτὴ ἦτο στεῖρα, ἐνῷ ἔζων θαυμαστὸν βίον καὶ αὐτὴ καὶ ὁ ἄνδρας της καὶ ἐφρόντιζον πολὺ καὶ οἱ δύο διὰ τὴν σωφροσύνην; Δὲν ἠμποροῦμεν νὰ λάβωμεν ὡς αἰτίαν τὴν ζωήν των καὶ νὰ εἰποῦμεν, ὅτι ἡ στείρωσις ἦτο ἔργον τῶν ἁμαρτιῶν. Καὶ διὰ νὰ καταλάβῃς τὸ θαυμαστόν, ὅτι δὲν ἦτο μόνον αὐτὴ στεῖρα, ἀλλὰ καὶ ἡ μητέρα τοῦ δικαίου ἡ Σάρρα, καὶ

οὐχ ἡ μήτηρ δὲ αὐτοῦ μόνον, ἀλλὰ καὶ ἡ νύμφη, τοῦ Ἰακὼβ ἡ γυνὴ ἡ Ραχὴλ λέγω. Τί βούλεται τῶν στειρῶν τούτων ὁ χορός; Πάντες δίκαιοι, πάντες ἐνάρετοι, πάντες ὑπὸ Θεοῦ μαρτυρούμενοι. Περὶ γὰρ αὐτῶν ἔλεγεν· «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ». Καὶ ὁ μακάριος δὲ Παῦλός φησι· «Δι' ὃ οὐκ ἐπαισχύνεται ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν». Πολλὰ αὐτῶν τὰ ἐγκώμια ἐν τῇ Καινῇ, πολλοὶ οἱ ἔπαινοι ἐν τῇ Παλαιᾷ. Πανταχόθεν λαμπροὶ καὶ ἐπίσημοι, καὶ πάντες στείρας ἔσχον γυναῖκας καὶ ἐν ἀπαιδίᾳ ἦσαν μέχρι πολλοῦ τοῦ χρόνου.

2. Ὅταν οὖν ἴδῃς ἄνδρα καὶ γυναῖκα ἐν ἀρετῇ ζῶντας καὶ ἐν ἀπαιδίᾳ τυγχάνοντας· ὅταν ἴδῃς θεοσεβεῖς ὄντας καὶ εὐλαβείας ἐπιμελομένους, ἄπαιδας, μὴ νομίσῃς ἁμαρτιῶν εἶναι ἔργα. Πολλοὶ γὰρ τοῦ Θεοῦ τῆς οἰκονομίας οἱ λόγοι καὶ ἡμῖν ἀπόρρητοι καὶ ὑπὲρ πάντων εὐχαριστεῖν δεῖ καὶ μόνους ἐκείνους ταλανίζειν τοὺς ἐν κακίᾳ ζῶντας, οὐ τοὺς παιδία μὴ κεκτημένους. Πολλὰ γὰρ πολλάκις ὁ Θεὸς συμφερόντως οἰκονομεῖ· ἡμεῖς δὲ τὴν αἰτίαν τῶν γεγενημένων οὐκ ἴσμεν. Διὰ τοῦτο πανταχοῦ θαυμάζειν αὐτοῦ τὴν σοφίαν χρὴ καὶ δοξάζειν αὐτοῦ τὴν φιλανθρωπίαν τὴν ἄφατον. Ἀλλὰ ταῦτα μὲν πρὸς ὠφέλειαν ἡμῖν εἴρηται τὴν ὑμετέραν, ὥστε πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι καὶ μὴ περιεργάζεσθαι τοῦ Θεοῦ τὰς οἰκονομίας· δεῖ δὲ καὶ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν ἦσαν ἐκεῖναι στεῖραι αἱ γυναῖκες. Τί οὖν ἐστιν ἡ αἰτία; Ἵνα, ὅταν ἴδῃς τὴν παρθένον τίκτουσαν τὸν κοινὸν ἡμῶν Δεσπότην, μὴ ἀπιστήσῃς. Γύμνασόν σου ἐνταῦθα τὴν διάνοιαν, φησίν, ἐν τῇ μήτρᾳ τῶν στειρῶν, ἵν', ὅταν ἴδῃς πεπηρωμένην καὶ δεδεμένην μήτραν πρὸς παιδοποιίαν ἀνοιγομένην ἐκ τῆς τοῦ Θεοῦ χάριτος, μὴ θαυμάσῃς ἀκούων ὅτι παρθένος ἔτεκε. Μᾶλλον δὲ

3. Ἐξ. 3, 6. 4. Ἑβρ. 11, 16.

ὄχι μόνον ἡ μητέρα του, ἀλλὰ καὶ ἡ νύμφη, ἡ γυναῖκα τοῦ Ἰακώβ, ἡ Ραχὴλ ἐννοῶ. Τί θέλει νὰ μᾶς διδάξῃ τὸ πλῆθος τῶν στειρῶν αὐτῶν γυναικῶν; Ὅλοι ἦσαν δίκαιοι, ὅλοι ἦσαν ἐνάρετοι, ὅλοι μνημονεύονται ἀπὸ τὸν Θεόν. Διότι περὶ αὐτῶν ἔλεγεν· «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραάμ, ὁ Θεὸς τοῦ Ἰσαὰκ καὶ ὁ Θεὸς τοῦ Ἰακώβ»[3]. Καὶ ὁ μακάριος Παῦλος λέγει· «Διὰ τοῦτο δὲν ἐντρέπεται ὁ Θεὸς νὰ ὀνομάζεται Θεός των»[4]. Πολλὰ εἶναι τὰ ἐγκώμιά των εἰς τὴν Καινὴν Διαθήκην καὶ πολλοὶ οἱ ἔπαινοι εἰς τὴν Παλαιάν. Ἀπὸ παντοῦ λαμπροὶ καὶ θαυμαστοὶ καὶ ὅλοι εἶχον στείρας γυναῖκας καὶ ἦσαν ἄτεκνοι ἐπὶ πολὺν χρόνον.

2. Ὅταν λοιπὸν ἰδῇς ἄνδρα καὶ γυναῖκα νὰ ζοῦν ἐνάρετον ζωὴν καὶ νὰ μὴ ἔχουν τέκνα, ὅταν ἰδῇς νὰ εἶναι εὐσεβεῖς καὶ εὐλαβεῖς καὶ νὰ εἶναι ἄτεκνοι, νὰ μὴ νομίσῃς, ὅτι αὐτὸ εἶναι ἀποτέλεσμα ἁμαρτιῶν. Διότι εἶναι πολλοὶ οἱ λόγοι τῆς οἰκονομίας τοῦ Θεοῦ καὶ κρυφοὶ εἰς ἡμᾶς καὶ πρέπει νὰ εὐχαριστοῦμεν δι' ὅλα καὶ νὰ λέγωμεν, ὅτι εἶναι δυστυχεῖς μόνον ἐκεῖνοι, οἱ ὁποῖοι ζοῦν εἰς τὴν ἁμαρτίαν καὶ ὄχι ἐκεῖνοι, οἱ ὁποῖοι δὲν ἔχουν ἀποκτήσει τέκνα. Καθ' ὅσον ὁ Θεὸς ρυθμίζει πολλὲς φορὲς πολλὰ πράγματα σύμφωνα μὲ τὸ συμφέρον μας. Ἡμεῖς ὅμως δὲν γνωρίζομεν τὴν αἰτίαν αὐτῶν ποὺ γίνονται. Διὰ τοῦτο πρέπει νὰ θαυμάζωμεν παντοῦ τὴν σοφίαν του καὶ νὰ δοξάζωμεν τὴν ἀπερίγραπτον φιλανθρωπίαν του. Ἀλλ' αὐτὰ ἔχουν λεχθῆ ἀπὸ ἡμᾶς διὰ τὴν ἰδικήν σας ὠφέλειαν, ὥστε νὰ δείχνετε μεγάλην εὐγνωμοσύνην καὶ νὰ μὴ ἐξετάζετε τὰ σχέδια τοῦ Θεοῦ. Πρέπει ὅμως νὰ εἰποῦμεν καὶ τὴν αἰτίαν, διὰ τὴν ὁποίαν αἱ γυναῖκες ἐκεῖναι ἦσαν στεῖραι. Ποία λοιπὸν εἶναι ἡ αἰτία; Διὰ νὰ μὴ ἀπιστήσῃς, ὅταν ἰδῇς τὴν Παρθένον νὰ γεννᾷ τὸν Κύριόν μας. Νὰ ἐξασκήσῃς ἐδῶ τὸν νοῦν σου, λέγει, εἰς τὴν μήτραν τῶν στειρῶν, ὥστε νὰ μὴ ἀπορήσῃς ὅταν ἀκούσῃς, ὅτι ἐγέννησε παρθένος, ὅταν ἰδῇς, ὅτι ἀνίκανος καὶ κλειστὴ μήτρα ἀνοίγε-

θαύμασον καὶ ἐκπλάγηθι, ἀλλὰ μὴ ἀπιστήσῃς τῷ θαύματι.

Ὅταν οὖν λέγῃ πρὸς σὲ ὁ Ἰουδαῖος, πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πρὸς αὐτόν, πῶς ἔτεκεν ἡ στεῖρα καὶ γεγηρακυῖα; Δύο γὰρ κωλύματα τότε ἦν, τό τε ἄωρον τῆς ἡλικίας, καὶ τὸ ἄχρηστον τῆς φύσεως· ἐπὶ δὲ τῆς παρθένου ἓν κώλυμα ἦν, τὸ μὴ μετασχεῖν αὐτὴν γάμου. Προοδοποιεῖ τοίνυν τῇ παρθένῳ ἡ στεῖρα. Καὶ ἵνα μάθῃς, ὅτι διὰ τοῦτο στεῖραι προέλαβον, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἄκουσον ἀπὸ τῶν ῥημάτων τοῦ Γαβριὴλ τῶν πρὸς τὴν παρθένον εἰρημένων. Ἐπειδὴ γὰρ ἦλθε καὶ εἶπεν αὐτῇ, «Συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν», ἐξεπλάγη καὶ ἐθαύμασε καὶ εἶπε· «Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;». Τί οὖν ὁ ἄγγελος; «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι». Μὴ ζήτει, φησί, φύσεως ἀκολουθίαν, ὅταν ὑπὲρ φύσιν ᾖ τὰ γινόμενα· μὴ περιβλέπου γάμων ὠδῖνας, ὅταν μείζων γάμου τῆς γεννήσεως ὁ τρόπος ᾖ. «Καὶ πῶς ἔσται τοῦτο», φησίν, «ἐπεὶ ἄνδρα οὐ γινώσκω;». Καὶ μὴν διὰ τοῦτο ἔσται, ἐπειδὴ ἄνδρα οὐ γινώσκεις. Εἰ γὰρ ἐγίνωσκες ἄνδρα, οὐκ ἂν κατηξιώθης ὑπηρετήσασθαι τῇ διακονίᾳ ταύτῃ. Ὥστε, δι' ὃ ἀπιστεῖς, δι' αὐτὸ πίστευε. Οὐκ ἐπειδὴ κακὸν ὁ γάμος, ἀλλ' ἐπειδὴ κρείττων ἡ παρθενία· τὴν δὲ τοῦ κοινοῦ πάντων Δεσπότου εἴσοδον σεμνοτέραν ἐχρῆν εἶναι τῆς ἡμετέρας· βασιλικὴ γὰρ ἦν ἡ εἴσοδος. Ἔδει κοινωνεῖν ἡμῖν τῆς γεννήσεως, καὶ ἐξηλλάχθαι τῆς ἡμετέρας.

Καὶ ἀμφότερα ταῦτα γέγονε, καὶ ὅπως ἄκουε. Τὸ μὲν ἀπὸ μήτρας γενέσθαι, κοινὸν πρὸς ἡμᾶς· τὸ δὲ χωρὶς γάμων γενέσθαι, μεῖζον ἢ καθ' ἡμᾶς. Καὶ τὸ μὲν ἐν γαστρὶ σχεῖν σε, τῆς φύσεως τῆς ἀνθρω-

---

5. Λουκᾶ 1, 31.
6. Λουκᾶ 1, 34.
7. Λουκᾶ 1, 35.

ται μὲ τὴν χάριν τοῦ Θεοῦ. Νὰ θαυμάσῃς καὶ νὰ ἐκπλαγῇς μᾶλλον, ἀλλὰ νὰ μὴ ἀπιστήσῃς διὰ τὸ θαῦμα.

Ὅταν λοιπὸν σοῦ λέγῃ ὁ Ἰουδαῖος, πῶς ἐγέννησεν ἡ παρθένος; Νὰ ἀπαντήσῃς εἰς αὐτόν, πῶς ἐγέννησεν ἡ στεῖρα καὶ γηρασμένη; Διότι τότε ἦσαν δύο τὰ ἐμπόδια, καὶ ἡ ἀνώριμος ἡλικία καὶ ἡ ἄχρηστος φύσις. Εἰς τὴν παρθένον ὅμως ἕνα ἦτο τὸ ἐμπόδιον, τὸ ὅτι δηλαδὴ αὐτὴ δὲν ὑπανδρεύθη. Προετοιμάζει λοιπὸν ἡ στεῖρα τὴν ὁδὸν διὰ τὴν παρθένον. Καὶ διὰ νὰ μάθῃς, ὅτι διὰ τοῦτο προηγήθησαν αἱ στεῖραι, διὰ νὰ γίνῃ πιστευτὴ δηλαδὴ ἡ γέννησις τῆς παρθένου, ἄκουσε τοὺς λόγους τοῦ Γαβριήλ, τοὺς ὁποίους εἶπε πρὸς τὴν Παρθένον. Ὅταν δηλαδὴ τὴν ἐπεσκέφθη καὶ τῆς εἶπε· «Θὰ συλλάβῃς καὶ θὰ γεννήσῃς υἱὸν καὶ θὰ ὀνομάσῃς αὐτὸν Ἰησοῦν»[5], ἐξεπλάγη καὶ ἠπόρησε καὶ εἶπε· «Πῶς εἶναι δυνατὸν νὰ γίνῃ αὐτό, ἀφοῦ δὲν ἔχω ἄνδρα;»[6]. Τί λοιπὸν εἶπεν ὁ ἄγγελος; «Πνεῦμα ἅγιον θὰ ἔλθῃ ἐπάνω σου καὶ ἡ δύναμις τοῦ Ὑψίστου θὰ σὲ ἐπισκιάσῃ»[7]. Νὰ μὴ ζητᾷς, λέγει, τὴν φυσικὴν τάξιν, ὅταν αὐτά, τὰ ὁποῖα γίνονται, εἶναι ὑπὲρ τὴν φύσιν. Μὴ προσέχῃς τοὺς πόνους τοῦ γάμου, ὅταν ὁ τρόπος τῆς γεννήσεως εἶναι σπουδαιότερος ἀπὸ τὸν γάμον. «Καὶ πῶς εἶναι δυνατὸν νὰ γίνῃ αὐτό», λέγει, «ἀφοῦ δὲν ἔχω ἄνδρα;». Καὶ ὅμως δι' αὐτὸ θὰ γίνῃ, ἐπειδὴ δὲν ἔχεις ἄνδρα. Καθ' ὅσον, ἐὰν εἶχες ἄνδρα δὲν θὰ ἠξιωνόσουν νὰ ὑπηρετήσῃς τὸ μυστήριον αὐτό. Ὥστε νὰ πιστεύῃς δι' αὐτό, διὰ τὸ ὁποῖον ἀπιστεῖς. Ὄχι ἐπειδὴ εἶναι κακὸν πρᾶγμα ὁ γάμος, ἀλλ' ἐπειδὴ ἡ παρθενία εἶναι καλυτέρα. Ἔπρεπε δὲ ἡ εἴσοδος εἰς τὸν κόσμον τοῦ Κυρίου τῶν πάντων νὰ εἶναι περισσότερον σεμνὴ ἀπὸ τὴν ἰδικήν μας. Διότι ἦτο βασιλικὴ εἴσοδος. Ἔπρεπε ἡ γέννησις τοῦ Χριστοῦ νὰ ἔχῃ κοινὰ σημεῖα μὲ τὴν ἰδικήν μας καὶ συγχρόνως νὰ εἶναι διαφορετική.

Καὶ τὰ δύο αὐτὰ συνέβησαν, μὲ ποῖον τρόπον ὅμως ἔγιναν, ἄκουσε. Τὸ ὅτι ἐγεννήθη ἀπὸ μήτραν εἶναι κοινὸν καὶ εἰς ἡμᾶς. Τὸ ὅτι ὅμως ἐγεννήθη χωρὶς γάμον εἶναι ἀνώτερον ἀπὸ τὰ καθ' ἡμᾶς. Καὶ τὸ ὅτι ἐσὺ μὲν ἤσουν εἰς τὴν

πείας· τὸ δὲ χωρὶς μίξεως γενέσθαι τὴν κύησιν, σεμνότερον τῆς ἀνθρωπίνης φύσεως· ἵνα καὶ τὴν ὑπεροχὴν καὶ τὴν κοινωνίαν τὴν πρὸς σὲ μάθῃς. Καὶ σκόπει τὴν σοφίαν τῶν γινομένων. Οὔτε ἡ ὑπεροχὴ τὴν ὁμοίωσιν καὶ συγγένειαν ἐλυμήνατο, οὔτε ἡ πρὸς ἡμᾶς συγγένεια τὴν ὑπεροχὴν ἠμαύρωσεν, ἀλλ' ἑκάτερα ἐδείκνυτο διὰ τῶν πραγμάτων· καὶ τὰ μὲν ὁλόκληρα εἶχεν ἡμέτερα, τὰ δὲ ἐνηλλαγμένα πρὸς ἡμᾶς. 'Αλλ', ὅπερ ἔλεγον, διὰ τοῦτο αἱ στεῖραι αὗται, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἵνα αὕτη χειραγωγηθῇ πρὸς τὴν πίστιν τῆς ἐπαγγελίας καὶ τῆς ὑποσχέσεως. Ἄκουσον γὰρ τί φησιν ὁ ἄγγελος πρὸς αὐτήν· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι». Οὕτω, φησίν, ἔχεις τεκεῖν, καὶ τῆς ἐνεργείας τοῦ Πνεύματος τὸ πᾶν ἔσται. Μὴ τοίνυν βλέπε πρὸς τὴν γῆν· ἀπὸ τῶν οὐρανῶν ἡ ἐνέργεια ἔρχεται. Τοῦ Πνεύματός ἐστι χάρις τὸ γινόμενον· μὴ ζήτει φύσεως ἀκολουθίαν, μὴ κατὰ νόμους καὶ γάμον. 'Αλλ' ἐπειδὴ μείζονα ταῦτα ἦν ἐκείνης τὰ ῥήματα, βούλεται καὶ ἑτέραν αὐτῇ παρασχεῖν ἀπόδειξιν.

3. Σὺ δέ μοι σκόπει, ἀγαπητέ, πῶς ἡ στεῖρα αὐτὴν χειραγωγεῖ πρὸς τὴν πίστιν τοῦ τόκου. 'Επειδὴ γὰρ ἡ προτέρα ἀπόδειξις μείζων ἦν τῆς διανοίας τῆς παρθένου, ἄκουσον πῶς καὶ ἐπὶ τὰ ταπεινότερα κατήγαγε τὸν λόγον, διὰ τῶν αἰσθητῶν αὐτὴν χειραγωγῶν. «Καὶ ἰδού», φησίν, «'Ελισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ». Διὰ τὴν παρθένον πάντως παρήγαγε καὶ τὴν στεῖραν· ἐπεὶ τίνος ἕνεκεν παρήγαγεν αὐτῇ τὸν τόκον τῆς συγγενοῦς, καὶ τίνος ἕνεκεν ἔλεγε, «Τῇ καλουμένῃ στείρᾳ»; Διὰ πάντων χειραγωγῶν αὐτὴν πρὸς τὸ πιστεῦσαι τῷ εὐαγγελισμῷ. Διὰ τοῦτο καὶ τὴν ἡλικίαν εἶ-

8. Λουκᾶ 1, 36.

κοιλίαν εἶναι ἴδιον τῆς ἀνθρωπίνης φύσεως. Τὸ ὅτι ὅμως ἔγινεν ἡ κύησις χωρὶς συνουσίαν, αὐτὸ εἶναι ἀνώτερον τῆς ἀνθρωπίνης φύσεως. Διὰ νὰ καταλάβῃς καὶ τὴν ὑπεροχὴν καὶ τὴν συμμετοχήν, ἡ ὁποία ὑπάρχει εἰς σέ. Καὶ σκέψου τὴν σοφίαν ἐκείνων, τὰ ὁποῖα ἔγιναν. Οὔτε ἡ ὑπεροχὴ ἔβλαψε τὴν ὁμοιότητα καὶ τὴν συγγένειαν, οὔτε ἡ συγγένεια πρὸς ἡμᾶς ἠμαύρωσε τὴν ὑπεροχήν, ἀλλὰ κάθε ἕνα ἀπὸ τὰ δύο χωριστὰ ἀπεδείχθη εἰς τὴν πρᾶξιν. Καὶ ἄλλα μὲν ἦταν καθ' ὁλοκληρίαν ἰδικά μας, ἄλλα δὲ ἦσαν διαφορετικά. Ἀλλ' αὐτό, τὸ ὁποῖον ἔλεγον, διὰ τοῦτο αὐταὶ ἦσαν στεῖραι, διὰ νὰ γίνῃ δηλαδὴ πιστευτὴ ἡ γέννησις τῆς Θεοτόκου, διὰ νὰ ὁδηγηθῇ αὐτὴ εἰς τὸ νὰ πιστεύσῃ τὴν ἐπαγγελίαν καὶ τὴν ὑπόσχεσιν. Διότι ἄκουσε, τί λέγει πρὸς αὐτὴν ὁ ἄγγελος· «Πνεῦμα ἅγιον θὰ ἔλθῃ ἐπάνω σου καὶ ἡ δύναμις τοῦ Ὑψίστου θὰ σὲ ἐπισκιάσῃ». Ἔτσι, λέγει, ἠμπορεῖς νὰ γεννήσῃς, καθ' ὅσον τὸ πᾶν ἀνήκει εἰς τὴν ἐνέργειαν τοῦ ἁγίου Πνεύματος. Νὰ μὴ βλέπῃς, λοιπόν, πρὸς τὴν γῆν, ἡ χάρις ἔρχεται ἀπὸ τὸν οὐρανόν. Αὐτὸ τὸ ὁποῖον ἔγινεν, εἶναι χάρις τοῦ ἁγίου Πνεύματος. Νὰ μὴ ζητᾷς τὴν φυσικὴν ἀκολουθίαν, οὔτε πράγματα σύμφωνα μὲ τοὺς φυσικοὺς νόμους καὶ τὸν γάμον. Ἀλλ' ἐπειδὴ αὐτοὶ οἱ λόγοι εἶναι ἀνώτεροι ἀπὸ ἐκείνην, θέλει νὰ δώσῃ εἰς αὐτὴν καὶ ἄλλην ἀπόδειξιν.

3. Σὺ δέ, ἀγαπητέ, σκέψου, παρακαλῶ, πῶς ἡ στεῖρα ὁδηγεῖ αὐτὴν εἰς τὸ νὰ πιστεύσῃ τὴν γέννησιν. Ἐπειδὴ δηλαδὴ ἡ προηγουμένη ἀπόδειξις ἦτο ἀνωτέρα τῆς λογικῆς τῆς παρθένου, ἄκουσε, πῶς ὡδήγησε τὴν συζήτησιν εἰς κατώτερον ἐπίπεδον διὰ νὰ χειραγωγήσῃ αὐτὴν μὲ τὰ αἰσθητά. «Καὶ ἰδού», λέγει, «καὶ ἡ Ἐλισάβετ ἡ συγγενής σου συνέλαβε καὶ αὐτὴ υἱὸν εἰς τὰ γεράματά της. Καὶ αὐτὸς εἶναι ὁ ἕκτος μήνας τῆς κυήσεως αὐτῆς, ἡ ὁποία ἐκαλεῖτο στεῖρα»[8]. Διὰ τὴν παρθένον πάντως ἀνέφερε καὶ τὴν στεῖραν. Διὰ ποῖον λόγον ἀνέφερεν, εἰς αὐτὴν τὴν κύησιν τῆς συγγενοῦς καὶ διατί ἔλεγεν, «Ἡ ὁποία καλεῖται στεῖρα»; Διὰ νὰ ὁδηγήσῃ μὲ ὅλα αὐτὴν εἰς τὸ νὰ πιστεύσῃ τὸν Εὐαγγελισμόν. Διὰ τοῦτο ἀνέφερε καὶ τὴν ἡλικίαν καὶ

πε, καὶ τὴν πήρωσιν τῆς φύσεως· διὰ τοῦτο καὶ τὸν χρόνον ἀνέμεινε τῆς κυήσεως. Οὐ γὰρ ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων αὐτῇ εὐθέως εὐηγγελίσατο, ἀλλ' ἑξαμηνιαίου διελθόντος χρόνου, ἵνα ὁ τῆς γαστρὸς ὄγκος τὴν κύησιν ἐγγυησάμενος σαφῆ τὴν ἀπόδειξιν παράσχῃ τῆς συλλήψεως.

Καὶ θέα μοι τοῦ Γαβριὴλ τὴν σύνεσιν. Οὐκ ἀνέμνησεν αὐτὴν τῆς Σάρρας, οὐδὲ τῆς Ρεβέκκας, οὐδὲ τῆς Ραχήλ. Τίνος ἕνεκεν καὶ διὰ τί; Καὶ αὗται γὰρ στεῖραι ἦσαν, καὶ γεγηρακυῖαι, καὶ πολὺ καὶ ἐν αὐταῖς τὸ θαῦμα ἦν· ἀλλ' ἐπειδὴ πάντα ταῦτα παλαιὰ ἦν τὰ διηγήματα, ἐπὶ τὸ πρόσφατον αὐτὴν ἄγει, ἵνα διαναστήσῃ αὐτῆς τὴν διάνοιαν. 'Αλλ' ἀναγκαῖον ἐπὶ τὸ προκείμενον τὸν λόγον ἀναγαγεῖν, καὶ γνωρίσαι τοῦ δικαίου τούτου τὴν ἀρετήν, ὅπως διὰ τῆς εὐχῆς τὴν στείρωσιν τῆς Ρεβέκκας ἔλυσε, καὶ τῶν δεσμῶν τῆς φύσεως περιεγένετο. «'Εδέετο γάρ», φησίν, «'Ισαὰκ περὶ Ρεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν, καὶ ἐπήκουσεν αὐτοῦ ὁ Θεός». Μὴ ἐπειδὴ εὐθέως οὕτω γέγραπται, νομίσῃς καὶ παραχρῆμα αὐτὸν τετυχηκέναι τοῦ σπουδαζομένου. Καὶ γὰρ εἴκοσιν ἐτῶν ἀριθμὸν διέμενε δεόμενος καὶ παρακαλῶν τὸν Θεόν, καὶ τότε ἐπέτυχε τοῦ ποθουμένου. Καὶ πόθεν εἰσόμεθα τοῦτο; 'Εὰν μετὰ ἀκριβείας ἐπέλθωμεν τὰ ἐν τῇ θείᾳ Γραφῇ κείμενα. Οὐδὲ γὰρ τὸν χρόνον ἡμᾶς ἀπέκρυψεν, ἀλλ' ἐσήμανε μέν, λανθανόντως δέ, ὥστε διεγεῖραι ἡμῶν τὴν προθυμίαν καὶ πρὸς ζήτησιν παρορμῆσαι. Ὥσπερ γὰρ ἐδίδαξεν ἡμᾶς τῶν ἐτῶν τὸν ἀριθμὸν ὅσον ἦν, ἡνίκα τὴν Ρεβέκκαν ἠγάγετο, οὕτω καὶ τοῦτο ἡμῖν δῆλον καθίστησιν. «Ἦν γάρ», φησίν, «'Ισαὰκ ἐτῶν τεσσαράκοντα, ἡνίκα ἔλαβε Ρεβέκκαν τὴν θυγατέρα Βαθουὴλ τοῦ Σύρου». Ἔμαθες ἀκριβῶς τὸν χρόνον.

Εἶτα εἰπὼν ὅτι «ἐδέετο 'Ισαὰκ περὶ τῆς γυναικὸς

9. Α' Τιμ. 2, 8.

τὴν στείρωσιν τῆς φύσεως. Διὰ τοῦτο καὶ ἀνέμεινε καὶ τὸν χρόνον τῆς κυήσεως. Διότι δὲν ἀνήγγειλεν εἰς τὴν Ἐλισάβετ ἐξ ἀρχῆς καὶ ἀμέσως τὴν εὐχάριστον εἴδησιν, ἀλλ' ἀφοῦ ἐπέρασε διάστημα ἕξι μηνῶν, ὥστε, ὁ ὄγκος τῆς κοιλίας νὰ ἐγγυηθῇ τὴν κύησιν καὶ νὰ ἀποδείξῃ σαφῶς τὴν σύλληψιν.

Καὶ πρόσεχε σὲ παρακαλῶ τὴν σύνεσιν τοῦ Γαβριήλ. Δὲν ὑπενθύμισεν εἰς αὐτὴν οὔτε τῆς Σάρρας, οὔτε τῆς Ρεβέκκας, οὔτε τῆς Ραχὴλ τὴν στείρωσιν. Διὰ ποῖον λόγον καὶ διατί; Καὶ αὐταὶ ἦσαν στεῖραι καὶ γηρασμέναι καὶ ἦτο καὶ εἰς αὐτὰς μεγάλο τὸ θαῦμα. Ἀλλ' ἐπειδὴ ὅλαι αὐταὶ αἱ διηγήσεις ἦσαν παλαιαί, ὁδηγεῖ αὐτὴν εἰς τὸ πρόσφατον, διὰ νὰ κεντρίσῃ τὸν νοῦν της. Εἶναι ἀνάγκη ὅμως νὰ ἐπαναφέρωμεν τὸν λόγον εἰς τὸ παρὸν θέμα καὶ νὰ γνωρίσωμεν τὴν ἀρετὴν τοῦ δικαίου αὐτοῦ, τοῦ Ἰσαάκ, πῶς δηλαδὴ μὲ τὴν προσευχὴν ἔλυσε τὴν στείρωσιν τῆς Ρεβέκκας καὶ ὑπερενίκησε τοὺς δεσμοὺς τῆς φύσεως. «Παρεκάλει ὁ Ἰσαὰκ τὸν Κύριον», λέγει, «διὰ τὴν γυναῖκα του τὴν Ρεβέκκαν, διότι ἦτο στεῖρα. Καὶ ὁ Θεὸς ἤκουσε τὴν προσευχήν του». Νὰ μὴ νομίσῃς, ὅτι ἀμέσως αὐτὸς ἐπέτυχεν ἐκεῖνο, τὸ ὁποῖον ἐζητοῦσε ἐπειδὴ ἔτσι ἀμέσως ἔχει γραφῇ εἰς τὴν Γραφήν. Καθ' ὅσον ἐπερίμενεν εἴκοσι ἔτη προσευχόμενος καὶ παρακαλῶν τὸν Θεὸν καὶ τότε ἐπέτυχεν ἐκεῖνο, τὸ ὁποῖον ἐπόθει. Ἀπὸ ποῦ ὅμως θὰ μάθωμεν αὐτό; Θὰ τὸ μάθωμεν, ἐὰν διαβάσωμεν μὲ προσοχήν, ὅσα περιέχονται εἰς τὴν ἁγίαν Γραφήν. Καθ' ὅσον δὲν μᾶς ἀπέκρυψε τὸν χρόνον, ἀλλὰ τὸν ἐφανέρωσεν, ὅμως ἐμμέσως, ὥστε νὰ διεγείρῃ τὴν προθυμίαν μας καὶ νὰ μᾶς παρακινήσῃ πρὸς ἀναζήτησιν. Ὅπως ἀκριβῶς μᾶς ἐγνώρισε τὸν ἀριθμὸν τῶν ἐτῶν, πόσον δηλαδὴ ἦτο, ὅταν ἐννυμφεύθη τὴν Ρεβέκκαν, κατὰ παρόμοιον τρόπον μᾶς φανερώνει καὶ αὐτό. Διότι λέγει· «Ὁ Ἰσαὰκ ἦτο τεσσαράκοντα ἐτῶν, ὅταν ἐνυμφεύθη τὴν Ρεβέκκαν, τὴν κόρην τοῦ Βαθουὴλ τοῦ Σύρου». Ἔμαθες ἀκριβῶς τὸν χρόνον.

Ἔπειτα ἀφοῦ εἶπεν, ὅτι «Ὁ Ἰσαὰκ παρεκάλει τὸν

αὐτοῦ, ὅτι στεῖρα ἦν», ἵνα μάθωμεν τῶν ἐτῶν τὸν ἀριθμόν, σημαίνει ἡμῖν πόσων ἐτῶν ἦν ὁ Ἰσαάκ, ἡνίκα ἐτέχθησαν αὐτῷ οἱ παῖδες παρὰ τῆς Ρεβέκκας. «Ἦν δὲ Ἰσαάκ», φησίν, «ἐτῶν ἑξήκοντα, ἡνίκα ἔτεκε Ρεβέκκα». Εἰ τοίνυν τεσσαράκοντα ἐτῶν ἦν, ὅτε ἠγάγετο αὐτήν, ἑξήκοντα δὲ ἐτῶν, ὅτε ἔτεκεν ἡ γυνή, δηλονότι ἐν τοῖς εἴκοσιν ἔτεσι δεόμενος τοῦ Θεοῦ διέμενεν, καὶ οὕτω τὴν πήρωσιν τῆς μήτρας τῆς Ρεβέκκας εἰς παιδοποιίαν διήγειρεν. Εἴδετε εὐχῆς δύναμιν, πῶς καὶ αὐτῆς περιγενέσθαι τῆς φύσεως ἴσχυσε;

Τοῦτον καὶ ἡμεῖς πάντες μιμώμεθα, καὶ οὕτω ταῖς εὐχαῖς προσεδρεύωμεν μετὰ νηφούσης ψυχῆς, μετὰ κατεσταλμένης διανοίας· καὶ ἀκούσωμεν Παύλου παραινοῦντος καὶ λέγοντος· «Ἐπαίροντες ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ»· καὶ σπουδάσωμεν πάντοτε μὲν ἀπηλλάχθαι ταραχῆς, καὶ ἐν γαλήνῃ ἔχειν τὸν λογισμόν, μάλιστα δὲ κατὰ τὸν καιρὸν τῆς εὐχῆς, ὅτε πολλῆς ἡμῖν χρεία τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας. Ἐὰν γὰρ ἴδῃ κατὰ τοὺς ὑπ' αὐτοῦ κειμένους νόμους ταύτην ἡμᾶς ποιουμένους, ταχεῖαν ἡμῖν τῶν παρ' ἑαυτοῦ δωρεῶν χαρίζεται τὴν φιλοτιμίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριον διὰ τὴν γυναῖκα του, ἐπειδὴ ἦτο στεῖρα», διὰ νὰ μάθωμεν τὸν ἀριθμὸν τῶν ἐτῶν μᾶς ἐπισημαίνει, πόσων ἐτῶν ἦτο ὁ Ἰσαάκ, ὅταν ἐγεννήθησαν εἰς αὐτὸν τὰ τέκνα ἀπὸ τὴν Ρεβέκκαν. «Ἦτο δὲ Ἰσαάκ», λέγει, «ἑξήκοντα ἐτῶν, ὅταν ἐγέννησεν ἡ Ρεβέκκα». Ἐὰν λοιπὸν ἦτο τεσσαράκοντα ἐτῶν ὅταν ἐνυμφεύθη αὐτὴν καὶ ἑξήκοντα ἐτῶν, ὅταν ἡ γυναῖκα ἐγέννησεν, εἶναι φανερόν, ὅτι ἐπερίμενεν εἴκοσιν ἔτη παρακαλῶν τὸν Θεὸν καὶ ἔτσι διήγειρεν εἰς τεκνογονίαν τὴν στεῖραν μήτραν τῆς Ρεβέκκας. Εἴδατε τὴν δύναμιν τῆς προσευχῆς, πῶς δηλαδὴ ἠμπόρεσε νὰ ὑπερνικήσῃ καὶ αὐτὴν ἀκόμη τὴν φύσιν;

Αὐτὸν ἂς μιμούμεθα καὶ ἡμεῖς ὅλοι καὶ νὰ προσευχώμεθα ἔτσι μὲ καθαρὰν καρδίαν, μὲ ταπεινὴν διάθεσιν, καὶ ἂς ἀκούσωμεν τὸν Παῦλον, ὁ ὁποῖος συμβουλεύει καὶ λέγει· «Νὰ σηκώνωμεν χέρια ἅγια χωρὶς ὀργὴν καὶ χωρὶς ἀμφιβολίαν». Καὶ νὰ φροντίζωμεν πάντοτε νὰ ἀπαλλασσώμεθα ἀπὸ τὴν ταραχὴν καὶ νὰ εἶναι ὁ νοῦς μας ἤρεμος κατ᾽ ἐξοχὴν κατὰ τὸν χρόνον τῆς προσευχῆς, ὁπότε ἔχομεν ἀνάγκην τῆς μεγάλης ἀγάπης τοῦ Θεοῦ. Διότι ἐὰν ἰδῇ νὰ προσευχώμεθα σύμφωνα μὲ τοὺς νόμους του, χαρίζει εἰς ἡμᾶς γρήγορα τὴν ἀφθονίαν τῶν δωρεῶν του. Αὐτὴν εἴθε νὰ τὴν ἐπιτύχωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ ἐξουσία, καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ν΄

(Γεν. 25, 21 - 34)

«Ἐν γαστρὶ δὲ ἔλαβεν ἡ Ρεβέκκα, καὶ ἐσκίρτων τὰ παιδία ἐν αὐτῇ».

1. Βούλεσθε σήμερον τὰ λείψανα τῶν χθὲς ἡμῖν εἰρημένων ἀποδῶμεν ὑμῶν τῇ ἀγάπῃ; Οὐδὲ γὰρ ἅπασαν τὴν ὑπόθεσιν εἰς τέλος ἀγαγεῖν ἠδυνήθημεν· ἀλλ' ὅτι διὰ τῆς οἰκείας εὐχῆς καὶ τῆς πολλῆς προσεδρίας ἴσχυσεν ὁ Ἰσαὰκ τὴν μήτραν τῆς Ρεβέκκας πρὸς παιδοποιίαν διεγεῖραι, καὶ τὴν φύσιν αὐτὴν πεπηρωμένην, ὡς εἰπεῖν, διανοῖξαι, ταῦτα ἅπαντα χθὲς ἱκανῶς ὑμᾶς ἐδιδάξαμεν, δείξαντες τῶν ἐτῶν τὸν ἀριθμόν, ὃν δεόμενος καὶ ἱκετεύων τὸν Θεὸν διετέλεσεν ὑπὲρ τούτου ὁ μακάριος ἐκεῖνος· καὶ εἰς τὸν περὶ τῶν στειρῶν λόγον ἐξελθόντες, καὶ τὴν αἰτίαν ὑμῖν εἰπόντες, δι' ἣν αἱ τῶν δικαίων ἐκείνων γαμεταὶ στεῖραι γεγόνασιν ἐνταῦθα κατελύσαμεν τὸν λόγον. Δεῖ δὲ σήμερον ἡμᾶς μαθεῖν καὶ τῆς Ρεβέκκας τὸ φιλόθεον, ἵνα μὴ μόνον ἀπὸ τῆς τοῦ δικαίου ἀρετῆς κερδάνωμεν, ἀλλὰ καὶ ἀπὸ τῆς κατὰ τὴν Ρεβέκκαν διηγήσεως εἰς ζῆλον διεγεῖραι δυνηθῶμεν τοὺς ἀκούοντας.

Ἐπειδὴ γὰρ ἤκουσεν ὁ Θεὸς τῆς τοῦ δικαίου προσευχῆς, «Καὶ ἐν γαστρὶ ἔλαβεν ἡ Ρεβέκκα, ἐσκίρτων», φησί, «τὰ παιδία ἐν αὐτῇ», καὶ πολὺν αὐτῇ πόνον αἱ ὠδῖνες παρεῖχον. «Εἶπε γάρ», φησίν, «εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἵνα τί μοι τοῦτο;». Οὐδὲ γὰρ εἷς ἦν ὁ μέλλων τίκτεσθαι, ἀλλὰ δύο κατ' αὐτὸ ἐν τῇ γαστρὶ

ΟΜΙΛΙΑ Ν΄
(Γεν. 25, 21 - 34)

«Καὶ ἡ Ρεβέκκα συνέλαβε καὶ τὰ παιδιά της ἐσκίρτων εἰς τὴν κοιλίαν της».

1. Θέλετε νὰ ἀποδώσωμεν εἰς τὴν ἀγάπην σας ἐκεῖνα, τὰ ὁποῖα παρέλειψα εἰς τὸν χθεσινόν μου λόγον; Διότι δὲν ἠμπορέσαμεν νὰ τελειώσωμεν χθὲς ὁλόκληρον τὴν διήγησιν. Εἴπομεν ὅμως ὅτι ἐξ αἰτίας τῆς προσευχῆς του καὶ τῆς πολλῆς ἐπιμονῆς ὁ Ἰσαὰκ ἠμπόρεσε νὰ διεγείρῃ πρὸς τεκνογονίαν τὴν μήτραν τῆς Ρεβέκκας καὶ τὴν ἰδίαν τὴν φύσιν, ἡ ὁποία κατὰ κάποιον τρόπον ἦτο ἀνάπηρη, νὰ ἀνοίξῃ. Αὐτὰ ὅλα σᾶς τὰ ἐδιδάξαμεν ἀρκετά, ἀφοῦ σᾶς ἐδείξαμεν τὸν ἀριθμὸν τῶν ἐτῶν, κατὰ τὸν ὁποῖον ὁ μακάριος Ἰσαὰκ συνεχῶς παρεκάλει καὶ ἱκέτευε τὸν Θεόν, διὰ νὰ ἐπιτύχῃ αὐτὸ καί, ἀφοῦ ὡμιλήσαμεν διὰ τὰς στείρας καὶ σᾶς εἴπομεν τὴν αἰτίαν, διὰ τὴν ὁποίαν αἱ σύζυγοι τῶν δικαίων ἐκείνων ἔγιναν στεῖραι, ἐσταματήσαμεν ἐκεῖ τὸν λόγον. Πρέπει δὲ σήμερον ἡμεῖς νὰ μάθωμεν καὶ τὴν εὐσέβειαν τῆς Ρεβέκκας, διὰ νὰ μὴ ἔχωμεν πνευματικὸν κέρδος ὄχι μόνον ἀπὸ τὴν ἀρετὴν τοῦ δικαίου, ἀλλὰ καὶ ἀπὸ τὴν διήγησιν τὴν σχετικὴν μὲ τὴν Ρεβέκκαν νὰ ἠμπορέσωμεν νὰ διεγείρωμεν τὸν ζῆλον τῶν ἀκροατῶν.

Ὅταν λοιπὸν ὁ Θεὸς ἤκουσε τὴν προσευχὴν τοῦ δικαίου, «Καὶ ἡ Ρεβέκκα συνέλαβε, ἐσκίρτων», λέγει, «τὰ παιδιὰ εἰς τὴν κοιλίαν της» καὶ οἱ δυνατοὶ πόνοι προεκάλουν εἰς αὐτὴν λύπην. Διότι λέγει, «Εἶπε ἡ Ρεβέκκα, ἐὰν ἐπρόκειτο νὰ μοῦ συμβοῦν αὐτά, διατί νὰ συλλάβω;». Καθόσον δὲν ἦτο ἕνας ἐκεῖνος, ὁ ὁποῖος ἐπρόκειτο νὰ γεννηθῇ, ἀλλὰ δύο παιδιὰ ἔφερεν εἰς τὴν κοιλίαν της καὶ

παιδία περιέφερε, καὶ ἡ στενοχωρία πολλὴν αὐτῇ τὴν ὀδύνην κατεσκεύαζεν. Ἀλλ' ὅρα μοι ἐντεῦθεν τῆς γυναικὸς τὸ φιλόθεον. Οὐ καθάπερ πολλαὶ τῶν νῦν γυναικῶν τῶν ῥαθύμως ζῆν βουλομένων διαπράττονται, ἐπὶ ἀνθρωπίνην τινὰ συμμαχίαν ἔδραμεν, οὐδὲ πρὸς τοὺς τὰ τοιαῦτα στοχασμοῖς τισι καὶ παρατηρήσεσι διὰ τῶν οἰκείων λογισμῶν κρίνειν βουλομένους, οὐδὲ τῇ ἀπάτῃ τῶν περιέργων καὶ τὰ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ἐπαγγέλλεσθαι βουλομένων ἑαυτὴν ἐξέδωκεν, ἀλλ' ὅτι «Ἐπορεύθη πυθέσθαι παρὰ Κυρίου». Ὅρα γυναικὸς σύνεσιν. Ἐπειδὴ εἶδεν, ὅτι ὁ τῆς φύσεως Δεσπότης ἦν ὁ τὴν μήτραν αὐτῆς διανοίξας, καὶ τὴν ἄγονον γαστέρα ἀθρόον οὕτω γόνιμον ἀπεργασάμενος, καὶ ἑώρα τῆς γαστρὸς τὸν ὄγκον μεγάλα τινὰ αὐτῇ ἐγγυώμενον, «Ἐπορεύθη», φησί, «πυθέσθαι παρὰ Κυρίου».

Τί ἐστιν, «Ἐπορεύθη πυθέσθαι παρὰ Κυρίου»; Ἔδραμεν ἐπὶ τὴν ἀληθῆ γνῶσιν, καὶ ἐπὶ τὸν ἱερέα τὸν τοῦ Θείου θεραπευτήν, σπεύσασα διὰ τούτων λανθανόντως μαθεῖν τὴν γνῶσιν, καὶ διηγησαμένη πάντα τὰ καθ' ἑαυτήν, ἐμάνθανεν ἅπαντα μετὰ ἀκριβείας, τοῦ φιλανθρώπου Θεοῦ διὰ τῆς τοῦ ἱερέως γλώττης ἐκκαλύπτοντος αὐτῇ ἅπαντα σαφῶς, καὶ ταύτῃ προθυμοτέραν αὐτὴν ἐργαζομένου. Καὶ ἵνα μάθῃς ὅσον ἦν τότε τῶν ἱερέων τὸ ἀξίωμα, οὐδαμοῦ φησιν, ὅτι ὁ ἱερεὺς ταῦτα ἀπεκρίνατο, ἀλλ' ἐπειδὴ εἶπεν, «Ἐπορεύθη πυθέσθαι παρὰ Κυρίου», ἐπήγαγε, «Καὶ εἶπε Κύριος αὐτῇ», διὰ τοῦ ἱερέως, «δύο ἔθνη ἐν τῇ γαστρί σου περιέχεις». Καὶ γὰρ καὶ ἑτέρωθι ἄγγελον καλεῖ τὸν ἱερέα ἡ θεία Γραφή, δεικνῦσα ὅτι ἐκεῖνα φθέγγεται ἅπερ ἂν ἐνηχήσῃ ἡ τοῦ Πνεύματος χάρις. Εἶπεν οὖν Κύριος αὐτῇ διὰ τοῦ ἱερέως· «Δύο ἔθνη ἐν τῇ γαστρί σού ἐστι, καὶ δύο λαοὶ ἐν τῇ κοι-

ἡ στενοχώρια ἐδημιουργοῦσεν εἰς αὐτὴν μεγάλην θλῖψιν. Ἀλλὰ πρόσεχε, παρακαλῶ, ἀπ' ἐδῶ τὴν εὐσέβειαν τῆς γυναικός. Καθ' ὅσον δὲν ἔτρεξε διὰ νὰ εὕρῃ κάποιαν ἀνθρωπίνην βοήθειαν, ὅπως ἀκριβῶς κάνουν πολλαὶ ἀπό τὰς σημερινὰς γυναῖκας, αἱ ὁποῖαι θέλουν νὰ ζοῦν μὲ νωθρότητα, οὔτε ἐπῆγεν εἰς ἐκείνους, οἱ ὁποῖοι θέλουν νὰ κρίνουν μὲ τὴν ἰδικήν των λογικὴν αὐτὰς τὰς περιπτώσεις σύμφωνα μὲ κάποιους στοχασμοὺς καὶ παρατηρήσεις, οὔτε παρέδωσε τὸν ἑαυτόν της εἰς τὴν ἀπάτην τῶν περιέργων καὶ εἰς αὐτούς, οἱ ὁποῖοι θέλουν νὰ ὑπόσχωνται πράγματα ὑπεράνω τῆς ἀνθρωπίνης φύσεως, ἀλλ' «Ἐπῆγε, διὰ νὰ μάθῃ ἀπό τὸν Κύριον». Βλέπε τὴν σύνεσιν τῆς γυναικός. Ἐπειδὴ εἶδεν, ὅτι ὁ Κύριος τῆς φύσεως ἦτο ἐκεῖνος, ὁ ὁποῖος διήνοιξε τὴν μήτραν της καὶ κατέστησεν αἰφνιδίως τόσον γόνιμον τὴν ἄγονον κοιλίαν της καί, ἐπειδὴ ἔβλεπεν, ὅτι ὁ ὄγκος τῆς κοιλίας της ὑπέσχετο πολλά, «Ἐπῆγε διὰ νὰ μάθῃ ἀπὸ τὸν Κύριον».

Τί σημαίνει, «Ἐπῆγε διὰ νὰ μάθῃ ἀπὸ τὸν Κύριον»; Ἔτρεξεν εἰς τὴν ἀληθινὴν γνῶσιν καὶ εἰς τὸν ἱερέα τὸν δοῦλον τοῦ Θεοῦ καί, ἀφοῦ ἔσπευσε κρυφὰ μὲ αὐτὰ νὰ μάθῃ τὴν πραγματικότητα καὶ ἀφοῦ διηγήθη, ὅσα τῆς συνέβησαν, ἔμαθε τὰ πάντα μὲ ἀκρίβειαν, ἀφοῦ ὁ φιλάνθρωπος Θεὸς ἀπεκάλυψεν εἰς αὐτὴν τὰ πάντα καθαρὰ μὲ τὴν γλῶσσαν τοῦ ἱερέως καὶ ἔτσι καθιστοῦσεν αὐτὴν προθυμοτέραν. Καὶ διὰ νὰ καταλάβῃς πόσον μεγάλο ἦτο τότε τὸ ἀξίωμα τῶν ἱερέων, πουθενὰ δὲν λέγει, ὅτι ὁ ἱερεὺς ἀπεκρίθη αὐτά, ἀλλ' ὅταν εἶπεν, «Ἐπῆγε διὰ νὰ μάθῃ ἀπὸ τὸν Κύριον», προσέθεσε· «Καὶ εἶπεν εἰς αὐτὴν ὁ Κύριος, διὰ τοῦ στόματος τοῦ ἱερέως, «Δύο ἔθνη εὑρίσκονται μέσα εἰς τὴν κοιλίαν σου». Καθ' ὅσον καὶ εἰς ἄλλο μέρος ἡ ἁγία Γραφὴ ἀποκαλεῖ τὸν ἱερέα ἄγγελον καὶ ἀποδεικνύει ἔτσι, ὅτι λέγει ἐκεῖνα, τὰ ὁποῖα θὰ τοῦ ἐμπνεύσῃ ἡ χάρις τοῦ ἁγίου Πνεύματος. Εἶπε λοιπὸν εἰς αὐτὴν ὁ Κύριος διὰ τοῦ ἱερέως· «Δύο ἔθνη εὑρίσκονται μέσα εἰς τὴν κοιλίαν σου καὶ δύο λαοὶ θὰ διαχωρισθοῦν ἀπὸ τὰ ἐντόσθιά σου καὶ ὁ ἕνας λαὸς θὰ εἶναι δυνατώτε-

λία σου διασταλήσονται, καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάττονι».

Ὅρα πρόρρησιν ἅπαντα σαφῶς αὐτῇ μηνύουσαν τὰ μέλλοντα γενήσεσθαι. Ἁλλόμενοι γὰρ οἱ παῖδες ἐν τῇ γαστρὶ καὶ σκιρτῶντες, ἤδη προανεφώνουν ἅπαντα μετὰ ἀκριβείας· καὶ λοιπὸν ἐμάνθανεν ἡ γυνή, οὐχ ὅτι δύο μόνον τέξεται παῖδας, ἀλλ' ὅτι καὶ εἰς ἔθνη οὗτοι ἐκταθήσονται, καὶ ὅτι ὁ ἐλάσσων κυριεύσει τοῦ μείζονος. Καὶ ὅτε, φησίν, ἤγγισεν ὁ καιρὸς τοῦ τόκου, «Ἐξῆλθεν ὁ πρωτότοκος πυρράκης, ὡσεὶ δορά, δασύς· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ, Ἠσαῦ. Καὶ μετὰ ταῦτα ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρνης Ἠσαῦ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰακώβ», μονονουχὶ ἤδη καὶ ἐκ προοιμίων δεικνύντος τοῦ Θεοῦ, ὅτι περιέσται, κατὰ τὰ ρηθέντα, ὁ ἐλάττων τοῦ μείζονος. Κατεῖχε γάρ, φησί, τῇ χειρὶ τὴν πτέρναν Ἠσαῦ, ὅπερ ἦν σημεῖον καταγωνιζομένου τὸν ἰσχυρὸν εἶναι δοκοῦντα. Καὶ σκόπει μοι τὴν θείαν Γραφήν, ὅπως διὰ τὰ μέλλοντα ὕστερον συμβήσεσθαι, ἤδη προαναφωνεῖ, καὶ δείκνυσιν ἡμῖν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἑκάστου τὸ ἐπιτήδευμα· καὶ ὅτι ὁ μὲν περὶ τὸ κυνηγεῖν ἠσχολεῖτο, ὁ δὲ ἄγροικος ἦν ἄνθρωπος, ἄπλαστος, οἰκίαν οἰκῶν. Διὸ ἡ μὲν Ρεβέκκα ἠγάπα τὸν Ἰακώβ, ὁ δὲ Ἰσαὰκ τὸν Ἠσαῦ, «Ἐπειδὴ ἡ θήρα αὐτοῦ», φησί, «βρῶσις ἦν αὐτῷ».

Ὅρα πῶς τοὺς παῖδας διενείμαντο· καὶ ἡ μὲν διὰ τὸ ἐπὶ τῆς οἰκίας διατρίβειν ὁρῶσα τοῦ παιδὸς τὸ ἄπλαστον, πλείονα τὴν εὔνοιαν περὶ αὐτὸν ἐπεδείκνυτο· ὁ δὲ πατὴρ διά τε τὸ πρωτότοκον ἐκεῖνον γεγενῆσθαι, καὶ διὰ τὴν θήραν ἠγάπα τὸν Ἠσαῦ. Ἀλλ' οὗτοι μὲν τῇ φυσικῇ φιλοστοργίᾳ κατακολουθοῦντες ταῦτα ἐποίουν· ἡ δὲ πρόρρησις κατὰ μικρὸν εἰς ἔργον ἐξῄει, ἡ λέγουσα, ὅτι «Ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι». Ὅρα γὰρ εὐθέως. «Ἤψησε», φησίν, «Ἰ-

ρος τοῦ ἄλλου καὶ ὁ μεγαλύτερος θὰ δουλεύσῃ εἰς τὸν μικρότερον».

Πρόσεχε τὴν προφητείαν, ἡ ὁποία ἀποκαλύπτει εἰς αὐτὴν μὲ ἀκρίβειαν ὅλα ἐκεῖνα, τὰ ὁποῖα πρόκειται νὰ συμβοῦν. Διότι μὲ τὸ νὰ ταράσσωνται τὰ παιδιὰ εἰς τὴν κοιλίαν, ἐκ τῶν προτέρων ἤδη προανήγγελον τὰ πάντα Καὶ ἐμάνθανεν εἰς τὸ ἑξῆς ἡ γυναῖκα, ὅτι δὲν θὰ γεννήσῃ μόνον δύο τέκνα, ἀλλ' ὅτι αὐτὰ θὰ αὐξηθοῦν εἰς ἔθνη καὶ ὅτι ὁ μικρότερος θὰ ἐξουσιάσῃ τὸν μεγαλύτερον. Καὶ ὅταν, λέγει, ἐπλησίασεν ὁ καιρὸς τοῦ τοκετοῦ, «Ἐξῆλθεν ὁ πρῶτος ἐρυθρὸς καὶ δασύτριχος ὡς τριχωτὸν δέρμα ζώου. Διὰ τοῦτο καὶ ὠνόμασεν αὐτὸν Ἠσαῦ. Ἔπειτα ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ καὶ τὸ χέρι αὐτοῦ ἐκράτει τὴν πτέρναν τοῦ Ἠσαῦ. Διὰ τοῦτο ὠνόμασεν αὐτὸν Ἰακώβ», ὡσὰν νὰ ἐδείκνυεν ὁ Θεὸς ἤδη ἀπὸ τὴν ἀρχήν, ὅτι ὁ μικρότερος θὰ ὑπερισχύσῃ τοῦ μεγαλυτέρου, σύμφωνα μὲ αὐτὰ ποὺ ἔχουν λεχθῆ. Διότι λέγει, ἐκράτει ὁ Ἰακὼβ τὴν πτέρναν τοῦ Ἠσαῦ πρᾶγμα τὸ ὁποῖον ἦτο σημεῖον, ὅτι ἦτο ἀνώτερος ἀπ' αὐτόν, ὁ ὁποῖος ἐθεωρεῖτο, ὅτι ἦτο ἰσχυρός. Καὶ σκέψου, παρακαλῶ, ὅτι ἡ ἁγία Γραφὴ προαναγγέλλει ἤδη ἐκεῖνα, τὰ ὁποῖα πρόκειται νὰ συμβοῦν ἀργότερον καὶ δείχνει εἰς ἡμᾶς ἀπὸ τὴν ἀρχὴν ἀκόμη τὴν ἀσχολίαν τοῦ καθενός, ὅτι δηλαδὴ ὁ μὲν ἕνας ἠσχολεῖτο μὲ τὸ κυνήγιον, ὁ δὲ ἄλλος ἦτο ἰδιώτης καὶ ἔμενεν εἰς τὴν οἰκίαν. Διὰ τὸν λόγον αὐτὸν ἡ μὲν Ρεβέκκα ἠγάπα τὸν Ἰακώβ, ὁ δὲ Ἰσαὰκ τὸν Ἠσαῦ, «Ἐπειδὴ ὁ Ἰσαὰκ εἶχεν ὡς τροφὴν τὸ κυνήγιον αὐτοῦ».

Πρόσεχε πῶς ἐμοίρασαν τοὺς υἱούς των. Καὶ αὐτὴ μὲν ἔδειχνε μεγαλυτέραν ἀγάπην πρὸς τὸν Ἰακώβ, ἐπειδὴ ἔβλεπε τὴν ἁπλότητα τοῦ παιδιοῦ ἐξ αἰτίας τοῦ ὅτι ἔμενεν εἰς τὴν οἰκίαν, ὁ δὲ πατὴρ ἠγάπα τὸν Ἠσαῦ λόγῳ τοῦ ὅτι ἦτο πρωτότοκος καὶ λόγῳ τοῦ κυνηγίου. Ἀλλ' αὐτοὶ μὲν ἔκαμαν αὐτά, ἐπειδὴ ὑπήκουον εἰς τὴν φυσικὴν στοργήν. Ὅμως ἐπραγματοποιεῖτο σιγὰ-σιγὰ ἡ προφητεία, ἡ ὁποία ἔλεγεν, ὅτι «Ὁ μεγαλύτερος θὰ δουλεύσῃ εἰς τὸν μικρότερον». Διότι πρόσεχε ἀμέσως εἰς τὴν συνέ-

ακὼβ ἕψημα· ἦλθε δὲ Ἡσαῦ ἐκ τοῦ πεδίου ἐκλείπων. Καὶ εἶπεν Ἡσαῦ τῷ Ἰακώβ· γεῦσόν με ἀπὸ τοῦ ἑψήματος τοῦ πυρροῦ τούτου, ὅτι ἐκλείπω. Διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ, Ἐδώμ. Καὶ εἶπεν Ἰακώβ, ἀπόδος μοι τὰ πρωτοτόκια. Ὁ δέ φησι, τί μοι τούτων ὄφελος, τῆς τελευτῆς ἤδη με καταλαμβανούσης, εἰ μὴ μετάσχοιμι τῆς τροφῆς;». Ὁ δὲ καὶ τὸν ὅρκον ἀπαιτεῖ, ὥστε βεβαίαν αὐτῷ γενέσθαι τούτων τὴν παραχώρησιν. «Καὶ ὤμοσε», φησίν, «Ἡσαῦ».

2. Ἰδοὺ λοιπὸν ἐντεῦθεν ἀντεστράφη ἡ τάξις, καὶ τὸ τοῦ πρωτοτόκου ἀξίωμα μετῆλθεν ἐπὶ τὸν τῇ ἀρετῇ τῆς ψυχῆς διαλάμποντα. «Καὶ ἀπέδοτο», φησίν, «Ἡσαῦ τὰ πρωτοτόκια», ἀντὶ τοῦ, «πέπρακε τῆς τροφῆς ἕνεκα τὸ ἀξίωμα τὸ παρὰ τῆς φύσεως αὐτῷ δωρηθέντι. Διὸ ἐπήγαγε, «Καὶ ἐφαύλισεν Ἡσαῦ τὰ πρωτοτόκια»· ἀγνώμων γέγονε περὶ τὴν κατασχεθεῖσαν αὐτῷ καὶ ἐξ αὐτῆς τῆς φύσεως προεδρίαν. Τοῦτο δὲ ὅλον ἐγίγνετο, ἵνα κἀκείνου δειχθῇ ἡ ἀγνωμοσύνη, καὶ ἡ τοῦ Θεοῦ πρόρρησις εἰς ἔργον ἐξέλθῃ. Ταῦτα δὲ ἀκούοντες παιδευώμεθα μηδέποτε τῶν παρὰ τοῦ Θεοῦ δωρεῶν ἀμελεῖν, μηδὲ μικρῶν ἕνεκα καὶ εὐτελῶν τὰ μεγάλα προΐεσθαι. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, βασιλείας οὐρανῶν προκειμένης καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, περὶ τὴν τῶν χρημάτων ἐπιθυμίαν μεμήναμεν, καὶ τὰ πρόσκαιρα, καὶ πολλάκις οὐδὲ μέχρι τῆς ἑσπέρας ἡμῖν παραμένοντα τῶν διηνεκῶς καὶ ἀεὶ παραμενόντων προτιμῶμεν; Καὶ τί τῆς ἀνοίας ταύτης χεῖρον γένοιτ' ἄν, ὅταν κἀκείνων ἀποστερώμεθα διὰ τὴν περὶ ταῦτα ἐπιθυμίαν, καὶ μηδὲ τούτων ἀπολαύειν καθαρῶς δεδυνήμεθα;

Τί γὰρ ὄφελος, εἰπέ μοι, τῆς πολλῆς περιουσίας; Ἢ οὐκ ἴστε ὅτι ἡ πολλὴ προσθήκη τῶν χρημάτων οὐδὲν ἕτερον ἡμῖν ἐργάζεται, ἢ φροντίδων προσθήκην καὶ περισπασμὸν καὶ ἀγρυπνίαν; Οὐχ ὁρᾶτε ὅτι οὗτοι

---

1. Κόκκινος.

χεῖαν. «Ἐμαγείρευεν ὁ Ἰακὼβ κάποιο φαγητὸν καὶ ἐπέστρεψεν ὁ Ἡσαῦ ἀπὸ τοὺς ἀγροὺς ἐξηντλημένος. Καὶ εἶπεν ὁ Ἡσαῦ εἰς τὸν Ἰακώβ. Δός μου, παρακαλῶ, νὰ φάγω ἀπὸ τὸ κόκκινον αὐτὸ φαγητόν, διότι εἶμαι ἐξηντλημένος ἀπὸ τὴν πεῖναν. Διὰ τοῦτο ὠνομάσθη ὁ Ἡσαῦ καὶ Ἐδώμ[1]. Καὶ εἶπεν ὁ Ἰακώβ. Δός μου τὰ πρωτοτόκια σου. Καὶ ὁ Ἡσαῦ εἶπεν. Ἰδοὺ ἐγὼ κοντεύω νὰ ἀποθάνω, ἐὰν δὲν φάγω, τί μὲ ὠφελοῦν τὰ πρωτοτόκια; Ὁ Ἰακὼβ ὅμως ζητεῖ καὶ ὅρκον, ὥστε νὰ γίνῃ βεβαία εἰς αὐτὸν ἡ παραχώρησις αὐτῶν. «Καὶ ὡρκίσθη», λέγει, «ὁ Ἡσαῦ».

2. Ἰδοὺ λοιπὸν ἀντεστράφη ἀπὸ τὸ σημεῖον αὐτὸ ἡ τάξις καὶ τὸ ἀξίωμα τοῦ πρωτοτόκου μετεβιβάσθη εἰς αὐτόν, τοῦ ὁποίου ἡ ψυχὴ ἔλαμπεν ἀπὸ τὴν ἀρετήν. «Καὶ ἔδωσεν ὁ Ἡσαῦ τὰ πρωτοτόκια», λέγει, ἀντὶ τοῦ, ἐπώλησε λόγῳ τῆς τροφῆς τὸ ἀξίωμα, τὸ ὁποῖον τοῦ ἐχάρισεν ἡ φύσις. Διὰ τοῦτο προσέθεσε, «Καὶ περιεφρόνησεν ὁ Ἡσαῦ τὰ πρωτοτόκια». Ἔγινεν ἀγνώμων διὰ τὸ ἀξίωμα, τὸ ὁποῖον ἐδόθη εἰς αὐτὸν ἀπὸ τὴν ἰδίαν τὴν φύσιν. Αὐτὸ δὲ ὅλον ἔγινε, διὰ νὰ ἀποδειχθῇ καὶ ἐκείνου ἡ ἀχαριστία καὶ διὰ νὰ ἐκπληρωθῇ ἡ πρόρρησις τοῦ Θεοῦ. Ἀκούοντες αὐτὰ ἂς μάθωμεν νὰ μὴ ἀμελῶμεν καθόλου διὰ τὰς δωρεὰς τοῦ Θεοῦ, οὔτε νὰ χάνωμεν τὰ μεγάλα ἐξ αἰτίας τῶν μικρῶν καὶ ἀσημάντων. Διότι εἰπέ μου, διὰ ποῖον λόγον, ἐνῷ ἔμπροσθέν μας ὑπάρχει ἡ βασιλεία τῶν οὐρανῶν καὶ τὰ ἀνέκφραστα ἐκεῖνα ἀγαθά, ἐπιμένομεν νὰ ἐπιθυμοῦμεν τὰ χρήματα καὶ τὰ πρόσκαιρα καὶ προτιμῶμεν πολλὲς φορὲς ἐκεῖνα, τὰ ὁποῖα οὔτε μέχρι τὸ ἑσπέρας δὲν παραμένουν εἰς ἡμᾶς, ἀπὸ ἐκεῖνα ποὺ μένουν διαρκῶς καὶ πάντοτε; Καὶ ποῖον πρᾶγμα θὰ ἦτο χειρότερον ἀπ᾽ αὐτὴν τὴν ἀνοησίαν, ὅταν δηλαδὴ καὶ ἐκεῖνα στερούμεθα ἐξ αἰτίας τῆς ἐπιθυμίας αὐτῶν καὶ δὲν ἠμποροῦμεν οὔτε αὐτὰ νὰ ἀπολαύσωμεν ἐξ ὁλοκλήρου;

Πράγματι εἰπέ μου, ποῖον τὸ ὄφελος ἀπὸ τὴν μεγάλην περιουσίαν; Ἢ δὲν γνωρίζετε, ὅτι ἡ μεγάλη αὔξησις τῶν χρημάτων δὲν μᾶς προσφέρει τίποτε ἄλλο παρὰ προσθήκην φροντίδων καὶ ἀπασχόλησιν καὶ ἀγρυπνίαν; Δὲν

μάλιστά εἰσιν οἱ πάντων, ὡς εἰπεῖν, δοῦλοι, οἱ τὰ πλείονα περιβεβλημένοι, καὶ καθ' ἑκάστην ἡμέραν τὰς σκιὰς αὐτὰς δεδοικότες; Ἐντεῦθεν γὰρ τίκτονται αἱ ἐπιβουλαί, αἱ βασκανίαι, ὁ φθόνος ὁ πολύς, τὰ μυρία ἄλλα κακά. Καὶ πολλάκις ἂν ἴδοις τὸν μύρια τάλαντα χρυσίου ἔχοντα ἀποκείμενα μακαρίζοντα τὸν ἐπ' ἐργαστηρίου ἑστηκότα, καὶ ἐκ τῆς τῶν χειρῶν ἐργασίας τὴν τροφὴν ποριζόμενον. Ποία οὖν ἡδονή, ἢ ποῖον κέρδος, ὅταν μήτε τούτων ἀπολαύωμεν, καὶ διὰ τὴν περὶ ταῦτα ἐπιθυμίαν καὶ τῶν μειζόνων ἀποστερώμεθα; Τί δὲ λέγω τῶν μειζόνων, ὅταν μετὰ τῶν ἐνταῦθα κακῶν, καὶ τὴν ἔκπτωσιν τῶν ἐκεῖ ἀγαθῶν, καὶ πρὸς τὴν γέενναν αὐτὴν ἀποπεμπώμεθα; Καὶ οὔπω λέγω τὰ μυρία ἁμαρτήματα τὰ ἐντεῦθεν συλλεγόμενα, τοὺς δόλους, τὰς συκοφαντίας, τὰς ἁρπαγάς, τὰς πλεονεξίας.

Ἀλλὰ κἂν ἁπάντων τούτων ἐλεύθερος ᾖ τις, ὅπερ ἂν εἴη τῶν δυσχερῶν, τοσαῦτα δὲ εἴη περιβεβλημένος, χρημάτων καὶ τῆς οἰκείας μόνης ἀπολαύσεως γινόμενος, καὶ μὴ προϊέμενος τοῖς ἐν χρείᾳ οὖσι μετὰ δαψιλείας, τὸ τῆς γεέννης πῦρ καὶ τὸν τοιοῦτον ἐκδέξεται. Καὶ τοῦτο διδάσκει ἡμᾶς σαφῶς ἡ παραβολὴ ἡ ἐν τῷ εὐαγγελίῳ κειμένη, ἡνίκα τοὺς μὲν ἐκ δεξιῶν ἔστησε, τοὺς δὲ ἐξ εὐωνύμων· καὶ τοῖς μὲν τὴν βασιλείαν εἶπεν ἡτοιμάσθαι διὰ τὴν περὶ τοὺς δεομένους ἐπιμέλειαν· «Δεῦτε γάρ», φησίν, «οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου». Τίνος ἕνεκεν καὶ διὰ τί; «Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν». Τοῖς δὲ τὸ πῦρ αἰώνιον· «Πορεύεσθε» γάρ, φησίν, «ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐ-

---

2. Ματθ. 25, 34.
3. Ματθ. 25, 35.

βλέπετε, ὅτι εἶναι κατ' ἐξοχὴν δοῦλοι ὅλων, διὰ νὰ εἰπῶ ἔτσι, αὐτοί, οἱ ὁποῖοι ἔχουν τὰ περισσότερα καὶ κάθε ἡμέραν φοβοῦνται τὰς ἰδίας τὰς σκιάς των; Διότι ἀπὸ ἐδῶ γεννῶνται αἱ ἐπιβουλαί, αἱ βασκανίαι, ὁ μεγάλος φθόνος, τὰ πολυάριθμα ἄλλα κακά. Καὶ πολλὲς φορὲς θὰ ἠμποροῦσε νὰ ἴδῃ κανεὶς αὐτόν, ὁ ὁποῖος ἔχει κρυμμένα ἀναρίθμητα τάλαντα χρυσοῦ, νὰ μακαρίζῃ ἐκεῖνον, ὁ ὁποῖος κάθεται εἰς τὸ ἐργαστήριον καὶ κερδίζει τὴν τροφήν του ἀπὸ τὴν ἐργασίαν τῶν χεριῶν του. Ποία λοιπὸν εὐχαρίστησις, ἢ ποῖον κέρδος ὑπάρχει, ὅταν οὔτε αὐτὰ ἀπολαμβάνωμεν καὶ στερούμεθα καὶ τὰ μεγαλύτερα ἐξ αἰτίας τῆς ἐπιθυμίας μας δι' αὐτά; Τί λέγω στερούμεθα τὰ μεγαλύτερα, ὅταν μαζὶ μὲ τὰ ἐδῶ κακὰ καὶ μετὰ τὴν ἀπομάκρυνσιν ἀπὸ τά ἐκεῖ ἀγαθά, θὰ ἀποστελῶμεν καὶ εἰς αὐτὴν τὴν γέενναν τοῦ πυρός; Καὶ δὲν ἀναφέρομαι εἰς τὰ ἀναρίθμητα ἁμαρτήματα, τὰ ὁποῖα συγκεντρώνομεν ἀπὸ ἐδῶ, τοὺς δούλους, τὰς συκοφαντίας, τὰς ἁρπαγάς, τὰς πλεονεξίας.

Ἀλλὰ καὶ ἂν ἀκόμη κάποιος εἶναι ἀπηλλαγμένος ἀπ' ὅλα αὐτά, πρᾶγμα τὸ ὁποῖον θὰ ἦτο ἀπὸ τὰ πιὸ δύσκολα, ἐπειδὴ ὅμως περιβάλλεται ἀπὸ τόσα πολλὰ πλούτη καὶ ἐνδιαφέρεται μόνον διὰ τὴν ἰδικήν του ἀπόλαυσιν καὶ δὲν χαρίζει μὲ ἀφθονίαν εἰς ἐκείνους πού ἔχουν ἀνάγκην, καὶ αὐτὸν τὸν ἄνθρωπον θὰ τὸν δεχθῇ τὸ πῦρ τῆς γεέννης. Καὶ τοῦτο μᾶς τὸ διδάσκει σαφῶς ἡ παραβολὴ τοῦ Εὐαγγελίου, ὅταν δηλαδὴ ἔστησεν ἄλλους ἐκ δεξιῶν καὶ ἄλλους ἐξ ἀριστερῶν. Καὶ εἰς τοὺς μὲν εἶπεν, ὅτι ἡ βασιλεία τῶν οὐρανῶν ἔχει ἑτοιμασθῇ λόγῳ τῆς φροντίδος των πρὸς ἐκείνους, οἱ ὁποῖοι εἶχον ἀνάγκην. Διότι λέγει· «Ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν βασιλείαν, ἡ ὁποία ἔχει ἑτοιμασθῇ διὰ σᾶς ἀπὸ τὴν δημιουργίαν τοῦ κόσμου»[2]. Διὰ ποῖον λόγον καὶ διατί; «Διότι ἐπείνασα καὶ μοῦ ἐδώσατε νὰ φάγω»[3]. Διὰ δὲ τοὺς ἐξ ἀριστερῶν ἔχει ἑτοιμασθῇ τὸ πῦρ τὸ αἰώνιον. Διότι λέγει· «Φύγετε ἀπὸ κοντά μου οἱ κατηραμένοι εἰς τὸ αἰώνιον πῦρ, τὸ ὁποῖον ἔχει ἑτοιμασθῇ διὰ τὸν διάβολον καὶ τοὺς

τοῦ». Μέγας τοῦ ῥήματος ὁ ὄγκος· ὁ Δεσπότης τῶν ἁπάντων καὶ δημιουργός φησιν· «Ἐπείνασα καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν». Ποίας οὐκ ἂν καθίκοιτο τοῦτο ψυχῆς, κἂν αὐτολιθίνη τυγχάνῃ; Ὁ Δεσπότης μου πεινῶν περιέρχεται, καὶ σὺ τρυφᾷς· καὶ οὐ τοῦτο μόνον τὸ δεινόν, ἀλλ' ὅτι καὶ τρυφῶν περιορᾶν αὐτὸν ἀνέχῃ, καὶ ταῦτα οὐδὲ πολλοῦ τινος δεόμενον, ἀλλ' ἄρτου μόνον ἑνός, ὥστε τὸν λιμὸν παραμυθήσασθαι. Ἀλλ' αὐτὸς μὲν τῷ κρυμῷ πηγνύμενος περιέρχεται, σὺ δὲ τὰ τῶν σηρῶν νήματα περικείμενος οὐκ ἐπιστρέφῃ, οὐδὲ τὴν συμπάθειαν ἐπιδείκνυσαι, ἀλλ' ἀνηλεῶς παρατρέχεις. Καὶ ποίας ταῦτα ἂν εἴη συγγνώμης ἄξια;

Μὴ τοίνυν τοῦτο σπουδάζωμεν, τὸ πάντων ἐκ παντὸς τρόπου πλείονα περιβάλλεσθαι, ἀλλ' ἐκεῖνο σκοπῶμεν, ὅπως καὶ ταῦτα καλῶς διαθῶμεν, καὶ τὴν τῶν ἐν χρείᾳ τυγχανόντων ἔνδειαν παραμυθησώμεθα, κἀκείνων μὴ ἐκπέσωμεν τῶν ἀεὶ μενόντων, τῶν οὐδεμίαν μεταβολὴν ἐπιδεχομένων. Διὰ γὰρ τοῦτο καὶ τὴν ἡμέραν ἡμῶν τῆς τελευτῆς ἄδηλον ἡμῖν ἐποίησεν ὁ Δεσπότης, ἵνα ἡμᾶς παρασκευάσῃ διηνεκῶς νήφειν καὶ ἐγρηγορέναι, καὶ ταύτῃ μᾶλλον διεγείρῃ πρὸς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν. «Γρηγορεῖται γάρ», φησίν, «ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν». Ἀλλ' ἡμεῖς τὸ ἐναντίον πράττομεν, καὶ δι' ὅλου καθεύδομεν ὕπνον τούτου τοῦ φυσικοῦ βαρύτερον. Ὁ μὲν γὰρ τοῦτον καθεύδων τὸν ὕπνον, καὶ πρὸς τὰ κακὰ καὶ πρὸς τὰ καλὰ ἀνενέργητος τυγχάνει· ἡμεῖς δὲ ἕτερον ὕπνον καθεύδομεν, πρὸς μὲν τὰ τῆς ἀρετῆς ἔργα καθεύδοντες, πρὸς δὲ τὰ τῆς κακίας ἐγρηγορότες, κἀκεῖνα μὲν ἀόκνως διαπραττόμενοι, ἐν δὲ τούτοις πολλὴν τὴν ῥαθυμίαν καὶ τὸν ὕπνον ἐπιδεικνύμενοι, καὶ ταῦτα ὁρῶντες καθ' ἑκάστην ἡμέραν τοὺς μὲν ἐντεῦ-

---

4. Ματθ. 26, 41.
5. Ματθ. 25, 42.
9. Ματθ. 25, 13.

ἀγγέλους του»[4]. Μεγάλο τὸ βάρος τοῦ λόγου. Ὁ Κύριος καὶ δημιουργὸς τῶν πάντων λέγει· «Ἐπείνασα καὶ δὲν μοῦ ἐδώσατε νὰ φάγω»[5]. Ποίαν ψυχὴν δὲν θὰ συνεκίνει αὐτό, ἔστω καὶ ἂν συμβαίνῃ νὰ εἶναι λιθίνη; Ὁ Κύριός σου ἔρχεται πεινασμένος καὶ σὺ διασκεδάζεις. Καὶ ὄχι μόνον τὸ φοβερὸν αὐτό, ἀλλὰ καὶ ὅτι ἀνέχεσαι νὰ περιφρονῇς αὐτὸν ἐνῷ διασκεδάζεις καὶ μάλιστα ἐνῷ δὲν χρειάζεται τίποτε περισσότερον παρὰ μόνον ἕνα ἄρτον, διὰ νὰ ἀνακουφίσῃ τὴν πεῖναν. Ἀλλ' αὐτὸς μὲν ἔρχεται παγωμένος ἀπὸ τὸ ψῦχος, σὺ ὅμως, ἐνῷ φορεῖς μεταξωτὰ ὑφάσματα, δὲν προσέχεις, οὔτε δείχνεις συμπάθειαν, ἀλλὰ τὸν προσπερνᾷς χωρὶς ἔλεος. Ποίας συγγνώμης αὐτὰ θὰ ἦσαν ἄξια;

Ἂς μὴ φροντίζωμεν λοιπὸν αὐτό, τὸ νὰ ἀποκτήσωμεν δηλαδὴ μὲ κάθε τρόπον περισσότερα ἀπὸ ὅλους, ἀλλὰ νὰ ἔχωμεν ὡς σκοπὸν ἐκεῖνο, πῶς δηλαδὴ θὰ διαθέσωμεν καὶ αὐτὰ κατὰ τὸν καλύτερον τρόπον καὶ πῶς θὰ παρηγορήσωμεν τὴν πτωχείαν ἐκείνων, οἱ ὁποῖοι ἔχουν ἀνάγκην καὶ πῶς δὲν θὰ ἐκπέσωμεν ἀπὸ ἐκεῖνα, τὰ ὁποῖα μένουν πάντα καὶ δὲν ἐπιδέχονται καμμίαν μεταβολήν. Διὰ τοῦτο ἀκριβῶς καὶ ὁ Κύριος ἐκράτησε μυστικὴν τὴν ἡμέραν τῆς τελευτῆς μας, διὰ νὰ μᾶς κάνῃ νὰ εἴμεθα διαρκῶς ἄγρυπνοι καὶ εἰς ἐγρήγορσιν καὶ μὲ αὐτὸν τὸν τρόπον νὰ μᾶς διεγείρῃ περισσότερον εἰς τὸ νὰ φροντίζωμεν διὰ τὴν ἀρετήν. Διότι λέγει· «Ἀγρυπνεῖτε, διότι δὲν γνωρίζετε οὔτε τὴν ἡμέραν, οὔτε τὴν ὥραν»[6]. Ἡμεῖς ὅμως πράττομεν τὸ ἀντίθετον καὶ κοιμόμεθα ἐξ ὁλοκλήρου ὕπνον βαρύτερον ἀπ' αὐτὸν τὸν φυσικόν. Καθ' ὅσον αὐτός, ὁ ὁποῖος κοιμᾶται τὸν ὕπνον αὐτόν, συμβαίνει νὰ παραμένῃ ἄπραγος καὶ πρὸς τὰ κακὰ καὶ πρὸς τὰ καλά. Ἡμεῖς ὅμως ἔχομεν ἄλλον ὕπνον, ἀφοῦ κοιμόμεθα διὰ τὰ ἔργα τῆς ἀρετῆς, ἀλλὰ παραμένομεν ἄγρυπνοι διὰ τὰ ἔργα τῆς κακίας καὶ κάνομεν ἐκεῖνα χωρὶς κούρασιν, ἐνῷ δι' αὐτὰ δείχνομεν πολλὴν ὀκνηρίαν καὶ διάθεσιν πρὸς ὕπνον, καὶ κάνομεν αὐτά, ἐνῷ βλέπομεν, ὅτι κάθε ἡμέραν ἄλλοι φεύ-

θεν ἀπαγομένους, τοὺς δὲ καὶ ἐν τῷ παρόντι βίῳ πολλὴν τὴν μεταβολὴν ὑπομένοντας· καὶ οὐδὲ αὐτὴ ἡ ἀνωμαλία παιδεῦσαι ἡμᾶς ἱκανή, καὶ εἰς πόθον τῆς ἀρετῆς ἀναγαγεῖν, καὶ παρασκευάσαι ὑπεριδεῖν τῶν παρόντων, καὶ ποθῆσαι τὰ μέλλοντα, καὶ προτιμῆσαι τῆς σκιᾶς καὶ τῶν ὀνειράτων τὴν ἀλήθειαν. Σκιᾶς γὰρ καὶ ὀνειράτων οὐδὲν τὰ παρόντα διενήνοχε.

Μὴ τοίνυν ἑαυτοὺς ἀπατῶμεν, μηδὲ τὰς σκιὰς μεταδιώκωμεν· ἀλλ' ὀψὲ γοῦν ποτε τῆς οἰκείας σωτηρίας φροντίδα ποιησώμεθα, καὶ τὰ χρήματα κενώσωμεν εἰς τοὺς δεομένους, ἵνα τῆς ἐπὶ τούτοις ἀμοιβῆς ἀξιωθῶμεν παρὰ τοῦ φιλανθρώπου Θεοῦ· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γουν ἀπ' ἐδῶ καὶ ἄλλοι ὑπομένουν πολλὰς μεταβολὰς καὶ εἰς τὴν παροῦσαν ζωήν. Καὶ οὔτε αὐτὴ ἡ ἀνωμαλία εἶναι ἱκανὴ νὰ μᾶς διδάξῃ καὶ νὰ μᾶς κάνῃ νὰ ἀγαπήσωμεν τὴν ἀρετὴν καὶ νὰ μᾶς προετοιμάσῃ νὰ παραβλέψωμεν τὰ παρόντα καὶ νὰ ποθήσωμεν τὰ μέλλοντα καὶ νὰ προτιμήσωμεν τὴν ἀλήθειαν ἀπὸ τὴν σκιὰν καὶ τὰ ὄνειρα.

Ἂς μὴ ἐξαπατῶμεν λοιπὸν τοὺς ἑαυτούς μας, οὔτε νὰ παρακολουθῶμεν τὰς σκιάς, ἀλλ' ἔστω καὶ ἀργὰ νὰ φροντίσωμεν κάποτε καὶ διὰ τὴν σωτηρίαν μας καὶ νὰ δώσωμεν τὰ χρήματα εἰς ἐκείνους, οἱ ὁποῖοι ἔχουν ἀνάγκην, ὥστε νὰ γίνωμεν ἄξιοι ἐξ αἰτίας αὐτῶν τῆς ἀμοιβῆς ἀπὸ τὸν φιλάνθρωπον Θεόν. Αὐτὴν εἴθε νὰ ἀπολαύσωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΑ΄
(Γεν. 26, 1 - 11).

«Ἐγένετο δὲ λιμὸς ἐπὶ τῆς γῆς, χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον, ὃς ἐγένετο ἐν τῷ χρόνῳ τοῦ Ἀβραάμ».

1. Πάλιν ἐκ τῆς ἀκολουθίας τῶν πρώην ἡμῖν εἰρημένων βούλομαι τῆς πρὸς ὑμᾶς ἅψασθαι διδασκαλίας· ὥστε δὲ εἰδέναι ὑμᾶς σαφῶς ποῦ τὸν λόγον πρώην κατελύσαμεν, καὶ ὅθεν αὐτὸν προσήκει σήμερον ἀναλαβεῖν, ἀναγκαῖον ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην. Εἰ γὰρ καὶ αὐτοὶ διὰ τὸ πολλαῖς φροντίσι περιέλκεσθαι ἴσως ἐπιλέλησθε, ἀλλ' ἐμοὶ προσήκει εἰς ὑπόμνησιν ὑμᾶς ἀγαγεῖν, ἵνα διὰ τῆς μνήμης σαφέστερος ὑμῖν ὁ λόγος γένηται ὁ μέλλων σήμερον ῥηθήσεσθαι. Ἴστε, ὅτι πρότερον τῆς Ρεβέκκας τὸ φιλόθεον διηγούμενος, κἀκεῖθεν ἐπὶ τὸν Ἡσαῦ καὶ τὸν Ἰακὼβ ἐλθόντες, ἐκεῖ κατηντήσαμεν, ἔνθα τὰ πρωτοτόκια ἀπέδοτο τῷ Ἰακὼβ ὁ Ἡσαῦ, τοῦ ἑψήματος ἀπολαύσας καὶ διὰ τὴν τῆς τροφῆς ἐπιθυμίαν τῆς προεδρίας ἑαυτὸν ἀπεστέρησε. Τοῦτο δὲ ἐγίνετο οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἡ τοῦ Θεοῦ πρόρρησις διὰ τῶν ἔργων πληρωθῇ ἡ λέγουσα, «Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα». Ἐπειδὴ γὰρ ὡς Θεὸς τὰ μέλλοντα προῄδει, προανεφώνησε καὶ τούτου τὴν ἀρετήν, κἀκείνου τῆς γνώμης τὴν μοχθηρίαν. Τί δέ ἐστι τοῦτο τὸ τῶν πρωτοτόκων; Εἰ καὶ μὴ τότε ὁ καιρὸς ἐπέτρεπεν εἰπεῖν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλ' ἀναγκαῖον νῦν ὑμᾶς διδάξαι. Μεγίστη γὰρ εἶναι τιμὴ τὸ παλαιὸν ἐνομίζετο· ἔσχε δὲ τῆς τιμῆς τὴν ὑπόθεσιν ἐντεῦθεν.

Ἡνίκα τῶν Ἰσραηλιτῶν ἔθνος τῆς Αἰγύπτου ἀπαλλάξαι ἐβούλετο ὁ τῶν ὅλων Θεός, καὶ τῆς τυραν-

1. Μαλ. 2, 3.

ΟΜΙΛΙΑ ΝΑ΄
(Γεν. 26, 1 - 11).

«Ἔπεσε δὲ πεῖνα εἰς τὴν χώραν ἐκτὸς ἀπὸ τὴν προηγουμένην, ἡ ὁποία ἔγινεν ἐπὶ τῶν ἡμερῶν τοῦ Ἀβραάμ».

1. Ἐπιθυμῶ νὰ ἀρχίσω πάλιν τὴν διδασκαλίαν ἀπὸ τὴν συνέχειαν αὐτῶν, τὰ ὁποῖα ἔχουν λεχθῇ εἰς ἡμᾶς προηγουμένως· διὰ νὰ γνωρίσετε ὅμως καλῶς, ποῦ ἐσταματήσαμεν τὸν προηγούμενον λόγον καὶ ἀπὸ ποῦ πρέπει νὰ ἀρχίσωμεν αὐτόν, εἶναι ἀνάγκη νὰ ὑπενθυμίσω τὴν ἀγάπην σας. Διότι καὶ ἂν ἀκόμη σεῖς ἔχετε λησμονήσει ἐνδεχομένως ἐπειδὴ ἔχετε πολλὰς φροντίδας, ὅμως ἐγὼ πρέπει νὰ σᾶς ὑπενθυμίσω, ὥστε νὰ σᾶς γίνῃ πιὸ κατανοητὴ ἡ ὁμιλία, ἡ ὁποία πρόκειται νὰ ἐκφωνηθῇ σήμερον. Γνωρίζετε ὅτι προηγουμένως σᾶς διηγήθηκα τὴν εὐσέβειαν τῆς Ρεβέκκας καὶ ἀπὸ ἐκεῖ ἤλθομεν εἰς τὸν Ἠσαῦ καὶ τὸν Ἰακὼβ καὶ ἐφθάσαμεν ἐκεῖ, ὅπου ὁ Ἠσαῦ παρεχώρησε τὰ πρωτοτόκια εἰς τὸν Ἰακώβ, ἀφοῦ ἀπήλαυσε τὸ φαγητόν, ἀλλ' ἐστέρησε τὸν ἑαυτόν του τῆς τιμῆς τοῦ πρωτοτόκου ἐξ αἰτίας τῆς ἐπιθυμίας του διὰ τὴν τροφήν. Αὐτὸ δὲ συνέβη ὄχι χωρὶς λόγον, ἀλλὰ διὰ νὰ πραγματοποιηθῇ ἡ προφητεία τοῦ Θεοῦ, ἡ ὁποία λέγει· «Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα»[1]. Ἐπειδὴ δηλαδὴ ὡς Θεὸς ἐγνώριζεν ἐκ τῶν προτέρων τὰ μέλλοντα, προανήγγειλε καὶ τοῦ ἑνὸς τὴν ἀρετὴν καὶ τοῦ ἄλλου τὴν κακίαν τῆς ψυχῆς. Τί εἶναι ὅμως τὸ ζήτημα αὐτὸ τῶν πρωτοτοκίων; Ἂν καὶ τότε δὲν ἐπέτρεψεν ὁ χρόνος νὰ εἰποῦμεν εἰς τὴν ἀγάπην σας δι' αὐτό, τώρα ὅμως εἶναι ἀνάγκη νὰ σᾶς διδάξω. Διότι τὸν παλαιὸν καιρὸν ἐθεωρεῖτο, ὅτι τὰ πρωτοτόκια ἦσαν πολὺ μεγάλη τιμή. Καὶ ἡ αἰτία τῆς τιμῆς ἤρχισεν ἀπ' ἐδῶ.

Ὅταν δηλαδὴ ὁ Θεὸς τῶν πάντων ἤθελε νὰ ἀπαλλάξῃ τὸ Ἰσραηλιτικὸν ἔθνος ἀπὸ τοὺς Αἰγυπτίους καὶ νὰ τὸ

νίδος ἐλευθερῶσαι τοῦ Φαραῶ διὰ τὴν πρὸς τὸν πατριάρχην ἐπαγγελίαν, ἀντιτείνοντος καὶ κατέχειν βουλομένου τότε τοῦ Αἰγυπτίου, μετὰ τὰς διαφόρους πληγὰς ταύτην ἐπαγαγὼν τὴν πληγὴν ὁ Δεσπότης τελευταίαν, μονονουχὶ ταῖς οἰκείαις χερσὶ παρεσκεύασε τοὺς Αἰγυπτίους ἐξῶσαι τὸ τῶν 'Ισραηλιτῶν ἔθνος. 'Αθρόον γὰρ πάντων τῶν Αἰγυπτίων τὰ πρωτότοκα ἀναιρεθῆναι προσέταξε, καὶ ἦν ἰδεῖν καθ' ἑκάστην οἰκίαν οἰμωγὰς καὶ δάκρυα· καὶ οὐδὲ μέχρι τούτου στῆναι ἐνόμιζον τὴν ἀπειλήν, ἀλλ' ἐκ τούτου προσεδόκων καὶ ἐπὶ πάντας ὁδῷ βαδίζοντα ἐλεύσεσθαι τὸν θάνατον. 'Επεὶ οὖν τῶν ἐν Αἰγύπτῳ πάντων τῶν γεννωμένων πρωτοτόκων ἀθρόον ὁ θάνατος γέγονεν, οἱ δὲ 'Ισραηλῖται τῆς ἄνωθεν ῥοπῆς ἀπολαύοντες ἀβλαβεῖς διέμενον, δεικνὺς καὶ διὰ τούτου τὴν περὶ αὐτοὺς εὔνοιαν ὁ τῶν ὅλων Θεός, ἀντὶ τῆς ἀναιρέσεως τῶν πρωτοτόκων ἐκείνων, τὰ πρωτότοκα τῶν 'Ιουδαίων αὐτῷ ἀνατιθέναι λοιπὸν προσέταξεν. 'Εντεῦθεν καὶ ἡ Λευὶ φυλὴ εἰς ἱερουργίαν ἀφωρίσθη καὶ ἐξ ἐκείνου οὐ μόνον τῶν ἀνθρώπων τὰ πρωτότοκα ἀνετίθεντο τῷ Θεῷ, ἀλλὰ καὶ τῶν ἀλόγων καὶ πάντων ἁπαξαπλῶς. Καὶ πρόσταγμα ἦν τὸ κελεῦον ὑπέρ τε τῶν ἀνθρώπων, ὑπέρ τε τῶν ἀκαθάρτων ζώων τὴν τιμὴν κατατιθέναι.

'Αλλ' εἰ καὶ ὕστερον αὕτη ἡ νομοθεσία γέγονεν ἡ περὶ τῶν πρωτοτόκων, ἀλλ' ὅμως ἤδη ἄνωθεν καὶ ἐκ προοιμίων ἐδόκουν πλέον τι ἔχειν προτέρημα οἱ τὴν νηδὺν τῆς μητρὸς διανοίξαντες. Ταύτην οὖν τὴν τιμήν, ἣν καὶ ἐκ φύσεως ἔσχεν ὁ 'Ησαῦ, μετήγαγεν διὰ τὴν οἰκείαν ἀκρασίαν ἐπὶ τὸν ἀδελφόν. Καὶ ὁ μὲν καὶ τὸ παρὰ τῆς φύσεως αὐτῷ δοθὲν ἀπώλεσεν, ὁ δὲ καὶ ὅπερ οὐκ εἶχεν ἐκ φύσεως, αὐτῷ προσέλαβε. Καὶ ἐπειδὴ ἄνωθεν αὐτῷ ταῦτα ἦν κεχρησμῳδημένα, διὰ τοῦτο καὶ ἡ Ρεβέκκα τὴν προσηγορίαν αὐτῷ ἐπιτιθεῖσα, 'Ιακὼβ αὐτὸν ἐκάλεσεν, ὅπερ πτερνισμὸς ἑρμηνεύεται, καθάπερ καὶ ὁ 'Ησαῦ μετὰ τὰς τοῦ πατρὸς εἰ αὐτὸν εὐλογίας γεγενημένας ἀποδυρόμενος ἔ-

ἐλευθερώση ἀπὸ τὴν τυραννίαν τοῦ Φαραώ, λόγῳ τῆς ὑποσχέσεως πρὸς τὸν πατριάρχην, ἐπειδὴ τότε ὁ Αἰγύπτιος ἔφερεν ἀντίστασιν καὶ ἤθελε νὰ κρατῇ δούλους τοὺς Ἰσραηλίτας, μετὰ ἀπὸ τὰς διαφόρους πληγὰς ἐπέβαλεν αὐτὴν τὴν τελευταίαν ὁ Κύριος καὶ ἔκαμε τοὺς Αἰγυπτίους σχεδὸν μόνοι των νὰ ἐκδιώξουν τὸν Ἰσραηλιτικὸν λαόν. Καθ' ὅσον διέταξε νὰ φονευθοῦν τὰ πρωτότοκα ὅλων τῶν Αἰγυπτίων καὶ ἦτο δυνατὸν νὰ ἴδῃς φωνὰς καὶ δάκρυα εἰς κάθε οἰκίαν. Καὶ δὲν ἐπίστευον, ὅτι ἡ ἀπειλὴ θὰ τελειώσῃ εἰς αὐτὸ τὸ σημεῖον, ἀλλ' ἐκ τούτου ἀνέμενον, ὅτι θὰ ἤρχετο εἰς ὅλους ὁ θάνατος, ὁ ὁποῖος εὑρίσκετο εἰς τὸν δρόμον. Ἀφοῦ λοιπὸν ἐθανατώθησαν αἰφνιδίως ὅλα τὰ πρωτότοκα τέκνα τῶν Αἰγυπτίων, ἐνῷ οἱ Ἰσραηλῖται ἔμενον ἀβλαβεῖς, διότι ἀπελάμβανον τὴν ἄνωθεν βοήθειαν, ἐπειδὴ ὁ Θεὸς τῶν πάντων ἔδειχνε καὶ μὲ αὐτὸ τὴν πρὸς αὐτοὺς ἀγάπην του, ἀντὶ νὰ φονευθοῦν τὰ πρωτότοκα ἐκείνων, διέταξε νὰ ἀφιερώνουν αὐτὰ οἱ Ἰουδαῖοι εἰς αὐτόν. Ἐκ τούτου καὶ ἡ φυλὴ τοῦ Λευὶ ὡρίσθη εἰς τὸ νὰ ἔχῃ τὸ ἱερατικὸν ἀξίωμα καὶ ἀπὸ τὸ γεγονὸς αὐτὸ ὄχι μόνον τὰ πρωτότοκα τῶν ἀνθρώπων ἀφιερώνοντο εἰς αὐτόν, ἀλλὰ καὶ τῶν ἀλόγων ζώων καὶ ὅλων γενικῶς. Ὑπῆρχε καὶ ἐντολή, ἡ ὁποία ἔλεγε νὰ πληρώνεται ἡ τιμὴ καὶ διὰ τοὺς ἀνθρώπους καὶ διὰ τὰ ἀκάθαρτα ζῶα.

Ἀλλ' ἂν καὶ ἔγινεν ἀργότερον ἡ νομοθεσία ἡ σχετικὴ μὲ τὰ πρωτότοκα, ὅμως ἤδη ἀπὸ πολὺ παλαιὰ καὶ ἀπὸ τὴν ἀρχὴν ἐφαίνοντο, ὅτι εἶχον κάποιο μεγαλύτερον προτέρημα ἐκεῖνοι οἱ ὁποῖοι ἤνοιξαν τὴν μήτραν τῆς μητρός των. Αὐτὴν λοιπὸν τὴν τιμήν, τὴν ὁποίαν ὁ Ἠσαῦ εἶχεν ἐκ φύσεως, τὴν μετεβίβασεν εἰς τὸν ἀδελφόν του, λόγῳ τοῦ ὅτι δὲν ἦτο ἐγκρατής. Καὶ ὁ μὲν Ἠσαῦ ἔχασεν ἐκεῖνο, τὸ ὁποῖον ἐδόθη εἰς αὐτὸν ἀπὸ τὴν φύσιν, ὁ δὲ Ἰακὼβ οἰκειοποιήθη ἐκεῖνο, τὸ ὁποῖον δὲν εἶχεν ἀπὸ τὴν φύσιν. Καὶ ἐπειδὴ αὐτὰ εἶχον καθορισθῆ μὲ προφητείαν ἀπὸ τὴν ἀρχήν, διὰ τοῦτο καὶ ἡ Ρεβέκκα τοῦ ἔδωσεν ὄνομα καὶ τὸν ὠνόμασεν Ἰακώβ, πρᾶγμα τὸ ὁποῖον ἑρμηνεύεται πτερνισμός, ὅπως ἀκριβῶς κλαίων ὁ Ἠσαῦ ἔλεγε μετὰ ἀπὸ τὰς εὐλογίας, τὰς ὁποίας ἔλαβεν ἀπὸ τὸν πατέρα

λεγε, «Δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο, τά τε πρωτοτόκιά μου εἰλήφει καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου.

Σκόπει πόση τῶν παλαιῶν ἦν ἡ σύνεσις, μᾶλλον δὲ πόση τοῦ Θεοῦ ἡ σοφία, ὡς καὶ τὰς γυναῖκας παρασκευάζειν μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχε τὰς προσηγορίας τοῖς τεχθεῖσιν ἐπιτιθέναι, ἀλλ' ἐναποτίθεσθαι τῇ τοῦ παιδίου προσηγορίᾳ τῶν μελλόντων ἔσεσθαι τὴν προαναφώνησιν. Καὶ σπανίως εὑρήσεις ὁμωνύμους τοῖς γεννησαμένοις τοὺς τεχθέντας καλουμένους, ἢ τάχα που οὐδαμοῦ· ἀλλὰ κἂν ὁ πατὴρ τὴν προσηγορίαν τῷ παιδὶ μέλλῃ ἐπιτιθέναι, ξένην τινὰ καὶ καινὴν ἐπιτίθησιν, ὥστε δι' αὐτῆς προμηνῦσαί τινα τῶν μελλόντων ἔσεσθαι· καὶ ἡ μήτηρ πάλιν ὁμοίως. Οὕτω καὶ ὁ Λάμεχ τὸν υἱὸν προσηγορεύων, «Νῶε ἐκάλεσεν», καὶ ἐπήγαγε λέγων, «Οὗτος διαναπαύσει ἡμᾶς». Οὕτω καὶ ἑκάστην προσηγορίαν διερευνώμενος μετὰ ἀκριβείας, εὑρήσεις πάντως τι αἰνιττομένην, οὐ καθάπερ νῦν ποιοῦσιν, ἁπλῶς καὶ ὡς ἔτυχεν ἀπὸ τῶν γεννησαμένων σπουδάζοντες τὰς προσηγορίας ὀνομάζειν, ἀλλὰ πᾶς ὁ σκοπὸς αὐτοῖς ἦν, ὥστε διηνεκῆ ὑπόμνησιν ἐναποτιθέναι διὰ τῆς προσηγορίας τῷ τεχθέντι. Ἀλλ' ἴδωμεν λοιπὸν μετὰ τὴν τῶν πρωτοτοκίων ἐναλλαγήν, τί πάλιν ἡμῖν διηγεῖται ὁ μακάριος Μωϋσῆς περὶ τοῦ πατρὸς τούτων, καὶ ὅπως καθάπερ ἐπὶ τοῦ πατριάρχου, καὶ οὗτος λιμοῦ καταλαβόντος πολλῆς ἀξιοῦται τῆς ἄνωθεν κηδεμονίας, διά τε τὴν οἰκείαν ἀρετήν, διά τε τὴν εἰς τὸν πατριάρχην γεγενημένην ἐπαγγελίαν.

«Ἐγένετο δέ», φησί, «λιμὸς ἐπὶ τῆς γῆς, χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον, ὃς ἐγένετο ἐν τῷ χρόνῳ τοῦ Ἀβραάμ». Ἵνα μὴ νομίσῃς περὶ ἐκείνου τοῦ λιμοῦ αὐτὸν διαλέγεσθαι, διὰ τοῦτο ἐπήγαγε, «Χωρὶς τοῦ λιμοῦ τοῦ πατριάρχου», ἀντὶ τοῦ 'ἕτερος τοιοῦτος νῦν κατέλαβε λιμὸς τὴν γῆν ἐπὶ τοῦ Ἰσαάκ, οἷος καὶ ἐπὶ τοῦ πατρὸς αὐτοῦ'. Καὶ ἡ τῶν ἀναγκαίων σπάνις πάντας ἐν θορύβῳ μεγίστῳ καθίστα, καὶ ἐκ τῶν οἰ-

---

2. Γέν. 5, 29.

του, «Δικαίως ὠνομάσθη Ἰακώβ, διότι μὲ ὑπεσκέλισεν ἤδη διὰ δευτέραν φορὰν τώρα καὶ ἔλαβε τότε τὰ πρωτοτόκια μου καὶ τώρα τὴν εὐλογίαν μου.

Πρόσεχε πόση ἦτο ἡ σύνεσις τῶν παλαιῶν ἀνθρώπων, ἢ μᾶλλον πόση ἦτο ἡ σοφία τοῦ Θεοῦ, ὥστε νὰ προετοιμάζῃ καὶ τὰς γυναῖκας νὰ μὴ δίνουν χωρὶς σκοπὸν καὶ τυχαίως τὰ ὀνόματα τῶν τέκνων, ἀλλὰ μὲ τὸ ὄνομα τοῦ παιδιοῦ νὰ ἐκθέτουν τὴν προφητείαν ἐκείνων, ποὺ ἐπρόκειτο νὰ συμβοῦν. Καὶ σπανίως ἢ πουθενὰ δὲν θὰ εὕρῃς νὰ ἔχουν τὸ ἴδιον ὄνομα τὰ τέκνα μὲ τοὺς γονεῖς. Ἀλλὰ καὶ ἂν ὁ πατὴρ ἐπρόκειτο νὰ δώσῃ εἰς τὸ παιδί του ὄνομα, τοῦ ἔδιδε κάποιο ξένον καὶ νέον ὄνομα, ὥστε μὲ αὐτὸ νὰ προαναγγείλῃ κάτι ἀπ' αὐτά, τὰ ὁποῖα ἐπρόκειτο νὰ συμβοῦν. Καὶ ἡ μητέρα πάλιν τὸ ἴδιο ἔκαμνε. Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ Λάμεχ, δίδων εἰς τὸν υἱόν του τὸ ὄνομα, «Τὸν ὠνόμασε Νῶε» καὶ προσέθεσε λέγων, «Αὐτὸς θὰ μᾶς ἀναπαύσῃ»[2]. Ἔτσι, ἐὰν ἐξετάσῃς κάθε ὄνομα μὲ προσοχήν, θὰ εὕρῃς ὁπωσδήποτε νὰ ὑπαινίσσεται κάτι. Ὄχι ὅπως κάμνουν τώρα, ποὺ συνηθίζουν νὰ δίδουν τὰ ὀνόματα ἀπὸ τοὺς γονεῖς χωρὶς σκοπὸν καὶ τυχαίως, ἀλλ' ὅλη ἡ φροντίς των ἦτο νὰ θέτουν εἰς τὸ παιδὶ μὲ τὸ ὄνομα συνεχῆ ὑπόμνησιν. Ἀλλ' ἂς ἰδοῦμεν πλέον μετὰ τὴν ἀλλαγὴν τῶν πρωτοτοκίων, τί διηγεῖται πάλιν εἰς ἡμᾶς ὁ μακάριος Μωυσῆς διὰ τὸν πατέρα αὐτῶν καὶ πῶς, ὅπως ἀκριβῶς συνέβη ἐπὶ τῆς ἐποχῆς τοῦ πατριάρχου Ἀβραὰμ καὶ αὐτὸς ὁ Ἰσαάκ, ὅταν ἔπεσε πεῖνα, γίνεται ἄξιος πολλῆς θείας φροντίδος καὶ ἐξ αἰτίας τῆς ἀρετῆς του καὶ ἐξ αἰτίας τῆς ὑποσχέσεως, τὴν ὁποίαν εἶχε δώσει εἰς τὸν πατριάρχην.

«Καὶ ἔπεσε πεῖνα εἰς τὴν χώραν», λέγει, «ἐκτὸς ἀπὸ τὴν προηγουμένην, ἡ ὁποία ἔγινεν ἐπὶ τῶν ἡμερῶν τοῦ Ἀβραάμ». Διὰ νὰ μὴ νομίσῃς, ὅτι ὁμιλεῖ δι' ἐκείνην τὴν πεῖναν, διὰ τοῦτο προσέθεσεν, «Ἐκτὸς ἀπὸ τὸν λιμὸν τῆς ἐποχῆς τοῦ πατριάρχου», ἀντὶ νὰ εἰπῇ, 'Ἔπεσεν εἰς τὴν χώραν ἄλλη πεῖνα ἐπὶ τῶν ἡμερῶν τοῦ Ἰσαάκ, τέτοια ποὺ συνέβη ἐπὶ τῶν ἡμερῶν τοῦ πατρός του'. Ἡ ἔλλειψις τῶν ἀναγκαίων τροφίμων ἐθορύβησε πολὺ ὅλους καὶ τοὺς ἡ-

κείων μετανίστασθαι κατήπειγε, καὶ πρὸς ἐκείνους τοὺς τόπους χωρεῖν, ἔνθα τῶν ἐπιτηδείων τὴν εὐπορίαν ἦν εὑρεῖν. Ὅθεν καὶ ὁ δίκαιος οὗτος θεασάμενος τὸν λιμόν, «Ἐπορεύθη», φησί, «πρὸς Ἀβιμέλεχ εἰς Γέραρα». Ἐνταῦθα γὰρ καὶ ὁ Ἀβραὰμ μετὰ τὴν ἀπὸ τῆς Αἰγύπτου ἐπάνοδον πάλιν ἀπῆλθεν. Εἰκὸς δὲ καὶ τοῦτον διὰ τοῦτο ἐκεῖ ἀπεληλυθέναι, ὡς ἐκεῖθεν ὁρμῆσαι βουλόμενον ἐπὶ τὴν Αἴγυπτον· καὶ ὅτι τοῦτό ἐστιν, ἄκουσον τῆς Γραφῆς λεγούσης· «Ὤφθη γὰρ αὐτῷ», φησίν, «ὁ Θεός, καὶ εἶπε· μὴ καταβῇς εἰς Αἴγυπτον». Οὐ βούλομαί σε, φησί, τὴν μακρὰν ἐκείνην στείλασθαι ὁδόν, ἀλλ' ἐνταῦθα μένειν. Ἀλλ' οὐδὲ ἀφίημί σε πεῖραν τῆς στενοχωρίας λαβεῖν, ἀλλὰ τὴν ὑπόσχεσιν τὴν πρὸς τὸν πατέρα σου εἰς ἔργον ἄξω, καὶ τὰ ἐκείνῳ ἐπηγγελμένα εἰς σὲ ἐκβήσεται, καὶ σὺ τῶν πρὸς ἐκεῖνον ὑποσχέσεων τὸ πέρας δέξῃ. «Μὴ καταβῇς εἰ Αἴγυπτον· κατοίκησον δὲ ἐν τῇ γῇ, ᾗ ἐάν σοι εἴπω, καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ».

2. Ἵνα μὴ νομίσῃ ὁ δίκαιος, ὅτι βουλόμενος αὐτὸν τῆς στενοχωρίας τῆς ἀπὸ τοῦ λιμοῦ πεῖραν λαβεῖν, τοῦτο ἐπιτάττει, καὶ οὐ συγχωρεῖ εἰς τὴν Αἴγυπτον ἀπελθεῖν, φησί· μὴ ἀγωνία, μηδὲ φρόντιζε, ἀλλ' ἐνταῦθα μένε. «Ἐγὼ γὰρ ἔσομαι μετὰ σοῦ». Τὸν χορηγὸν ἁπάντων τῶν ἀγαθῶν ἔχων, μὴ φρόντιζε μηδενός. Ἐγὼ γὰρ ὁ πάντων Δεσπότης ἔσομαι μετὰ σοῦ, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ εὐλογήσω σε, ἀντὶ τοῦ, 'ἐπίδοξόν σε ποιήσω, καὶ τὴν παρ' ἐμοῦ σοι εὐλογίαν παρέξω'. Τί ἂν εἴη τούτου μακαριώτερον τοῦ δικαίου τοῦ τοσαύτην ἐπαγγελίαν παρὰ τοῦ Θεοῦ δεξαμένου, ὅτι «Ἔσομαι μετὰ σοῦ, καὶ εὐλογήσω σε»; Τοῦτο σε πάντων εὐπορώτερον ἀποδείξει, τοῦτό σε ἐν πολλῇ περιουσίᾳ εἶναι παρασκευάσει, τοῦτό σοι ἡ μεγίστη δόξα, τοῦτο ἡ ἄφατος περιφάνεια, τοῦτο ἡ ἀσφάλεια, τοῦτο τῶν ἀγαθῶν τὸ κεφάλαιον, τὸ ἐμὲ εἶναι μετὰ

νάγκασε νά φύγουν άπό τά μέρη των καί νά άναχωρήσουν πρός έκείνους τούς τόπους, πρός τούς όποίους θά ήμποροῦσαν νά εὕρουν άφθονίαν τῶν άναγκαίων. Διά τόν λόγον αύτόν καί ό δίκαιος αύτός, ὅταν εἶδε τήν πεῖναν, «Ἀνεχώρησε», λέγει, «πρός τόν Ἀβιμέλεχ είς τά Γέραρα». Διότι έδῶ εἶχεν ἔλθει καί ό Ἀβραάμ μετά τήν έπάνοδον άπό τήν Αἴγυπτον. Εἶναι φυσικόν, ὅτι καί αύτός διά τοῦτο μετέβη έκεῖ, έπειδή δηλαδή ἤθελεν άπό έκεῖ νά άναχωρήση είς τήν Αἴγυπτον. Καί ὅτι αύτός εἶναι ό λόγος, ἄκουσε τήν Γραφήν, ή όποία λέγει· «Παρουσιάσθη είς αύτόν ό Θεός καί εἶπε. Νά μή μεταβῆς είς τήν Αἴγυπτον». Δέν θέλω, λέγει, νά σέ στείλω νά διανύσης τήν μακρινήν έκείνην άπόστασιν, άλλά νά μένης έδῶ. Οὔτε ὅμως θά σέ άφήσω νά δοκιμάσης τήν στενοχώριαν, άλλά θά πραγματοποιήσω τήν ύπόσχεσιν, τήν όποίαν ἔδωσα είς τόν πατέρα σου καί θά γίνουν είς σέ ὅλα έκεῖνα, τά όποῖα ἔχω ύποσχεθῆ είς αύτόν, καί σύ θά δεχθῆς τά άποτελέσματα τῶν πρός τόν πατέρα σου ύποσχέσεών μου. «Νά μή μεταβῆς είς τήν Αἴγυπτον. Νά κατοικήσης δέ είς τήν χώραν, τήν όποίαν έγώ θά σοῦ εἰπῶ καί νά μείνης προσωρινῶς είς τήν χώραν αύτήν».

2. Διά νά μή νομίση ό δίκαιος, ὅτι τόν διατάσσει καί δέν τόν έπιτρέπει νά φύγη είς τήν Αἴγυπτον, έπειδή ἤθελε νά δοκιμάση τήν στενοχώριαν άπό τήν πεῖναν, λέγει. Νά μή άγωνιᾷς, οὔτε νά φροντίζης, άλλά μεῖνε έδῶ. «Διότι έγώ θά εἶμαι μαζί σου». Ἀφοῦ ἔχεις τόν χορηγόν ὅλων τῶν άγαθῶν, νά μή φροντίζης διά τίποτε. Διότι έγώ ό Κύριος ὅλων θά εἶμαι μαζί σου καί ὄχι μόνον αύτό, άλλά καί θά σέ εύλογήσω, άντί νά εἰπῆ, 'θά σέ καταστήσω ἔνδοξον καί θά σοῦ χαρίσω τήν εύλογίαν μου'. Τί θά ήμποροῦσε νά ύπάρξη μακαριώτερον άπό τόν δίκαιον αύτόν, ό όποῖος έδέχθη τόσον μεγάλην ύπόσχεσιν άπό τόν Θεόν, λέγουσαν, «Θά εἶμαι μαζί σου καί θά σέ εύλογήσω»; Αύτό θά σέ άποδείξη πλουσιώτερον άπ' ὅλους, αύτό θά σέ προετοιμάση νά άποκτήσης μεγάλην περιουσίαν, αύτό θά εἶναι διά σέ ή πιό μεγάλη δόξα, αύτό θά εἶναι ή άπερίγραπτος περιφάνεια, τό ὅτι δηλαδή έγώ θά εἶμαι μαζί σου

σοῦ, καὶ εὐλογῆσαί σε. Πῶς δέ σε εὐλογήσω; «Σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην». Ὡς ξένος καὶ ἀλήτης νομίζεις ἐπιχωριάζειν τοῖς μέρεσι τούτοις· ἴσθι, ὅτι σοι καὶ τῷ σπέρματί σου πᾶσα αὕτη δοθήσεται ἡ γῆ. Καὶ ἵνα θαρρεῖν ἔχῃς, μάνθανε, ὅτι «Τὸν ὅρκον ὃν ὤμοσα Ἀβραὰμ τῷ πατρί σου, τοῦτον ἐπὶ σοὶ στήσω».

Ὅρα συγκατάβασιν Θεοῦ. Οὐκ εἶπεν ἁπλῶς, 'τὰς συνθήκας, ἃς ἐποιησάμην πρὸς τὸν πατέρα τὸν σόν', οὔτε 'τὰς ἐπαγγελίας, ἃς ὑπεσχόμην', ἀλλὰ τί; «Τὸν ὅρκον ὃν ὤμοσα». Ὅρκῳ αὐτὸν ἐπιστωσάμην, φησί, καὶ ὀφείλω εἰς ἔργον ἀγαγεῖν καὶ πληρῶσαι τὸν ὅρκον τὸν ἐμόν. Ὁρᾷς Θεοῦ φιλανθρωπίαν; Οὐ πρὸς τὴν οἰκείαν ἀξίαν ὁρῶν φθέγγεται, ἀλλὰ πρὸς τὴν ἀσθένειαν συγκαταβαίνων τὴν ἡμετέραν. Ἐπειδὴ γὰρ οἱ ἄνθρωποι ὡς ἐπὶ τὸ πλεῖστον ἐκεῖνα εἰς ἔργον ἄγειν σπουδάζουσιν, οὐχ ἅπερ ἂν ἁπλῶς ὑπόσχωνταί τισιν, ἀλλ' ὅλα ἂν μεθ' ὅρκου ἐπαγγέλωνται, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τῶν ὅλων Θεὸς πληροφορῶν τὸν δίκαιον, ὅτι πάντως ἔσται τὰ παρ' αὐτοῦ λεγόμενα, φησίν· ἴσθι, ὅτι τὰ παρ' ἐμοῦ ὀμνυθέντα εἰς ἔργον ἀχθῆναι δεῖ. Τί οὖν, φησίν; ὁ Θεὸς ὤμοσε; καὶ κατὰ τίνος ὀμόσαι ἠδύνατο; Ὁρᾷς ὅτι συγκαταβάσεως ἦν τὸ εἰρημένον· τὴν γὰρ βεβαίωσιν τῆς ὑποσχέσεως ὅρκον ἐκάλεσε. «Καὶ στήσω», φησί, «τὸν ὅρκον μου, ὃν ὤμοσα Ἀβραὰμ τῷ πατρί σου». Εἶτα διδάσκει αὐτὸν καὶ τίνα ἐστίν, ἃ ὑπέσχετο, καὶ περὶ τίνων αὐτῷ διεβεβαιώσατο. «Καὶ πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ». Τοῦτο γὰρ καὶ τῷ πατριάρχῃ ἔλεγεν, ὅτι τοσοῦτον ἔσται τὸ σπέρμα σου, ὡς καὶ τοῖς ἄστροις καὶ τῇ ἄμμῳ παρισωθῆναι. «Καὶ δώσω», φησίν, «τῷ σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς». Διὰ τοῦτο δὲ τὰς ὑποσχέσεις τὰς

καὶ θὰ σὲ εὐλογήσω. Πῶς δὲ θὰ σὲ εὐλογήσω; «Εἰς σὲ καὶ τοὺς ἀπογόνους σου θὰ δώσω αὐτὴν τὴν χώραν». Σὺ νομίζεις ὅτι διαμένεις εἰς τὰ μέρη αὐτὰ ὡς ξένος καὶ περιπλανώμενος. Νὰ γνωρίζῃς ὅτι ἡ χώρα αὐτὴ ὁλόκληρη θὰ δοθῇ εἰς σὲ καὶ τοὺς ἀπογόνους σου. Καὶ διὰ νὰ ἠμπορῇς νὰ πάρῃς θάρρος, γνώριζε, ὅτι «Τὸν ὅρκον, τὸν ὁποῖον ἔδωσα εἰς τὸν Ἀβραὰμ τὸν πατέρα σου, αὐτὸν θὰ τὸν πραγματοποιήσω εἰς σέ».

Πρόσεχε συγκατάβασιν Θεοῦ. Δὲν εἶπεν ἁπλῶς, «τὰς συνθήκας τὰς ὁποίας ἔκαμα μὲ τὸν πατέρα σου', οὔτε 'τὰς ὑποσχέσεις, τὰς ὁποίας ἔδωσα', ἀλλὰ τί εἶπε; «Τὸν ὅρκον τὸν ὁποῖον ἔδωσα». Μὲ ὅρκον διεβεβαίωσα αὐτόν, λέγει, καὶ ὀφείλω νὰ πραγματοποιήσω καὶ νὰ ἐκπληρώσω τὸν ὅρκον μου. Βλέπεις τὴν φιλανθρωπίαν τοῦ Θεοῦ; Δὲν ὁμιλεῖ ἀποβλέπων εἰς τὴν ἰδικήν του ἀξίαν, ἀλλὰ συγκαταβαίνων εἰς τὴν ἰδικήν μας ἀδυναμίαν. Ἐπειδὴ δηλαδὴ οἱ ἄνθρωποι φροντίζουν νὰ πραγματοποιήσουν, ὡς ἐπὶ τὸ πλεῖστον, ὄχι ὅσα ὑπόσχωνται εἰς κάποιους ἁπλῶς, ἀλλ' ὅσα ὑπόσχονται μὲ ὅρκον, κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ Θεὸς τῶν πάντων πληροφορεῖ τὸν δίκαιον, ὅτι ὁπωσδήποτε θὰ πραγματοποιηθοῦν, ὅσα ἐλέχθησαν ὑπ' αὐτοῦ καὶ λέγει. Νὰ γνωρίζῃς, ὅτι πρέπει νὰ πραγματοποιηθοῦν αὐτά, τὰ ὁποῖα ἔχω ὁρκισθῇ. Τί λοιπόν; λέγει· Ὡρκίσθη ὁ Θεός; Καὶ εἰς ποίου ὄνομα ἦτο δυνατὸν νὰ ὁρκισθῇ; Βλέπεις ὅτι ἦτο δεῖγμα συγκαταβάσεως αὐτὸ τὸ ὁποῖον ἐλέχθη· καθ' ὅσον ἀπεκάλεσεν ὅρκον τὴν βεβαίωσιν τῆς ὑποσχέσεως. «Καὶ θὰ ἐκπληρώσω», λέγει, «τὸν ὅρκον μου, τὸν ὁποῖον ἔδωσα εἰς τὸν Ἀβραὰμ τὸν πατέρα σου». Ἔπειτα ἐξηγεῖ εἰς αὐτὸν καὶ ποῖα εἶναι αὐτά, τὰ ὁποῖα ὑπεσχέθη καὶ διὰ ποῖα ἔδωσεν εἰς αὐτὸν τὴν διαβεβαίωσιν. «Καὶ θὰ πληθύνω τοὺς ἀπογόνους σου, ὡσὰν τὰ ἄστρα τοῦ οὐρανοῦ». Αὐτὸ ἔλεγε καὶ εἰς τὸν πατριάρχην, ὅτι δηλαδὴ τόσον θὰ αὐξηθοῦν οἱ ἀπόγονοί σου, ὥστε νὰ ἐξισωθοῦν μὲ τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ τὴν ἄμμον τῆς θαλάσσης. «Καὶ θὰ δώσω», λέγει, «ὁλόκληρον τὴν χώραν αὐτὴν εἰς τοὺς ἀπογόνους σου καὶ θὰ εὐλογηθοῦν δι' ἑνὸς ἐκ τῶν ἀπογόνων σου ὅλα τὰ ἔθνη τῆς γῆς». Διὰ τοῦτο

εἰς ἐκεῖνον γεγενημένας εἰς σὲ πληρώσω, «Ἀνθ' ὧν ὑπήκουσεν Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου, καὶ τὰ νόμιμά μου».

Ὅρα Θεοῦ σοφίαν, ὅπως διεγείρει τοῦ δικαίου τὴν διάνοιαν, καὶ προθυμότερον ἐργάζεται, καὶ παρασκευάζει μιμητὴν τοῦτον τοῦ οἰκείου πατρὸς καταστῆναι. Εἰ γὰρ ἐκεῖνος, ἐπειδή, φησίν, ὑπήκουσε τῆς ἐμῆς φωνῆς, ταύτης ἠξιώθη τῆς ὑποσχέσεως, καὶ διὰ τὴν ἐκείνου ἀρετὴν εἰς σὲ τὸν ἐξ αὐτοῦ τεχθέντα ταῦτα πληροῦν μέλλω· εἰ καὶ σὺ αὐτὸς ἐκείνου ζηλωτὴς κατασταίης, καὶ τὴν ἐκείνου ὁδὸν ἔλθοις, ἐννόησον, ὅσης ἀπολαύσεις τῆς παρ' ἐμοῦ εὐνοίας, καὶ πόσης προνοίας ἀξιωθήσῃ. Ὁ γὰρ διὰ τὴν ἑτέρου ἀρετὴν μέλλων εὖ πάσχειν, εἰ καὶ αὐτὸς ἐνάρετος γένοιτο, πολλῷ πλείονος ἀξιωθήσεται κηδεμονίας. Τί δέ ἐστιν, «Ἀνθ' ὧν ὑπήκουσε τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰς ἐντολάς μου, καὶ τὰ δικαιώματά μου»; Εἶπον αὐτῷ· «Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω», καὶ κατέλειπε τὰ ἐν χερσί, καὶ τὰ ἄδηλα ἐδίωκε. Καὶ οὐκ ἐνεδοίασεν, οὐδὲ ἠμέλλησεν, ἀλλὰ μετὰ πάσης προθυμίας τὸ ἐπίταγμα πληρῶν ὑπήκουσε τῆς ἐμῆς φωνῆς.

Πάλιν τὰ ὑπὲρ τὴν φύσιν αὐτῷ ἐπηγγειλάμην, καὶ μετὰ τὸ τὴν ἡλικίαν ἀπαγορεῦσαι, καὶ μηκέτι μήτε αὐτόν, μήτε τὴν μητέρα τὴν σὴν πρὸς τεκνογονίαν ἔχειν τινὰ ἐπιτηδειότητα, ἀκούων παρ' ἐμοῦ ὅτι τὸ ἐξ αὐτοῦ σπέρμα εἰς τοσοῦτον ἐκταθήσεται, ὡς πᾶσαν πληρῶσαι τὴν γῆν, οὐδὲ τότε διεταράχθη τὸν λογισμόν, ἀλλ' ἐπίστευσε· δι' ὃ καὶ δικαιοσύνη αὐτῷ ἐλογίσθη, ὅτι τῇ δυνάμει τῇ ἐμῇ πιστεύσας, καὶ ταῖς ὑποσχέσεσι θαρρήσας ταῖς ἐμαῖς, ἀνώτερος γέγονε τῆς ἀσθενείας τῆς ἀνθρωπίνης. Καὶ μετὰ τὸ σὲ τεχθῆναι, τῆς μητρὸς τῆς σῆς δυσχεραινούσης πρὸς τὸν Ἰσμαὴλ τὸν ἐκ τῆς παιδίσκης τεχθέντα, καὶ βουλομένης αὐτὸν ἀπελάσαι

3. Γέν. 12, 1.

τὰς ὑποσχέσεις τὰς ὁποίας ἔδωσα εἰς ἐκεῖνον θὰ τὰς ἐκπληρώσω εἰς σέ. «Ἐπειδὴ ὁ πατήρ σου Ἀβραὰμ ὑπήκουσεν εἰς τὴν φωνήν μου καὶ ἐφύλαξε τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου καὶ τοὺς νόμους μου».

Πρόσεχε τὴν σοφίαν τοῦ Θεοῦ, πῶς παρακινεῖ τὴν σκέψιν τοῦ δικαίου καὶ τὸν κάμει προθυμότερον καὶ τὸν προετοιμάζει νὰ γίνῃ μιμητὴς τοῦ πατρός του. Ἐὰν ἐκεῖνος, ἐπειδὴ ὑπήκουσεν εἰς τὴν φωνήν μου, ἔγινεν ἄξιος αὐτῆς τῆς ὑποσχέσεως, εἰς ἐσέ, ὁ ὁποῖος ἐγεννήθης ὑπ' αὐτοῦ, πρόκειται νὰ ἐκπληρώσω αὐτά, ἐξ αἰτίας τῆς ἀρετῆς ἐκείνου. Ἐὰν καὶ σὺ μιμηθῇς ἐκεῖνον καὶ βαδίσῃς τὴν ὁδὸν ἐκείνου, σκέψου πόσην ἀγάπην θὰ ἀπολαύσῃς ἀπὸ ἐμὲ καὶ πόσης φροντίδος θὰ ἀξιωθῇς. Διότι αὐτός, ὁ ὁποῖος πρόκειται νὰ εὐεργετηθῇ λόγῳ τῆς ἀρετῆς ἄλλου, ἐὰν καὶ ὁ ἴδιος γίνῃ ἐνάρετος, θὰ ἀξιωθῇ πολὺ μεγαλυτέρας φροντίδος. Τί σημαίνει ὅμως, «Ἐπειδὴ ὑπήκουσεν εἰς τὴν φωνήν μου καὶ ἐφύλαξε τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου καὶ τοὺς νόμους μου»; Εἶπεν εἰς αὐτόν· «Νὰ φύγῃς ἀπὸ τὴν πατρίδα σου καὶ ἀπὸ τοὺς συγγενεῖς σου καὶ νὰ ὑπάγῃς εἰς τὴν χώραν, τὴν ὁποίαν θὰ σοῦ δείξω»[1]. Καὶ ἐγκατέλειψεν αὐτά, τὰ ὁποῖα εἶχε καὶ ἠκολούθησε τὰ ἄγνωστα. Καὶ δὲν ἐφοβήθη, οὔτε ἠμέλλησεν, ἀλλὰ μὲ κάθε προθυμίαν ὑπήκουσεν εἰς τὸν λόγον μου, διὰ νὰ ἐκπληρώσῃ τὴν ἐντολήν μου.

Πάλιν ὑπεσχέθην εἰς αὐτὸν αὐτά, τὰ ὁποῖα ἦσαν ὑπεράνω τῆς ἀνθρωπίνης φύσεως καὶ μετὰ τὸ ἐμπόδιον τῆς ἡλικίας καὶ ἐνῷ καθόλου, οὔτε αὐτὸς οὔτε ἡ μητέρα σου, δὲν εἶχον κάποιαν ἱκανότητα πρὸς τεκνογονίαν, ὅταν ἤκουσεν ἀπὸ ἐμένα, ὅτι οἱ ἀπόγονοί του θὰ αὐξηθοῦν τόσον πολύ, ὥστε νὰ γεμίσουν ὁλόκληρον τὴν γῆν, οὔτε ἔνιωσε ταραχὴν εἰς τὴν σκέψιν του, ἀλλ' ἐπίστευσε. Διὰ τοῦτο καὶ ἐλογίσθη αὐτὸ ὡσὰν ἀρετή του, ἐπειδὴ ἀπεδείχθη ἀνώτερος τῆς ἀνθρωπίνης ἀδυναμίας, ἀφοῦ ἐπίστευσεν εἰς τὴν δύναμίν μου καὶ ἔλαβε θάρρος ἀπὸ τὰς ὑποσχέσεις μου. Καὶ μετὰ τὴν γέννησίν σου ἐπειδὴ ἡ μητέρα σου ἐστενοχωρεῖτο διὰ τὸν Ἰσμαήλ, ὁ ὁποῖος ἐγεννήθη ἀπὸ τὴν δούλην, καὶ ἐπειδὴ ἤθελε νὰ διώξῃ

τῆς οἰκίας μετὰ τῆς Ἄγαρ, ὥστε μηδὲν κοινὸν ἔχειν πρὸς σέ, τοῦ πατριάρχου διὰ τὴν πατρικὴν φιλοστοργίαν ἤδη σχέσιν τινὰ καὶ πρὸς ἐκεῖνον ἔχοντος, ἀκούσας παρ' ἐμοῦ, ὅτι τὸ δοκοῦν ποίει τῇ Σάρρᾳ, ἐπελάθετο τῆς φυσικῆς φιλοστοργίας, καὶ ἐξέβαλε τὸν Ἰσμαὴλ μετὰ τῆς παιδίσκης, καὶ πανταχοῦ ὑπήκουσε τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου.

Καὶ γὰρ τὸ τελευταῖον προσταχθεὶς ὑπ' ἐμοῦ εἰς θυσίαν ἀνενεγκεῖν τὸν ἐν τῷ γήρει αὐτῷ δοθέντα, τὸν οὕτω περιπόθητον, οὐ περιειργάσατο τὸ πρόσταγμα, οὐ διεταράχθη τὸν λογισμόν, οὐδὲ ἀνεκοινώσατο τῇ μητρὶ τῇ σῇ, οὐ τοῖς παισίν, οὐ σοὶ αὐτῷ τὸ μέλλον ὑπ' αὐτοῦ πραχθήσεσθαι κατάδηλον ἐποίησεν, ἀλλ' ἐρρωμένῳ τῷ λογισμῷ καὶ συντεταμένῃ τῇ προθυμίᾳ εἰς ἔργον ἄγειν τὸ ἐπίταγμα ἠπείγετο τὸ ἐμόν· διὸ τὴν γνώμην αὐτοῦ στεφανώσας, τὸ ἔργον ἐκώλυσα γενέσθαι. Ἐπεὶ οὖν διὰ πάντων πολλὴν ἐπεδείξατο τὴν ὑπακοὴν καὶ φυλακὴν τῶν ἐμῶν προσταγμάτων, διὰ τοῦτο σέ, τὸν ἐξ ἐκείνου τεχθέντα, τῶν ὑποσχέσεων τῶν εἰς αὐτὸν γεγενημένων ποιῶ κληρονόμον. Μίμησαι τοίνυν ἐκείνου τὴν ὑπακοήν, καὶ τοῖς παρ' ἐμοῦ λεγομένοις πίστευε, ἵνα πολυπλασίονος τῆς ἀμοιβῆς ἀξιωθῇς, ὑπέρ τε τῆς τοῦ πατρὸς ἀρετῆς, ὑπέρ τε τῆς οἰκείας ὑπακοῆς, καὶ μὴ καταβῇς εἰς Αἴγυπτον, ἀλλ' ἐνταῦθα μένε.

3. Εἶδες Θεοῦ φιλανθρωπίαν, ὅπως διὰ τῆς μνήμης τῆς ἀρετῆς τοῦ πατρὸς τούτου τὸν λογισμὸν ἐνεύρωσε; «Κατῴκησε δέ», φησίν, «Ἰσαὰκ ἐν Γεράροις». Ὅρα τοῖς αὐτοῖς καὶ τοῦτον περιπίπτοντα σχεδόν, οἷς ὁ πατὴρ περιέπεσεν. Ἐπειδὴ γὰρ τὴν κατοίκησιν ἐποιήσατο ἐν Γεράροις, «Ἐπηρώτησαν», φησίν, «οἱ ἄνδρες τοῦ τόπου τῆς Ῥεβέκκας, τῆς γυναικὸς αὐτοῦ, καὶ εἶπεν, ἀδελφή μού ἐστιν», ἐφοβήθη γὰρ μήποτε ἀποκτείνωσιν αὐτόν, ἡττώμενοι τοῦ κάλλους τῆς γυναικός. «Μήποτε γάρ», φησίν, «ἀπο-

αὐτὸν ἀπὸ τὴν οἰκίαν μαζὶ μὲ τὴν Ἄγαρ, ὥστε νὰ μὴ ἔχῃ τὴν ἰδίαν κληρονομίαν μὲ ἐσέ, ὁ πατριάρχης, ὁ ὁποῖος εἶχεν ἤδη κάποιαν σχέσιν μὲ ἐκεῖνον, λόγῳ τῆς πατρικῆς στοργῆς, ὅταν ἤκουσεν ἀπὸ ἐμένα, νὰ κάνῃ ἐκεῖνο τὸ ὁποῖον ἐφαίνετο καλὸν εἰς τὴν Σάρραν, ἐλησμόνησε τὴν φυσικὴν στοργὴν καὶ ἔδιωξε τὸν Ἰσμαὴλ μαζὶ μὲ τὴν δούλην, καὶ ὑπήκουσε παντοῦ εἰς τὴν ἐντολήν μου καὶ διεφύλαξε τὰ προστάγματά μου.

Καὶ τέλος ὅταν διετάχθη ἀπὸ ἐμένα νὰ προσφέρῃ θυσίαν αὐτόν, ὁ ὁποῖος ἐδόθη εἰς αὐτόν κατὰ τὴν γεροντικὴν ἡλικίαν, τὸν τόσον ἀγαπητόν, δὲν ἐξήτασε τὴν ἐντολήν, δὲν ἐταράχθησαν τὰ λογικά του, οὔτε τὸ ἀνεκοίνωσεν εἰς τὴν μητέρα σου, οὔτε εἰς τοὺς δούλους, οὔτε εἰς σὲ τὸν ἴδιον ἐφανέρωσεν ἐκεῖνο, τὸ ὁποῖον ἐπρόκειτο νὰ σοῦ κάμῃ, ἀλλὰ μὲ γενναῖον φρόνημα καὶ μὲ μεγάλην προθυμίαν ἔσπευδε νὰ πραγματοποιήσῃ τὴν ἐντολήν μου. Διὰ τοῦτο καί, ἀφοῦ ἐβράβευσα τὴν διάθεσίν του, ἠμπόδισα νὰ πραγματοποιηθῇ τὸ ἔργον. Ἐπειδὴ λοιπὸν ἔδειξε μὲ ὅλα μεγάλην ὑπακοὴν καὶ ἐπειδὴ ἐφύλαξε τὰς ἐντολάς μου, διὰ τοῦτο ἐσένα, ὁ ὁποῖος ἐγεννήθης ἀπὸ ἐκεῖνον, καθιστῶ κληρονόμον τῶν ὑποσχέσεων, αἱ ὁποῖαι ἐδόθησαν εἰς αὐτόν. Νὰ μιμῆσαι λοιπὸν τὴν ὑπακοὴν ἐκείνου καὶ νὰ πιστεύῃς εἰς τοὺς λόγους μου, διὰ νὰ ἀξιωθῇς πολλαπλασίας ἀμοιβῆς διὰ τὴν ἀρετὴν τοῦ πατρός σου καὶ διὰ τὴν ἰδικήν σου ὑπακοὴν καὶ νὰ μὴ μεταβῇς εἰς τὴν Αἴγυπτον, ἀλλὰ νὰ μείνῃς ἐδῶ.

3. Εἶδες τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, πῶς ἐνίσχυσε τὴν σκέψιν του μὲ τὴν ὑπενθύμισιν τῆς ἀρετῆς τοῦ πατρός; «Καὶ ὁ Ἰσαάκ», λέγει, «ἐγκατεστάθη εἰς τὰ Γέραρα». Πρόσεχε ὅτι καὶ αὐτὸς περιέπεσε εἰς τοὺς ἰδίους κινδύνους, εἰς τοὺς ὁποίους περιέπεσε καὶ ὁ πατέρας του. Ὅταν δηλαδὴ ἐγκατεστάθη εἰς τὰ Γέραρα, λέγει ἡ Γραφή, «Ἠρώτησαν οἱ ἄνδρες τοῦ τόπου νὰ μάθουν διὰ τὴν Ρεβέκκαν τὴν γυναῖκα του. Καὶ αὐτὸς εἶπεν. Ἀδελφή μου εἶναι αὐτή», διότι ἐφοβήθη μήπως τὸν φονεύσουν παρασυρόμενοι ἀπὸ τὴν ὀμορφιὰν τῆς γυναικός του, καθ' ὅσον λέγει ἡ Γραφή, «Μήπως φονεύσουν αὐτὸν οἱ ἄνδρες

κτείνωσιν αὐτὸν οἱ ἄνδρες τοῦ τόπου περὶ Ρεβέκκας, ὅτι ὡραία τῇ ὄψει ἦν. Ἐγένετο δὲ πολυχρόνιος ἐκεῖ. Παρακύψας δὲ Ἀβιμέλεχ εἶδε τὸν Ἰσαὰκ παίζοντα μετὰ Ρεβέκκας τῆς γυναικὸς αὐτοῦ, καὶ ἐκάλεσεν αὐτόν, καὶ εἶπεν αὐτῷ· Ἆρα γε γυνή σού ἐστιν; Τί ὅτι εἶπες, ἀδελφή μού ἐστιν;». Ἐπειδὴ ἐκ τῶν τεκμηρίων ἐφωράθη ὁ δίκαιος, οὐκέτι λοιπὸν ἀρνεῖται, ἀλλ' ὁμολογεῖ, καὶ τὴν αἰτίαν φανερὰν καθίστησι, δι' ἣν ἀδελφὴν καλέσαι κατεδέξατο. «Εἶπε γάρ», φησί, «μήποτε ἀποθάνω δι' αὐτήν»· ὁ τοῦ θανάτου φόβος εἰς τοῦτό με ἐλθεῖν κατηνάγκασεν.

Ἴσως δὲ μεμαθηκὼς ἦν, ὅτι καὶ ὁ πατὴρ τοῦτο τὸ δρᾶμα κατασκευάσας διέσωσεν ἑαυτόν, καὶ διὰ τοῦτο καὶ αὐτὸς ταύτην ἦλθε τὴν ὁδόν. Ἀλλ' ὁ βασιλεὺς ἔναυλον ἔχων τὴν μνήμην ὧν πέπονθεν ἐπὶ τοῦ πατριάρχου τὴν Σάρραν ἀφελόμενος, παραχρῆμα ὑπὸ τῆς ἄνωθεν ἐπιτιμήσεως ἑαυτὸν ὑπεύθυνον καταστήσας, φησὶ πρὸς αὐτόν· «Τί τοῦτο ἐποίησας; Μικροῦ ἐκοιμήθη τις τοῦ γένους μου μετὰ τῆς γυναικός σου, καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν». Ταύτην, φησί, τὴν ἀπάτην καὶ ἤδη ὑπέστημεν ὑπὸ τοῦ πατρὸς τοῦ σοῦ, καὶ νῦν εἰ μὴ ταχέως συνείδομεν, τὰ αὐτὰ ἂν ἐμέλλομεν ὑπομένειν, «Καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν». Καὶ γὰρ καὶ τότε δι' ἄγνοιαν ἁμαρτάνειν ἐμέλλομεν, καὶ νῦν ὑπὸ τῆς ἀγνοίας μικροῦ δεῖν ἡμᾶς ἁμαρτίᾳ περιπεσεῖν παρασκευάσας. «Συνέταξε δέ», φησίν, «Ἀβιμέλεχ τῷ λαῷ αὐτοῦ λέγων· πᾶς ὁ ἁπτόμενος τοῦ ἀνθρώπου τούτου, ἢ τῆς γυναικὸς αὐτοῦ, θανάτου ἔνοχος ἔσται».

Ὅρα Θεοῦ πρόνοιαν, ὅρα κηδεμονίαν ἄφατον. Ὁ γὰρ εἰπὼν αὐτῷ, «Μὴ καταβῇς εἰς Αἴγυπτον, καὶ κατοίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ», οὗτος ἦν ὁ ταῦτα πάντα οἰκονομῶν, καὶ τὸν δίκαιον ἐν τοσαύτῃ ἀσφαλείᾳ καθιστάς. Σκόπει γὰρ τὸν βασιλέα ἔργον τοῦτο ποιούμενον, ὥστε ἐν ἀδείᾳ διάγειν αὐτόν, καὶ πάσης ἀπηλλάχθαι φροντίδος. Θάνατον γάρ, φη-

τοῦ τόπου ἐξ αἰτίας τῆς Ρεβέκκας, διότι ἦτο ὡραία εἰς τὴν ὄψιν. Καὶ ἔμενεν ὁ Ἰσαὰκ ἐκεῖ πολὺν καιρόν. Καὶ κάποτε ὁ Ἀβιμέλεχ, ὁ βασιλεὺς τῶν Φιλισταίων, ἔσκυψε καὶ εἶδεν ἀπὸ τὴν θυρίδα τὸν Ἰσαὰκ νὰ παίζῃ μὲ τὴν γυναῖκα του τὴν Ρεβέκκαν καὶ τὸν ἐκάλεσε καὶ τοῦ εἶπεν˙ Ὥστε εἶναι γυναῖκα σου. Διατί λοιπὸν εἶπες, ὅτι εἶναι ἀδελφή σου;». Ἀφοῦ λοιπὸν ὁ δίκαιος Ἰσαὰκ ἀπεκαλύφθη μὲ ἀποδείξεις, δὲν ἀρνεῖται πλέον, ἀλλ' ὁμολογεῖ καὶ φανερώνει τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἠναγκάσθη νὰ τὴν ἀποκαλέσῃ ἀδελφήν του. «Εἶπε», λέγει, «ἐφοβήθην μήπως ἀποθάνω ἐξ αἰτίας αὐτῆς». Ὁ φόβος τοῦ θανάτου μὲ ἠνάγκασε νὰ φθάσω εἰς τὸ ψεῦδος.

Ἴσως νὰ εἶχε μάθει, ὅτι καὶ ὁ πατήρ του ἐσώθη μὲ τὸ νὰ πλάσῃ αὐτὸν τὸν μῦθον καὶ διὰ τοῦτο ἠκολούθησε καὶ αὐτὸς τὴν ἰδίαν μέθοδον. Ἀλλ' ὁ βασιλεὺς ἔχων πρόσφατα εἰς τὴν μνήμην του ἐκεῖνα, τὰ ὁποῖα ἔπαθεν ἐπὶ τῆς ἐποχῆς τοῦ πατριάρχου Ἀβραάμ, ὅταν ἀφήρεσε τὴν Σάρραν, ἀφοῦ κατέστησεν αὐτὸν ὑπεύθυνον ὁ Θεός, λέγει πρὸς τὸν Ἰσαάκ. «Τί εἶναι αὐτό, τὸ ὁποῖον ἔκαμες εἰς ἡμᾶς; Παρ' ὀλίγον κάποιος ἀπὸ τοὺς ἄνδρας μου θὰ ἐκοιμᾶτο μὲ τὴν γυναῖκα σου καὶ θὰ ἔφερες ἐπάνω μας ἁμαρτίαν ἐν ἀγνοίᾳ μας». Αὐτὴν τὴν ἀπάτην, λέγει, ἐπάθομεν κάποτε ἀπὸ τὸν πατέρα σου καὶ τώρα θὰ ἐπαθαίνομεν τὰ ἴδια, ἐὰν δὲν τὸ ἀντελαμβανόμεθα ἀμέσως. «Καὶ θὰ ἔφερες ἐπάνω μας ἁμαρτίαν ἐν ἀγνοίᾳ μας». Καθ' ὅσον καὶ τότε ἐπρόκειτο νὰ ἁμαρτήσωμεν ἀπὸ ἄγνοιαν καὶ τώρα μᾶς ἔκαμες, ὥστε ὀλίγον νὰ χρειασθῇ διὰ νὰ ἁμαρτήσωμεν. «Καὶ διέταξεν ὁ Ἀβιμέλεχ ὅλον τὸν λαόν του καὶ εἶπεν. Ὅποιος θὰ ἐγγίσῃ τὸν ἄνθρωπον αὐτόν, ἢ τὴν γυναῖκα του, θὰ εἶναι ἔνοχος θανάτου».

Πρόσεχε τὴν πρόνοιαν τοῦ Θεοῦ, βλέπε τὴν ἀπερίγραπτον φροντίδα. Καθ' ὅσον αὐτὸς ὁ ὁποῖος εἶπεν εἰς αὐτόν, «Μὴ μεταβῇς εἰς τὴν Αἴγυπτον, ἀλλὰ νὰ κατοικήσῃς εἰς τὴν χώραν αὐτὴν καὶ ἐγὼ θὰ εἶμαι μαζί σου», αὐτὸς ἦτο ἐκεῖνος, ὁ ὁποῖος κατηύθυνεν ὅλα αὐτὰ καὶ ὁ ὁποῖος εἶχε καταστήσει τὸν δίκαιον τόσον ἀσφαλῆ. Διότι σκέψου ὅτι ὁ βασιλεὺς πραγματοποιεῖ αὐτό, διὰ νὰ ζῇ ἐκεῖνος

σίν, ἠπείλησεν ἅπασιν, εἴ τις ἅψαιτο αὐτοῦ, ἢ τῆς γυναικὸς αὐτοῦ. Ἐπειδὴ γὰρ οὗτος ἦν ὁ φόβος, ὁ τοῦ θανάτου λέγω, κατασείων τοῦ δικαίου τὴν διάνοιαν, διὰ τοῦτο καὶ τοῦτον ἐκβληθῆναι πεποίηκεν ὁ φιλάνθρωπος Δεσπότης, καὶ ἐν πάσῃ ἀσφαλείᾳ αὐτὸν λοιπὸν διάγειν. Καὶ ὅρα τὸ θαυμαστὸν καὶ παράδοξον, πῶς εὐμήχανος ὢν καὶ σοφὸς καὶ πάντα κατὰ τὸ βούλημα τὸ οἰκεῖον μετασκευάζων, καὶ ἐν ἀπόροις πόρον εὑρίσκων, διὰ τῶν ἐναντίων αὐτῶν καὶ πολεμίων εἶναι νομίζεσθαι, διὰ τούτων τὴν ἀσφάλειαν τοῖς ἰδίοις θεράπουσι γενέσθαι προξενεῖ. Πόθεν γάρ, εἰπέ μοι, ὁ βασιλεὺς οὗτος τοσαύτην τοῦ δικαίου ποιεῖται τὴν πρόνοιαν, μονονουχὶ ἀνακηρύττων αὐτὸν ἅπασι τοῖς τὴν πόλιν οἰκοῦσι, καὶ περιφανῆ δεικνὺς καὶ περισπούδαστον αὐτῷ;

Οὕτω καὶ ὁ Ναβουχοδονόσορ μετὰ τὸ βαλεῖν εἰς τὴν κάμινον τοὺς παῖδας τοὺς τρεῖς, καὶ διὰ τῶν πραγμάτων μαθεῖν τῶν νέων τῶν αἰχμαλώτων τὴν ἀρετήν, τότε ἀνακηρύττειν αὐτοὺς ἤρξατο, καὶ πανταχοῦ διὰ τῆς οἰκείας γλώττης περιφανεῖς καθιστᾶν. Τοῦτο γάρ ἐστι μάλιστα τῆς περιουσίας τῆς τοῦ Θεοῦ δυνάμεως, ὅταν διὰ τῶν ἐχθρῶν ἀνακηρύττεσθαι τοὺς αὐτοῦ δούλους παρασκευάζῃ. Καὶ ὁ μετὰ θυμοῦ τὴν κάμινον ἐκείνην ἐξαφθῆναι ποιήσας, ἐπειδὴ εἶδεν, ὅτι διὰ τὴν ἄνωθεν συμμαχίαν, καὶ τῆς τοῦ πυρὸς ἐνεργείας περιεγένετο ἡ τῶν παίδων ἀρετή, ἀθρόον μεταβαλλόμενος ἐκραύγασε λέγων· «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου». Ὅρα μὴ μόνον αὐτοὺς ἀνακηρύττοντα, ἀλλὰ καὶ τὸν Δεσπότην τῶν ὅλων· «Οἱ δοῦλοι γὰρ τοῦ Θεοῦ», φησί, «τοῦ ὑψίστου ἐξέλθετε». Τί γέγονεν; οὐ σὺ τῇ τιμωρίᾳ παρέδωκας; οὐ σὺ ἐπὶ τοσοῦτον ἐκκαυθῆναι τὴν κάμινον προσέταξας; Ναί, φησίν· ἀλλὰ νῦν ὁρῶ ξένα καὶ παράδοξα πράγματα. Τὸ γὰρ στοιχεῖον τοῦτο τῆς οἰκείας ἐνεργείας ἐπιλαθόμενον, ὥσπερ δεσμοῖς τισι πεδηθέν, τοσαύτην ἐπεδείξατο τὴν ὑπακοήν, ὡς μηδὲ τῶν τριχῶν ἐφάψα-

---

4. Δαν. 3, 23. 5. Δαν. 3, 23.

ἥσυχος καὶ νὰ εἶναι ἀπηλλαγμένος ἀπὸ κάθε φροντίδα. Διότι ἠπείλησεν αὐτοὺς μὲ θάνατον, λέγει, ἐὰν κάποιος θὰ ἤγγιζεν αὐτὸν ἢ τὴν γυναῖκα του. Ἐπειδὴ λοιπὸν ὑπῆρχεν αὐτὸς ὁ φόβος, ὁ φόβος τοῦ θανάτου ἐννοῶ, ὁ ὁποῖος ἐτάρασσε τὸν νοῦν τοῦ δικαίου, διὰ τοῦτο καὶ ὁ φιλάνθρωπος Κύριος ἔκαμεν αὐτὸν τὸν φόβον νὰ φύγῃ καὶ ἔτσι ὁ δίκαιος νὰ περάσῃ τὴν ὑπόλοιπον ζωήν του μὲ κάθε ἀσφάλειαν. Καὶ πρόσεχε τὸ θαυμαστὸν καὶ παράδοξον, πῶς δηλαδὴ εἶναι ἐφευρετικὸς καὶ σοφὸς καὶ μεταβάλλει τὰ πάντα κατὰ τὴν θέλησίν του καὶ εὑρίσκει διέξοδον εἰς τὸ ἀδιέξοδον καὶ μὲ αὐτὰ τὰ ὁποῖα θεωροῦνται, ὅτι εἶναι ἐνάντια καὶ ἐχθρικά, μὲ αὐτὰ ἀσφαλίζει τοὺς δούλους του. Διότι εἰπέ μου ἀπὸ ποῦ ὁ βασιλεὺς αὐτὸς φροντίζει τόσον διὰ τὸν δίκαιον, ὥστε νὰ τὸν παρουσιάζῃ εἰς ὅλους τοὺς κατοίκους τῆς πόλεως καὶ νὰ τὸν ἀναδεικνύῃ ἔνδοξον καὶ σπουδαῖον;

Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ Ναβουχοδονόσορ, ἀφοῦ ἔβαλε τὰ τρία παιδιὰ εἰς τὴν κάμινον καὶ ἔμαθεν ἐκ τῶν πραγμάτων τὴν ἀρετὴν τῶν νέων αἰχμαλώτων, τότε ἤρχισε νὰ τοὺς ἀναγνωρίζῃ καὶ νὰ τοὺς καθιστᾷ παντοῦ μὲ τὴν γλῶσσαν του ἐνδόξους. Καθ' ὅσον αὐτὸ εἶναι κατ' ἐξοχὴν γνώρισμα τῆς μεγάλης δυνάμεως τοῦ Θεοῦ, ὅταν δηλαδὴ προετοιμάζῃ τοὺς δούλους του νὰ ἀναγνωρισθοῦν διὰ τῶν ἐχθρῶν. Καὶ αὐτός, ὁ ὁποῖος διέταξε μὲ θυμὸν νὰ ἀναφθῇ ἐκείνη ἡ κάμινος, ὅταν εἶδεν ὅτι ἐξ αἰτίας τῆς ἄνωθεν βοηθείας ἡ ἀρετὴ τῶν παίδων ἐνίκησε καὶ τὴν δύναμιν τοῦ πυρός, ἀμέσως μετεβλήθη καὶ ἐκραύγασε καὶ εἶπεν· «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου»[4]. Βλέπε, ὅτι δὲν ἀνακηρύττει μόνον αὐτοὺς ἀλλὰ καὶ τὸν Κύριον τῶν πάντων. Διότι λέγει, «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου βγῆτε ἔξω»[5]. Τί ἔγινε; Σὺ δὲν τοὺς παρέδωσες εἰς τὴν τιμωρίαν; Σὺ δὲν διέταξες νὰ ἀναφθῇ τόσον πολὺ ἡ κάμινος; Ναί, λέγει. Ἀλλὰ τώρα βλέπω παράξενα καὶ παράδοξα πράγματα. Διότι τὸ στοιχεῖον αὐτό, τὸ πῦρ, ἔχασε τὴν δύναμίν του, ὡσὰν νὰ ἐδέθη ἀπὸ κάποια δεσμὰ καὶ ἔδειξε τόσην ὑπακοήν, ὥστε νὰ μὴ ἐγγίσῃ οὔτε

θαι αὐτῶν. Ὅθεν ἐστὶ συνιδεῖν, ὅτι ὑπὲρ ἀνθρωπίνην φύσιν ἐστὶ τὸ γεγονός, καὶ ἀπόρρητός τις καὶ θεία δύναμίς ἐστιν ἡ ταῦτα ἐργαζομένη, καὶ τῶν παίδων τούτων τοσαύτην ποιουμένη τὴν πρόνοιαν.

Εἶδες Θεοῦ φιλανθρωπίαν, ὅπως οὐκ ἐγκαταλιμπάνων τοὺς ἰδίους θεράποντας συνεχώρησεν εἰς τὴν κάμινον εἰσενεχθῆναι, ἀλλὰ καὶ αὐτοὺς βουλόμενος λαμπροτέρους ἐργάσασθαι, καὶ τὴν οἰκείαν δύναμιν ἐνδεικνύμενος; Καὶ τοῦ βαρβάρου κατεμάλαξε τὴν διάνοιαν, καὶ τὴν τοσαύτην μακροθυμίαν ἐπεδείξατο; Οὐδὲ γὰρ οὕτω θαυμαστὸν ἦν, εἰ παρὰ τὴν ἀρχὴν ἐκώλυσεν αὐτοὺς εἰς τὴν κάμινον ἐμβληθῆναι, ὡς νῦν θαυμαστότερον γέγονε, καὶ πολὺ τὸ παράδοξον, ὅτι καὶ ἐν μέσῳ τῷ πυρὶ τυγχάνοντας οὐδὲν ἀηδὲς παθεῖν συνεχώρησεν. Ὅταν γὰρ αὐτὸς βούληται, καὶ τοὺς ἐν μέσοις δεινοῖς γεγενημένους ἀνωτέρους καθίστησι, καὶ τοὺς πάσχοντας τῶν ποιούντων δυνατωτέρους ἀπεργάζεται. Τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων ἐγένετο. Οἳ ἔχοντες γὰρ αὐτοὺς ἀπειλημμένους ἐν τῷ μέσῳ, καὶ μονονουχὶ τοὺς ὀδόντας θήγοντες κατ' αὐτῶν, πρὸς ἀλλήλους ἔλεγον· «Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;»· ὑποχειρίους αὐτοὺς ἔχοντες, ἐν ἀπορίᾳ καθειστήκεισαν. Τοσοῦτόν ἐστιν ἡ ἀρετὴ ἰσχυρόν, καὶ οὕτως ἡ κακία ἀσθενές, ὡς ἐκείνην μὲν καὶ ἐν τῷ πάσχειν περιγίνεσθαι, ταύτην δὲ καὶ ἐν τῷ ποιεῖν τὴν οἰκείαν ἀσθένειαν ἐπιδείκνυσθαι.

Ὅπερ εἰδότες, ἀγαπητοί, πολὺν τῆς ἀρετῆς ποιώμεθα λόγον, καὶ φεύγωμεν τὴν κακίαν. Οὕτω γὰρ καὶ τὴν ἄνωθεν ἐπισπασόμεθα ῥοπήν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

6. Πράξ. 4, 16.

τὰς τρίχας τῆς κεφαλῆς των. Ὡς ἐκ τούτου ἠμποροῦμεν νὰ ἰδοῦμεν, ὅτι αὐτό, τὸ ὁποῖον ἔγινεν, εἶναι ἀνώτερον τῆς ἀνθρωπίνης φύσεως καὶ ὅτι κάποια μυστικὴ καὶ θεία δύναμις εἶναι αὐτή, ἡ ὁποία πραγματοποιεῖ αὐτὰ καὶ ἡ ὁποία φροντίζει τόσον πολὺ διὰ τὰ παιδιὰ αὐτά.

Εἶδες τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ὅτι ἐπέτρεψε νὰ ριφθοῦν εἰς τὴν κάμινον οἱ δοῦλοι του, ὄχι ἐπειδὴ τοὺς ἐγκατέλειψεν, ἀλλ' ἐπειδὴ ἤθελε καὶ αὐτοὺς νὰ καταστήσῃ ἐνδοξοτέρους καὶ τὴν ἰδικήν του δύναμιν νὰ φανερώσῃ; Καὶ ἔτσι ἐμαλάκωσε τὴν καρδιά τοῦ βαρβάρου καὶ ἐπέδειξε τὴν τόσην μακροθυμίαν του; Διότι δὲν θὰ ἦτο τόσον θαυμαστόν, ἐὰν ἠμπόδιζεν αὐτοὺς ἀπὸ τὴν ἀρχὴν νὰ ριφθοῦν εἰς τὴν κάμινον, ὅπως ἔγινε τώρα θαυμαστότερον καὶ πολὺ παράδοξον, ἀφοῦ δὲν ἐπέτρεψε νὰ πάθουν τίποτε τὸ δυσάρεστον, ἂν καὶ εὑρίσκοντο εἰς τὸ μέσον τοῦ πυρός. Πράγματι ὅταν αὐτὸς θέλῃ, καὶ αὐτοὺς ποὺ εὑρίσκονται ἐν μέσῳ συμφορῶν, τοὺς καθιστᾷ ἀνωτέρους καὶ αὐτοὺς οἱ ὁποῖοι ὑποφέρουν τοὺς κάνει ἰσχυροτέρους ἀπ' αὐτούς, οἱ ὁποῖοι τοὺς βασανίζουν. Τὸ ἴδιο συνέβη καὶ εἰς τοὺς ἀποστόλους. Διότι αὐτοὶ οἱ ὁποῖοι τοὺς εἶχον συλλάβει καὶ σχεδὸν ἔτριζον τὰ δόντια των ἐναντίον αὐτῶν ἔλεγον μεταξύ των· «Τί νὰ κάνωμεν εἰς τοὺς ἀνθρώπους αὐτούς;»[6]. Ἂν καὶ εἶχον αὐτοὺς εἰς τὰ χέρια των, ὅμως εὑρίσκοντο εἰς ἀμηχανίαν. Τόσον ἰσχυρὸν πρᾶγμα εἶναι ἡ ἀρετὴ καὶ τόσον ἀδύνατος ἡ κακία, ὥστε ἐκείνη μὲν νὰ ὑπερισχύῃ καὶ ὅταν ὑποφέρῃ, ἐνῷ αὐτὴ νὰ φανερώνῃ τὴν ἀδυναμίαν της καὶ ὅταν βασανίζῃ.

Ἔχοντες ὑπ' ὄψιν αὐτό, ἀγαπητοί, ἂς φροντίζωμεν πολὺ διὰ τὴν ἀρετὴν καὶ ἂς ἀποφεύγωμεν τὴν κακίαν. Καθ' ὅσον μὲ αὐτὸν τὸν τρόπον θὰ κερδήσωμεν τὴν ἄνωθεν βοήθειαν καὶ θὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΒ´
(Γεν. 26, 12 - 33)

«Ἔσπειρε δὲ Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἑκατοστεύουσαν κριθὴν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ».

1. Τὰ λείψανα τῶν χθὲς εἰρημένων ἀναγκαῖον ἀποδοῦναι σήμερον τῇ ὑμετέρᾳ ἀγάπῃ, καὶ τοῦ λόγου τὴν ἀκολουθίαν ἀναλαβόντας ἰδεῖν πάλιν τὸν δίκαιον Ἰσαάκ, ὅσης ἀπολαύει τῆς ἄνωθεν κηδεμονίας. Ὁ γὰρ τὴν εἰς Αἴγυπτον κάθοδον αὐτοῦ διακωλύσας, καὶ εἰπών, «Παροίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ», οὕτως αὐτὸν διὰ πάντων περιφανῆ καθίστησιν, ὡς μετ' οὐ πολὺ ἐπίφθονον αὐτὸν γενέσθαι παρὰ τῷ βασιλεῖ Γεράρων. Ὁρῶντες γὰρ αὐτοῦ καθ' ἑκάστην ἡμέραν αὐξανομένην τὴν εὐπορίαν, ἐδεδοίκεισαν λοιπὸν τοῦ ἀνδρὸς τὴν αὐτόθι κατοίκησιν, καὶ μεταναστῆναι ἐκεῖθεν καταναγκάζουσιν. Ἄξιον δὲ καὶ αὐτῶν ἀκοῦσαι τῶν ῥημάτων τῆς θείας Γραφῆς, ἵνα διὰ πάντων θεασώμεθα τοῦ Θεοῦ τὴν εὔνοιαν, ἣν περὶ τοὺς αὐτοῦ οἰκέτας ἐπιδείκνυται. «Ἔσπειρε δέ», φησίν, «Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἑκατοστεύουσαν κριθὴν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ». Σκόπει μοι τοῦ Θεοῦ τὴν σοφίαν· ἵνα δείξῃ τῷ δικαίῳ, ὅτι δημιουργὸς ὢν τῆς φύσεως, καὶ ἐξ ἀπόρων πόρον παρασχεῖν δύναται, καὶ ὅτι καὶ ἐξ ἀρχῆς αὐτὸς τὴν γῆν τῷ οἰκείῳ προστάγματι διήγειρε πρὸς τὴν τῶν καρπῶν βλάστην, παρασκευάσας τὸν δίκαιον ἑκατονταπλασίονα τῶν ὑπ' αὐτοῦ σπαρέντων ἐπὶ τῆς γῆς κομίσασθαι τὰ δράγματα, ὁμοῦ καὶ αὐτὸν ἐν πλείονι καθιστὰς εὐπορίᾳ, τῷ μηδενὸς ἐν χρείᾳ γενέσθαι, κἀ-

ΟΜΙΛΙΑ ΝΒ΄
(Γεν. 26, 12 - 33)

«Ἔσπειρεν ὁ Ἰσαὰκ εἰς τὴν χώραν ἐκείνην καὶ ἐσύναξε κατ' ἐκεῖνον τὸν χρόνον ἑκατονταπλασίαν κριθήν».

1. Εἶναι ἀνάγκη νὰ προσφέρωμεν σήμερον εἰς τὴν ἀγάπην σας τὰ ὑπόλοιπα τῶν λόγων ποὺ εἴπομεν χθὲς καί, ἀφοῦ συνεχίσωμεν, νὰ ἰδοῦμεν πάλιν τὸν Ἰσαάκ, πόσης οὐρανίου φροντίδος ἀπολαμβάνει. Καθ' ὅσον αὐτὸς ποὺ τὸν ἠμπόδισε νὰ μεταβῇ εἰς τὴν Αἴγυπτον καὶ τοῦ εἶπε, «Νὰ μείνῃς προσωρινὰ εἰς τὴν χώραν αὐτὴν καὶ ἐγὼ θὰ εἶμαι μαζί σου», αὐτὸς τὸν καθιστᾷ μὲ ὅλα τόσον ἔνδοξον, ὥστε μετὰ ἀπ' ὀλίγον αὐτὸς νὰ φθονῆται ἀπὸ τὸν βασιλέα τῶν Γεράρων. Διότι, ἐπειδὴ ἔβλεπον, ὅτι κάθε ἡμέραν ηὔξανεν ὁ πλοῦτος του, ἐφοβήθησαν τὴν ἐκεῖ παραμονήν του καὶ ἀναγκάζουν αὐτὸν νὰ φύγῃ ἀπὸ ἐκεῖ. Ἀξίζει ὅμως νὰ ἀκούσωμεν τοὺς ἰδίους τοὺς λόγους τῆς ἁγίας Γραφῆς, διὰ νὰ ἰδοῦμεν μὲ ὅλα τὴν ἀγάπην ποὺ δείχνει ὁ Θεὸς εἰς τοὺς δούλους του. «Καὶ ἔσπειρεν ὁ Ἰσαάκ», λέγει, «εἰς τὴν χώραν ἐκείνην καὶ ἐσύναξε κατ' ἐκεῖνον τὸν χρόνον ἑκατονταπλασίαν κριθήν». Πρόσεχε, σὲ παρακαλῶ, τὴν σοφίαν τοῦ Θεοῦ. Διὰ νὰ δείξῃ εἰς τὸν δίκαιον, ὅτι εἶναι δημιουργὸς τῆς φύσεως καὶ ὅτι ἠμπορεῖ νὰ δώσῃ λύσιν εἰς τὸ ἀδιέξοδον καὶ ὅτι αὐτὸς ἀπὸ τὴν ἀρχὴν διέταξε τὴν γῆν μὲ τὸ ἰδικόν του πρόσταγμα νὰ καρποφορήσῃ, αὐτὸς ἔκαμε τὸν δίκαιον νὰ ἀποκομίσῃ ἑκατονταπλάσια ἀπ' ὅσα ἔσπειρεν ἐπάνω εἰς τὴν γῆν. Συγχρόνως κατέστησεν αὐτὸν τόσον εὔπορον, ὥστε νὰ μὴ ἔχῃ τὴν ἀνάγκην κανενὸς καὶ ἐκείνους ἐδίδασκε μὲ

κείνους διὰ τῶν ἔργων διδάσκων, ὅσης ὁ δίκαιος ἀπολαύει τῆς ἄνωθεν ῥοπῆς. Εὐμήχανος γὰρ ὢν καὶ σοφός, διὰ τῶν αὐτῶν πολλάκις πραγμάτων καὶ τοὺς οἰκείους εὐεργετεῖ, καὶ τοὺς ἔτι πεπλανημένους διδάσκεσθαι παρασκευάζει τῆς οἰκείας προνοίας τὴν δύναμιν.

Τοῦτο καὶ μετὰ ταῦτα κατὰ τὴν Αἴγυπτον εἰργάσατο, ἐκείνοις μὲν τὰς τιμωρίας ἐπαγαγών, τὸν δὲ λαὸν τῶν Ἰσραηλιτῶν ἀπαθῆ διαφυλάττων. Ἐμάνθανον γὰρ οὐ μόνον διὰ τῆς κατ' αὐτῶν ἀγανακτήσεως τοῦ τῶν ὅλων Θεοῦ καὶ δημιουργοῦ τὴν δύναμιν, ἀλλὰ καὶ διὰ τῆς προνοίας τῆς εἰς ἐκείνους. Καὶ οὗτοι πάλιν οὐκ ἐκ τῆς εἰς αὐτοὺς προνοίας καὶ κηδεμονίας μόνον ἐδιδάσκοντο τοῦ Θεοῦ τὴν ὑπερβάλλουσαν περὶ αὐτοὺς φιλανθρωπίαν, ἀλλὰ καὶ δι' ὧν ἐκείνους ἑώρων καθ' ἑκάστην ἡμέραν τὰς πληγὰς δεχομένους. Καὶ διὰ τῶν αὐτῶν πραγμάτων καὶ τοῖς οἰκείοις καὶ τοῖς ἐναντίοις ἐδείκνυ τῆς οἰκείας δυνάμεως τὴν ὑπερβολήν. Καὶ γὰρ αὐτὰ τὰ στοιχεῖα τὴν παρ' ἑαυτῶν διακονίαν καὶ τὴν ὑπακοὴν ἐπιδείκνυται τοῖς ὁμοδούλοις, ὅταν ὁ Δεσπότης εὐνοϊκῶς πρὸς αὐτοὺς διακέηται. Καὶ τοῦτο ἂν τις θεάσοιτο γεγονὸς ἐπὶ τοῦ δικαίου τούτου. Ὅπερ ἄλλοτε ἡ φύσις τῆς γῆς οὐκ ἐπεδείξατο, τοῦτο διὰ τὸ πρόσταγμα τοῦ τῶν ὅλων Θεοῦ νῦν ἐπιδείκνυται, καὶ τοσαύτην ἤνεγκε τὴν φοράν, ὡς ἀθρόον ἐν περιουσίᾳ πολλῇ καταστῆναι τὸν Ἰσαάκ. «Εὐλόγησε γὰρ αὐτὸν ὁ Θεός, καὶ ὑψώθη ἄνθρωπος, καὶ προβαίνων μείζων ἐγίνετο, ἕως οὗ μέγας ἐγένετο σφόδρα.

Ἐπειδὴ γὰρ τότε ἐν τούτοις ἦν τὰ τῆς εὐπορίας τοῖς δικαίοις, ἐν τῇ τῆς γῆς εὐπορίᾳ καὶ ἐν τῷ τῶν θρεμμάτων πλήθει, διὰ τοῦτό φησιν, «Εὐλόγησεν ὁ Θεός, καὶ ὑψώθη ὁ ἄνθρωπος», ἀντὶ τοῦ, 'εὔπορος ἐγένετο'. Καὶ οὐχ ἁπλῶς εὔπορος, ἀλλὰ καὶ «Μείζων», φησίν, «ἐγίνετο, ἕως οὗ μέγας ἐγένετο σφόδρα». Ἐννόησον γὰρ ὅσον ἦν, ἑκατονταπλασίονα τῶν

τὰ ἔργα, πόσην οὐράνιον βοήθειαν ἀπολαμβάνει ὁ δίκαιος. Ἐπειδὴ εἶναι ἐφευρετικὸς καὶ σοφός, μὲ τὰ ἴδια πράγματα πολλὲς φορὲς καὶ τοὺς ἰδικούς του εὐεργετεῖ καὶ αὐτούς, ποὺ εὑρίσκονται ἀκόμη εἰς τὴν πλάνην, τοὺς προετοιμάζει νὰ διδαχθοῦν τὴν δύναμιν τῆς ἰδικῆς του προνοίας.

Αὐτὸ ἔκαμε καὶ μετὰ ἀπὸ αὐτὰ εἰς τὴν Αἴγυπτον, ἀφοῦ τοὺς μὲν Αἰγυπτίους ἐτιμώρησε, τὸν δὲ Ἰσραηλιτικὸν λαὸν διεφύλαξε χωρὶς νὰ πάθῃ τίποτε. Καθ' ὅσον ἐδιδάσκοντο τὴν δύναμιν τοῦ Θεοῦ καὶ δημιουργοῦ τῶν πάντων ὄχι μόνον μὲ τὴν ἐναντίον των ὀργήν του, ἀλλὰ καὶ μὲ τὴν φροντίδα του διὰ τοὺς Ἰσραηλίτας. Καὶ οἱ Ἰσραηλῖται πάλιν ἐδιδάσκοντο τὴν ὑπερβολικὴν δι' αὐτοὺς φιλανθρωπίαν τοῦ Θεοῦ ὄχι μόνον ἀπὸ τὴν πρόνοιαν καὶ τὴν φροντίδα του δι' αὐτούς, ἀλλὰ καὶ μὲ ἐκεῖνα ποὺ ἔβλεπον ἐκείνους νὰ δέχωνται καθημερινῶς τὰς πληγάς. Καὶ μὲ τὰ ἴδια πράγματα ἐφανέρωνε τὸ ὑπερβολικὸν μέγεθος τῆς δυνάμεώς του καὶ εἰς τοὺς ἰδικούς του καὶ εἰς τοὺς ἐχθρούς του. Διότι καὶ αὐτὰ τὰ στοιχεῖα τῆς φύσεως παρέχουν τὴν ἰδικήν των ὑπηρεσίαν καὶ ὑπακούουν εἰς τοὺς ἀνθρώπους, ὅταν ὁ Θεὸς διάκειται πρὸς αὐτοὺς εὐνοϊκῶς. Καὶ αὐτὸ θὰ ἠμποροῦσε νὰ ἰδῇ κανεὶς νὰ γίνεται εἰς τὸν δίκαιον Ἰσαάκ. Αὐτὸ τὸ ὁποῖον δὲν ἀπέδωσεν ἄλλοτε ἡ γῆ, αὐτὸ ἀποδίδει τώρα μὲ τὸ πρόσταγμα τοῦ Θεοῦ καὶ ἔφερε τόσην ἀφθονίαν, ὥστε ὁ Ἰσαὰκ νὰ εὑρεθῇ αἰφνιδίως μὲ μεγάλην περιουσίαν. «Διότι εὐλόγησεν αὐτὸν ὁ Θεὸς καὶ ἔγινε πλούσιος. Καὶ ὅσον ἐπερνοῦσεν ὁ καιρός, τόσον ἐγίνετο πλουσιώτερος, ἕως ὅτου ἔγινε πάρα πολὺ μεγάλος».

Ἐπειδὴ δηλαδὴ ὁ πλοῦτος τῶν εὐσεβῶν συνίστατο εἰς τοῦτο, εἰς τὸν πλοῦτον δηλαδὴ τῆς γῆς καὶ εἰς τὸ πλῆθος τῶν ζώων, διὰ τοῦτο, λέγει, «Εὐλόγησεν αὐτὸν ὁ Θεὸς καὶ ἐδοξάσθη», ἀντὶ νὰ εἰπῇ 'ἔγινε πλούσιος'. Καὶ ὄχι ἁπλῶς πλούσιος, ἀλλὰ καὶ «Πολὺ πλούσιος», λέγει, «ἕως ὅτου ἔγινε πάρα πολὺ μεγάλος». Σκέψου λοιπὸν πόσον σπουδαῖον ἦτο τὸ νὰ πάρῃ ἑκατονταπλάσια, ἀπ' ὅσα ὁ ἴδιος ἔσπειρεν. Ἐὰν δὲ αὐτὸ σοῦ φαίνεται μεγάλο, σκέ-

παρ' αὐτοῦ καταβαλλομένων ὑποδέχεσθαι. Εἰ δὲ τοῦτό σοι μέγα φαίνεται, σκόπει τὴν ἐπίτασιν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἣν τοῦ χρόνου προϊόντος περὶ ἡμᾶς ἐπεδείξατο. Τοῖς γὰρ μετὰ τὴν αὐτοῦ παρουσίαν τὴν ἀρετὴν μετιοῦσιν οὐ μόνον ἑκατονταπλασίονα ἐνταῦθα παρέχειν ὑπισχνεῖται, ἀλλὰ καὶ τὴν αἰώνιον ζωὴν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν εἰς ἀπόλαυσιν. Εἶδες φιλοτιμίαν Δεσπότου; Εἶδες ἐπίτασιν εὐεργεσίας; εἶδες πόσον ἡμῖν κεχάρισται ἡ τοῦ μονογενοῦς παρουσία; ὅπως ἀφάτων τῶν πραγμάτων τὴν ἐναλλαγὴν εἰργάσατο; Ταῦτα τοίνυν ἕκαστος καθ' ἑαυτὸν λογιζόμενος, καὶ ὁρῶν τὴν διαφοράν, καὶ τίνα μὲν ἦν, ἃ τοῖς πρὸ τῆς χάριτος παρέχειν ὑπισχνεῖται, τίνα δὲ μετὰ τὴν χάριν, δοξαζέτω κἂν τούτῳ τὴν ἄπειρον αὐτοῦ φιλανθρωπίαν, καὶ μὴ τῇ τῶν καιρῶν ἐναλλαγῇ τὸ πᾶν ἐπιγραφέτω.

'Αλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανελθεῖν δίκαιον, καὶ ἰδεῖν, ὅπως οἱ ἐν Γεράροις ὁρῶντες τοῦ δικαίου τὴν πολλὴν εὐπορίαν, εἰς ζῆλον διηγέρθησαν, καὶ ἀπελαύνειν αὐτὸν ἐκεῖθεν ἐπεχείρουν. «'Εζήλωσαν γάρ», φησίν, «αὐτὸν οἱ Φυλιστιείμ». Εἶτα δεῖξαι βουλομένη ἡ θεία Γραφή, ἐν τίνι τὸν ζῆλον ἐπεδείκνυντο, ἐπήγαγε. «Καὶ πάντα ἃ ὤρυξαν φρέατα οἱ παῖδες ἐν τῷ χρόνῳ τοῦ πατρὸς αὐτοῦ, ἐνέφραξαν αὐτά, καὶ ἐνέπλησαν γῆς». Σκόπει πόση τῶν αὐτόθι ἡ κακία, ὡς καὶ τῶν ὑδάτων φθονῆσαι τῷ δικαίῳ, καὶ οὐδὲ ὁ βασιλεὺς ὁ ἐν τοσαύτῃ περιουσίᾳ καθεστὼς κατασχεῖν τὸν φθόνον ἴσχυσεν, ἀλλά φησιν· «"Απελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα». Πολλὴ ἡ ἀγνωμοσύνη. Τίνος γὰρ ἕνεκεν ἀπελαύνεις τὸν δίκαιον; μὴ γὰρ ἐλυμήνατό τις τοῖς σοῖς; μὴ γὰρ ἠδίκησέ τι; 'Αλλὰ τοιοῦτον ὁ φθόνος· οὐδὲν μετὰ λογισμοῦ διαπράττεται. Δέον γὰρ αὐτὸν θεασάμενον τοσαύτης εὐνοίας ἀπολαύοντα τὸν δίκαιον παρὰ τοῦ τῶν ὅλων Θεοῦ, μᾶλλον περιέπειν, μᾶλλον θεραπεύειν, ἵνα διὰ τῆς εἰς ἐκεῖνον τιμῆς ἐπισπάσηται καὶ αὐτὸς

ψου τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ Θεοῦ, τὴν ὁποίαν ἔδειξεν εἰς ἡμᾶς μὲ τὸ πέρασμα τοῦ χρόνου. Διότι εἰς ἐκείνους ποὺ ἀσκοῦν τὴν ἀρετὴν μετὰ τὴν ἐδῶ παρουσίαν τοῦ Χριστοῦ, δὲν ὑπόσχεται μόνον ὅτι θὰ τοὺς προσφέρῃ ἑκατονταπλάσια ἐδῶ, ἀλλὰ καὶ τὴν αἰώνιον ζωὴν καὶ τὴν ἀπόλαυσιν τῆς βασιλείας τῶν οὐρανῶν. Εἶδες τὴν γενναιοδωρίαν τοῦ Κυρίου; Εἶδες τὸ μέγεθος τῆς εὐεργεσίας; Εἶδες, πόσα μᾶς ἐχάρισεν ἡ παρουσία τοῦ Χριστοῦ; Πῶς μετέβαλε τὰ ἀνέκφραστα πράγματα; Αὐτὰ λοιπόν, ἀφοῦ σκεφθῇ ὁ καθεὶς καὶ ἰδῇ τὴν διαφοράν, ποῖα δηλαδὴ ἦσαν ἐκεῖνα ποὺ ὑπεσχέθη νὰ δώσῃ πρὶν ἀπὸ τὴν χάριν καὶ ποῖα μετὰ τὴν χάριν, ἂς δοξάζῃ καὶ δι' αὐτὸ τὴν ἄπειρον φιλανθρωπίαν του καὶ νὰ μὴ ἀποδίδῃ τὸ κάθε τι εἰς τὴν μεταβολὴν τῶν περιστάσεων.

Εἶναι ὅμως σωστὸν νὰ ἐπανέλθωμεν εἰς τὴν συνέχειαν τῆς ὁμιλίας καὶ νὰ ἰδοῦμεν, πῶς οἱ κάτοικοι τῶν Γεράρων, ὅταν εἶδον τὸν μεγάλον πλοῦτον τοῦ δικαίου ἐφθόνησαν αὐτὸν καὶ προσεπάθουν νὰ τὸν ἐκδιώξουν ἀπὸ ἐκεῖ. Διότι λέγει «Ἐφθόνησαν δὲ αὐτὸν οἱ Φιλισταῖοι». Ἔπειτα θέλουσα ἡ ἁγία Γραφὴ νὰ δείξῃ, πῶς ἔδειχναν τὸν φθόνον των, ἐπρόσθεσε· «Καὶ ὅλα τὰ φρέατα ποὺ εἶχον ἀνοίξει οἱ ὑπηρέται κατὰ τὴν ἐποχὴν τοῦ πατρός του Ἀβραάμ, τὰ ἔφραξαν καὶ τὰ ἐγέμισαν μὲ χῶμα». Σκέψου πόση ἦτο ἡ κακία τῶν κατοίκων ἐκείνης τῆς περιοχῆς, ὥστε νὰ φθονήσουν καὶ τὰ νερὰ τοῦ δικαίου καὶ οὔτε ὁ βασιλεὺς ποὺ εἶχε τόσην ἐξουσίαν ἠμπόρεσε νὰ συγκρατήσῃ τὸν φθόνον, ἀλλ' εἶπε «Φύγε ἀπὸ ἡμᾶς, διότι ἔγινες πολὺ ἀνώτερός μας». Μεγάλη εἶναι ἡ ἀχαριστία. Διὰ ποῖον λόγον διώκεις τὸν δίκαιον; Μήπως δηλαδὴ ἔβλαψε κάτι ἀπὸ τὰ ἰδικά σου; Ἀλλὰ τέτοιο πρᾶγμα εἶναι ὁ φθόνος. Δὲν κάνει τίποτε μὲ λογικήν. Καθ' ὅσον θὰ ἔπρεπεν, ὅταν ὁ βασιλεὺς εἶδεν, ὅτι ὁ δίκαιος ἀπολαμβάνει τόσην ἀγάπην ἀπὸ τὸν Θεὸν τῶν πάντων, νὰ τὸν περιποιῆται περισσότερον, νὰ τὸν φροντίζῃ περισσότερον, ὥστε μὲ τὴν πρὸς ἐκεῖνον τιμὴν νὰ κερδήσῃ καὶ αὐτὸς τὴν οὐράνιον βοήθειαν, αὐτὸς ὅμως ὄχι μόνον δὲν κά-

τὴν ἄνωθεν ῥοπήν, ὁ δὲ οὐ μόνον τοῦτο οὐ ποιεῖ, ἀλλὰ καὶ ἀπελαύνειν ἐπιχειρεῖ, καί φησι· «Ἄπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα». Τοιοῦτον γὰρ ἡ βασκανία· οὐκ ἀνέχεται πράως τὴν ἑτέρων εὐπραγίαν, ἀλλὰ τὴν τοῦ πλησίον εὐημερίαν οἰκείαν δυσπραγίαν εἶναι νομίζει, καὶ τήκεται τοῖς τοῦ πλησίον ἀγαθοῖς, ὃ δὴ καὶ ἐνταῦθα γέγονεν.

Ὁ γὰρ βασιλεύς, ὁ τῆς πόλεως ἁπάσης τὴν ἐξουσίαν ἔχων, καὶ πάντας ὑπὸ τὴν ἀπειλὴν τὴν ἑαυτοῦ ἔχων, τῷ ξένῳ, τῷ ἀλήτῃ, καὶ ἐντεῦθεν ἐκεῖ, κἀκεῖθεν ὧδε μετανισταμένῳ φησίν· «Ἄπελθε ἀπ' ἐμοῦ, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα». Καὶ ἀληθῶς δυνατώτερος ἦν, τὴν ἄνωθεν συμμαχίαν ἔχων ἐν ἅπασι, καὶ ὑπὸ τῆς τοῦ Θεοῦ δεξιᾶς φρουρούμενος. Ποῦ τοίνυν ἀπελαύνεις τὸν δίκαιον; οὐκ οἶσθα ὅτι, ὅπου ἂν αὐτὸν ἀπελθεῖν συμβαίνῃ, ἐν τοῖς τοῦ Δεσπότου τοῦ ἑαυτοῦ εἶναι αὐτὸν ἀνάγκη; οὐκ ἐπαίδευσέ σε τῶν πραγμάτων ἡ πεῖρα, ὅτι ἡ τοῦ Θεοῦ χείρ ἐστιν, ἡ περιφανῆ τὸν δίκαιον καθιστῶσα; Τίνος οὖν ἕνεκεν δι' ὧν τὸν δίκαιον ἀπελαύνεις, τὴν πρὸς τὸν αὐτοῦ Δεσπότην ἀγνωμοσύνην ἐπιδείκνυσαι, καὶ οὐδὲ ἡ πολλὴ τοῦ ἀνδρὸς ἐπιείκεια περιγενέσθαι ἠδυνήθη τῆς βασκανίας τῆς σῆς, ἀλλ' ἡττηθεὶς ὑπὸ τοῦ πάθους εἰς ἔργον ἀγαγεῖν σπεύδεις τὸν φθόνον, καὶ πάλιν μετανάστην γενέσθαι παρασκευάζεις τὸν οὐδέν σε ἠδικηκότα; Οὐκ οἶδας ὅτι κἂν εἰς αὐτὴν τὴν ἔρημον ἀπελθεῖν καταναγκάσῃς, οὕτως εὐμήχανον ἔχει Δεσπότην, ὡς κἀκεῖ γενόμενον, πολλῷ πλέον περιφανέστερον αὐτὸν ἀποδεῖξαι; Οὐδὲν γὰρ ἰσχυρότερον τοῦ τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντος, ὥσπερ οὐδὲν ἀσθενέστερον τῆς ἐκεῖθεν βοηθείας ἠρημωμένου.

2. Εἶδες, ἀγαπητέ, καὶ τοῦ βασιλέως Γεράρων καὶ πάντων τῶν αὐτόθι οἰκούντων τῆς γνώμης τὴν μοχθηρίαν; Ὅρα καὶ τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, πῶς οὐκ ἐφρόνησε μέγα, οὐδὲ ὁρῶν διὰ τῶν πραγμάτων πολλὴν τοῦ Θεοῦ τὴν ῥοπὴν περὶ αὐτὸν

νει αὐτό, ἀλλὰ καὶ ἐπιχειρεῖ νὰ τὸν ἐκδιώξῃ καὶ λέγει· «Φύγε ἀπὸ ἡμᾶς, διότι ἔγινες πολὺ ἀνώτερός μας». Τέτοιος λοιπὸν εἶναι ὁ φθόνος. Δὲν ἀνέχεται μὲ πραότητα τὴν εὐτυχίαν τῶν ἄλλων, ἀλλὰ θεωρεῖ τὴν εὐημερίαν τοῦ πλησίον του, ὅτι εἶναι ἰδική του δυστυχία καὶ μαραίνεται διὰ τὰ ἀγαθὰ τοῦ πλησίον, πρᾶγμα ποὺ συνέβη καὶ ἐδῶ.

Καθ' ὅσον ὁ βασιλεύς, ὁ ὁποῖος ἔχει τὴν ἐξουσίαν ὁλοκλήρου τῆς πόλεως καὶ κρατᾷ τοὺς πάντας κάτω ἀπὸ τὴν ἀπειλήν του, λέγει εἰς τὸν ξένον, τὸν περιπλανώμενον, αὐτόν, ὁ ὁποῖος μεταναστεύει ἀπὸ ἐδῶ καὶ ἀπὸ ἐκεῖ. «Φύγε ἀπὸ ἐμένα, διότι ἔγινες πολὺ ἀνώτερός μας». Καὶ εἰς τὴν πραγματικότητα ἦτο ἀνώτερος, ἀφοῦ εἶχεν εἰς κάθε περίπτωσιν τὴν ἄνωθεν βοήθειαν καὶ ἐπροστατεύετο ἀπὸ τὴν δεξιὰν τοῦ Θεοῦ. Ποῦ λοιπὸν διώκεις τὸν δίκαιον; Δὲν γνωρίζεις, ὅτι ὅπου καὶ ἂν συμβῇ νὰ μεταβῇ, εἶναι ἀνάγκη νὰ εὑρίσκεται πλησίον τοῦ Κυρίου; Δὲν σοῦ ἐδίδαξεν ἡ πεῖρα τῶν πραγμάτων, ὅτι τὸ χέρι τοῦ Θεοῦ εἶναι αὐτὸ ποὺ κάμνει τὸν δίκαιον ἔνδοξον; Διὰ ποῖον λόγον λοιπὸν ἀποδεικνύεις τὴν ἀχαριστίαν σου πρὸς τὸν Κύριόν του μὲ τὸ νὰ τὸν ἐκδιώκῃς, καὶ οὔτε ἡ μεγάλη καλωσύνη τοῦ ἀνδρὸς ἠμπόρεσε νὰ ὑπερνικήσῃ τὸν φθόνον σου, ἀλλ', ἀφοῦ ἐνικήθης ἀπὸ τὸ πάθος, σπεύδεις νὰ πραγματοποιήσῃς τὸν φθόνον καὶ ἑτοιμάζεις νὰ κάνῃς πάλιν μετανάστην αὐτόν, ὁ ὁποῖος δὲν σὲ ἠδίκησε καθόλου; Δὲν γνωρίζεις ὅτι, καὶ ἂν ἀκόμη ἀναγκάσῃς αὐτὸν νὰ φύγῃ εἰς τὴν ἔρημον, ἔχει τόσον ἐφευρετικὸν Κύριον, ὥστε, καὶ ἂν ὑπάγῃ ἐκεῖ, θὰ τὸν δοξάσῃ περισσότερον; Διότι δὲν ὑπάρχει τίποτε τὸ ἰσχυρότερον ἀπὸ ἐκεῖνον ποὺ ἀπολαμβάνει τὴν ἄνωθεν βοήθειαν, ὅπως ἀκριβῶς τίποτε δὲν εἶναι περισσότερον ἀνίσχυρον ἀπὸ ἐκεῖνον ποὺ στερεῖται αὐτήν.

2. Εἶδες, ἀγαπητέ, τὸν κακὸν χαρακτῆρα καὶ τοῦ βασιλέως τῶν Γεράρων καὶ ὅλων τῶν κατοίκων τῆς πόλεως αὐτῆς; Πρόσεχε καὶ τὴν μεγάλην καλωσύνην τοῦ δικαίου, πῶς δὲν ὑπερηφανεύθη, οὔτε ἠναντιώθη εἰς τὸν βασιλέα, ἐπειδὴ ἔβλεπεν, ὅτι ἦτο μεγάλη ἐκ τῶν πραγμάτων ἡ βοή-

γινομένην, κατεξανέστη τοῦ βασιλέως, τῇ τοῦ συμμαχοῦντος αὐτῷ δυνάμει πεποιθώς· ἀλλὰ καθάπερ τις ἀνήρ, καὶ ἀπροστάτευτος, καὶ οὐδαμόθεν οὐδεμιᾶς ἀπολαύων βοηθείας, οὕτω μετὰ πολλῆς τῆς ἐπιεικείας, οὐδὲ μέχρι λόγων ἀντιτείνας τῷ βασιλεῖ, ἐποίει τὸ παρ' αὐτοῦ κελευόμενον, καὶ εὐθέως ἐκεῖθεν ἀπανίστατο, καὶ πορρωτέρω γενόμενος, κατέστελλε τοῦ πάθους τὴν φλόγα, ὁμοῦ καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἐπιείκειαν ἐνδεικνύμενος, κἀκείνου τὸ πάθος παραμυθούμενος. «Καὶ ἀπῆλθεν ἐκεῖθεν, καὶ κατῴκησεν ἐν τῇ φάραγγι Γεράρων». Καὶ ὅπερ ὁ Χριστὸς παραγενόμενος τοῖς μαθηταῖς ἐνετέλλετο λέγων, «Ὅταν διώκωσιν ὑμᾶς, φεύγετε ἑτέρωθι», τοῦτο καὶ οὗτος ἤδη διὰ τῶν ἔργων ἐπλήρου.

Καὶ καθάπερ Δαυὶδ τοῦ Σαοὺλ τὸν πολὺν φθόνον καταστέλλων, διὰ τῆς ἀναχωρήσεως ἑαυτὸν ὑπεξάγων, ἐκείνου τὴν πολλὴν παρεμυθεῖτο φλεγμονήν, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος ἐπλήρου τὸ ἀποστολικὸν ἐκεῖνο λόγιον, «Δότε τόπον τῇ ὀργῇ»· καὶ καταλιπὼν τὴν πόλιν ἐξῆλθε, φησίν, ἐν τῇ φάραγγι. Ἀλλ' ὅρα αὐτὸν κἀκεῖ μετὰ πολλῆς τῆς ἐπιεικείας τὴν ἔνστασιν ἐνδεικνύμενον. Οὐδὲ γὰρ μέχρι τούτου ἔστη τὰ δεινά, ἀλλὰ κἀκεῖ γενομένῳ καὶ τὰ φρέατα ἀνορύξαι βουλομένῳ μάχεσθαι ἐπεχείρουν. «Ὤρυξε γάρ», φησί, «τὰ φρέατα, ἅπερ ἦσαν οἱ παῖδες τοῦ πατρὸς αὐτοῦ πεποιηκότες, καὶ ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιείμ, καὶ ἐπέθηκεν αὐτοῖς τὰ ὀνόματα, ἅπερ ἦν ὁ πατὴρ ἐπιθείς. «Καὶ ὤρυξαν», φησίν, «οἱ παῖδες Ἰσαάκ, καὶ εὗρον φρέαρ ὕδατος ζῶντος», ἀντὶ τοῦ, 'κάτωθεν ἀναβλύζοντος'. «Καὶ ἐμαχέσαντο οἱ ποιμένες Γεράρων, φάσκοντες αὐτῶν εἶναι τὸ ὕδωρ». Καὶ οὐδὲ ἐνταῦθα φιλονεικεῖ ὁ δίκαιος, οὐδὲ ἀντιτείνει, ἀλλὰ καὶ τοῖς ποιμέσι παραχωρεῖ.

Τοῦτο γὰρ ἀληθῶς ἐπιείκεια, οὐχ ὅταν τις παρὰ τῶν ἐν δυναστείᾳ ἀδικούμενος φέρῃ πρᾴως, ἀλλ' ὅ-

---

1. Ματθ. 10, 23.
2. Ρωμ. 12, 19.

θεια τοῦ Θεοῦ πρὸς αὐτὸν καὶ ὅτι εἶχεν ἐμπιστοσύνην εἰς τὴν δύναμιν αὐτοῦ ποὺ τὸν ἐβοήθει. Ἀλλ᾿ ὅπως ἀκριβῶς κάποιος ἄνδρας ἀπροστάτευτος καὶ ὁ ὁποῖος δὲν εἶχε καμμίαν βοήθειαν ἀπὸ πουθενά, ἔτσι μὲ μεγάλην καλωσύνην, καὶ μὴ προβάλλων οὔτε μὲ λόγους καμμίαν ἀντίρρησιν εἰς τὸν βασιλέα, ἔκαμεν ἐκεῖνο, τὸ ὁποῖον διέτασσεν αὐτός, καὶ ἀμέσως ἔφευγεν ἀπὸ ἐκεῖ καί, ἀφοῦ ἔφευγε μακριά, κατέστελλε τὴν φλόγα τοῦ πάθους, ἀποδεικνύων συγχρόνως καὶ τὴν ὑπερβολικήν του καλωσύνην καὶ καταπραΰνων τὸ πάθος ἐκείνου. «Καὶ ἔφυγεν ἀπὸ ἐκεῖ ὁ Ἰσαὰκ καὶ ἐγκατεστάθη εἰς τὴν κοιλάδα τῶν Γεράρων». Καὶ ἐκεῖνο τὸ ὁποῖον ἔδινεν ἐντολὴν ὁ Χριστὸς εἰς τοὺς μαθητάς του καὶ ἔλεγεν, «Ὅταν σᾶς ἐκδιώκουν, νὰ φεύγετε εἰς ἄλλο μέρος»[1], αὐτὸ ἐξεπλήρωνε καὶ αὐτὸς μὲ ἔργα.

Καὶ ὅπως ἀκριβῶς ὁ Δαυὶδ κατέστειλε τὸν μεγάλον φθόνον τοῦ Σαοὺλ μὲ τὴν ἀναχώρησίν του, καὶ κατεπράϋνε τὸν μεγάλον θυμὸν ἐκείνου, κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ὁ δίκαιος αὐτὸς ἐφήρμοζεν ἐκείνην τὴν ἀποστολικὴν ἐντολήν, «Νὰ δώσετε τόπον εἰς τὴν ὀργήν»[2], καὶ ἀφοῦ ἐγκατέλειψε τὴν πόλιν, λέγει, ἐξῆλθεν εἰς τὴν κοιλάδα. Ἀλλὰ πρόσεχε ὅτι καὶ ἐκεῖ αὐτὸς ἀνθίσταται μὲ πολλὴν καλωσύνην. Καθ᾿ ὅσον οὔτε μέχρις ἐδῶ ἐσταμάτησαν τὰ βάσανα, ἀλλὰ καὶ ὅταν ἔφθασεν ἐκεῖ καὶ ἤθελε νὰ ἀνοίξῃ φρέατα, ἐπεχείρουν νὰ τὸν πολεμήσουν. Διότι λέγει, «Ἤνοιξε πάλιν ὁ Ἰσαὰκ τὰ φρέατα, τὰ ὁποῖα εἶχον σκάψει οἱ ὑπηρέται τοῦ πατρός του, ἀλλὰ οἱ Φιλισταῖοι τὰ εἶχον φράξει καὶ ὠνόμασεν αὐτὰ μὲ τὰ ὀνόματα, μὲ τὰ ὁποῖα ὁ πατὴρ του εἶχεν ὀνομάσει αὐτά. Καὶ ἔσκαψαν οἱ δοῦλοι τοῦ Ἰσαὰκ καὶ εὗρον φρέαρ ὕδατος ζῶντος», ἀντὶ νὰ εἰπῇ 'ὕδωρ τὸ ὁποῖον ἀνέβλυζεν ἀπὸ κάτω'. «Ἐλογομάχησαν δὲ οἱ ποιμένες τῶν Γεράρων μὲ τοὺς ποιμένας τοῦ Ἰσαὰκ λέγοντες, ὅτι τὸ ὕδωρ εἶναι ἰδικόν των». Καὶ ὅμως οὔτε ἐδῶ φιλονεικεῖ ὁ Ἰσαάκ, οὔτε προβάλλει ἀντίστασιν, ἀλλὰ ὑποχωρεῖ καὶ εἰς τοὺς ποιμένας.

Πράγματι αὐτὸ εἶναι καλωσύνη, ὄχι ὅταν κάποιος ὑποφέρῃ μὲ πραότητα, ἀδικούμενος ἀπὸ τοὺς δυνάστας

ται καὶ ὑπὸ τῶν νομιζομένων ὑποδεεστέρων εἶναι ἐπηρεαζόμενος παραχωρῇ· ἐνταῦθα μὲν γὰρ τῇ ἐπιεικείᾳ ἄν τις τὸ πᾶν λογίσαιτο τοῦ ἐπηρεαζομένου· ἐκεῖ δὲ ἴσως τι εἴποι, διὰ τὸ μὴ δύνασθαι ἀντιτείνειν τῇ δυναστείᾳ τοῦ ἠδικηκότος, τὴν ἐπιείκειαν ἐπιδείκνυσθαι. Ἀλλ' ἵνα μάθῃς ὅτι καὶ ἐπὶ τοῦ βασιλέως, οὐ διὰ τὴν ἐκείνου δυναστείαν, ἐπεδείξατο τὴν ἐπιείκειαν, ἀλλὰ διὰ τὸν οἰκεῖον τρόπον, ὅρα αὐτὸν καὶ ἐπὶ τῶν ποιμένων τὸ αὐτὸ ποιοῦντα. Καὶ καθάπερ ἐκεῖνος ἔλεγεν, «Ἄπελθε ἀφ' ἡμῶν», καὶ εὐθέως, καθάπερ ἐπίταγμα δεχόμενος, ὑπανεχώρει, οὕτω καὶ νῦν, τῶν ποιμένων ἐπηρεάζειν ἐπιχειρούντων, καὶ τὸ φρέαρ οἰκειουμένων, παραχωρεῖ. Καὶ ἵνα διηνεκὴς ᾖ τοῖς μετὰ ταῦτα ἡ γνῶσις τῆς ἀδικίας, ὄνομα ἐπιτίθησι τῷ φρέατι ἐκ τοῦ συμβεβηκότος. Ἐπειδὴ γὰρ φανερὰν ἐπεδείξαντο τὴν ἀδικίαν, «Ἐκάλεσε», φησί, «τὸ ὄνομα τοῦ φρέατος, τόπου ἀδικία». Καὶ ἦν λοιπὸν καθάπερ ἐν στήλῃ χαλκῇ τὸ ὄνομα τοῦ τόπου διδασκαλία τοῖς ἑξῆς καὶ τῆς τοῦ δικαίου ἐπιεικείας, καὶ τῆς ἐκείνων ἀγνωμοσύνης. Τὸ γὰρ ὄνομα τοῦ τόπου ἕκαστον παρεσκεύαζε τὴν αἰτίαν τῆς προσηγορίας μανθάνοντα γινώσκειν τοῦ μὲν τὴν ἀρετήν, τῶν δὲ τῆς κακίας τὴν ὑπερβολήν.

Καὶ σκόπει, πῶς καὶ οὗτος ἐπιτείνει τὴν οἰκείαν ἀρετήν, διὰ πάντων ἐπιδεικνὺς ἑαυτοῦ τὴν ἐπιείκειαν, κἀκεῖνοι τῇ ὑπερβολῇ τῆς κακίας λαμπρὸν καὶ ἄκοντες πειρῶνται τὸν δίκαιον ἀποφαίνειν. Οὐδὲ γὰρ ἀρκεσθέντες, πάλιν ἕτερον ὀρύξαντι φρέαρ ἐπιτίθενται. «Ἀπάρας γάρ», φησίν, «ἐκεῖθεν, ὤρυξε φρέαρ ἕτερον· ἐκρίνοντο δὲ καὶ περὶ ἐκείνου, καὶ ἐπωνόμασεν αὐτό, ἐχθρία». Σκόπει πάλιν τοῦ δικαίου τὴν σύνεσιν. Ἐνταῦθα οὐ πάντῃ, ὡς ἔοικε, τὸ φρέαρ ἀφείλοντο, ἀλλὰ διαμαχεσάμενοι, καὶ πρὸς τὸ προφανὲς τῆς ἀδικίας ὁρῶντες ἀπέστησαν. Διὰ τοῦτο ἐχθρίαν

3. Εἰς τὸ κείμενον τῆς ἁγίας Γραφῆς Ἐσὲκ = λογομαχία, διότι οἱ ποιμένες ἐλογομάχησαν μὲ αὐτόν.
4. Σιτνά = ἔχθρα.

του, ἀλλ' ὅταν ὑποχωρῇ, προσβαλλόμενος ἀπ' αὐτοὺς ποὺ θεωροῦνται, ὅτι εἶναι κατώτεροι. Ἐδῶ λοιπὸν θὰ ἠμποροῦσε κανεὶς νὰ ἀποδώσῃ τὸ πᾶν εἰς τὴν πραότητα ἐκείνου, ὁ ὁποῖος προσβάλλεται. Εἰς τὴν περίπτωσιν δὲ τοῦ Ἰσαὰκ ἴσως νὰ ἔλεγε κανείς, ὅτι δείχνει πραότητα, ἐπειδὴ δὲν ἠμπορεῖ νὰ ἀντιταχθῇ εἰς τὴν δύναμιν ἐκείνου ποὺ τὸν ἠδίκησεν. Ὅμως διὰ νὰ μάθῃς ὅτι καὶ εἰς τὴν περίπτωσιν τοῦ βασιλέως δὲν ἔδειξε πραότητα ἐξ αἰτίας τῆς δυνάμεως ἐκείνου, ἀλλὰ λόγῳ τοῦ χαρακτῆρος του, πρόσεχε ὅτι αὐτὸς κάμνει τὸ ἴδιο καὶ εἰς τὴν περίπτωσιν τῶν ποιμένων. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνος ἔλεγε, «Φύγε ἀπὸ ἡμᾶς», καὶ ἀμέσως ἀπεσύρετο, ὡσὰν νὰ εἶχε λάβει κάποιαν ἐντολήν, κατὰ τὸν ἴδιον τρόπον καὶ τώρα ἀποσύρεται, ὅταν οἱ ποιμένες ἐπιχειροῦν νὰ τὸν πειράξουν καὶ νὰ οἰκειοποιηθοῦν τὸ φρέαρ. Καὶ διὰ νὰ μείνῃ αἰωνίως γνωστὴ ἡ ἀδικία, ὀνομάζει τὸ φρέαρ ἀπ' αὐτό, τὸ ὁποῖον συνέβη. Ἐπειδὴ δηλαδὴ ἔκαμαν φανερὰν ἀδικίαν, «Ὠνόμασε», λέγει, «τὸ φρέαρ Ἀδικία»[3]. Καὶ τὸ ὄνομα τοῦ τόπου ἐκείνου ὑπῆρχεν ὡσὰν εἰς χαλκίνην στήλην, ὡς διδασκαλία εἰς τοὺς μεταγενεστέρους καὶ τῆς πραότητος τοῦ δικαίου καὶ τῆς ἀχαριστίας ἐκείνων. Καθ' ὅσον ἡ ὀνομασία τοῦ τόπου ἔκανε τὸν καθένα ποὺ ἐμάθαινε τὴν αἰτίαν τοῦ ὀνόματος νὰ γνωρίζῃ τοῦ μὲν δικαίου τὴν ἀρετήν, τῶν δὲ ποιμένων τὴν ὑπερβολικὴν κακίαν.

Καὶ πρόσεχε πῶς καὶ αὐτὸς αὐξάνει τὴν ἀρετήν του, φανερώνων μὲ ὅλα τὴν καλωσύνην του, καὶ ἐκεῖνοι προσπαθοῦν μὲ τὴν ὑπερβολικήν των κακίαν νὰ ἀποδείξουν χωρὶς νὰ τὸ θέλουν ἔνδοξον τὸν δίκαιον. Καθ' ὅσον, ἐπειδὴ δὲν ἱκανοποιήθησαν, ἐπιτίθενται πάλιν, ὅταν ἤνοιξεν ἄλλο φρέαρ. Διότι λέγει, «Ἀφοῦ ἔφυγεν ἀπὸ ἐκεῖ, ἤνοιξεν ἄλλο φρέαρ. Ἐλογομάχησαν ὅμως καὶ δι' αὐτὸ καὶ διὰ τοῦτο τὸ ὠνόμασεν Ἔχθρα»[4]. Πρόσεχε πάλιν τὴν σύνεσιν τοῦ δικαίου. Ἐδῶ, ὅπως φαίνεται, δὲν κατέστρεψαν ἐντελῶς τὸ φρέαρ, ἀλλ', ἀφοῦ τὸν ἐπολέμησαν καὶ εἶδον τὸ πρωτοφανὲς τῆς ἀδικίας των, ἔφυγον. Διὰ τοῦτο ὠνόμασεν αὐτό, «Ἔχθραν», ἐπειδὴ ἔγινεν αἰτία

αὐτὸ προσηγόρευσεν, ἐπειδὴ ἔχθρας ὑπόθεσις κατέστη. Καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, ὑπὸ τῶν ἐγχωρίων τοιαῦτα ὑπομένων, οὐκ ἐδυσχέρανεν, οὐδὲ μικρόψυχόν τι ἐπεδείξατο, οὐδὲ ἐνενόησε πρὸς ἑαυτόν, οὐδὲ εἶπεν, ὅτι οὐδὲ μέχρι φρεάτων ἀπολαύειν εἰμὶ κύριος· ἆρα μὴ ἔρημος γέγονα τῆς ἄνωθεν ῥοπῆς; ἆρα μὴ τῆς προνοίας ἐστέρημαι τῆς παρὰ τοῦ Δεσπότου; Οὐδὲν τούτων οὐκ ἐνενόησεν, οὐκ ἐλαγίσατο, ἀλλὰ μετ' ἐπιεικείας ἁπάσης ἅπαντα ἔφερε. Διὰ τοῦτο καὶ πλείονος ἀπήλαυε τῆς ἄνωθεν συμμαχίας. Ταῦτα γάρ, ὡς εἰπεῖν, τὰ συμβαίνοντα γυμνασία τις ἦν τῆς τοῦ δικαίου ἀρετῆς. «'Απάρας γάρ», φησίν, «ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον, καὶ οὐκ ἐμαχέσαντο περὶ αὐτοῦ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, εὐρυχωρία, λέγων, διότι νῦν ἐπλάτυνε Κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς».

3. Ὅρα εὐγνωμοσύνην τοῦ δικαίου. Ἡνίκα μὲν τὰ πρότερα φρέατα ἐκεῖνοι παρασπάσασθαι ἐπεχείρησαν, οὐκ ἐδυσχέρανεν, οὐκ ἀντέτεινεν, ἀλλὰ μόνον τῇ προσηγορίᾳ τῶν φρεάτων ἀνεξάλειπτον τὴν μνήμην τῆς ἐκείνων κακίας ἐναπετίθει. 'Ενταῦθα δὲ πάλιν, ἐπειδὴ οὐδεὶς ἐμποδὼν γέγονεν, ἀλλὰ μετὰ ἀδείας πάσης τῶν οἰκείων πόνων ἀπήλαυε, τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ. 'Εκάλεσε γὰρ αὐτό, «εὐρυχωρίαν». Εἶτα ἑρμηνεύει αὐτὴν τὴν προσηγορίαν· διὰ τοῦτο, φησίν, εὐρυχωρίαν τοῦτο καλῶ, «Ὅτι ἐπλάτυνε Κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς». Εἶδες γνώμην φιλόθεον, πῶς τῶν ἐν μέσῳ δυσχερῶν οὐδεμίαν μνήμην ποιησάμενος, τῶν χρηστῶν μόνον μεμνημένος, ὑπὲρ ἐκείνου τὴν εὐχαριστίαν ἀναφέρει, καί φησιν, «Ὅτι ἐπλάτυνε Κύριος ἡμῖν καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς»; Οὐδὲν γὰρ οὕτως ὁ Θεὸς ἀποδέχεται, ὡς ψυχὴν εὐγνώμονα καὶ εὐχάριστον· καὶ μυρία καθ' ἑκάστην ἡμέραν ἅπαντας ἡμᾶς εὐεργετῶν καὶ ἑκόντας καὶ ἄκοντας, καὶ εἰδότας καὶ ἀγνοοῦντας, οὐδὲν ἕτε-

5. Ρεχωβώθ = εὐρυχωρία.

ἔχθρας. Καὶ ἐνῷ σχεδὸν καθημερινῶς ὑπέφερεν αὐτὰ τὰ πράγματα ἀπὸ τοὺς ἐντοπίους, ὅμως δὲν ἐδυσαναςχέτησεν, οὔτε ἔδειξε κάποιαν μικροψυχίαν, οὔτε ἐσκέφθη, οὔτε εἶπεν, δὲν εἶμαι ἄξιος οὔτε φρέατα νὰ ἀποκτήσω· μήπως ἆρά γε ἔχω στερηθῆ τῆς ἄνωθεν βοηθείας; μήπως ἐστερήθην τῆς φροντίδος τοῦ Κυρίου; Τίποτε ἀπ' αὐτὰ οὔτε ἐσκέφθη, οὔτε ἐσυλλογίσθη, ἀλλὰ ὑπέφερε τὰ πάντα μὲ ὅλην τὴν καλωσύνην του. Διὰ τὸν λόγον αὐτὸν καὶ ἀπελάμβανε μεγαλυτέραν τὴν ἄνωθεν βοήθειαν. Καθ' ὅσον αὐτὰ ποὺ συνέβαινον ἦσαν κατὰ κάποιον τρόπον μία ἐξάσκησις τῆς ἀρετῆς τοῦ δικαίου. Διότι λέγει, «Ἀφοῦ ἀνεχώρησε καὶ ἀπὸ ἐκεῖ, ἤνοιξεν ἄλλο φρέαρ καὶ δὲν ἐλογομάχησαν δι' αὐτό. Καὶ ὠνόμασεν αὐτὸ ὁ Ἰσαὰκ Εὐρυχωρία[5], λέγων· Διότι τώρα ὁ Κύριος μᾶς ἐπλούτισεν εἰς τὴν χώραν αὐτήν».

3. Πρόσεχε τὴν εὐγνωμοσύνην τοῦ δικαίου. Ὅταν μὲν ἐκεῖνοι ἐπεχείρησαν νὰ ἀποσπάσουν διὰ τῆς βίας τὰ προηγούμενα φρέατα, δὲν τοὺς ἠμπόδισε, δὲν προέβαλεν ἀντίστασιν, ἀλλ' ἄφηνε μόνον ἀνεξάλειπτον τὴν μνήμην τῆς κακίας ἐκείνων μὲ τὸ ὄνομα τῶν φρεάτων. Καὶ ἐδῶ πάλιν, ἐπειδὴ κανεὶς δὲν τὸν ἠμπόδιζεν, ἀλλ' ἀπελάμβανε τὰ ἀγαθὰ τῶν κόπων του μὲ κάθε ἐλευθερίαν, ἀποδίδει τὸ κάθε τι εἰς τὸν Θεόν. Διότι ὠνόμασε τὸν τόπον ἐκεῖνον «Εὐρυχωρίαν». Ἔπειτα ἑρμηνεύει αὐτὴν τὴν ὀνομασίαν. Διὰ τοῦτο, λέγει, ὀνομάζω αὐτὸ εὐρυχωρίαν, «Διότι τώρα ὁ Κύριος μᾶς ἐχάρισεν εὐρυχωρίαν καὶ μᾶς ἐπλούτισεν εἰς τὴν χώραν αὐτήν». Εἶδες εὐσεβῆ διάθεσιν, ὅτι δηλαδή, ἐνῷ δὲν ἐνεθυμήθη καθόλου τὰς δυσκολίας, αἱ ὁποῖαι παρενεβλήθησαν, ἐνεθυμήθη μόνον τὰ καλὰ καὶ εὐχαριστεῖ τὸν Θεὸν καὶ λέγει· «Διότι ὁ Κύριος μᾶς ἐχάρισεν εὐρυχωρίαν καὶ μᾶς ἐπλούτισεν εἰς τὴν χώραν αὐτήν». Καθ' ὅσον τίποτε δὲν δέχεται τόσον πολὺ ὁ Θεός, ὅσον τὴν εὐγνώμονα καὶ εὐχαριστημένην ψυχήν. Καὶ ἐνῷ κάθε ἡμέραν εὐεργετεῖ ὅλους ἡμᾶς μὲ ἀναριθμήτους εὐεργεσίας καὶ μὲ τὴν θέλησίν μας καὶ χωρὶς τὴν θέλησίν μας καὶ ἄλλοτε γνωρίζοντες αὐτό, ἄλλοτε δὲ ἀγνοοῦντες αὐτό,

ρον παρ' ἡμῶν ἐπιζητεῖ, ἢ τὸ χάριτας εἰδέναι αὐτῷ ὑπὲρ τῶν εἰς ἡμᾶς γεγενημένων, ἵνα καὶ ὑπὲρ τούτου αὐτοῦ πάλιν πλείονα τὴν ἀμοιβὴν ἡμῖν παράσχῃ.

Καὶ ἵνα μάθῃς, ὅρα τὸν δίκαιον τοῦτον διὰ τὴν πολλὴν αὐτοῦ εὐγνωμοσύνην πάλιν τῆς ἄνωθεν ἐπιφανείας ἀξιούμενον. Ἐπειδὴ γὰρ ἀρκοῦσαν βάσανον τῆς οἰκείας ἀρετῆς ἐπεδείξατο ἐπί τε τῶν ἐν Γεράροις, ἐπί τε τοῦ βασιλέως ἀπωθουμένου αὐτόν, ἐπί τε τῶν ποιμένων παρασπώντων τὰ φρέατα, ὥσπερ νευρῶσαι βουλόμενος αὐτοῦ τὴν προθυμίαν ὁ φιλάνθρωπος Δεσπότης καὶ τῆς ἐπιεικείας αὐτὸν ἀποδεχόμενος τῆς πολλῆς, ἐπειδὴ «Ἀνέβη ἐκεῖθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, ὤφθη αὐτῷ Κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ εἶπε· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου· μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι, καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ τὸν Ἀβραὰμ τὸν πατέρα σου». «Ὤφθη αὐτῷ», φησίν, «ἐν τῇ νυκτὶ ἐκείνῃ». Σκόπει Θεοῦ κηδεμονίαν. Ἵνα γὰρ αὐτὸν ἀνακτήσηται, καὶ θαρρεῖν παρασκευάσῃ, ἐπιφαίνεται αὐτῷ, καί φησιν· «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου», ὁ τὸν πατέρα τὸν σὸν ἐπίδοξον πεποιηκώς, καὶ ἐν τοσαύτῃ περιφανείᾳ καταστήσας, καὶ ξένον ὄντα περιφανέστερον τῶν ἐγχωρίων ἀπεργασάμενος. Ἐγώ εἰμι ἐκεῖνος ὁ ἐκεῖνον οὕτως αὐξηθῆναι παρασκευάσας, καὶ μεγάλην διὰ πάντων τὴν περὶ αὐτὸν πρόνοιαν ἐπιδειξάμενος. Ἐγώ εἰμι· «Μὴ τοίνυν φοβοῦ».

Τί ἐστι, «Μὴ φοβοῦ»; Μή σε ταῦτα ξενιζέτω, τὸ παρὰ τοῦ Ἀβιμέλεχ ἐλαθῆναι, τὸ παρὰ τῶν ποιμένων ἀδικηθῆναι. Πολλὰ τοιαῦτα καὶ ὁ πατὴρ ὁ σὸς πέπονθε, καὶ διὰ τούτων λαμπρότερος ἀνεδείχθη. Μὴ τοίνυν ταῦτά σε φοβείτω. «Μετὰ σοῦ γάρ εἰμι». Διὰ τοῦτο ταῦτα γίνεσθαι συγχωρῶ, ὁμοῦ καὶ σὲ βουλόμενος διὰ τῆς ἐπιεικείας ἐνδείξασθαι τὴν οἰκείαν ἀρετήν, κἀκείνων τῆς γνώμης τὴν μοχθηρίαν κατάδηλον ἅπασι

---

6. Πρόκειται διὰ τὴν πόλιν Βηρ-σαβεέ.

ὅμως δέν ζητεῖ τίποτε ἄλλο ἀπό ἡμᾶς, παρά τό νά εὐγνωμονῶμεν αὐτόν, δι' ὅσα ἔχουν γίνει δι' ἡμᾶς, διά νά μᾶς χαρίσῃ πάλιν διά τόν λόγον αὐτόν μεγαλυτέραν ἀμοιβήν.

Καί διά νά μάθῃς, πρόσεχε ὅτι ὁ δίκαιος αὐτός ἐξ αἰτίας τῆς μεγάλης του εὐγνωμοσύνης ἔγινε πάλιν ἄξιος τῆς ἄνωθεν εὐεργεσίας. Ἐπειδή λοιπόν ἡ ἀρετή του ἐδοκιμάσθη πολύ καί μέ τά ὅσα συνέβησαν εἰς τά Γέραρα καί ὅταν τόν ἐδίωκεν ὁ βασιλεύς καί ὅταν οἱ ποιμένες τοῦ ἀφαιροῦσαν τά φρέατα, ὡσάν νά ἤθελεν ὁ φιλάνθρωπος Κύριος νά τοῦ ἐνισχύσῃ τήν προθυμίαν του καί νά κάμῃ δεκτόν αὐτόν λόγῳ τῆς μεγάλης του καλωσύνης, ἀφοῦ «Μετέβη ἀπό ἐκεῖ εἰς τό «Φρέαρ τοῦ Ὅρκου»', ἐφανερώθη εἰς αὐτόν ὁ Θεός κατά τήν νύκτα ἐκείνην καί εἶπεν εἰς αὐτόν. Ἐγώ εἶμαι ὁ Θεός τοῦ πατρός σου Ἀβραάμ. Μή φοβῆσαι. Διότι εἶμαι μαζί σου καί θά σέ εὐλογήσω καί θά πληθύνω τούς ἀπογόνους σου χάριν τοῦ πατρός σου Ἀβραάμ». «Παρουσιάσθη εἰς αὐτόν», λέγει, «κατά τήν νύκτα ἐκείνην». Πρόσεχε τήν φροντίδα τοῦ Θεοῦ. Διότι διά νά τόν κερδήσῃ καί πάλιν καί διά νά τόν κάνῃ νά πάρῃ θάρρος, παρουσιάζεται εἰς αὐτόν καί λέγει· «Ἐγώ εἶμαι ὁ Θεός τοῦ πατρός σου Ἀβραάμ», ὁ ὁποῖος ἐδόξασα τόν πατέρα σου καί τόν κατέστησα τόσον ἔνδοξον καί ἐνῷ ἦτο ξένος τόν ἔκαμα περισσότερον περιφανῆ καί ἀπό τούς ἐντοπίους. Ἐγώ εἶμαι ἐκεῖνος, ὁ ὁποῖος ἔκαμε τόν Ἀβραάμ νά πλουτίσῃ τόσον πολύ καί ὁ ὁποῖος ἔδειξε μέ ὅλα μεγάλην φροντίδα δι' αὐτόν. «Ἐγώ εἶμαι· «Μή φοβῆσαι λοιπόν».

Τί σημαίνει, «Μή φοβῆσαι»; Νά μή σοῦ φαίνωνται αὐτά παράξενα, τό ὅτι δηλαδή ἐξεδιώχθης ἀπό τόν Ἀβιμέλεχ καί ὅτι ἠδικήθης ἀπό τούς ποιμένας. Πολλά παρόμοια ἔχει πάθει καί ὁ πατέρας σου καί ἀνεδείχθη μέ αὐτά λαμπρότερος. Νά μή σέ φοβίζουν λοιπόν αὐτά. «Διότι ἐγώ εἶμαι μαζί σου». Διά τόν λόγον αὐτόν ἐπιτρέπω νά γίνωνται αὐτά, ἐπειδή δηλαδή ἐπιθυμῶ μέ τήν καλωσύνην σου νά ἀποδείξω συγχρόνως καί τήν ἀρετήν σου καί νά γίνῃ φανερά εἰς ὅλους ἡ κακία τῆς ψυχῆς ἐκείνων, ὥστε νά σέ στεφανώσω καί δι' αὐτά. «Διότι ἐγώ εἶμαι

γενέσθαι, ἵνα σε καὶ ὑπὲρ τούτων στεφανώσω· «Μετὰ σοῦ γάρ εἰμι». Δι' ὃ καὶ ἀχείρωτος ἔσῃ, καὶ τῶν πολεμούντων δυνατώτερος, καὶ τῶν ἐπηρεαζόντων ἰσχυρότερος. Καὶ ἡ μὲν παρ' ἐμοῦ πρόνοια καὶ ἐπίφθονόν σε ἐργάσεται· «Μετὰ σοῦ γάρ εἰμι, καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου». Σκόπει Θεοῦ φιλανθρωπίαν. Εἰπών, «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου», καὶ δείξας ὅπως ᾠκειώσατο τὸν πατριάρχην, ὡς καταξιῶσαι Θεὸν ἑαυτὸν καλεῖν Ἀβραάμ, καὶ ὁ τῆς οἰκουμένης Δεσπότης καὶ δημιουργὸς ἑνὸς ἀνθρώπου φάσκειν εἶναι Θεός, οὐ συγκλείων μέχρι τοῦ πατριάρχου τὴν οἰκείαν δεσποτείαν, ἀλλὰ τὴν πολλὴν περὶ αὐτὸν εὔνοιαν δεικνύς, οὕτω, φησίν, αὐτὸν ᾠκειωσάμην, ὡς πάντων τῶν ἄλλων ἀντάξιον ἐκεῖνον ἐμοὶ νομισθῆναι. Δι' ὃ «Καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου». Πολλὰς ὀφείλω τὰς ἀμοιβὰς ἐκείνῳ τῆς εἰς ἐμὲ ὑπακοῆς· δι' ἐκεῖνον οὖν «Πληθυνῶ τὸ σπέρμα σου». Ὁμοῦ καὶ παρεθάρρυνε τὸν δίκαιον, καὶ διὰ τῆς μνήμης τοῦ πατρὸς εἰς ζῆλον αὐτὸν διήγειρε τοῦ τὴν ὁμοίαν ἐκείνῳ ἀρετὴν ἐπιδείξασθαι.

Εἶτα ἐπειδὴ τοσαῦτα αὐτῷ ἀγαθὰ ὑπέσχετο. «Ὠκοδόμησεν ἐκεῖ», φησί, «θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸ ὄνομα Κυρίου, καὶ ἔπηξεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ». Τί ἐστιν, «Ὠκοδόμησεν ἐκεῖ θυσιαστήριον»; Τὰς εὐχαριστίας, φησίν, ἐκεῖ ἀνήνεγκε τῷ Δεσπότῃ, ὑπὲρ ὧν τοσαύτην περὶ αὐτὸν κηδεμονίαν ἐπεδείξατο. Καὶ ὤρυξαν ἐκεῖ οἱ παῖδες Ἰσαὰκ φρέαρ». Ἐν ἀδείᾳ λοιπὸν ὁ δίκαιος γίνεται· ὁ γὰρ εἰπών, «Μετὰ σοῦ εἰμι, καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου», οὗτος ἀθρόον αὐτῷ καὶ τὴν περιφάνειαν ἐχαρίσατο, καὶ πᾶσιν αὐτὸν περίβλεπτον γίνεσθαι πεποίηκεν. Ὅρα γοῦν τὸν Ἀβιμέλεχ ἐκεῖνον, τὸν ἐλάσαι ἐπιχειρήσαντα καὶ εἰπόντα, «Ἄπελθε ἀφ' ἡμῶν», νῦν πρὸς

μαζί σου». Διὰ τοῦτο καὶ θὰ εἶσαι ἀνίκητος καὶ ἰσχυρότερος ἀπὸ τοὺς ἐχθρούς σου καὶ δυνατώτερος ἀπ' αὐτούς, οἱ ὁποῖοι σὲ προσβάλλουν. Καὶ ἡ ἰδική μου πρόνοια θὰ σὲ κάμῃ μισητόν. «Διότι ἐγὼ εἶμαι μαζί σου καὶ θὰ σὲ εὐλογήσω καὶ θὰ πολλαπλασιάσω τοὺς ἀπογόνους σου χάριν τοῦ πατρός σου 'Αβραάμ». Πρόσεχε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Ὅταν εἶπεν, «'Εγὼ εἶμαι ὁ Θεὸς τοῦ πατρός σου 'Αβραάμ», καὶ ἔδειξεν, ὅτι ἔκαμεν ἰδικόν του τὸν πατριάρχην, ὥστε νὰ τὸν ἀξιώσῃ νὰ ἀποκαλῇ τὸν ἑαυτόν του Θεὸν τοῦ 'Αβραὰμ καὶ ὁ Κύριος καὶ δημιουργὸς τῆς οἰκουμένης νὰ λέγῃ, ὅτι εἶναι Θεὸς ἑνὸς ἀνθρώπου, λέγει αὐτό, ὄχι διότι περιορίζει τὴν κυριαρχίαν του μέχρι τὸν πατριάρχην, ἀλλὰ ἐπειδὴ δείχνει τὴν μεγάλην πρὸς αὐτὸν ἀγάπην του. Αὐτόν, λέγει, τὸν ἔκαμα τόσον ἰδικόν μου, ὥστε νὰ θεωρηθῇ, ὅτι ἀπ' ὅλους τοὺς ἄλλους ἐκεῖνος εἶναι ἀντάξιός μου. Διὰ τοῦτο «Καὶ θὰ πληθύνω τοὺς ἀπογόνους σου χάριν τοῦ πατρός σου 'Αβραάμ». Πολλὰς ἀμοιβὰς ὀφείλω εἰς ἐκεῖνον διὰ τὴν ὑπακοήν, τὴν ὁποίαν ἐπέδειξεν εἰς ἐμέ. Χάριν ἐκείνου λοιπὸν «Θὰ πληθύνω τοὺς ἀπογόνους σου». Συγχρόνως ἐνεθάρρυνε τὸν 'Ισαὰκ καὶ μὲ τὴν ὑπενθύμισιν τοῦ πατρός του, τὸν παρεκίνησε νὰ τὸν μιμηθῇ, ὥστε νὰ ἐπιδείξῃ τὴν ἰδίαν ἀρετὴν μὲ ἐκεῖνον.

Ἔπειτα, ἀφοῦ τόσα πολλὰ ἀγαθὰ ὑπεσχέθη εἰς αὐτὸν ὁ Θεός, «Ἔκτισεν ἐκεῖ», λέγει, «θυσιαστήριον καὶ ἐπεκαλέσθη τὸ ὄνομα τοῦ Κυρίου καὶ ἔστησεν ἐκεῖ τὴν σκηνήν του». Τί σημαίνει, «Ἔκτισεν ἐκεῖ θυσιαστήριον»; 'Εκεῖ, λέγει, προσέφερε τὰς εὐχαριστίας του εἰς τὸν Κύριον, διότι ἔδειξε δι' αὐτὸν τόσην φροντίδα. «Καὶ οἱ δοῦλοι τοῦ 'Ισαὰκ ἤνοιξαν ἐκεῖ φρέαρ». Χωρὶς φόβον λοιπὸν ζῇ ὁ δίκαιος. Διότι αὐτός, ὁ ὁποῖος εἶπεν, «'Εγὼ εἶμαι μαζί σου καὶ θὰ σὲ εὐλογήσω καὶ θὰ πληθύνω τοὺς ἀπογόνους σου», αὐτὸς ἐχάρισεν ἀμέσως εἰς αὐτὸν καὶ τὴν δόξαν καὶ τὸν ἔκαμε νὰ γίνῃ εἰς ὅλους περιφανής. Πρόσεχε λοιπὸν τὸν 'Αβιμέλεχ ἐκεῖνον, ὁ ὁποῖος ἐπεχείρησε νὰ τὸν ἐκδιώξῃ καὶ εἶπε, «Φύγε ἀπὸ ἡμᾶς», νὰ ἔρχε-

αὐτὸν ἐρχόμενον. «Ἐπορεύθη γάρ», φησίν, «Ἀβιμέλεχ, καὶ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ ὁ ἀρχιστράτηγος· καὶ εἶπεν αὐτοῖς Ἰσαάκ· ἵνα τί ἤλθετε πρός με; ὑμεῖς δὲ ἐμισήσατέ με, καὶ ἀπεστείλατε ἀφ' ὑμῶν».

Θέα σοι πόση τοῦ δικαίου ἡ πρᾳότης. Ὁρῶν τοὺς ἀπελάσαντας καὶ τοσοῦτον περὶ αὐτὸν τὸ μῖσος ἐπιδειξαμένους, νῦν ἐν τάξει ἱκετῶν πρὸς αὐτὸν παραγινομένους, οὐκ ἐφρόνησε μέγα κατ' αὐτῶν, οὐδὲ ἐπήρθη τὴν διάνοιαν, ἔναυλον ἔχων τὴν μνήμην τῶν παρὰ τοῦ Θεοῦ πρὸς αὐτὸν ῥηθέντων, οὐδὲ τῇ δυνάμει τοῦ Δεσπότου πεποιθὼς κατεξανίσταται τοῦ βασιλέως, ἀλλὰ πάλιν τὴν συνήθη ἐπιείκειαν ἐπιδεικνύμενος μετὰ πολλῆς πραΰτητός φησι πρὸς αὐτούς· «Ἵνα τί ἤλθετε πρός με; ὑμεῖς δὲ ἐμισήσατέ με, καὶ ἀπεστείλατε ἀφ' ὑμῶν». Τίνος ἕνεκεν, φησί, παραγενέσθαι πρός με κατεδέξασθε, τὸν ἐλαθέντα, τὸν μισηθέντα; «Καὶ εἶπαν· ἰδόντες ἑωράκαμεν, ὅτι Κύριος μετὰ σοῦ, καὶ εἴπαμεν· γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σου, καὶ διαθησόμεθα διαθήκην μετὰ σοῦ, μὴ ποιήσειν μεθ' ἡμῶν κακόν, καθότι ἡμεῖς οὐκ ἐβδελυξάμεθά σε, καὶ ὃν τρόπον ἐχρησάμεθά σοι καλῶς, καὶ ἐξαπεστείλαμέν σε μετ' εἰρήνης, καὶ νῦν εὐλογημένος σὺ ὑπὸ Κυρίου».

4. Ὅρα πόση τῆς ἐπιεικείας ἡ ἰσχύς, καὶ ὅση τῆς ἀρετῆς ἡ δύναμις. Οἱ γὰρ πρῴην ἐλάσαντες, νῦν παραγενόμενοι πρὸς τὸν ξένον, πρὸς τὸν ἀπόλιδα, πρὸς τὸν ἀλήτην, οὐ μόνον ἀπολογοῦνται ὑπὲρ τῶν ἤδη γεγενημένων, καὶ συγγνώμην αἰτοῦσιν ὑπὲρ τῶν ἡμαρτημένων, ἀλλὰ καὶ ἀνακηρύττουσι τὸν δίκαιον, καὶ δεικνύουσι τὸν ἐπιτεθέντα αὐτοῖς φόβον, καὶ ὁμολογοῦσι καὶ τὴν οἰκείαν ἀσθένειαν, καὶ τῷ δικαίῳ μεγάλην μαρτυροῦσι τὴν δύναμιν. Τί γὰρ ἂν εἴη τούτου ἰσχυρότερον τοῦ μεθ' ἑαυτοῦ τὸν Θεὸν ἔχοντος; «Ἰδόντες», φησίν, «ὅτι Κύριος μετὰ σοῦ». Πόθεν ὑμῖν ἡ τοιαύτη γνῶσις; Ναί, φησίν, αὐτὰ ἡμῖν τὰ πράγματα ἀντὶ διδασκαλίας γέγονεν. Εἴδομεν γὰρ ὅ-

ται τώρα πρὸς αὐτόν. Διότι λέγει, «Μετέβη ὁ Ἀβιμέλεχ πρὸς τὸν Ἰσαὰκ μαζὶ μὲ τὸν Ὀχοζὰθ τὸν συγγενῆ του καὶ τὸν Φιχόλ, τὸν ἀρχιστάτηγόν του. Καὶ ἠρώτησεν αὐτοὺς ὁ Ἰσαάκ. Διατί ἤλθατε πρὸς ἐμέ; Σεῖς μὲ ἐμισήσατε καὶ μὲ ἐδιώξατε ἀπὸ κοντά σας».

Πρόσεχε, σὲ παρακαλῶ πόση εἶναι ἡ πραότης τοῦ δικαίου. Ὅταν εἶδεν ἐκείνους, οἱ ὁποῖοι τὸν ἐδίωξαν καὶ τόσον πολὺ τὸν ἐμίσησαν, νὰ ἔρχωνται τώρα πρὸς αὐτὸν ὡς ἱκέται, δὲν ὑπερηφανεύθη εἰς αὐτούς, οὔτε ἐφέρθη μὲ ἀλαζονείαν, ἂν καὶ εἶχε ζωηρὰ τυπωμένα αὐτά, τὰ ὁποῖα τοῦ εἶχεν εἰπεῖ ὁ Θεός, οὔτε ἐξηγέρθη κατὰ τοῦ βασιλέως, ἐπειδὴ ἔχει ἐμπιστοσύνην εἰς τὴν δύναμιν τοῦ Κυρίου, ἀλλὰ ἐπιδεικνύων τὴν συνηθισμένην καλωσύνην του λέγει πρὸς αὐτοὺς μὲ πολλὴν πραότητα· «Διατί ἤλθατε πρὸς ἐμέ; Σεῖς μὲ ἐμισήσατε καὶ μὲ ἐδιώξατε ἀπὸ κοντά σας». Διὰ ποῖον λόγον, λέγει, κατεδέχθητε νὰ ἔλθετε εἰς ἐμένα, ὁ ὁποῖος ἐδιώχθην καὶ ἐμισήθην; «Καὶ ἐκεῖνοι ἀπήντησαν. Εἴδομεν φανερά, ὅτι ὁ Κύριος εἶναι μαζί σου καὶ εἴπομεν. Ἂς γίνῃ ὅρκος μεταξὺ ἡμῶν καὶ σοῦ καὶ ἂς κάμωμεν συνθήκην μαζί σου νὰ μὴ μᾶς κάμῃς κακόν, διότι ἡμεῖς δὲν σὲ ἐμισήσαμεν καὶ σὲ συμπεριεφέρθημεν καλῶς καὶ σὲ ἐξαπεστείλαμεν ἐν εἰρήνῃ. Τώρα σὺ εἶσαι εὐλογημένος ἀπὸ τὸν Κύριον».

4. Πρόσεχε πόση εἶναι ἡ δύναμις τῆς καλωσύνης καὶ πόση εἶναι ἡ δύναμις τῆς ἀρετῆς. Καθ' ὅσον αὐτοί, οἱ ὁποῖοι προηγουμένως ἐδίωξαν αὐτόν, τώρα ἔχουν ἔλθει εἰς τὸν ξένον, εἰς τὸν ἐξόριστον, εἰς τὸν περιπλανώμενον καί, ὄχι μόνον ἀπολογοῦνται, δι' ὅσα ἔχουν γίνει καὶ ζητοῦν συγγνώμην διὰ τὰ σφάλματά των, ἀλλὰ καὶ ἀναγνωρίζουν τὸν δίκαιον καὶ φανερώνουν τὸν φόβον, ὁ ὁποῖος εὗρεν αὐτούς, καὶ ὁμολογοῦν τὴν ἰδικήν των ἀδυναμίαν καὶ ἐπιβεβαιώνουν τὴν μεγάλην δύναμιν τοῦ δικαίου. Τί δηλαδὴ θὰ ἦτο ἰσχυρότερον ἀπ' αὐτόν, ὁ ὁποῖος ἔχει μαζί του τὸν Θεόν; «Εἴδομεν», λέγει, «ὅτι ὁ Κύριος εἶναι μαζί σου». Ἀπὸ ποῦ τὸ γνωρίζετε αὐτό; Ναί, λέγει, αὐτὰ τὰ γεγονότα ἔχουν γίνει δι' ἡμᾶς διδασκαλία. Διότι

τι ἐλαυνόμενος τῶν ἐλαυνόντων ἰσχυρότερος γέγονας, καὶ ἐπηρεαζόμενος τῶν ἐπηρεαζόντων περιγέγονας, καὶ ἐκ τῆς τῶν πραγμάτων ἀκολουθίας συνείδομεν, ὅτι πολλῆς ἀπολαύεις τῆς ἄνωθεν ῥοπῆς. Τοῦτο δὲ καὶ τῆς τοῦ Θεοῦ οἰκονομίας ἔργον, τὸ τὴν διάνοιαν αὐτῶν ποιῆσαι καταπλαγῆναι τὸν δίκαιον, καὶ γνῶσιν αὐτοῖς ἐνθεῖναι τοιαύτην. Ἐπεὶ οὖν, φησίν, ἔγνωμεν, ὅτι Κύριος μετὰ σοῦ, «Γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν».

Ὅρα πῶς ὑπὸ τοῦ συνειδότος ὠθούμενοι, καὶ οὐδενὸς ἑτέρου καταναγκάζοντος, οὐδὲ τὰ γεγενημένα ἐξαγγέλοντος, αὐτοὶ ἑαυτοὺς ἐλέγχειν ἐπείγονται. Εἰ γὰρ μὴ ἠδικήσατε, φησί, τίνος ἕνεκεν καὶ συνθήκας ἀπαιτεῖτε παρὰ τοῦ δικαίου; Ἀλλὰ τοιοῦτόν ἐστιν ἡ ἀδικία· καθ' ἑκάστην ἡμέραν καταξαίνει τὸ συνειδός, καὶ σιγῶντος τοῦ ἠδικημένου, οἱ τὴν ἀδικίαν ἐργασάμενοι τὴν δίκην ἐφεστάναι νομίζοντες, ἐφ' ἑκάστης ἡμέρας ἐναγώνιοι γίνονται, καὶ μονονουχὶ ὑπογράφουσιν ἑαυτοῖς τὴν ἐκδίκησιν τῶν ἡμαρτημένων. Ὃ δὴ καὶ οὗτοι μαθόντες, «Γενέσθω», φησίν, «ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σου». Εἶτα λέγουσιν, ὁποίαν βούλονται γενέσθαι τὴν ἀράν. «Καὶ διαθησόμεθα διαθήκην μετὰ σοῦ, μὴ ποιήσειν μεθ' ἡμῶν κακόν, διότι ἡμεῖς οὐκ ἐβδελυξάμεθά σε». Ὅρα πῶς ἐναντία ἑαυτοῖς ὑπὸ τοῦ θορύβου καὶ τῆς ἀγωνίας φθέγγονται· «Μὴ ποιήσειν μεθ' ἡμῶν κακόν». Τίνος ἕνεκεν οὕτω φοβεῖσθε τὸν δίκαιον, ὁρῶντες καὶ πρὸς τοὺς ἐπηρεάζοντας τοσαύτην τὴν ἐπιείκειαν ἐπιδεικνύμενον; Ἀλλ' ὁ ἀδέκαστος δικαστής, τὸ συνειδός, αὐτοὺς διήγειρε, καὶ εἰς ἔννοιαν ἤρχοντο, ὅσην περὶ τὸν δίκαιον τὴν ἀγνωμοσύνην ἐπεδείξαντο, καὶ διὰ τοῦτο ὑπὸ τοῦ φόβου καὶ τῆς δειλίας οὐ συνορῶσιν, ὅπως ἐναντία λέγουσι. «Μὴ ποιήσειν», φησί, «κακὸν μεθ' ἡμῶν, καθότι ἡμεῖς σε οὐκ ἐβδελυξάμεθα». Τίνος οὖν ἕνεκεν ἀπηλάσατε; Ἀλλ' ὁ δίκαιος οὐκ ἀπαιτεῖ εὐθύνας, οὐδὲ ἐλέγχει τὰ παρ' αὐτῶν εἰρημένα. «Καὶ ὃν τρόπον», φησίν, «ἐχρησάμε-

εἴδομεν, ὅτι, ἄν καὶ ἐδιώχθης, ἔγινες ἰσχυρότερος ἀπὸ τοὺς διώκτας, καὶ ὅτι, ἄν καὶ ἐδοκιμάσθης, ὑπερίσχυσες αὐτῶν, οἱ ὁποῖοι σὲ ἐδοκίμαζον, καὶ ἀπὸ τὴν συνέχειαν τῶν γεγονότων ἀντελήφθημεν καλῶς, ὅτι ἀπολαμβάνεις πολλῆς θείας βοηθείας. Αὐτὸ δὲ εἶναι ἔργον τῆς θείας οἰκονομίας, τὸ ὅτι δηλαδὴ ἔκαμε τὸν νοῦν των νὰ ἐκπλαγῇ διὰ τὸν δίκαιον καὶ ἔκαμεν αὐτοὺς νὰ μάθουν αὐτὰ τὰ πράγματα. Ἐπειδὴ λοιπόν, λέγει, ἐμάθομεν, ὅτι ὁ Κύριος εἶναι μαζί σου, «Ἂς γίνῃ ὅρκος μεταξὺ ἡμῶν».

Πρόσεχε πῶς οἱ ἴδιοι βιάζονται νὰ ἐλέγξουν τοὺς ἑαυτούς των ὠθούμενοι ἀπὸ τὴν συνείδησιν καὶ χωρὶς νὰ τοὺς ἀναγκάζῃ κανεὶς ἄλλος, οὔτε νὰ τοὺς γνωστοποιῇ τὰ ὅσα εἶχον γίνει. Διότι λέγει, ἐὰν δὲν μὲ ἠδικήσατε, διατί ζητεῖτε συνθήκας εἰρήνης ἀπὸ τὸν δίκαιον; Ἀλλὰ τέτοιο πρᾶγμα εἶναι ἡ ἀδικία. Φθείρει κάθε ἡμέραν τὴν συνείδησιν καὶ ὅταν ὁ ἠδικημένος σιωπᾷ αὐτοὶ ποὺ ἔκαμαν τὴν ἀδικίαν, νομίζοντες ὅτι ἀπενεμήθη ἡ δικαιοσύνη, κάθε ἡμέραν ἀγωνιοῦν καὶ ὑπογράφουν σχεδὸν εἰς τοὺς ἑαυτούς των τὴν ἐκδίκησιν τῶν ἁμαρτιῶν των. Αὐτὸ λοιπὸν ἀφοῦ ἔμαθον καὶ αὐτοὶ λέγουν, «Ἂς γίνῃ ὅρκος μεταξὺ ἡμῶν καὶ σοῦ». Ἔπειτα λέγουν, ποία ἔνορκος συμφωνία θέλουν νὰ γίνῃ. «Καὶ θὰ συμφωνήσωμεν νὰ μὴ μᾶς κάνῃς κακόν, διότι ἡμεῖς δὲν σὲ ἐμισήσαμεν». Πρόσεχε πῶς λέγουν τὰ ἀντίθετα εἰς τοὺς ἑαυτούς των λόγῳ τῆς ἀγωνίας καὶ λόγῳ τοῦ ὅτι ἐθορυβήθησαν. «Νὰ μὴ κάμῃς εἰς ἡμᾶς κακόν». Διὰ ποῖον λόγον φοβεῖσθε τόσον τὸν δίκαιον, ἀφοῦ βλέπετε ὅτι δείχνει τόσην καλωσύνην καὶ πρὸς αὐτοὺς ποὺ τὸν προσβάλλουν; Ἀλλ' ὁ ἀδέκαστος κριτής, ἡ συνείδησίς των, διήγειρεν αὐτοὺς καὶ ἀντελαμβάνοντο, πόσην ἀχαριστίαν ἔδειξαν εἰς τὸν δίκαιον καὶ διὰ τοῦτο ἀπὸ τὸν φόβον καὶ τὴν δειλίαν δὲν καταλαβαίνουν, ὅτι λέγουν τὰ ἀντίθετα. «Νὰ μὴ μᾶς κάνῃς κακόν», λέγει, «διότι ἡμεῖς δὲν σὲ ἐμισήσαμεν». Διὰ ποῖον λόγον, λοιπὸν τὸν ἐδιώξατε; Ὁ δίκαιος ὅμως δὲν ζητεῖ εὐθύνας, οὔτε ἐλέγχει αὐτά, τὰ ὁποῖα αὐτοὶ εἶπον. «Ὅπως ἡμεῖς

θά σοι καλῶς, καὶ ἐξαπεστείλαμέν σε μετ' εἰρήνης, καὶ νῦν σὺ εὐλογημένος ὑπὸ Κυρίου».

Ὁρᾷς ὅτι τὴν ἄνωθεν δίκην ἐδεδίεσαν. Ἤδεισαν γὰρ ὅτι κἂν αὐτὸς δι' ἐπιείκειαν μὴ ἀμύνηται τὰ εἰς αὐτὸν γεγενημένα, ἀλλὰ ὁ τοσαύτην περὶ αὐτὸν πρόνοιαν ἐπιδεικνύμενος, εὐθύνας αὐτοὺς ἀπαιτήσει τῶν εἰς τὸν δίκαιον γεγενημένων. Διὰ τοῦτο ἐξευμενίζοντες τὸν δίκαιον, καὶ συνθήκας ἀπαιτεῖν ἐπείγονται, ὁμοῦ καὶ ὑπὲρ τῶν ἤδη γεγενημένων ἀπολογούμενοι, καὶ ὑπὲρ τῶν ἑξῆς τὴν ἀσφάλειαν ἑαυτοῖς περιποιούμενοι. «Καὶ ἐποίησεν αὐτοῖς», φησί, «δοχήν, καὶ ἔφαγον καὶ ἔπιον· καὶ ἀναστάντες τῷ πρωΐ, ὤμοσεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ ἐξαπέστειλεν αὐτοὺς Ἰσαάκ, καὶ ἀπῴχοντο ἀπ' αὐτοῦ μετὰ σωτηρίας». Ὅρα τοῦ δικαίου τὴν φιλοφροσύνην, πῶς ἀμνησικάκως αὐτοῖς διελέχθη, καὶ οὐ μόνον λήθην ἐποιήσατο τῶν εἰς αὐτὸν γεγενημένων, ἀλλὰ καὶ πολλὴν περὶ αὐτοὺς τὴν φιλοξενίαν ἐπιδείκνυται. «Ἐποίησε γάρ», φησίν, «αὐτοῖς δοχήν, καὶ ἔφαγον καὶ ἔπιον». Διὰ τῆς ἑστιάσεως πληροφορῆσαι αὐτοὺς βούλεται, ὡς οὐδεμίαν μνήμην ποιεῖται τῶν εἰς αὐτὸν εἰργασμένων παρὰ αὐτῶν. «Καὶ ἐξαπέστειλεν αὐτούς», φησί, «καὶ ἀπῴχοντο μετὰ σωτηρίας». Ἠνίξατο διὰ τούτου ἡ θεία Γραφή, ὅτι μετὰ πολλοῦ τοῦ φόβου τὸν κίνδυνον προσδοκῶντες παρεγένοντο, καὶ περὶ τοῦ παντός, ὡς εἰπεῖν, ἀγωνιῶντες τὴν πρὸς τὸν δίκαιον ἀπολογίαν ἔσπευσαν ποιήσασθαι.

Εἶδες πῶς οὐδὲν ἰσχυρότερον ἀρετῆς, οὐδὲ δυνατώτερον; πῶς οὐδὲν ἀσφαλέστερον τοῦ τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντος; «Εἶτα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ», φησίν, «ἀπελθόντες οἱ παῖδες τοῦ Ἰσαὰκ ὤρυξαν φρέαρ, καὶ εἶπαν, οὐχ εὕρομεν ὕδωρ. Καὶ ἐκάλεσεν αὐτό, ὅρκον. Διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῇ πόλει, φρέαρ ὅρκου, ἕως τῆς σήμερον ἡμέρας». Ὅρα καὶ ἐνταῦθα ἐκ τῶν γεγενημένων τὴν προσηγορίαν αὐτὸν ἐπιτιθέντα τῷ τόπῳ. Ἐπειδὴ γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὸ φρέαρ ὀρύξαντες οὐδὲν εὗρον, ἐν ᾗ τοὺς ὅρκους

σοῦ συμπεριεφέρθημεν καλῶς καὶ σὲ ἐξαπεστείλαμεν ἐν εἰρήνῃ. Τώρα σὺ εἶσαι εὐλογημένος ἀπὸ τὸν Κύριον».

Βλέπεις ὅτι ἐφοβήθησαν τὴν θείαν δίκην. Καθ' ὅσον ἐγνώριζον, ὅτι καὶ ἂν αὐτὸς δὲν τοὺς ἐκδικηθῇ, λόγῳ τῆς καλωσύνης του, διὰ τὰ ὅσα τοῦ ἔχουν κάμει, ὅμως αὐτός, ποὺ φροντίζει τόσον πολὺ δι' αὐτόν, θὰ ζητήσῃ ἀπ' αὐτοὺς εὐθύνας, δι' ὅσα ἔχουν κάμει εἰς βάρος τοῦ δικαίου. Διὰ τοῦτο, ἀφοῦ ἐξευμενίσουν τὸν 'Ισαάκ, βιάζονται καὶ νὰ ζητήσουν συνθήκας, ἐνῷ συγχρόνως ἀπολογοῦνται, δι' ὅσα ἤδη ἔχουν γίνει καὶ φροντίζουν εἰς τὸ ἑξῆς διὰ τὴν ἀσφάλειάν των. «Καὶ παρέθεσεν εἰς αὐτοὺς τράπεζαν καὶ ἔφαγον καὶ ἔπιον. Καὶ ἐσηκώθησαν τὸ πρωὶ καὶ ὡρκίσθησαν ὁ ἕνας πρὸς τὸν ἄλλον καὶ τοὺς κατευώδωσεν ὁ 'Ισαὰκ καὶ ἔφυγον ἀπ' αὐτὸν ἐν εἰρήνῃ». Πρόσεχε τὴν φιλοφροσύνην τοῦ πατριάρχου, πῶς συνωμίλησε μὲ αὐτοὺς χωρὶς κακίαν καὶ ὄχι μόνον ἐλησμόνησε τὰ ὅσα ἔκαμαν εἰς αὐτόν, ἀλλὰ καὶ φιλοξενεῖ αὐτοὺς πολὺ καλά. Διότι λέγει, «Παρέθεσεν εἰς αὐτοὺς τράπεζαν καὶ ἔφαγον καὶ ἔπιον». Μὲ τὸ γεῦμα θέλει νὰ πληροφορήσῃ εἰς αὐτούς, ὅτι δὲν ἐθυμεῖται καθόλου τὰ κακά, τὰ ὁποῖα ἔκαμαν εἰς αὐτόν. «Καὶ κατευώδωσεν αὐτούς», λέγει, «καὶ ἔφυγον ἀπ' αὐτὸν ἐν εἰρήνῃ». Μὲ αὐτὸ ὑπηνίχθη ἡ ἁγία Γραφή, ὅτι ἦλθον εἰς τὸν 'Ισαὰκ καὶ μὲ πολὺν φόβον ἀνέμενον τὸν κίνδυνον καὶ ἔσπευσαν μὲ ἀγωνίαν διὰ ν' ἀπολογηθοῦν, ὅπως θὰ ἐλέγομεν, διὰ τὸ κάθε τι εἰς τὸν δίκαιον.

Εἶδες πῶς δὲν ὑπάρχει τίποτε τὸ ἰσχυρότερον καὶ δυνατώτερον ἀπὸ τὴν ἀρετήν; Πῶς τίποτε δὲν εἶναι ἀσφαλέστερον ἀπὸ ἐκεῖνον ὁ ὁποῖος ἀπολαμβάνει τὴν ἄνωθεν βοήθειαν; «Καὶ ἔπειτα κατὰ τὴν ἡμέραν ἐκείνην», λέγει, «ἦλθον οἱ δοῦλοι τοῦ 'Ισαὰκ καὶ ἔσκαψαν φρέαρ καὶ εἶπον εἰς αὐτόν, ὅτι δὲν εὗρον νερό. Καὶ ὠνόμασεν αὐτὸ ὅρκον. Διὰ τοῦτο ἡ πόλις ὠνομάσθη φρέαρ τοῦ ὅρκου μέχρις σήμερον». Πρόσεχε ὅτι καὶ ἐδῶ δίδει τὸ ὄνομα εἰς τὸν τόπον ἀπ' ὅσα συνέβησαν. 'Επειδὴ δηλαδὴ δὲν εὗρον τίποτε, ὅταν ἤνοιξαν τὸ φρέαρ, κατὰ τὴν ἡμέραν ἐκείνην, κατὰ τὴν ὁποίαν ὡρκίσθησαν μεταξύ των, ὠνόμα-

ἐποιήσαντο πρὸς ἀλλήλους, φρέαρ ὅρκου ἐπέθηκεν ὄνομα τῷ τόπῳ, ἵνα ὑπόμνησις ᾖ τῶν γεγενημένων.

Εἶδες, πῶς οὔτε τὴν ἀπὸ τοῦ νόμου διδασκαλίαν ἔχων ὁ δίκαιος οὗτος, οὔτε πρὸς ἕτερόν τινα ἰδεῖν ἔχων, ἀλλὰ τῷ πατρὶ κατακολουθήσας, καὶ ἀπὸ τοῦ τῇ φύσει τῇ ἀνθρωπίνῃ ἐγκειμένου τῷ συνειδότι διδασκάλου ὁδηγούμενος, τοσαύτην φιλοσοφίαν ἐπεδείκνυτο; Τὰ γὰρ γεγενημένα οὐ μόνον τὴν ἐπιείκειαν ἐδείκνυ τοῦ δικαίου τούτου, ἀλλὰ καὶ τὰ τοῦ Χριστοῦ παραγγέλματα δι' αὐτῶν τῶν ἔργων αὐτὸν πληροῦν ἀπέφηνε. Καὶ ὅπερ ὁ Χριστὸς ἔλεγε διαταττόμενος τοῖς μαθηταῖς καὶ παραινῶν, οὐ μόνον τοὺς ἀγαπῶντας ἀγαπᾶν, ἀλλὰ καὶ πρὸς τοὺς ἐχθροὺς τὴν ἀγάπην ἐπιδείκνυσθαι, τοῦτο οὗτος ἄνωθεν ἐπλήρου. Καὶ πρὸς τοὺς τοσοῦτον μῖσος περὶ αὐτὸν ἐσχηκότας τοσαύτην ἐπεδείκνυτο τὴν φιλοξενίαν, καὶ τὸ τῆς μνησικακίας πάθος ἐξώριζε τῆς ἑαυτοῦ ψυχῆς.

5. Τίνος οὖν ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ἡμεῖς οἱ μετὰ τὴν χάριν, καὶ τὴν τοσαύτην διδασκαλίαν, καὶ τὰ τοῦ Σωτῆρος παραγγέλματα, οὐδὲ τὸ αὐτὸ μέτρον τῷ δικαίῳ τούτῳ φθάσαι δυνάμενοι; Καὶ τί λέγω τὸ αὐτὸ μέτρον; Ἀλλὰ μηδὲ ἐγγὺς στῆναι ἰσχύοντες. Τοσαύτη γὰρ νῦν ἐπεπόλασε τῆς κακίας ἡ ὑπερβολή, ὡς σπάνιον εἶναι καὶ τοὺς ἀγαπῶντας ἀγαπᾶν. Πόθεν οὖν ἡμῖν ἔσται σωτηρίας ἐλπίς, εἰ μέλλοιμεν καὶ τῶν τελωνῶν χείρους γίνεσθαι; καθώς φησιν ὁ Χριστὸς λέγων, «Ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι;». Καὶ ὁ μὲν Χριστὸς βουλόμενος ἡμᾶς εἰς τὴν ἄκραν κορυφὴν τῆς ἀρετῆς ἀνελθεῖν, ἐκείνων ἀνωτέρους εἶναι βούλεται· ἡμεῖς δὲ κἀκείνων ἐλάττους εἶναι σπεύδομεν. Καὶ τί λέγω τελωνῶν; χείρους καὶ τῶν λῃστῶν, καὶ τῶν τυμβωρύχων, καὶ τῶν ἀνδροφόνων. Καὶ γὰρ τούτων ἕκαστος τὸν πρὸς

---

7. Ματθ. 5, 46.

σε τὸν τόπον «φρέαρ τοῦ ὅρκου», διὰ νὰ ὑπενθυμίζῃ ὅσα εἶχον γίνει.

Εἶδες, ὅτι ὁ δίκαιος ἐπέδειξε τόσην ἀρετὴν χωρὶς νὰ ἔχῃ διδαχθῇ ἀπό τὸν νόμον, χωρὶς νὰ ἠμπορῇ νὰ προσβλέπῃ πρὸς κάποιον ἄλλον, ἀλλ' ἀφοῦ ἠκολούθησε τὸ παράδειγμα τοῦ πατρός του καὶ ὡδηγήθη ἀπὸ τὸν διδάσκαλον, ὁ ὁποῖος εὑρίσκεται μέσα εἰς τὴν ἀνθρωπίνην φύσιν, τὴν συνείδησιν; Διότι αὐτὰ ποὺ εἶχον γίνει, ἐδείκνυον ὄχι μόνον τὴν καλωσύνην αὐτοῦ τοῦ δικαίου, ἀλλὰ καὶ ἐφανέρωσεν, ὅτι ἐξεπλήρωσε μὲ αὐτὰ τὰ ἔργα τὰς ἐντολὰς τοῦ Χριστοῦ. Καὶ ἐκεῖνο ποὺ ἔλεγεν ὁ Χριστός, ὅταν ἔδινεν ἐντολὰς καὶ παραινέσεις εἰς τοὺς μαθητάς του, ὅτι δηλαδὴ νὰ μὴ ἀγαποῦν μόνον αὐτοὺς ποὺ τοὺς ἀγαποῦν, ἀλλὰ νὰ δείχνουν ἀγάπην καὶ πρὸς τοὺς ἐχθρούς των, αὐτὸ ἐξεπλήρωνεν αὐτὸς ἀπὸ πολὺ παλαιά. Καὶ ἔδειχνε τόσην φιλοξενίαν πρὸς ἐκείνους οἱ ὁποῖοι τὸν ἐμίσουν τόσον πολὺ καὶ ἀπεμάκρυνεν ἀπὸ τὴν ψυχήν του τὸ πάθος τῆς μνησικακίας.

5. Ποίας συγγνώμης λοιπὸν θὰ εἴμεθα ἄξιοι ἡμεῖς, οἱ ὁποῖοι μετὰ τὴν χάριν καὶ τὴν τόσην διδασκαλίαν καὶ τὰ παραγγέλματα τοῦ Σωτῆρος, δὲν ἠμποροῦμεν νὰ φθάσωμεν εἰς τὸ ἴδιον μέτρον μὲ αὐτὸν τὸν δίκαιον; Καὶ διατί λέγω τὸ ἴδιο μέτρον; Ἀλλ' οὔτε νὰ τὸ πλησιάσωμεν ἠμποροῦμεν. Διότι τώρα τόσον πολὺ ἐπεκράτησεν ἡ κακία, ὥστε νὰ εἶναι σπάνιον νὰ ἀγαπῶμεν καὶ ἐκείνους, οἱ ὁποῖοι μᾶς ἀγαποῦν. Ἀπὸ ποῦ λοιπὸν θὰ ὑπάρξῃ δι' ἡμᾶς ἐλπὶς σωτηρίας, ἐὰν πρόκειται νὰ γίνωμεν χειρότεροι, καὶ ἀπὸ τοὺς τελώνας; Ὅπως λέγει ὁ Χριστός, «Ἐὰν ἀγαπᾶτε ἐκείνους οἱ ὁποῖοι σᾶς ἀγαποῦν, τί περισσότερον κάνετε; Καὶ οἱ τελῶναι δὲν κάμνουν τὸ ἴδιο;»[7]. Καὶ ὁ μὲν Χριστός, ἐπειδὴ ἐπιθυμεῖ νὰ ἀνεβῶμεν εἰς τὴν ὑψηλοτέραν κορυφὴν τῆς ἀρετῆς, θέλει νὰ εἴμεθα ἀνώτεροι ἀπὸ τοὺς τελώνας. Ἡμεῖς ὅμως φροντίζομεν νὰ εἴμεθα χειρότεροι καὶ ἀπὸ ἐκείνους. Καὶ διατί λέγω μόνον ἀπὸ τοὺς τελώνας; Χειρότεροι καὶ ἀπὸ τοὺς λῃστὰς καὶ ἀπὸ τοὺς τυμβωρύχους καὶ ἀπὸ τοὺς δολοφόνους. Καθ' ὅσον καὶ ἀπ' αὐτοὺς ὁ κα-

αὐτὸν ἀγαπητικῶς διακείμενον ἀγαπᾷ, καὶ πολλάκις καὶ κινδυνεύειν ὑπὲρ τοῦ ἀγαπητοῦ καταδέχεται. Τί οὖν ἂν εἴη ἡμῶν ἐλεεινότερον, ὅταν οἱ τοσαύτης ἀξιωθέντες παρὰ τοῦ Θεοῦ φιλανθρωπίας τῶν μυρία ἐργασαμένων κακὰ εὑρισκώμεθα χείρους;

Ἐννοοῦντες τοίνυν, παρακαλῶ, καὶ τῆς τιμωρίας τῆς ἐκεῖ γινομένης τὸ μέγεθος, καὶ τῆς αἰσχύνης τῆς ἐνταῦθα τὴν ὑπερβολήν, ὀψὲ γοῦν ποτε τὴν οἰκείαν ἐπιγνῶμεν εὐγένειαν, καὶ πειθώμεθα τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, καὶ μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπῶμεν γνησίως, πᾶσαν βασκανίαν καὶ φθόνον ἐξορίζοντες τῆς ἑαυτῶν ψυχῆς, ἀλλὰ κἂν ἐχθρωδῶς τινες ὦσι πρὸς ἡμᾶς διακείμενοι, καὶ τούτους ἀγαπᾶν σπουδάζωμεν· καὶ γὰρ οὐδὲ ἑτέρως σωθῆναι δυνατὸν ἡμᾶς, μὴ ταύτην ἐλθόντας τὴν ὁδόν· καὶ μᾶλλον τῶν ἀγαπώντων ἡμᾶς τούτους ἀγαπᾶν σπουδάζωμεν, ἅτε δὴ μυρίων ἡμῖν τῶν ἀγαθῶν προξένους γινομένους. Οὕτω γὰρ καὶ τῶν ἡμαρτημένων ἡμῖν τὴν συγχώρησιν εὕρασθαι δυνησόμεθα, καὶ μετὰ κατεσταλμένης διανοίας καὶ συντετριμμένης ψυχῆς τὰς πρὸς τὸν Θεὸν ἱκεσίας ποιεῖσθαι. Ὅταν γὰρ ψυχὴ ἐκτὸς γένηται πάσης ἀπεχθείας, καὶ τὸν λογισμὸν ἐν γαλήνῃ ἱδρυμένον ἔχῃ, μετὰ πολλῆς τῆς νήψεως τὸν Δεσπότην καλοῦσα, πολλὴν ἐπισπᾶται τὴν ἄνωθεν ῥοπήν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θεὶς ἀγαπᾷ αὐτόν, ὁ ὁποῖος τὸν ἀγαπᾷ, καὶ πολλὲς φορὲς δέχεται νὰ κινδυνεύσῃ χάριν αὐτοῦ ποὺ ἀγαπᾷ. Τί λοιπὸν θὰ ἦτο ἀθλιώτερον ἀπὸ ἡμᾶς, ὅταν ἡμεῖς, οἱ ὁποῖοι ἐγίναμεν ἄξιοι τόσης φιλανθρωπίας ἐκ μέρους τοῦ Θεοῦ, εἴμεθα χειρότεροι ἀπὸ ἐκείνους, οἱ ὁποῖοι ἔχουν διαπράξει ἀπεριόριστον ἀριθμὸν κακῶν;

Ἀφοῦ ἀντιληφθῶμεν λοιπόν, παρακαλῶ, τὸ μέγεθος τῆς ἐκεῖ τιμωρίας καὶ τὴν μεγάλην ἐντροπήν, ἡ ὁποία ὑπάρχει ἐδῶ, ἂς ἐπιδείξωμεν κάποτε ἔστω καὶ ἀργὰ τὴν ἰδικήν μας εὐγένειαν καὶ ἂς ὑπακούσωμεν εἰς τὴν διδασκαλίαν τοῦ Χριστοῦ καὶ νὰ μὴ ἀγαπῶμεν ἀληθινὰ μόνον ἐκείνους, οἱ ὁποῖοι μᾶς ἀγαποῦν, ἀφοῦ ἀπομακρύνωμεν κάθε ὀργὴν καὶ φθόνον ἀπὸ τὴν ψυχήν μας, καὶ ἂν μερικοὶ μᾶς ἐχθρεύωνται νὰ ἐπιδιώκωμεν νὰ ἀγαπῶμεν καὶ αὐτούς. Καθ' ὅσον διαφορετικὰ δὲν εἶναι δυνατὸν νὰ σωθῶμεν, ἐὰν δὲν ἀκολουθήσωμεν αὐτὴν τὴν ὁδόν. Καὶ περισσότερον ἀπὸ ἐκείνους, οἱ ὁποῖοι μᾶς ἀγαποῦν, νὰ φροντίζωμεν νὰ ἀγαπῶμεν τοὺς ἐχθρούς μας, ὡσὰν νὰ μᾶς ἔχουν χαρίσει ἀναρίθμητα ἀγαθά. Διότι ἔτσι θὰ ἠμπορέσωμεν νὰ εὕρωμεν καὶ τὴν συγχώρησιν τῶν ἁμαρτιῶν μας καὶ μὲ ταπεινὴν διάθεσιν καὶ συντετριμμένην ψυχὴν νὰ ἱκετεύσωμεν τὸν Θεόν. Καθ' ὅσον ὅταν ἡ ψυχὴ ἀποβάλῃ κάθε κακίαν καὶ ἔχῃ ἤρεμον λογισμόν, ἐὰν παρακαλῇ τὸν Κύριον μὲ μεγάλην νηφαλιότητα, δέχεται πολλὴν βοήθειαν ἄνωθεν, τὴν ὁποίαν εἴθε νὰ ἀξιωθῶμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΓ΄
(Γεν. 26, 34 - 27, 41)

«Ἦν δὲ Ἠσαῦ ἐτῶν τεσσαράκοντα, καὶ ἔλαβε τὴν Ἰουδὶθ θυγατέρα Βεὴλ τοῦ Χετταίου, καὶ τὴν Βασεμὰθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαίου, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ρεβέκκᾳ».

1. Φέρε καὶ σήμερον, εἰ δοκεῖ, τὰ ἑξῆς τῶν χθὲς εἰρημένων ἐπελθόντες, κατὰ τὸ ἡμῖν ἐγχωροῦν ἀναπτύξωμεν ἕκαστον τῶν γεγραμμένων, ἵνα τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσάμενοι, οὕτως οἴκαδε ἀναχωρήσωμεν. Ἴδωμεν τοίνυν τὴν ἀρχὴν τῶν ἀνεγνωσμένων. «Ἦν δὲ Ἠσαῦ», φησίν, «ἐτῶν τεσσαράκοντα, καὶ ἔλαβε τὴν Ἰουδὶθ θυγατέρα Βεὴλ τοῦ Χετταίου, καὶ τὴν Βασεμὰθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαίου, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ρεβέκκᾳ». Ὅρα πόσα ἐκ τῶν ὀλίγων τούτων ρημάτων ἐστὶ καταμαθεῖν. Τίνος γὰρ ἕνεκεν ἡμῖν τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ Ἠσαῦ ἐσήμανεν; Οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἐντεῦθεν καταμάθωμεν τοῦ Ἰσαὰκ τὸ γῆρας, καὶ ὅτι λοιπὸν προβεβηκὼς ἦν. Ἐὰν γὰρ μνημονεύσωμεν τῶν ἔμπροσθεν εἰρημένων, καὶ ὅτι, ἡνίκα μὲν ἔλαβε τὴν Ρεβέκκαν, καὶ αὐτὸς τεσσαράκοντα ἐτῶν ἐτύγχανεν, ὅτε δὲ ἐτέχθησαν οἱ παῖδες, ἑξήκοντα ἐτῶν ἦν, εἰσόμεθα ὅτι νῦν ἑκατοστοῦ λοιπὸν ἔτους ἐπιβὰς ἐν βαθυτάτῳ γήρᾳ ἐτύγχανεν. Ἐπειδὴ γὰρ μέλλει μετὰ ταῦτα διηγεῖσθαι ἡμῖν, ὡς ὑπὸ τοῦ γήρως ἀμβλυτέρας ἔσχε τὰς ὄψεις, διὰ τοῦτο τῶν ἐτῶν τοῦ Ἠσαῦ τὸν ἀριθμὸν ἐσήμανεν, ἵνα ἐντεῦθεν εἰδέναι ἔχωμεν

---

1. Εἰς τὸ κείμενον τῆς Π. Διαθήκης ἀναφέρει ἀντὶ Εὐαίου, Χετταίου.

ΟΜΙΛΙΑ ΝΓ΄
(Γεν. 26, 34 - 27, 41)

«Ἦτο δὲ ὁ Ἡσαῦ σαράντα ἐτῶν, ὅταν ἔλαβεν ὡς γυναῖκα του τὴν Ἰουδίθ, τὴν θυγατέρα τοῦ Βεὴλ τοῦ Χετταίου, καὶ τὴν Βασιμὰθ τὴν θυγατέρα τοῦ Ἐλὼμ τοῦ Εὐαίου[1]. Καὶ αὐταὶ αἱ δύο ἐφιλονεικοῦσαν μὲ τὸν Ἰσαὰκ καὶ τὴν Ρεβέκκαν».

1. Ἐμπρὸς λοιπὸν καὶ σήμερον, ἐὰν σᾶς φαίνεται καλόν, ἀφοῦ ἀναγνώσωμεν τὰ ἑπόμενα ἀπ' αὐτὰ ποὺ εἴπομεν χθές, ὅσον μᾶς εἶναι δυνατὸν ἂς ἀναπτύξωμεν κάθε ἕνα ἀπ' αὐτὰ ποὺ ἔχουν γραφῆ, ὥστε, ἀφοῦ καρπωθῶμεν τὴν ἀπ' ἐδῶ ὠφέλειαν, ἔτσι νὰ φύγωμεν διὰ τὴν οἰκίαν μας. Ἂς ἰδοῦμεν λοιπὸν τὴν ἀρχὴν τῶν ὅσων ἔχομεν διαβάσει. «Ἦτο δὲ ὁ Ἡσαῦ», λέγει, «σαράντα ἐτῶν, ὅταν ἔλαβεν ὡς γυναῖκα του τὴν Ἰουδίθ, τὴν θυγατέρα τοῦ Βεὴλ τοῦ Χετταίου καὶ τὴν Βασιμὰθ τὴν θυγατέρα τοῦ Ἐλὼμ τοῦ Εὐαίου. Καὶ αὐταὶ αἱ δύο ἐφιλονεικοῦσαν μὲ τὸν Ἰσαὰκ καὶ τὴν Ρεβέκκαν». Πρόσεχε πόσα ἠμποροῦμεν νὰ μάθωμεν ἀπ' αὐτοὺς τοὺς ὀλίγους λόγους. Διὰ ποῖον λόγον λοιπὸν μᾶς ἐπεσήμανε τὴν ἡλικίαν τοῦ Ἡσαῦ; Ὄχι χωρὶς λόγον, ἀλλὰ διὰ νὰ μάθωμεν ἀπὸ ἐδῶ τὸ γῆρας τοῦ Ἰσαὰκ καὶ ὅτι ἦτο πλέον προχωρημένης ἡλικίας. Καθ' ὅσον, ἐὰν ἐνθυμηθῶμεν αὐτὰ ποὺ ἐλέχθησαν προηγουμένως καὶ ὅτι, ὅταν ἔλαβεν ὡς σύζυγον τὴν Ρεβέκκαν ὁ ἴδιος ἦτο σαράντα ἐτῶν, ἐνῷ ὅταν ἐγεννήθησαν τὰ παιδιά, ἦτο ἑξήντα ἐτῶν, θὰ μάθωμεν, ὅτι τώρα ἦτο εἰς τὸ ἑκατοστὸν ἔτος καὶ εὑρίσκετο εἰς βαθύτατον γῆρας. Ἐπειδὴ δηλαδὴ πρόκειται νὰ μᾶς διηγηθῇ μετὰ ἀπ' αὐτά, ὅτι λόγῳ τοῦ γήρατος δὲν ἔβλεπε καλά, διὰ τοῦτο

ἀκριβῶς τοῦ Ἰσαὰκ τὸν χρόνον. Διὰ τοῦτο ἔλεγεν, «Ἦν δὲ Ἡσαῦ ἐτῶν τεσσαράκοντα».

Εἶτα ἵνα μάθωμεν τοῦ παιδὸς τὴν προπέτειαν, καὶ ὅτι παρὰ τῶν ἐθνῶν, ὧν οὐκ ἐχρῆν, τὰς γαμετὰς ἠγάγετο, ἐδήλωσεν ἡμῖν, ὅτι ἡ μὲν ἐκ τοῦ γένους τῶν Χετταίων ἦν, ἡ δὲ ἐκ τῶν Εὐαίων· καίτοι γε ἐχρῆν αὐτὸν μαθόντα, ὅσην σπουδὴν ὁ πατριάρχης ἐποιήσατο διαστελλόμενος τῷ παιδὶ τῷ ἑαυτοῦ, ὥστε ἐκ τῆς φυλῆς αὐτοῦ γαμετὴν τῷ Ἰσαὰκ ἐνέγκαι, καὶ ὅτι ἡ μήτηρ αὐτῶν ἡ Ῥεβέκκα ἐκ τῆς Χαρρὰν ὁρμᾶτο, μηδὲν τοιοῦτον βουλεύσασθαι. Ἀλλ' ἵνα ἐκ προοιμίων δείξῃ τῶν οἰκείων τρόπων τὸ ἄτακτον, προλαβὼν ἐκείνας ἠγάγετο. Καὶ ἵνα μάθωμεν τῶν γυναικῶν τὸ δύστροπον, φησὶν ἡ Γραφή, «Καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ». Καὶ τί ἂν εἴη ταύτης τῆς μοχθηρίας χαλεπώτερον, ὅταν αἳ πᾶσαν τιμὴν ἀπονέμειν ὀφείλουσαι, μὴ μόνον τοῦτο μὴ ποιῶσιν, ἀλλὰ καὶ πρὸς φιλονεικίαν παρασκευάζωνται; Ταῦτα δὲ πάντα οὐχ ἁπλῶς ἡμῖν ἡ ἱστορία σημαίνει, ἀλλ' ἵνα μετὰ ταῦτα, ἐπειδὰν ἴδῃς τὴν Ῥεβέκκαν πρὸς τὸν Ἰακὼβ πολλὴν τὴν εὔνοιαν ἐπιδεικνυμένην, μάθῃς ὡς οὐκ ἀπεικὸς διεπράττετο. Τέως δὲ ἵνα μὴ τὴν ἀκολουθίαν προφθάσωμεν, αὐτοῖς ἑπώμεθα τοῖς γεγραμμένοις.

«Ἐγένετο δὲ μετὰ τὸ γηρᾶσαι τὸν Ἰσαάκ, καὶ ἠμβλύνθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾶν», οὐκ ἔτι γάρ, φησίν, ὑπὸ τοῦ γήρως ὁρᾶν ἠδύνατο, «καὶ ἐκάλεσεν Ἡσαῦ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον καὶ εἶπεν αὐτῷ· Υἱέ μου, ἰδοὺ ἐγὼ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου. Νῦν οὖν λάβε τὸ σκεῦός σου, τήν τε φαρέτραν καὶ τὸ τόξον, καὶ ἔξελθε εἰς τὸ πεδίον, καὶ θήρευσόν μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγώ, καὶ ἔνεγκέ μοι, ἵνα φάγω, ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου, πρὶν ἢ ἀποθανεῖν με». Ἐνταῦθοι μοι σκόπει, ἀγαπητέ, τὴν ἄφατον τοῦ Θεοῦ σοφίαν, καὶ ὅπως ὁ μὲν πατὴρ τὴν φυσικὴν φιλοστοργίαν ἐπιδεικνύμενος ταῦτα διετάξατο τῷ Ἡσαῦ·

μᾶς ἐπεσήμανε τὴν ἡλικίαν τοῦ Ἠσαῦ, ὥστε νὰ ἠμπορέσωμεν νὰ μάθωμεν ἀπὸ ἐδῶ ἀκριβῶς τὴν ἡλικίαν τοῦ Ἰσαάκ. Διὰ τοῦτο ἔλεγεν, «Ὁ Ἠσαῦ δὲ ἦτο σαράντα ἐτῶν».

Ἔπειτα διὰ νὰ γνωρίσωμεν τὴν ἀπερισκεψίαν τοῦ παιδιοῦ καὶ ὅτι ἔλαβε γυναῖκας ἀπὸ τὰ ἔθνη, ἀπὸ τὰ ὁποῖα δὲν ἔπρεπεν, ἐφανέρωσεν εἰς ἡμᾶς, ὅτι ἡ μὲν μία ἦτο ἀπὸ τὸ γένος τῶν Χετταίων, ἡ δὲ ἄλλη ἀπὸ τὸ γένος τῶν Εὑαίων, ἂν καὶ ἔπρεπε νὰ μὴ ακεφθῇ τίποτε παρόμοιον, ἀφοῦ εἶχε μάθει, πόσον ἐφρόντισεν ὁ πατριάρχης Ἀβραάμ, ὅταν ἔστελλε τὸν ὑπηρέτην του νὰ φέρῃ γυναῖκα διὰ τὸν Ἰσαὰκ ἀπὸ τὴν φυλήν του, διότι ἡ μητέρα των ἡ Ρεβέκκα κατήγετο ἀπὸ τὴν Χαρράν. Ἀλλὰ διὰ νὰ δείξῃ ἀπὸ τὴν ἀρχὴν τὸ ἄστατον τοῦ χαρακτῆρος του, ἐνυμφεύθη ἐκείνας μόνος του. Καὶ διὰ νὰ μάθωμεν καὶ τὸν δύστροπον χαρακτῆρα τῶν γυναικῶν, λέγει ἡ Γραφή, «Καὶ αὐταὶ ἐφιλονεικοῦσαν μὲ τὸν Ἰσαὰκ καὶ τὴν Ρεβέκκαν. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπ' αὐτὴν τὴν κακίαν, ὅταν αὐταὶ ποὺ ὀφείλουν νὰ ἀπονέμουν κάθε τιμήν, ὄχι μόνον δὲν κάνουν αὐτό, ἀλλὰ καὶ φιλονεικοῦν; Ὅλα δὲ αὐτὰ δὲν μᾶς τὰ ἀναφέρει χωρὶς λόγον ἡ ἱστορία, ἀλλὰ διὰ νὰ μάθῃς μετὰ ἀπ' αὐτά, ὅταν θὰ ἴδῃς τὴν Ρεβέκκαν νὰ ἀγαπᾷ περισσότερον τὸν Ἰακώβ, ὅτι δὲν ἔκαμε τίποτε τὸ κακόν. Κατ' ἀρχὴν δὲ διὰ νὰ μὴ προχωρήσωμεν πρὶν ἀπὸ τὴν σειρὰν τῶν γεγονότων, ἂς παρακολουθήσωμεν αὐτά, τὰ ὁποῖα ἔχουν γραφῇ.

«Ἀφοῦ ἐγήρασεν ὁ Ἰσαὰκ καὶ οἱ ὀφθαλμοί του δὲν ἠμποροῦσαν νὰ ἰδοῦν», διότι λέγει, δὲν ἠμποροῦσε νὰ ἴδῃ λόγῳ τοῦ γήρατος, «καὶ ἐκάλεσε τὸν μεγαλύτερον υἱόν του τὸν Ἠσαῦ καὶ εἶπεν εἰς αὐτόν· Παιδί μου, νὰ ἐγὼ ἔχω γηράσει καὶ δὲν γνωρίζω τὴν ἡμέραν τοῦ θανάτου μου. Τώρα λοιπὸν λάβε τὰ ὅπλα σου, τὴν φαρέτραν καὶ τὸ τόξον, καὶ πήγαινε εἰς τὴν πεδιάδα καὶ κυνήγησε πρὸς χάριν μου καὶ κάμε μου φαγητά, ὅπως μοῦ ἀρέσει, καὶ φέρε μου νὰ φάγω, διὰ νὰ σὲ εὐλογήσῃ ἡ ψυχή μου πρὶν ἀποθάνω». Ἐδῶ πρόσεχε, παρακαλῶ, ἀγαπητέ, τὴν ἀπερίοριστον σοφίαν τοῦ Θεοῦ καὶ πῶς ὁ μὲν πατὴρ διέταξεν αὐτὰ εἰς τὸν Ἠσαῦ δεικνύων τὴν ἐκ φύσεως ἀγάπην του

ὁ δὲ σοφὸς καὶ εὐμήχανος Δεσπότης διὰ τῆς Ρεβέκκας τὴν οἰκείαν πρόρρησιν εἰς ἔργον ἐξενεχθῆναι παρασκευάζει, διδάσκων ἡμᾶς ὅση τῆς ἀρετῆς ἡ ἰσχὺς καὶ τῆς τῶν τρόπων ἐπιεικείας. Καὶ γὰρ ἐκεῖνος μὲν καὶ ἀπὸ τῶν πρωτοτοκίων, καὶ ἀπὸ τῆς τοῦ πατρὸς περὶ αὐτὸν διαθέσεως τὰ πρωτεῖα ἔχειν νομίζων, ἀθρόον ἁπάντων ἔρημος ηὑρίσκετο, ἐπειδὴ τὰ παρ' ἑαυτοῦ εἰσενεγκεῖν οὐκ ἠβουλήθη· οὗτος δέ, ἐπειδὴ οἴκοθεν ἦν ἐνάρετος, καὶ τὴν ἄνωθεν εἶχε ῥοπὴν συμμαχοῦσαν αὐτῷ, καὶ ἄκοντος τοῦ πατρὸς τὴν παρ' αὐτοῦ εὐλογίαν ἐπισπᾶται. Οὐδὲν γὰρ ἰσχυρότερον τοῦ παρὰ τῆς δεξιᾶς ἐκείνης βοηθουμένου.

Ὅρα γοῦν ἀκριβῶς ἅπαντα, ἵνα μάθῃς τῆς οἰκονομίας τὴν ὑπερβολήν, καὶ πῶς ὁ μὲν τῆς ἐκεῖθεν ἀπολαύων ῥοπῆς, πολλῆς ἐν ἅπασιν ἀξιοῦται τῆς συνεργίας, ὥστε τὴν τοῦ πατρὸς εὐλογίαν εἰς αὐτὸν μετενεχθῆναι· ὁ δὲ πάντων διαμαρτάνει, προδεδομένος οἴκοθεν διὰ τὴν τρόπων μοχθηρίαν. «Ρεβέκκα δέ», φησίν, «ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς Ἡσαῦ τὸν υἱὸν αὐτοῦ. Ἐπορεύθη δὲ Ἡσαῦ εἰς τὸ πεδίον θηρᾶσαι θήραν τῷ πατρὶ αὐτοῦ. Εἶπεν δὲ Ρεβέκκα πρὸς τὸν υἱὸν αὐτῆς τὸν ἐλάσσω». Διὰ τί προσέθηκε, τὸν ἐλάσσω; Ἐπειδὴ ἀνωτέρω εἶπεν, ὅτι «Ἐκάλεσεν Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον», ἵνα μάθωμεν τίνι νῦν διαλέγεται ἡ Ρεβέκκα, φησί, «Πρὸς τὸν ἐλάσσω», τοῦτ' ἔστι, τὸν Ἰακώβ. «Ἰδέ, ἐγὼ ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς τὸν Ἡσαῦ τὸν ἀδελφόν σου, καὶ λέγοντος· Ἔνεγκέ μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε ἐναντίον Κυρίου, πρὸ τοῦ ἀποθανεῖν με». Ταῦτα μὲν ἤκουσα τοῦ πατρός σου πρὸς τὸν ἀδελφόν σου τὸν Ἡσαῦ διαλεγομένου. «Νῦν οὖν, υἱέ, ἄκουέ μου καθά σοι ἐγὼ ἐντέλλομαι, καὶ πορευθεὶς εἰς τὰ πρόβατα λάβε μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλούς, καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου, καὶ φάγεται, ὅπως εὐλογήσῃ τε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν

πρὸς αὐτόν, ὁ σοφὸς ὅμως καὶ ἐφευρετικὸς Κύριος προετοιμάζει διὰ τῆς Ρεβέκκας νὰ πραγματοποιηθῇ τὸ ἰδικόν του σχέδιον, ἀφοῦ διδάσκῃ εἰς ἡμᾶς, πόση εἶναι ἡ δύναμις τῆς ἀρετῆς καὶ τῶν καλῶν τρόπων. Καθ' ὅσον ὁ μὲν Ἡσαῦ, ὁ ὁποῖος ἐνόμιζεν ὅτι εἶχε τὰ πρωτεῖα λόγῳ τῶν πρωτοτοκίων καὶ τῆς πατρικῆς συμπαθείας πρὸς αὐτόν, εὑρέθη ἐντὸς μιᾶς στιγμῆς ἔρημος ἀπ' ὅλα, ἐπειδὴ δὲν ἠθέλησε νὰ προσφέρῃ αὐτὰ ποὺ ἐξηρτῶντο ἀπὸ αὐτόν. Ὁ Ἰακὼβ ὅμως ἐπειδὴ ἦτο ἐκ φύσεως ἐνάρετος καὶ εἶχε μαζί του τὴν ἄνωθεν βοήθειαν, ἀποσπᾷ καὶ χωρὶς τὴν θέλησιν τοῦ πατρός του τὴν εὐλογίαν του. Διότι τίποτε δὲν εἶναι ἰσχυρότερον ἀπ' αὐτόν, ὁ ὁποῖος ἔχει βοηθὸν τὸν Θεόν.

Πρόσεχε λοιπὸν τὰ πάντα μὲ ἀκρίβειαν, διὰ νὰ μάθῃς τὴν ὑπερβολικὴν φροντίδα τοῦ Θεοῦ, ὅτι δηλαδὴ ὁ μὲν Ἰακώβ, ἐπειδὴ ἔχει τὴν θείαν βοήθειαν, γίνεται ἄξιος μεγάλης προστασίας εἰς ὅλα, ὥστε ἡ πατρικὴ εὐλογία νὰ ἔλθῃ εἰς αὐτόν, ἐνῷ ὁ Ἡσαῦ χάνει τὰ πάντα προδομένος ἀπὸ τὸν ἑαυτόν του λόγῳ τοῦ κακοῦ του χαρακτῆρος. «Ἡ δὲ Ρεβέκκα», λέγει, «ἤκουσε τὸν Ἰσαὰκ νὰ ὁμιλῇ πρὸς τὸν Ἡσαῦ τὸν υἱόν του. Καὶ ὁ Ἡσαῦ ἐπῆγεν εἰς τὴν πεδιάδα διὰ νὰ κυνηγήσῃ καὶ νὰ φέρῃ κυνήγιον εἰς τὸν πατέρα του. Ἡ Ρεβέκκα ὅμως εἶπεν εἰς τὸν υἱόν της τὸν μικρότερον». Διατί ἐπρόσθεσε, «τὸν μικρότερον»; Ἐπειδὴ προηγουμένως εἶπεν, ὅτι «Ὁ Ἰσαὰκ ἐκάλεσε τὸν υἱόν του τὸν μεγαλύτερον», διὰ νὰ μάθωμεν μὲ ποῖον συζητᾷ ἡ Ρεβέκκα, λέγει, «πρὸς τὸν μικρότερον», δηλαδὴ τὸν Ἰακώβ. «Νὰ ἐγὼ ἤκουσα τὸν πατέρα σου νὰ ὁμιλῇ πρὸς τὸν Ἡσαῦ τὸν ἀδελφόν σου καὶ νὰ τοῦ λέγῃ· Νὰ μοῦ φέρῃς κυνήγιον καὶ νὰ μοῦ κάνῃς φαγητά, ὥστε, ἀφοῦ τὰ φάγω νὰ σὲ εὐλογήσω ἐνώπιον τοῦ Κυρίου πρὶν ἀποθάνω». Αὐτὰ ἤκουσα νὰ λέγῃ ὁ πατέρας σου πρὸς τὸν ἀδελφόν σου τὸν Ἡσαῦ. «Τώρα λοιπόν, υἱέ μου, ἄκουσέ με εἰς ὅ,τι ἐγὼ θὰ σὲ συμβουλεύσω. Πήγαινε τώρα εἰς τὸ ποίμνιον καὶ φέρε μου ἀπὸ ἐκεῖ δύο τρυφερὰ καὶ καλὰ ἐρίφια, διὰ νὰ κάμω αὐτὰ ἐδέσματα εἰς τὸν πατέρα σου, ὅπως τοῦ ἀρέσει, καὶ θὰ προσφέρῃς αὐτὰ εἰς αὐτὸν διὰ

αὐτόν».

2. Ὅρα μητρὸς φιλοστοργίαν, μᾶλλον δὲ Θεοῦ οἰκονομίαν. Αὐτὸς γὰρ ἦν ὁ καὶ ταύτην πρὸς τὴν συμβουλὴν διεγείρων, καὶ τὸ πᾶν κατορθωθῆναι ποιῶν. Εἶδες τῆς μητρὸς τὴν ἀρίστην συμβουλήν; Ὅρα καὶ τοῦ Ἰακὼβ τὸ περιεσκεμμένον, καὶ ὅπως διὰ τῆς ἀποκρίσεως τῶν οἰκείων τρόπων δείκνυσι τὴν ἐπιείκειαν. «Εἶπε γάρ», φησί, «πρὸς τὴν μητέρα αὐτοῦ· ἔστιν ὁ ἀδελφός μου Ἡσαῦ ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος· μήποτε ψηλαφήσῃ με ὁ πατήρ, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν, καὶ ἐπάξω ἐμαυτῷ κατάραν, καὶ οὐκ εὐλογίαν». Πολλὴ τοῦ παιδὸς ἡ εὐγνωμοσύνη, καὶ ἡ πρὸς τὸν πατέρα αἰδώς. Δέδοικα, φησί, μὴ εἰς τὸ ἐναντίον μοι τὰ τῆς σπουδῆς ἐπέλθῃ, μὴ δόξω ἐναντιοῦσθαι τῇ τοῦ πατρὸς γνώμῃ, καὶ ἀντὶ τῆς εὐλογίας κατάραν ἐπισπάσωμαι.

Τί οὖν ἡ Ῥεβέκκα, ἡ θαυμασία καὶ φιλόστοργος; Ἐπειδὴ οὐκ ἐξ οἰκείας γνώμης μόνον τοῦτο διεπράττετο, ἀλλὰ καὶ τῇ ἄνωθεν ὑπηρετεῖτο προρρήσει, πᾶσαν σπουδὴν ποιεῖται τὸν φόβον ἐξελεῖν τοῦ παιδός, καὶ θάρσος ἐνθεῖναι, ὥστε τὴν συμβουλὴν εἰς ἔργον ἀγαγεῖν· καὶ οὐχ ὑπισχνεῖται αὐτῷ, ὅτι δυνήσεται παρακρούσασθαι τὸν πατέρα καὶ λαθεῖν· ἀλλὰ τί; «Ἐπ' ἐμὲ ἡ κατάρα σου, τέκνον· μόνον ὑπάκουσον τῆς φωνῆς μου, καὶ πορευθεὶς ἔνεγκέ μοι». Κἂν γένηται τοιοῦτόν τι, φησίν, οὐδὲν αὐτὸς παραβλαβήσῃ. Μὴ τοίνυν δείσῃς, ἀλλὰ θαρρῶν «Ὑπάκουσόν μου τῆς φωνῆς», καὶ ποίει τὰ παρ' ἐμοῦ σοι συμβουλευθέντα. Τοῦτο ἀληθῶς φιλοστοργία μητρός, τὸ ὑπὲρ τοῦ παιδὸς ἑτοίμως ἅπαντα καταδέχεσθαι. Ταῦτα εἰποῦσα ἴσχυσε ἐξελεῖν τοῦ παιδὸς τὸν φόβον. «Καὶ πορευθεὶς ἔλαβε καὶ ἤνεγκε τῇ μητρὶ αὐτοῦ· καὶ ἐποίησεν ἐδέσματα, καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ. Καὶ λαβοῦσα», φησίν, «ἡ Ῥεβέκκα τὴν στολὴν τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλήν, ἣ ἦν παρ' αὐτῇ ἐν τῷ οἴκῳ,

νά φάγῃ καὶ νά σὲ εὐλογήσῃ πρὶν ἀποθάνῃ».

2. Πρόσεχε τὴν στοργὴν τῆς μητρὸς ἢ μᾶλλον τὴν οἰκονομίαν τοῦ Θεοῦ. Διότι αὐτὸς ἦτο ἐκεῖνος ποὺ ἔκαμεν αὐτὴν νὰ τὸν συμβουλεύσῃ καὶ νὰ γίνουν ὅλα κατορθωτά. Εἶδες τὴν ἀρίστην συμβουλὴν τῆς μητρός; Πρόσεχε καὶ τὴν περίσκεψιν τοῦ Ἰακὼβ καὶ πῶς μὲ τὴν ἀπάντησιν ἀποδεικνύει τὸν καλόν του χαρακτῆρα. Διότι λέγει· «Εἶπεν ὁ Ἰακὼβ εἰς τὴν μητέρα του. Ὁ ἀδελφός μου Ἠσαῦ εἶναι δασύτριχος, ἐνῷ ἐγὼ εἶμαι ἄτριχος. Μήπως μὲ ψηλαφήσῃ ὁ πατήρ μου καὶ θὰ φανῶ εἰς αὐτὸν ἀπατεὼν καὶ θὰ ἐπισύρω ἐναντίον μου τὴν κατάραν καὶ ὄχι τὴν εὐλογίαν». Μεγάλη εἶναι ἡ εὐγνωμοσύνη καὶ ὁ σεβασμὸς τοῦ παιδιοῦ πρὸς τὸν πατέρα. Φοβοῦμαι, λέγει, μήπως αὐταὶ αἱ ἐπιδιώξεις μου ἀποβοῦν εἰς βάρος μου, μήπως φανῶ, ὅτι εἶμαι ἀντίθετος μὲ τὴν θέλησιν τοῦ πατρὸς καὶ ἀντὶ τῆς εὐλογίας λάβω τὴν κατάραν του.

Τί λοιπὸν εἶπεν ἡ θαυμασία καὶ στοργικὴ Ρεβέκκα; Ἐπειδὴ δὲν ἔκανεν αὐτὸ μόνον μὲ τὴν ἰδικήν της θέλησιν, ἀλλὰ ἐξυπηρετοῦσε καὶ τὸ θεῖον σχέδιον, καταβάλλει κάθε προσπάθειαν νὰ ἀπομακρύνῃ ἀπὸ τὸ παιδὶ τὸν φόβον καὶ νά τὸ ἐνθαρρύνῃ, ὥστε νὰ πραγματοποιήσῃ τὴν συμβουλήν της. Καὶ δὲν ὑπόσχεται εἰς αὐτὸν ὅτι θὰ ἠμπορέσῃ νὰ παραπλανήσῃ τὸν πατέρα του καὶ νὰ διαφύγῃ τὴν προσοχήν του, ἀλλὰ τί λέγει; «Ἐπάνω μου ἂς πέσῃ ἡ κατάρα σου, τέκνον μου. Μόνον ὑπάκουσε εἰς αὐτὰ ποὺ σοῦ λέγω καὶ πήγαινε νὰ μοῦ φέρῃς τὰ ἐρίφια». Καὶ ἂν συμβῇ κάτι παρόμοιον, λέγει, καθόλου δὲν θὰ σὲ βλάψῃ. Νὰ μὴ φοβηθῇς λοιπόν, ἀλλὰ μὲ θάρρος. «Νὰ ὑπακούσῃς εἰς αὐτὸ ποὺ σοῦ λέγω», καὶ νὰ κάμῃς αὐτὰ ποὺ σὲ συμβουλεύω. Αὐτὸ εἶναι πραγματικὴ στοργὴ μητέρας, τὸ νὰ εἶναι ἕτοιμη δηλαδὴ νὰ ὑποστῇ τὰ πάντα διὰ τὸ παιδί της. Μὲ αὐτά, τὰ ὁποῖα εἶπεν, ἠμπόρεσε νὰ ἀποβάλῃ τὸν φόβον τοῦ παιδιοῦ. «Καὶ ἐπῆγε καὶ ἔλαβε καὶ ἔφερεν αὐτὰ εἰς τὴν μητέρα του. Καὶ αὐτὴ ἔκαμεν αὐτὰ ἐδέσματα, ὅπως ἤρεσαν εἰς τὸν πατέρα του. Καὶ ἔλαβεν ἡ Ρεβέκκα τὴν καλὴν στολὴν τοῦ μεγαλυτέρου υἱοῦ της ποὺ εὑρίσκε-

ἐνέδυσεν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκε περὶ τοὺς βραχίονας αὐτοῦ, καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ, καὶ ἔδωσε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους, οὓς ἐποίησεν, εἰς τὰς χεῖρας Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς, καὶ εἰσήνεγκε τῷ πατρὶ αὐτοῦ».

Θέα μοι ἐνταῦθα τῆς Ρεβέκκας μετὰ τῆς φιλοστοργίας καὶ τὴν πολλὴν σοφίαν. Ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω, ὅτι ὁ μὲν ἦν δασύς, ὁ δὲ λεῖος, τὴν στολήν, φησίν, ἐνέδυσεν αὐτὸν τοῦ Ἡσαῦ, καὶ τὰ δέρματα περιέθηκεν αὐτῷ, καὶ πανταχόθεν σχηματίσασα αὐτόν, ὡς τὴν ἀπάτην εἰς ἔργον ἐλθεῖν, δοῦσα τὰ ἐδέσματα καὶ τοὺς ἄρτους εἰς τὰς χεῖρας, παρεσκεύασε προσαγαγεῖν τῷ πατρί. Σκόπει μοι πάλιν ἐνταῦθα, πῶς τῆς ἄνωθεν χάριτος ἦν τὸ πᾶν. Ὅταν γὰρ ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, δαψιλῶς ἀπολαύσομεν καὶ τῆς παρὰ τοῦ Θεοῦ συνεργίας. Ἵνα γὰρ μὴ ῥαθυμῶμεν, μηδὲ ἀναπεπτωκότες ὦμεν, βούλεται καὶ ἡμᾶς τι συνεισφέρειν, ἵν' οὕτω καὶ τὰ παρ' ἑαυτοῦ ἐπιδείξηται· καὶ οὔτε τὸ πᾶν τῆς ἄνωθεν γίνεται βοηθείας, ἀλλὰ δεῖ καὶ ἡμᾶς τι συνεισενεγκεῖν· οὔτε παρ' ἡμῶν πάλιν ἀπαιτεῖ τὸ πᾶν, εἰδὼς τῆς ἡμετέρας ἀσθενείας τὴν ὑπερβολήν, ἀλλὰ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, καὶ βουλόμενος ἀφορμήν τινα λαβεῖν, ὥστε τὴν οἰκείαν φιλοτιμίαν ἐπιδείξασθαι, ἀναμένει τὰ παρ' ἡμῶν εἰσενεχθῆναι· ὅπερ καὶ νῦν γεγένηται.

Ἐπειδὴ γὰρ καὶ ὁ Ἰακὼβ καὶ ἡ Ρεβέκκα, ἅπερ ἐχρῆν ἀφ' ἑαυτῶν γενέσθαι, πεποιήκασι, καὶ ὁ μὲν ὑπήκουσε τῆς συμβουλῆς τῆς μητρός, ἡ δὲ τὰ παρ' ἑαυτῆς πάντα ἐπλήρωσε, τότε λοιπὸν καὶ ὁ ἀγαθὸς Δεσπότης τὸ πάντων δυσχερέστερον τοῦτο μετ' εὐκολίας ἀνυσθῆναι πεποίηκε, τὸ μὴ γενέσθαι κατάδηλον τῆς ἀπάτης τὸ δρᾶμα τῷ Ἰσαάκ. Ἐπειδὴ γὰρ προσήνεγκε τὰ ἐδέσματα τῷ πατρί, εἶπε· «Τίς εἶ σύ, τέκνον; Καὶ εἶπεν Ἰακὼβ τῷ πατρὶ αὐτοῦ· ἐγώ εἰμι

το εἰς τὴν οἰκίαν της καὶ ἐνέδυσε μὲ αὐτὴν τὸν Ἰακὼβ τὸν υἱόν της τὸν νεώτερον. Καὶ μὲ τὰ δέρματα τῶν ἐριφίων ἐσκέπασε τὰ χέρια αὐτοῦ καὶ τὰ γυμνὰ μέρη τοῦ τραχήλου του καὶ ἔδωσεν εἰς τὸν Ἰακὼβ τὸν υἱόν της τὰ ἐδέσματα καὶ τὸν ἄρτον ποὺ εἶχεν ἑτοιμάσει, καὶ ὁ Ἰακὼβ τὰ προσέφερεν εἰς τὸν πατέρα του».

Πρόσεχε ἐδῶ, παρακαλῶ, μαζὶ μὲ τὴν στοργὴν καὶ τὴν μεγάλην σοφίαν τῆς Ρεβέκκας. Ἐπειδὴ δηλαδὴ εἶπε προηγουμένως, ὅτι ὁ μὲν Ἠσαῦ ἦτο δασύτριχος, ὁ δὲ Ἰακὼβ ἄτριχος, ἐφόρεσεν εἰς τὸν Ἰακώβ, λέγει, τὴν στολὴν τοῦ Ἠσαῦ καὶ ἐσκέπασεν αὐτὸν μὲ τὰ δέρματα καί, ἀφοῦ μετεμόρφωσε πλήρως αὐτὸν ὥστε νὰ πραγματοποιηθῇ ἡ ἀπάτη, καὶ ἀφοῦ ἔδωσε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους εἰς τὰ χέρια του, τὸν ἡτοίμασε νὰ φέρῃ αὐτὰ εἰς τὸν πατέρα του.` Σκέψου, παρακαλῶ, πάλιν ἐδῶ ὅτι τὸ κάθε τι ἦτο ἔργον τῆς θείας χάριτος. Καθ' ὅσον, ὅταν ἡμεῖς προσφέρωμεν ὅ,τι ἐξαρτᾶται ἀπὸ ἡμᾶς, θὰ ἀπολαύσωμεν μὲ ἀφθονίαν καὶ τὴν βοήθειαν τοῦ Θεοῦ. Διὰ νὰ μὴ εἴμεθα λοιπὸν ὀκνηροὶ καὶ νὰ μὴ χάνωμεν τὸ θάρρος μας, ἐπιθυμεῖ νὰ προσφέρωμεν καὶ ἡμεῖς κάτι, διὰ νὰ φανερώσῃ ἔτσι καὶ τὰς ἰδικάς του ἐνεργείας. Καὶ οὔτε γίνεται τὸ πᾶν ἀπὸ τὴν ἄνωθεν βοήθειαν, ἀλλὰ πρέπει καὶ ἡμεῖς νὰ προσφέρωμεν κάτι, οὔτε ἀπαιτεῖ πάλιν τὸ πᾶν ἀπὸ ἡμᾶς, ἀφοῦ γνωρίζει τὸ μέγεθος τῆς ἀδυναμίας μας.` Λόγῳ ὅμως τῆς φιλανθρωπίας του καὶ ἐπειδὴ θέλει νὰ λάβῃ κάποιαν ἀφορμήν, διὰ νὰ φανερώσῃ τὴν φιλοτιμίαν του, περιμένει νὰ προσφέρωμεν, ὅ,τι ἐξαρτᾶται ἀπὸ ἡμᾶς, πρᾶγμα τὸ ὁποῖον ἔγινε καὶ τώρα.

Ἀφοῦ λοιπὸν καὶ ὁ Ἰακὼβ καὶ ἡ Ρεβέκκα ἔκαναν αὐτὰ ποὺ ἔπρεπε νὰ γίνουν ἀπ' αὐτοὺς καὶ ὁ μὲν ὑπήκουσεν εἰς τὴν συμβουλὴν τῆς μητρός, ἡ δὲ ἄλλη ἔκαμεν ὅ,τι ἔπρεπε, τότε πλέον καὶ ὁ ἀγαθὸς Θεὸς ἔκαμεν, ὥστε νὰ πραγματοποιηθῇ μὲ εὐκολίαν τὸ δυσκολώτερον ἀπ' ὅλα, τὸ νὰ μὴ ἀποκαλυφθῇ δηλαδὴ εἰς τὸν Ἰσαὰκ ἡ ὑπόθεσις τῆς ἀπάτης. Διότι, ὅταν προσέφερε τὰ ἐδέσματα εἰς τὸν πατέρα του, εἶπε· «Ποῖος εἶσαι σύ, τέκνον μου; Καὶ ὁ

Ἡσαῦ ὁ υἱός σου ὁ πρωτότοκος· πεποίηκά σοι, καθὰ λελάληκάς μοι. Ἀναστὰς κάθισον, καὶ φάγε ἐκ τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου». Ἐννόει μοι, μεθ' ὅσης ἀγωνίας ταῦτα ἐφθέγγετο ὁ Ἰακώβ. Ὁ γὰρ ἐν προοιμίοις εἰπὼν τῇ μητρί, φοβοῦμαι μὴ ἐπάξω ἐμαυτῷ κατάραν καὶ οὐκ εὐλογίαν, νῦν ἐν ὅσῳ φόβῳ καθειστήκει τοσοῦτον δρᾶμα ὑποκρινόμενος; Ἀλλ' ἐπειδὴ Θεὸς ἦν ὁ συνεργῶν τοῖς γινομένοις, ἅπαντα εἰς ἔργον ἐξῄει. Τί οὖν, ἂν εἴποι τις, καὶ τῷ ψεύδει τῷ τοιούτῳ Θεὸς συνήργησε;

Μὴ ἁπλῶς ἐξέταζε τὸ γινόμενον, ἀγαπητέ, ἀλλὰ τὸν σκοπὸν καταμάνθανε, καὶ ὅτι οὐ βιωτικῆς ἕνεκέν τινος πλεονεξίας τοῦτο ἐγίνετο, ἀλλὰ τοῦ πατρὸς τὴν εὐλογίαν ἐπισπάσασθαι ἐσπούδαζεν· ἄλλως δὲ εἰ μέλλοις ἁπλῶς τὰ γινόμενα ἐξετάζειν, καὶ μὴ τὸν σκοπὸν πανταχοῦ ἐπιζητεῖν, ὅρα σοι τὸν πατριάρχην παιδοκτόνον ὀνομάζειν καὶ τὸν Φινεὲς ἀνδροφόνον. Ἀλλ' οὔτε ἐκεῖνος παιδοκτόνος, ἀλλὰ καὶ λίαν φιλόστοργος, εἰ καί τις ἄλλος· οὔτε οὗτος ἀνδροφόνος, ἀλλὰ τὸ μᾶλλον καὶ ἄγαν ζηλωτής. Ἑκάτερος γὰρ αὐτῶν τὸ δοκοῦν τῷ Θεῷ διεπράττετο. Διόπερ ὁ μὲν διὰ τὴν ὑπακοὴν πολλῆς ἀξιοῦται τῆς ἄνωθεν ἀμοιβῆς· ὁ δὲ διὰ τὸν ζῆλον ἀνακηρύττεται. «Ἔστη γάρ», φησί, «Φινεές, καὶ ἐξιλάσατο». Εἰ τοίνυν φόνος εὐδοκίμησε καὶ παιδοκτονία ἐν ἐκείνοις, ἐπειδὴ κατὰ Θεοῦ γνώμην ἐγένετο, καὶ οὐ τοῖς γεγονόσι προσέχομεν, ἀλλὰ τῷ σκοπῷ τῶν γινομένων, καὶ τῇ τῶν πεποιηκότων γνώμῃ, πολλῷ μᾶλλον καὶ ἐνταῦθα τοῦτο λογίζεσθαι χρή.

3. Μὴ τοίνυν τοῦτο σκόπει, ὅτι ψεῦδος ἦν τὰ λεγόμενα παρὰ τοῦ Ἰακώβ, ἀλλ' ἐκεῖνο ἐννόει, ὅτι βουλόμενος ὁ Θεὸς εἰς ἔργον τὴν πρόρρησιν αὐτοῦ

2. Ψαλμ. 106, 30.

Ἰακὼβ εἶπεν εἰς τὸν πατέρα του· Ἐγὼ εἶμαι ὁ Ἠσαῦ ὁ υἱός σου ὁ πρωτότοκος. Ἔκαμα ὅπως μοῦ εἶπες. Σήκω, κάθισε καὶ φάγε ἀπὸ τὸ κυνήγιον, διὰ νὰ μὲ εὐλογήσῃ ἡ ψυχή σου». Σκέψου, παρακαλῶ, μὲ πόσην ἀγωνίαν ἔλεγεν αὐτὰ ὁ Ἰακώβ. Καθ' ὅσον αὐτὸς ὁ ὁποῖος εἰς τὴν ἀρχὴν εἶπεν εἰς τὴν μητέρα του, φοβοῦμαι, μήπως ἀποκομίσω διὰ τὸν ἑαυτόν μου τὴν κατάραν καὶ ὄχι τὴν εὐλογίαν, πόσον φοβεῖται τώρα, ποὺ ὑποκρίνεται τόσον μεγάλο ψεῦδος; Ἐπειδὴ ὅμως ἦτο ὁ Θεὸς ἐκεῖνος ποὺ ἦτο συνεργὸς εἰς ὅσα ἐγίνοντο, διὰ τοῦτο ὅλα ἐπραγματοποιοῦντο. Τί λοιπόν, θὰ ἠμποροῦσε νὰ εἰπῇ κάποιος, καὶ ὁ Θεὸς συνήργησε εἰς αὐτὸ τὸ ψεῦδος;

Νὰ μὴ ἐξετάζῃ», ἀγαπητέ, ἁπλῶς αὐτό, τὸ ὁποῖον ἔγινεν ἐξ αἰτίας κάποιας βιωτικῆς πλεονεξίας, ἀλλ' ἐπειδὴ ἐπεδίωκε νὰ λάβῃ τὴν πατρικὴν εὐλογίαν. Ἀλλιῶς, ἐὰν πρόκειται νὰ ἐξετάζῃς τὰ γεγονότα ἁπλῶς καὶ νὰ μὴ ἐπιζητῇς παντοῦ τὸν σκοπόν, πρόσεχε μήπως ὀνομάσῃς τὸν πατριάρχην Ἀβραὰμ παιδοκτόνον καὶ τὸν Φινεὲς δολοφόνον. Ὅμως οὔτε ὁ πατριάρχης ἦτο παιδοκτόνος, ἀλλὰ πολὺ φιλόστοργος μάλιστα, ὅσον κανεὶς ἄλλος. Οὔτε ἐκεῖνος ἦτο δολοφόνος, ἀλλὰ ὑπερβολικὰ ζηλωτής. Διότι ὁ καθεὶς ἀπ' αὐτοὺς τοὺς δύο ἔκαμεν ἐκεῖνο, τὸ ὁποῖον ἐφαίνετο καλὸν εἰς τὸν Θεόν. Διὰ τοῦτο ἀκριβῶς ὁ μὲν Ἀβραὰμ ἐξ αἰτίας τῆς ὑπακοῆς του γίνεται ἄξιος τῆς ἄνωθεν ἀμοιβῆς, ὁ δὲ Φινεὲς λόγῳ τοῦ ζήλου του στεφανώνεται. Διότι λέγει, «Ἐστάθη ὁ Φινεὲς καὶ ἐξιλέωσε τὸν Θεόν»[2]. Ἐὰν λοιπὸν ὁ φόνος καὶ ἡ παιδοκτονία ἀπεδείχθησαν καλὰ δι' αὐτούς, ἀφοῦ ἔγιναν μὲ τὴν θέλησιν τοῦ Θεοῦ, καὶ δὲν προσέχωμεν εἰς τὰ γεγονότα, ἀλλ' εἰς τὸν σκοπὸν αὐτῶν τῶν γεγονότων καὶ εἰς τὴν διάθεσιν ἐκείνων, οἱ ὁποῖοι κάνουν αὐτά, πολὺ περισσότερον πρέπει νὰ λάβωμεν ὑπ' ὄψιν αὐτὸ καὶ ἐδῶ.

3. Μὴ σκέπτεσαι λοιπὸν αὐτό, ὅτι δηλαδὴ ἦσαν ψεῦδος ἐκεῖνα, τὰ ὁποῖα ἔλεγεν ὁ Ἰακώβ, ἀλλὰ νὰ ἔχῃς ὑπ' ὄψιν σου ὅτι ὁ Θεὸς ἐρρύθμισε νὰ γίνουν ὅλα κατ' αὐτὸν τὸν τρόπον, ἐπειδὴ ἤθελε νὰ πραγματοποιήσῃ τὸ σχέδιόν

ἀγαγεῖν, ἅπαντα οὕτως ᾠκονόμησε γενέσθαι. Καὶ ἵνα μάθῃς ὅτι ὁ Θεὸς ἦν ὁ πάντα ἐξευμαρίζων, καὶ τὰ δύσκολα εὔκολα ποιῶν, ὅρα πῶς ὁ δίκαιος οὐκ ἠδυνήθη συνιδεῖν τὴν ἀπάτην, ἀλλὰ καὶ πείθεται τοῖς παρὰ τοῦ Ἰακὼβ ῥηθεῖσι, καὶ ἀπολαύσας τῶν ἐδεσμάτων ἀμείβεται αὐτὸν ταῖς εὐλογίαις. Καὶ οὐ πρότερον παραγίνεται ἀπὸ τῆς θήρας ὁ Ἡσαῦ, μέχρις ὅτε πάντα τέλος ἔλαβεν, ἵνα διὰ πάντων γνῶμεν ὅτι κατὰ Θεοῦ γνώμην τὸ γινόμενον ἦν. «Εἶπε δέ», φησίν, «Ἰσαάκ· τί τοῦτο, ὅτι ταχὺ εὗρες, ὦ τέκνον; Ὁ δὲ εἶπεν· ὃ παρέδωκε Κύριος ὁ Θεός σου ἐναντίον ἐμοῦ». Ἔτι ἐναγώνιος εἱστήκει ὁ Ἰακώβ, καὶ ηὔξετο αὐτῷ τὰ τοῦ φόβου, καὶ πάντα ἐγίνετο, ἵνα μάθωμεν δι' αὐτῶν ὅτι ὁ φιλάνθρωπος Δεσπότης οὐχ ἁπλῶς τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν, ἂν μὴ πολλὴν ἴδῃ καὶ τὴν παρ' ἡμῶν θερμότητα γινομένην.

Μὴ γάρ μοι παραδράμῃς, ἀγαπητέ, τοῦτον νῦν τὸν ἀγῶνα, ἀλλὰ σκόπει, ὅτι περὶ τοῦ παντὸς ἦν αὐτῷ ὁ κίνδυνος, καὶ ἐδεδοίκει καὶ ἔτρεμε, μὴ δι' εὐλογίαν κατάρας ὑπεύθυνος γένηται. Εἶτά φησιν, «Εἶπε δὲ Ἰσαάκ· ἔγγισόν μοι, καὶ ψηλαφήσω σε, τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ, ἢ οὔ». Ἀπὸ γὰρ τῆς φωνῆς ἠρέμα πως ἐνεδοίαζεν ὁ δίκαιος· ἀλλ' ἐπειδὴ ἐχρῆν τὴν οἰκονομίαν εἰς ἔργον ἐξελθεῖν, οὐ συνεχωρήθη συνιδεῖν τὴν ἀπάτην. «Ἤγγισε δέ», φησίν, «Ἰακώβ, καὶ ἐψηλάφησεν αὐτόν, καὶ εἶπεν· ἡ μὲν φωνή, φωνὴ Ἰακώβ· αἱ δὲ χεῖρες, χεῖρες Ἡσαῦ· καὶ οὐκ ἐπέγνω αὐτόν». Ὅρα πῶς δείκνυται ὅτι τῆς τοῦ Θεοῦ χάριτος ἦν τὸ πᾶν, τῆς παρασκευαζούσης καὶ αὐτὸν μηδὲν τῶν γινομένων συνιδεῖν, καὶ τὸν Ἰακὼβ ἀπολαῦσαι τῆς πατρικῆς εὐλογίας. «Καὶ οὐκ ἐπέγνω αὐτόν», φησίν· «Ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ ὡς αἱ χεῖρες Ἡσαῦ. Καὶ εἶπεν· εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ;».

Ὅρα πάλιν πῶς δείκνυσιν ἡ θεία Γραφὴ ὅτι, ἐ-

του. Καὶ διὰ νὰ καταλάβῃς ὅτι ὁ Θεὸς ἦτο αὐτὸς ποὺ ἔκανε τὰ πάντα ἐλαφρὰ καὶ τὰ δύσκολα εὔκολα, πρόσεχε πῶς ὁ δίκαιος Ἰσαὰκ δὲν ἠμπόρεσε νὰ καταλάβῃ τὴν ἀπάτην, ἀλλὰ πείθεται εἰς τοὺς λόγους τοῦ Ἰακὼβ καί, ἀφοῦ ἀπήλαυσε τὰ ἐδέσματα, ἀμείβει αὐτὸν μὲ τὰς εὐλογίας του. Καὶ δὲν ἐπιστρέφει ὁ Ἠσαῦ ἐνωρίτερον ἀπὸ τὸ κυνήγιον, μέχρις ὅτου ἐτελείωσαν ὅλα, διὰ νὰ καταλάβωμεν μὲ ὅλα, ὅτι ἐκεῖνο ποὺ ἔγινεν, ἦτο σύμφωνον μὲ τὴν θέλησιν τοῦ Θεοῦ. «Εἶπε δὲ ὁ Ἰσαὰκ εἰς τὸν Ἰακώβ· πῶς ἔγινεν αὐτό, τέκνον μου, καὶ εὗρες τὸ κυνήγιον γρήγορα; Καὶ αὐτὸς εἶπεν· Κύριος ὁ Θεός σου ἔφερεν αὐτὸ ἔμπροσθέν μου». Μὲ μεγαλυτέραν ἀγωνίαν ἐστέκετο ὁ Ἰακὼβ καὶ ηὔξανεν ὁ φόβος του καὶ ὅλα ἐγίνοντο, διὰ νὰ μάθωμεν μὲ αὐτά, ὅτι ὁ φιλάνθρωπος Κύριος δὲν δείχνει τὴν φροντίδα του, ἐὰν δὲν ἰδῇ καὶ ἡμᾶς νὰ ἔχωμεν μεγάλον ζῆλον.

Μὴ λησμονήσῃς, ἀγαπητέ, παρακαλῶ, αὐτὸν τὸν ἀγῶνα, ἀλλὰ σκέψου, ὅτι ὑπῆρχεν εἰς αὐτὸν κίνδυνος διὰ τὸ πᾶν καὶ ἐφοβεῖτο καὶ ἔτρεμε, μήπως ἀντὶ διὰ τὴν εὐλογίαν γίνῃ ὑπεύθυνος κατάρας. Ἔπειτα λέγει, «Εἶπε δὲ ὁ Ἰσαὰκ εἰς τὸν Ἰακώβ. Πλησίασέ με, τέκνον μου, διὰ νὰ σὲ ψηλαφήσω, ἐὰν σὺ εἶσαι ὁ υἱός μου ὁ Ἠσαῦ, ἢ ὄχι». Διότι ἀπὸ τὴν φωνὴν ἀμφέβαλλεν ὀλίγον τι ὁ δίκαιος. Ἀλλ' ἐπειδὴ ἔπρεπε νὰ πραγματοποιηθῇ τὸ σχέδιον τοῦ Θεοῦ, δὲν ἐπετράπη νὰ καταλάβῃ τὴν ἀπάτην. «Καὶ ἐπλησίασεν αὐτὸν ὁ Ἰακὼβ καὶ ὁ πατήρ του τὸν ἐψηλάφησε καὶ εἶπεν. Ἡ μὲν φωνὴ εἶναι φωνὴ τοῦ Ἰακώβ, τὰ δὲ χέρια εἶναι χέρια τοῦ Ἠσαῦ. Καὶ δὲν ἀνεγνώρισεν αὐτόν». Πρόσεχε πῶς ἀποδεικνύεται ὅτι τὸ κάθε τι ἦτο ἔργον τῆς θείας χάριτος, ἡ ὁποία ἔκανε καὶ τὸν Ἰσαὰκ νὰ μὴ ἀντιληφθῇ τίποτε ἀπ' αὐτά, τὰ ὁποῖα ἐγίνοντο, καὶ τὸν Ἰακὼβ νὰ ἀπολαύσῃ τὴν πατρικὴν εὐλογίαν. «Καὶ δὲν ἀνεγνώρισεν αὐτόν», λέγει, «διότι τὰ χέρια αὐτοῦ ἦσαν χέρια τοῦ ἀδελφοῦ του Ἠσαῦ. Καὶ εἶπεν ὁ Ἰσαάκ. Σὺ εἶσαι ὁ υἱός μου Ἠσαῦ;».

Πρόσεχε πάλιν πῶς ἡ ἁγία Γραφὴ δεικνύει, ὅτι ὁ δί-

δίσταζεν ὁ δίκαιος. «Εἶπε γάρ, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ;», ἵνα καὶ ἐκ τούτου πάλιν γνῶμεν, ὅτι ὁ πατὴρ μὲν ἡττηθεὶς τῇ φυσικῇ φιλοστοργίᾳ ἅπαντα διεπράττετο, ὁ δὲ Θεὸς ὁ τὰ μέλλοντα προορῶν, καὶ ἀπὸ τῆς τῶν τρόπων ἀρετῆς χαρακτηρίζων καὶ δεικνὺς τοὺς ἑαυτοῦ θεράποντας, οὕτως ἅπαντα οἰκονομεῖ. «Καὶ εἶπε», φησίν· «Ἐγώ». Ἐπειδὴ γὰρ εἶπεν, «Εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ;», καὶ εἶπεν, «Ἐγώ», εἶπε «Προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς θήρας σου, τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου», μόλις ποτὲ τῆς ἀγωνίας λοιπὸν ἀπηλλάγη ὁ Ἰακώβ, «Καὶ προσήνεγκε τῷ πατρὶ τὰ ἐδέσματα, καὶ εἰσήνεγκεν οἶνον, καὶ ἔπιε. Καὶ εἶπεν αὐτῷ· ἔγγισόν μοι, καὶ φίλησόν με, τέκνον. Καὶ ἐγγίσας ἐφίλησεν αὐτὸν καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτόν, καὶ εἶπεν».

Ὅρα τῆς θείας Γραφῆς τὴν παρατήρησιν. Ἐπειδὴ ἠρώτησεν, «Εἰ σὺ εἶ Ἡσαῦ», καὶ εἶπεν, «Ἐγώ», καὶ πάλιν ἐψηλάφησεν αὐτόν, καὶ ἠρέμα πως ἐνεδοίαζεν ὑπὸ τῆς φωνῆς εἰς ὑπόνοιάν τινα καὶ ὑπόκρισιν ἐμπεσών, καὶ πάλιν ἠρώτησεν, «Εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ;» καὶ εἶπεν, «Ἐγώ», εἶτα προσήνεγκεν αὐτῷ, καὶ ἔφαγε· τότε, φησίν, «Ἐφίλησεν αὐτόν, καὶ ηὐλόγησεν αὐτόν». Ἵνα μὴ νομίσῃ τις, ὅτι εἰς τὸ τοῦ Ἡσαῦ πρόσωπον τὴν εὐλογίαν ἐποιήσατο, ἀλλ' εἰς ἐκεῖνον τὸν ὑπ' αὐτοῦ φιληθέντα· διὰ τοῦτο ἐμνημόνευσεν ἡ θεία Γραφή, ὅτι καὶ ἐφίλησε, καὶ ηὐλόγησεν ἐκεῖνον τὸν ὑπ' αὐτοῦ φιληθέντα. «Ὠσφράνθη δέ», φησὶν «τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτόν, καὶ εἶπεν· ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν ηὐλόγησε Κύριος. Καὶ δώσει σοι Κύριος ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς ποιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου». Δώσει, φησί, σοί, τῷ τὰ ἐδέσματα προσενεγκόντι, τῷ παρ' ἐμοῦ φιληθέντι, «Καὶ δουλευσάτωσάν σοι ἔθνη».

καιος ἦτο διστακτικός. «Καὶ εἶπε· Σὺ εἶσαι ὁ υἱός μου Ἡσαῦ;», διὰ νὰ γνωρίσωμεν καὶ ἀπ' αὐτὸ πάλιν, ὅτι ὁ μὲν πατὴρ ἔκανε τὰ πάντα, ἐπειδὴ ἐνικήθη ἀπὸ τὴν φυσικὴν στοργήν, ὁ Θεὸς ὅμως, ὁ ὁποῖος προβλέπει αὐτὰ ποὺ πρόκειται νὰ συμβοῦν καὶ χαρακτηρίζει καὶ ἀναδεικνύει τοὺς δούλους του, κατ' αὐτὸν τὸν τρόπον ρυθμίζει τὰ πάντα. «Καὶ ἀπήντησεν ὁ Ἰακώβ», λέγει. «Ἐγὼ εἶμαι». Ἀφοῦ δηλαδὴ εἶπεν ὁ Ἰσαάκ· «Σὺ εἶσαι ὁ υἱός μου Ἡσαῦ;», καὶ ὁ Ἰακὼβ τοῦ ἀπήντησεν, «Ἐγὼ εἶμαι», ὁ πατήρ του εἶπεν πάλιν· «Φέρε μου ἀπὸ τὸ κυνήγιόν σου, διὰ νὰ φάγω, τέκνον μου, καὶ νὰ σὲ εὐλογήσῃ ἡ ψυχή μου», μόλις τότε ὁ Ἰακὼβ ἀπηλλάγη ἀπὸ τὴν ἀγωνίαν. «Καὶ ὁ Ἰακὼβ προσέφερεν εἰς τὸν πατέρα του τὰ ἐδέσματα καὶ οἶνον καὶ ἔπιε. Καὶ εἶπεν εἰς αὐτὸν ὁ Ἰσαάκ· Πλησίασέ με, τέκνον μου, καὶ φίλησέ με. Καὶ ἐπλησίασε καὶ ἐφίλησεν αὐτὸν καὶ ὁ πατήρ του ὠσφράνθη τὴν ὀσμὴν τῶν ἐνδυμάτων του καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπε».

Πρόσεχε τὴν παρατήρησιν τῆς ἁγίας Γραφῆς. Ἀφοῦ ἠρώτησεν, «Ἐάν σὺ εἶσαι ὁ Ἡσαῦ», καὶ ἐκεῖνος εἶπεν· «Ἐγώ», καὶ πάλιν ἐψηλάφησεν αὐτὸν καὶ ἀμφέβαλλεν ὀλίγον τι διὰ τὴν φωνήν, ἐπειδὴ ὑπωπτεύθη κάτι καὶ εἶχε κάποιαν ὑπόνοιαν, ἠρώτησεν αὐτὸν καὶ πάλιν, «Σὺ εἶσαι ὁ υἱός μου Ἡσαῦ;», καὶ ἐκεῖνος ἀπήντησεν, «Ἐγὼ εἶμαι», καὶ ἔπειτα ἔφερεν εἰς αὐτὸν καὶ ἔφαγε, τότε λέγει, «Ἐφίλησεν αὐτὸν καὶ τὸν εὐλόγησε». Διὰ νὰ μὴ νομίσῃ κανείς, ὅτι εὐλόγησε τὸ πρόσωπον τοῦ Ἡσαῦ, ἀλλὰ ἐκεῖνον, τὸν ὁποῖον ἐφίλησε, διὰ τοῦτο ἡ ἁγία Γραφὴ ἐμνημόνευσεν ὅτι ἐφίλησε καὶ εὐλόγησεν ἐκεῖνον ποὺ αὐτὸς ἐφίλησε. «Καὶ ὠσφράνθη ὁ Ἰσαάκ», λέγει, «τὴν ὀσμὴν τῶν ἐνδυμάτων αὐτοῦ καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν· Ἰδοὺ ἡ ὀσμὴ τοῦ υἱοῦ μου εἶναι ὡς ὀσμὴ πεδιάδος, τὴν ὁποίαν εὐλόγησεν ὁ Κύριος. Ἂς σοῦ δώσῃ ὁ Θεὸς βροχὴν ἐξ οὐρανοῦ καὶ εὐφορίαν τῆς γῆς, ὥστε νὰ ἔχῃς ἀφθονίαν σίτου καὶ οἴνου». Νὰ δώσῃ εἰς σέ, λέγει, ποὺ μοῦ προσέφερες τὰ ἐδέσματα καὶ ποὺ ἐφιλήθης ἀπὸ ἐμένα. «Νὰ σὲ ὑπηρετήσουν λαοί».

῎Ορα πῶς τὴν τῶν ἀναγκαίων ἀφθονίαν αὐτῷ ἐπηύξατο, εἶτα τὴν ἀρχὴν τῶν ἐθνῶν, προμηνύων ἤδη τὴν μέλλουσαν αὐτῷ ἔσεσθαι εὐημερίαν, καὶ τῶν ἐξ αὐτοῦ τικτομένων τὴν ἐπίδοσιν. «Καὶ προσκυνησάτωσάν σοι ἄρχοντες». Οὐ μόνον τὴν τῶν ἐθνῶν ὑποταγὴν αὐτῷ ἐπεύχεται, ἀλλὰ καὶ τῶν ἀρχόντων. «Καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου».῎Ορα πῶς ὑπηρετεῖται καὶ ἀγνοῶν ὁ δίκαιος τῇ τοῦ Θεοῦ γνώμῃ. Καὶ ἅπαντα ταῦτα διὰ τοῦτο ᾠκονομεῖτο, ἵνα οὗτος ὁ διὰ τὴν ἀρετὴν ἄξιος, αὐτὸς καρπώσηται τὴν εὐλογίαν. «Καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου». Υἱοὺς εἴωθεν ἡ Γραφὴ καλεῖν πᾶσαν τὴν συγγένειαν· ὡς καὶ ἐνταῦθα, τοὺς υἱοὺς τοῦ πατρός σου, ὡς ἂν εἴποι τις, τοὺς ἐκ τοῦ σπέρματος τοῦ ῾Ησαῦ ἔσεσθαι μέλλοντας. Οὐδὲ γὰρ ἕτερον παῖδα ἔσχεν ὁ ᾿Ισαάκ, ἀλλ' ἢ τούτους μόνους. «῾Ο καταρώμενός σε, ἐπικατάρατος· ὁ δὲ εὐλογῶν σε, εὐλογημένος». ᾿Ιδοὺ ἡ κορωνὶς τῆς εὐλογίας, ἰδοὺ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἁπάντων, τὸ εὐλογημένον εἶναι.

Εἶδες Θεοῦ φιλανθρωπίαν; ῾Ο δεδοικὼς μὴ κατάραν ἐπισπάσηται ἀντὶ εὐλογίας, οὐ μόνον μετὰ τοσαύτης δαψιλείας τὰς εὐλογίας κομίζεται παρὰ τοῦ πατρός, ἀλλὰ καὶ ἐκείνοις ἀρᾶται τοῖς ἐπιχειροῦσιν αὐτὸν καταρᾶσθαι. ᾿Εντεῦθεν μανθάνομεν, ὅτι ἐπειδάν τις κατὰ τῷ Θεῷ δοκοῦντα τὰ καθ' ἑαυτὸν οἰκονομεῖν βούληται, τοσαύτης ἀπολαύει τῆς ἄνωθεν συνεργείας, ὡς αὐτῆς τῶν πραγμάτων τῆς πείρας αἴσθησιν λαβεῖν. Τίς γὰρ οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειε τοῦ Θεοῦ τὴν ἄφατον οἰκονομίαν, ὅτι οὐ πρότερον ὁ ῾Ησαῦ ἀπὸ τῆς θήρας παραγέγονε, μέχρις ὅτε πέρας ἔλαβεν ἡ τοῦ δράματος ὑπόθεσις, κἀκεῖνος δεξάμενος τὰς εὐλογίας παρὰ τοῦ πατρὸς ἀνεχώρησε; Τοῦτο γὰρ ἡμᾶς διδάξαι βουλόμενος ὁ μακάριος Μωϋσῆς ἐπήγαγε· «Καὶ ἐγένετο μετὰ τὸ παύσασθαι τὸν ᾿Ισαὰκ εὐλογοῦντα ᾿Ιακὼβ τὸν υἱὸν αὐτοῦ, καὶ ἐγένετο ὡς ἐξῆλθεν ἀπὸ προσώπου ᾿Ισαὰκ τοῦ πατρὸς

Πρόσεχε πῶς ηὔξησεν ὁ Θεὸς τὸν πλοῦτον τῶν ἀναγκαίων ἀγαθῶν, ἔπειτα τὴν ἐξουσίαν εἰς τοὺς λαοὺς προαναγγέλλων τὴν μελλοντικήν του εὐημερίαν καὶ τὴν αὔξησιν τῶν ἀπογόνων του. «Καὶ νὰ σὲ προσκυνήσουν ἄρχοντες». Δὲν εὔχεται μόνον νὰ ὑποταγοῦν εἰς αὐτὸν οἱ λαοί, ἀλλὰ καὶ οἱ ἄρχοντες. «Καὶ νὰ γίνῃς κύριος τοῦ ἀδελφοῦ σου». Βλέπε πῶς ὁ δίκαιος, ἂν καὶ τὸ ἀγνοῇ, ὑπηρετεῖ τὸ θέλημα τοῦ Θεοῦ. Καὶ ὅλα αὐτὰ διὰ τοῦτο ἐσχεδιάζοντο ἀπὸ τὸν Θεόν, διὰ νὰ καρπωθῇ δηλαδὴ τὴν εὐλογίαν αὐτός, ὁ ὁποῖος ἦτο ἄξιος λόγῳ τῆς ἀρετῆς του. «Καὶ νὰ σὲ προσκυνήσουν οἱ υἱοὶ τοῦ πατρός σου». Υἱοὺς συνηθίζει ἡ ἁγία Γραφὴ νὰ ἀποκαλῇ ὅλους τοὺς συγγενεῖς. Ὅπως καὶ ἐδῶ ποὺ λέγει υἱοὺς τοῦ πατρός σου, ἐννοεῖ, ὅπως θὰ ἠμποροῦσε κάποιος νὰ εἰπῇ, αὐτοὺς ποὺ θὰ προήρχοντο ἀπὸ τοὺς ἀπογόνους τοῦ Ἠσαῦ. Διότι ὁ Ἰσαὰκ δὲν εἶχεν ἄλλον υἱὸν ἐκτὸς ἀπ' αὐτούς. «Ἐκεῖνος ποὺ θὰ σὲ καταρασθῇ νὰ εἶναι κατηραμένος καὶ ἐκεῖνος ποὺ θὰ σὲ εὐλογῇ νὰ εἶναι εὐλογημένος ἀπὸ τὸν Θεόν». Ἰδοὺ ἡ κορωνὶς τῆς εὐλογίας, ἰδοὺ τὸ μεγαλύτερον ἀπ' ὅλα τὰ ἀγαθά, τὸ νὰ εἶναι δηλαδὴ εὐλογημένος.

Εἶδες τὴν φιλανθρωπίαν τοῦ Θεοῦ; Αὐτὸς ὁ ὁποῖος ἐφοβεῖτο μήπως ἀντὶ εὐλογίας ἀποσπάσῃ κατάραν, ὄχι μόνον ἀποκομίζει ἀπὸ τὸν πατέρα τὰς εὐλογίας μὲ τόσην ἀφθονίαν, ἀλλὰ καὶ καταρᾶται ἐκείνους, οἱ ὁποῖοι ἐπιχειροῦν νὰ τὸν καταρασθοῦν. Ἀπ' ἐδῶ διδασκόμεθα, ὅτι, ὅταν κάποιος θέλῃ νὰ ρυθμίσῃ τὰς ὑποθέσεις του σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, δέχεται τόσην οὐράνιον βοήθειαν, ὥστε νὰ τὸ ἀντιλαμβάνεται ἀπὸ τὴν πεῖραν τῶν πραγμάτων. Διότι, ποῖος δὲν θὰ ἐξεπλήσσετο καὶ δὲν θὰ ἐθαύμαζε τὴν ἀπερίγραπτον οἰκονομίαν τοῦ Θεοῦ, ἀφοῦ ὁ Ἠσαῦ δὲν ἐπέστρεψεν ἀπὸ τὸ κυνήγιον, μέχρις ὅτι τελειώσῃ ἡ ὑπόθεσις αὐτὴ καὶ μέχρις ὅτου ἐκεῖνος λάβῃ τὰς εὐλογίας ἀπὸ τὸν πατέρα καὶ ἀναχωρήσῃ; Καθ' ὅσον ὁ Μωυσῆς, ἐπιθυμῶν νὰ μᾶς διδάξῃ αὐτό, ἐπρόσθεσε· «Καὶ μόλις ἔπαυσεν ὁ Ἰσαὰκ νὰ εὐλογῇ τὸν υἱόν του Ἰακὼβ καὶ ἐβγῆκεν ὁ Ἰακὼβ ἀπὸ τὴν σκηνὴν τοῦ πατρός του, ἰδοὺ

αὐτοῦ, καὶ ἰδοὺ Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας».

4. Ὅρα πῶς μετὰ τὴν τούτου ἔξοδον ἐκεῖνος εὐθέως παρεγένετο, οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλ' ἵνα ἀγνοῶν προσαγάγῃ καὶ αὐτὸς τὰ ἐδέσματα, καὶ παρὰ τοῦ πατρὸς μάθῃ τοῦ πράγματος τὴν ὑπόθεσιν. Εἰ γὰρ ἔφθη καταλαβεῖν τὸν ἀδελφόν, ἴσως ἂν αὐτὸς καὶ διεχειρίσατο ἡττώμενος ὑπὸ τοῦ θυμοῦ· ὁ γὰρ μετὰ ταῦτα τοῦτο βουλευσάμενος, πολλῷ μᾶλλον ἐν ἀκμῇ τοῦ πράγματος τοῦτο ἂν εἰργάσατο. Ἀλλ' ἡ τοῦ Θεοῦ χεὶρ ἦν ἡ τὸν παῖδα διασώζουσα, καὶ τοῦτον μὲν ἄξιον τῆς εὐλογίας ἀπεργασαμένη, ἐκεῖνον δὲ ἀποστερήσασα καὶ τῆς εὐλογίας καὶ τῶν πρωτοτοκίων. «Παραγενόμενος δέ», φησίν, «ἐποίησε καὶ αὐτὸς ἐδέσματα, καὶ προσήνεγκε τῷ πατρὶ αὐτοῦ, καὶ εἶπεν· ἀναστήτω ὁ πατήρ μου, καὶ φαγέτω τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου». Ὅρα μοι πάλιν τὸν δίκαιον ἐν θορύβῳ γενόμενον καὶ διαταραττόμενον τὸν λογισμόν. Ἀκούσας γάρ, φησίν, «Εἶπε· τίς εἶ σύ; Ὁ δὲ εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἡσαῦ».

Ὅρα πῶς μεγαλοφρονῶν ἐπὶ τῷ πράγματι οὐκ ἠρκέσθη τῷ εἰπεῖν, «Ἐγώ εἰμι Ἡσαῦ», ἀλλὰ προσέθηκεν, «Ὁ πρωτότοκος». «Ἐξέστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα, καὶ εἶπε· τίς οὖν ὁ θηρεύσας μοι θήραν, καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ σε ἐλθεῖν, καὶ εὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔστω;». Ὅρα πῶς καὶ εἰς ἀπορίαν γεγονὼς ὁ δίκαιος, καὶ διηγούμενος αὐτῷ τὸ συμβάν, ὅμως προσέθηκε, καιρίαν ἐκείνῳ διδοὺς τὴν πληγήν, τὸ «Καὶ εὐλόγηκα αὐτόν, καὶ εὐλογημένος ἔστω». Τοῦτο δὲ ἐποίει ὁ δίκαιος τῆς τοῦ Θεοῦ σοφίας ὁδηγούσης αὐτοῦ τὴν γλῶτταν, ἵνα πάντα μετὰ ἀκριβείας ἐκεῖνος μαθὼν εἰδέναι ἔχῃ, ὡς οὐδὲν αὐτῷ πλέον ἔσται οὔτε ἀπὸ τῶν πρωτοτοκίων, οὔτε ἀπὸ τῆς θήρας. «Ἀκούσας δέ», φησίν, «Ἡσαῦ ἀνεβόησε φωνὴν

ἐπέστρεψεν ἀπό τό κυνήγιον ὁ ἀδελφός του ὁ Ἠσαῦ».

4. Πρόσεχε πῶς μετὰ τὴν ἀναχώρησιν τοῦ Ἰακὼβ ἀμέσως ἦλθεν ὁ Ἠσαῦ, ὄχι χωρὶς λόγον, οὔτε χωρὶς σκοπόν, ἀλλὰ διὰ νὰ φέρῃ καὶ αὐτός χωρὶς νὰ γνωρίζῃ τὰ φαγητὰ εἰς τόν πατέρα του καὶ νὰ μάθῃ ἀπ' αὐτὸν ὅλην τὴν ὑπόθεσιν τοῦ πράγματος. Διότι ἐὰν συναντοῦσε τόν ἀδελφόν του, ἴσως καὶ νὰ τόν ἐφόνευε παρασυρόμενος ἀπὸ τὸν θυμόν. Καθ' ὅσον αὐτὸς ποὺ ἐσκέφθη αὐτὸ μετὰ ἀπ' αὐτά, πολὺ περισσότερον θὰ τὸ ἔκαμνεν αὐτὸ ὅταν εὑρίσκετο εἰς τὸ ἀποκορύφωμα τοῦ θυμοῦ του. Ἀλλὰ τὸ χέρι τοῦ Θεοῦ ἦτο αὐτό ποὺ διέσωσε τὸν Ἰακὼβ καὶ αὐτό ποὺ ἔκαμεν αὐτὸν ἄξιον τῆς εὐλογίας, ἐνῷ ἐστέρησεν ἀπὸ ἐκεῖνον καὶ τὴν εὐλογίαν καὶ τά πρωτοτόκια. «Καὶ ὅταν ἐπέστρεψεν ὁ Ἠσαῦ», λέγει, «ἔκαμε καὶ αὐτός ἐδέσματα καὶ προσέφερεν αὐτὰ εἰς τὸν πατέρα του καὶ εἶπεν. Ἂς σηκωθῇ ὁ πατήρ μου καὶ ἂς φάγῃ ἀπὸ τὸ κυνήγιον τοῦ υἱοῦ του, διὰ νὰ μὲ εὐλογήσῃ ἡ ψυχή σου». Πρόσεχε πάλιν, παρακαλῶ, ὅτι ὁ δίκαιος ἔχει θορυβηθῇ καὶ ἔχει ταραχθῇ. Διότι λέγει ὅταν ἤκουσεν ὁ Ἰσαάκ, «Εἶπεν εἰς τὸν Ἠσαῦ. Ποῖος εἶσαι σύ; Καὶ αὐτὸς ἀπήντησεν. Ἐγὼ εἶμαι ὁ πρωτότοκος υἱός σου ὁ Ἠσαῦ».

Πρόσεχε πῶς μεγαλοφρονεῖ διὰ τὸ πρᾶγμα αὐτό. Δὲν ἠρκέσθη εἰς τὸ νὰ εἰπῇ, «Ἐγὼ εἶμαι ὁ Ἠσαῦ», ἀλλὰ ἐπρόσθεσεν, «Ὁ πρωτότοκος». «Ὁ Ἰσαὰκ ἐξεπλάγη πάρα πολὺ καὶ εἶπε. Ποῖος λοιπὸν εἶναι ἐκεῖνος ποὺ ἐκυνήγησε κυνήγιον καὶ μοῦ ἔφερε καὶ ἔφαγον ἀπὸ ὅλα πρὶν νὰ ἔλθῃς σὺ καὶ τὸν εὐλόγησα καὶ ἂς εἶναι εὐλογημένος;». Πρόσεχε πῶς, ἂν καὶ ὁ δίκαιος εὑρίσκετο εἰς ἀπορίαν καὶ διηγεῖτο εἰς αὐτὸν τὸ γεγονὸς αὐτό, ὅμως πρόσθεσε καὶ τοῦ ἔδωσε τὸ ὁλοκληρωτικὸν κτύπημα, «Καὶ τὸν εὐλόγησα καὶ ἂς εἶναι εὐλογημένος». Ἔκανε δὲ αὐτὸ ὁ δίκαιος, ἐπειδή ἡ σοφία τοῦ Θεοῦ ὡδηγοῦσε τὴν γλῶσσαν του, διά νὰ ἠμπορῇ ἐκεῖνος, ἀφοῦ μάθῃ τὰ πάντα μέ ἀκρίβειαν, νὰ γνωρίζῃ, ὅτι εἰς τίποτε δέν ὑπερέχει, οὔτε εἰς τὰ πρωτοτόκια, οὔτε εἰς τὸ κυνήγιον. «Ὅταν ἤκουσεν ὁ Ἠσαῦ τοὺς λόγους τοῦ πατρός του ἐφώναξε μὲ

μεγάλην σφόδρα καὶ πικράν». Τί ἐστι, «Φωνὴν μεγάλην σφόδρα καὶ πικράν»; Τὸν θυμὸν ᾐνίξατο διὰ τοῦ ῥήματος, καὶ τῆς ὀργῆς, ἧς ἐπλήσθη ταῦτα μαθών, τὴν ὑπερβολήν. «Καὶ εἶπεν, εὐλόγησον δὴ κἀμέ, πάτερ. Εἶπε δὲ αὐτῷ· ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου, ἔλαβε τὴν εὐλογίαν». Προλαβών, φησίν, ὁ ἀδελφός σου τὴν εὐλογίαν πᾶσαν ἐπεσπάσατο μετὰ πολλῆς τῆς δαψιλείας.

Καὶ ἵνα γνῷς ὅτι ἡ ἄνωθεν χάρις ἦν, ἡ τὸν δίκαιον ἀπατηθῆναι συνεργήσασα, ὅρα πῶς αὐτὸς τοῦτο ὁμολογεῖ λέγων, «Ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου», μονονουχὶ ἀπολογούμενος τῷ παιδί, καὶ διδάσκων αὐτόν, ὅτι ἀγνοῶν ἐπ' ἐκεῖνον τὰς εὐλογίας ἐποιησάμην, καὶ ὅτι εἰς σὲ ταύτας ἕτοιμος ἤμην ποιήσασθαι· ἀλλ' ἐκεῖνος «Ἐλθὼν μετὰ δόλου, ἔλαβε τὴν εὐλογίαν σου»· τὰ σοὶ παρασκευασθέντα ἐκεῖνος ἐδέξατο· οὐ παρὰ τὴν ἐμὴν δὲ αἰτίαν γέγονε. «Καὶ εἶπε», φησίν, «Ἠσαῦ· δικαίως ἐπεκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἰλήφει, καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου». Οὐ μάτην, φησί, τῆς προσηγορίας ταύτης ἠξιώθη· πτερνισμὸς γὰρ ἑρμηνεύεται τὸ ὄνομα αὐτοῦ, ὅπερ οὗτος εἰς ἐμὲ ἐπεδείξατο, καὶ τῶν πρωτοτοκίων ἀποστερήσας καὶ τῆς εὐλογίας. Τί οὖν ὁ Ἠσαῦ πρὸς Ἰσαάκ; «Οὐχ ὑπελίπου μοι εὐλογίαν, πάτερ; Ἀποκριθεὶς δὲ Ἰσαὰκ εἶπεν αὐτῷ»· μάνθανε, φησίν, ὅτι πάσας εἰς αὐτὸν ἐξέχεα τὰς εὐλογίας, «Εἰ κύριον αὐτὸν ἐποίησά σου».

Ὅρα, πῶς εὐθέως ἀπὸ τούτου ἄρχεται, καὶ οὐδὲν ἕτερον λέγει, ἀλλὰ τὴν δουλείαν αὐτῷ σημαίνει καὶ τὴν ὑποταγήν· καί φησιν, «Εἰ κύριον αὐτὸν ἐποίησά σου, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν· σοὶ δὲ τί ποιήσω, τέκνον;». Οὐδὲν ἕτερον λοιπὸν ὑπολέλειπται· εἰ δεσπότην αὐτὸν ἐποίησά σου, καὶ πάντας αὐτοῦ οἰκέτας τοὺς ἀδελφούς, καὶ τῶν ἀναγκαίων αὐτῷ τὴν ἀφθο-

---

3. Ἰακὼβ = ὑποσκελιστής

φωνὴν μεγάλην καὶ πολὺ πικράν». Τί σημαίνει «Φωνὴν μεγάλην καὶ πολὺ πικράν»; Μὲ τὸν λόγον αὐτόν ὑπαινίχθη τὸν θυμὸν καὶ τὸ μέγεθος τῆς ὀργῆς, ἡ ὁποία τὸν κατέλαβεν, ὅταν ἔμαθεν αὐτά. «Καὶ εἶπεν ὁ Ἠσαῦ· εὐλόγησε λοιπὸν καὶ ἐμέ, πάτερ. Καὶ ὁ Ἰσαὰκ ἀπήντησεν εἰς αὐτόν· Ἦλθεν ὁ ἀδελφός σου μὲ δόλον καὶ ἔλαβε τὴν εὐλογίαν σου». Ἐπρόλαβεν ὁ ἀδελφός σου, λέγει, καὶ ἀπέσπασε τὴν εὐλογίαν σου πλουσίως.

Καὶ διὰ νὰ καταλάβῃς, ὅτι ἡ θεία χάρις ἦτο ἐκείνη, ἡ ὁποία συνήργησεν, ὥστε νὰ ἐξαπατηθῇ ὁ δίκαιος Ἰσαάκ, πρόσεχε πῶς ὁμολογεῖ ὁ ἴδιος μὲ τὸ νὰ λέγῃ, «Ἦλθε μὲ δόλον», ὡσὰν νὰ ἀπολογῆται εἰς τὸ παιδί του καὶ νὰ ἐξηγῇ, ὅτι χωρὶς νὰ γνωρίζω εὐλόγησα ἐκεῖνον καὶ ὅτι ἤμουν ἕτοιμος ἐσὲ νὰ εὐλογήσω. Ἐκεῖνος ὅμως, «Ἦλθε μὲ δόλον καὶ ἔλαβε τὴν εὐλογίαν σου». Ὅσα ἡτοιμάσθησαν διὰ σέ, τὰ ἐδέχθη αὐτὸς καὶ δὲν ἔγινεν αὐτὸ ἐξ αἰτίας μου. «Καὶ εἶπεν ὁ Ἠσαῦ», λέγει, «Δικαίως ὠνομάσθη Ἰακώβ», διότι διὰ δευτέραν φορὰν τώρα μὲ ὑπεσκέλισε. Τὴν πρώτην φορὰν ἔλαβε τὰ πρωτοτόκιά μου καὶ τώρα ἔλαβε τὴν εὐλογίαν μου». Δὲν ἔγινε τυχαίως ἄξιος αὐτοῦ τοῦ ὀνόματος, λέγει. Διότι τὸ ὄνομά του ἑρμηνεύεται ὑποσκελισμός, πρᾶγμα τὸ ὁποῖον ἔκαμεν αὐτὸς εἰς ἐμέ, ἀφοῦ μὲ ἐστέρησε τῶν πρωτοτοκίων καὶ τῆς πατρικῆς εὐλογίας. Τί εἶπε λοιπὸν ὁ Ἠσαῦ εἰς τὸν πατέρα του; «Δὲν ἐφύλαξες δι' ἐμὲ καμμίαν εὐλογίαν, πάτερ; Καὶ ἀπεκρίθη ὁ Ἰσαὰκ καὶ εἶπεν εἰς αὐτόν». Μάθε ὅτι ἔδωσα εἰς αὐτὸν ὅλας τὰς εὐλογίας, «Ἐφ' ὅσον τὸν κατέστησα κύριόν σου».

Πρόσεχε, πῶς ἀμέσως ἀπὸ τὸν Ἰακὼβ ἀρχίζει καὶ δὲν λέγει τίποτε ἄλλο, παρὰ μόνον φανερώνει εἰς αὐτὸν τὴν δουλείαν καὶ τὴν ὑποταγὴν καὶ λέγει, «Ἰδοὺ κύριόν σου ἔκαμα αὐτὸν καὶ ὅλους τοὺς ἀδελφούς του τοὺς ἔκαμα ὑπηρέτας του καὶ ἐστήριξα αὐτὸν μὲ σῖτον καὶ οἶνον. Εἰς σὲ τί νὰ κάμω, τέκνον μου;». Τίποτε ἄλλο λοιπὸν δὲν ἀπομένει. Ἐφ' ὅσον ἔκαμα αὐτὸν κύριόν σου καὶ ὅλους τοὺς ἀδελφούς σου δούλους καὶ τοῦ ἔδωσα ἀφθονίαν ἀγαθῶν, τί ἄλλο λοιπὸν ὑπολείπεται; «Καὶ εἶπεν ὁ Ἠσαῦ

νίαν ἐπηυξάμην, τί λοιπὸν ἕτερον λείπεται; «Εἶπε δὲ Ἡσαῦ πρὸς τὸν πατέρα αὐτοῦ· μὴ εὐλογία μία σοί ἐστι, πάτερ; Εὐλόγησον δὴ κἀμέ». Ἐπειδὴ ἤκουσε τοῦ πατρὸς εἰπόντος, «Καὶ εὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔσται», εἶτα καὶ τὴν εὐλογίαν αὐτῷ πᾶσαν δήλην ἐποίησε, τότε φησίν, «Εὐλόγησον δὴ κἀμέ, πάτερ· μὴ γὰρ μία σοί ἐστιν εὐλογία;». Μὴ γὰρ οὐχ ἱκανὸς σὺ κἀμὲ ἀξιῶσαι τῆς παρὰ σοῦ εὐλογίας, τὸν οὕτω παρὰ σοῦ ἀγαπώμενον, τὸν πρωτότοκον, τὸν διὰ τὴν θήραν παρὰ σοῦ ἀποσταλέντα;

Συνέχεε διὰ τῶν ῥημάτων τὸν πατέρα. «Κατανυχθέντος γάρ», φησίν, «Ἰσαάκ, ἀνεβόησε φωνῇ Ἡσαῦ καὶ ἔκλαυσεν». Εἶδε τὸν πατέρα ἐν ἀμηχανίᾳ ὑπάρχοντα, καὶ οὐ δυνάμενον, οὐδὲ ἀνεχόμενον ἀνατρέψαι τὰ ἤδη γεγονότα· καὶ ὁ μὲν τῇ βοῇ καὶ κλαυθμὸν προσέθηκεν, εἰς πλείονα συμπάθειαν ἀγαγεῖν τὸν πατέρα βουλόμενος. Οἰκτείρας δὲ αὐτὸν ὁ Ἰσαάκ, εἶπεν αὐτῷ· «Ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν, καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις· ἔσται δὲ ἡνίκα ἂν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου». Ἐπειδή, φησί, καὶ αὐτὸς τῆς παρ' ἐμοῦ εὐλογίας ἀπολαῦσαι ἐπιθυμεῖς, μάνθανε, ὅτι οὐχ οἷόν τέ με ἐναντία τῇ τοῦ Θεοῦ γνώμῃ διαπράξασθαι· ἀλλὰ καὶ σοὶ μὲν ἐπεύχομαι τὴν ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἀπόλαυσιν· ἴσθι δὲ μέλλων πολεμικὸν ἀναδέξασθαι βίον· «Ἐπὶ τῇ μαχαίρᾳ γάρ σου ζήσῃ», καὶ τῷ ἀδελφῷ σου δουλεύσεις.

5. Ἀλλὰ μηδεὶς ἀκούων ταῦτα ξενιζέσθω, ὁρῶν μετὰ ταῦτα τὸν ἀδελφὸν ἀλήτην γενόμενον διὰ τὸν παρὰ τούτου φόβον, καὶ εἰς τὴν ἀλλοτρίαν ἐπειγόμενον, μηδὲ τοῖς προοιμίοις προσέχων, νομιζέτω διαπίπτειν τὴν πρόρρησιν. Ὅταν γὰρ ὁ Δεσπότης τι ὑπόσχηται, κἂν ἐναντία τῶν ὑποσχέσεων ἴδωμεν ἐν τοῖς προοιμίοις ἐκβαίνοντα, μὴ θορυβώμεθα· οὐ γὰρ οἷόν

πρὸς τὸν πατέρα του. Μήπως μόνον αὐτὴν τὴν εὐλογίαν ἔχεις, πάτερ; Εὐλόγησε λοιπὸν καὶ ἐμέ». Ἐπειδὴ ἤκουσε τὸν πατέρα του νὰ λέγῃ· «Καὶ εὐλόγησα αὐτὸν καὶ ἂς εἶναι εὐλογημένος», καὶ ἀφοῦ τοῦ ἐφανέρωσεν ὁλόκληρον τὴν εὐλογίαν, τότε λέγει, «Εὐλόγησε λοιπὸν καὶ ἐμέ, πάτερ. Μήπως μόνον αὐτὴν τὴν εὐλογίαν ἔχεις;». Μήπως δηλαδὴ δὲν εἶσαι ἱκανὸς νὰ καταστήσῃς ἄξιον τῆς εὐλογίας σου καὶ ἐμέ, ὁ ὁποῖος ἀγαπᾶται τόσον ἀπὸ σέ, ἐμὲ τὸν πρωτότοκον, ποὺ ἀπεστάλην ἀπὸ σὲ διὰ νὰ κυνηγήσω;

Μὲ τοὺς λόγους αὐτοὺς ἔφερε σύγχυσιν εἰς τὸν πατέρα του. Διότι λέγει, «Ὁ Ἰσαὰκ συνεκινήθη, ὁ δὲ Ἠσαῦ ὕψωσε τὴν φωνήν του καὶ ἔκλαυσεν». Εἶδεν ὅτι ὁ πατήρ του εὑρίσκετο εἰς ἀμηχανίαν καὶ ὅτι δὲν ἠμποροῦσεν, οὔτε ἠνέχετο νὰ ἀνατρέψῃ, ὅσα ἤδη εἶχον γίνει. Καὶ ὁ μὲν Ἠσαῦ μαζὶ μὲ δυνατὴν φωνὴν ἤρχισε καὶ νὰ κλαίῃ, ἐπειδὴ ἤθελε νὰ κάνῃ τὸν πατέρα του νὰ τὸν συμπαθήσῃ περισσότερον. Καὶ ὁ Ἰσαὰκ τὸν ἐλυπήθη καὶ εἶπεν εἰς αὐτόν· «Ἰδοὺ ἡ κατοίκησίς σου θὰ εἶναι εἰς ἕνα μέρος ἀπὸ τὴν εὔφορον γῆν καὶ ἀπὸ τὴν δρόσον τοῦ οὐρανοῦ. Θὰ ζῇς μὲ τὴν μάχαιράν σου, ἀλλὰ θὰ εἶσαι δοῦλος εἰς τὸν ἀδελφόν σου. Θὰ ἔλθῃ καιρὸς ὅμως, κατὰ τὸν ὁποῖον θὰ ἀποτινάξῃς ἀπὸ τὸν τράχηλόν σου τὸν ζυγόν του». Ἐπειδή, λέγει, ἐπιθυμεῖς καὶ σὺ νὰ λάβῃς τὴν εὐλογίαν μου, μάθε, ὅτι δὲν ἠμπορῶ νὰ κάμω τὰ ἀντίθετα ἀπὸ τὴν θέλησιν τοῦ Θεοῦ. Εὔχομαι ὅμως καὶ εἰς σὲ νὰ ἀπολαύσῃς καὶ σὺ τὴν δρόσον τοῦ οὐρανοῦ, ἀλλὰ νὰ γνωρίζῃς, ὅτι θὰ ζήσῃς πολεμικὴν ζωήν, «Διότι θὰ ζῇς μὲ τὴν μάχαιράν σου», ἀλλὰ θὰ εἶσαι δοῦλος τοῦ ἀδελφοῦ σου.

5. Ἀλλὰ ἂς μὴ παραξενεύεται κανείς, ὅταν ἀκούῃ αὐτὰ καὶ βλέπῃ μετὰ ἀπ' αὐτὰ τὸν ἀδελφὸν τοῦ Ἠσαῦ νὰ περιπλανᾶται λόγῳ τοῦ φόβου του καὶ νὰ κατευθύνεται εἰς τὴν ξένην χώραν. Οὔτε νὰ νομίζῃ, ὅτι ἀπέτυχε τὸ σχέδιον τοῦ Θεοῦ, ὅταν δίδῃ προσοχὴν εἰς τὰ πρῶτα γεγονότα. Διότι, ὅταν ὑπόσχεται κάτι ὁ Κύριος, καὶ ἂν ἀκόμη ἰδοῦμεν τὰ γεγονότα νὰ συμβαίνουν εἰς τὴν ἀρχὴν ἀντίθετα ἀπὸ τὰς ὑποσχέσεις, νὰ μὴ ταρασσώμεθα. Καθ'

τέ ποτε μέχρι τέλους διαμαρτεῖν. Τοῦτο δὲ γίνεται, ἵνα λαμπρότεροι διὰ πάντων οἱ δίκαιοι δεικνύμενοι, τὴν περιουσίαν τῆς τοῦ Θεοῦ δυνάμεως κατάδηλον ἡμῖν ἅπασι γενέσθαι παρασκευάσωσι. Καὶ ἐφ' ἑκάστου τῶν δικαίων τοῦτο εὑρήσεις, εἰ βουληθείης ἁπάσας μετὰ ἀκριβείας κατιδεῖν τὰς ἱστορίας, ὃ δὴ καὶ νῦν γεγένηται. Μὴ γὰρ δὴ τοῦτο ἴδης, ὅτι νῦν εὐθέως φυγὰς ἐγίνετο, ἀλλὰ τὴν μετὰ ταῦτα περιφάνειαν λογίζου, καὶ ὅτι τοῦ χρόνου παραδραμόντος αὐτὸς οὗτος ὁ φοβερὸς αὐτῷ γεγονὼς τοσαύτην περὶ αὐτὸν ἐπιδείκνυται τὴν αἰδῶ, καὶ ὅτι εἰς τοσαύτην ἦλθε δόξαν μετὰ τὴν ἐπὶ τῆς ξένης ταλαιπωρίαν, ὡς καὶ τοὺς ἐξ αὐτοῦ τεχθέντας εἰς ἄπειρον πλῆθος ἐκταθῆναι, καὶ διὰ τῆς τούτου προσηγορίας ἅπαν τὸ ἔθνος χαρακτηρίζεσθαι. Νυνὶ δὲ διδάσκουσα ἡμᾶς ἡ θεία Γραφὴ τοῦ ἀδελφοῦ τὸν θυμόν, καὶ ὅτι πρὸς φόνον ἀπέβλεπε, φησί· «Καὶ ἐνεκότει Ἡσαῦ τῷ Ἰακὼβ περὶ τῆς εὐλογίας, ἧς ηὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ».

Καὶ ἵνα μάθωμεν, ὅτι οὐχ ἁπλῶς ὀργὴ ἦν πρόσκαιρος τοῦτο, διὰ τῆς λέξεως ἐσήμανεν ἡμῖν τῆς κακίας αὐτοῦ τὴν ὑπερβολήν. «Ἐνεκότει» γάρ, φησίν, ἀντὶ τοῦ, 'ἐνέκειτο, ἐπέμενεν', ὡς καὶ διὰ τῶν ῥημάτων τὴν ἐν τῷ βάθει κρυπτομένην γνώμην φανερὰν καταστῆσαι. «Εἶπε γάρ», φησίν, «ἐν τῇ διανοίᾳ· ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου». Ὄντως ἄρα καὶ τῶν μαινομένων αὐτῶν οὐκ ἔλαττον ὁ θυμούμενος παραπαίει. Σκόπει γάρ, ὅπως καθάπερ τοὺς μαινομένους ὁ δαίμων ἐκεῖνος ἐπεισελθὼν ἔκφρονας ἐργάζεται, καὶ ἐναντία τοῖς ὁρωμένοις διαπράττεσθαι ἀναπείθει. Οὐ γὰρ ὁρῶσιν ὑγιῶς, οὔτε ἕτερόν τι διαπράττονται τῶν χρησίμων, ἀλλὰ καθάπερ τὰς αἰσθήσεις πεπηρωμένοι, καὶ τὸ διακριτικὸν διαφθείραντες, οὕτως ἅπαντα ἐργάζονται.

Οὕτω καὶ οἱ θυμούμενοι, οὐ τοὺς παρόντας ἐπιγινώσκουσιν, οὐ συγγενείας μέμνηνται, οὐ φιλίας, οὐ

ὅσον δὲν εἶναι δυνατὸν νὰ σφάλλῃ μέχρι τὸ τέλος. Καὶ αὐτὸ γίνεται, διὰ νὰ ἀποδειχθοῦν οἱ δίκαιοι ἀνώτεροι μὲ ὅλα αὐτὰ καὶ νὰ φανερώσουν εἰς ὅλους ἡμᾶς τὸ μέγεθος τῆς δυνάμεως τοῦ Θεοῦ. Ἐὰν θελήσῃς νὰ ἐξετάσῃς καλῶς ὅλας τὰς ἱστορίας, θὰ εὕρῃς, ὅτι αὐτὸ γίνεται εἰς τὸν καθένα ἀπὸ τοὺς δικαίους, πρᾶγμα τὸ ὁποῖον ἔγινε καὶ τώρα. Μὴ βλέπῃς λοιπὸν αὐτό, ὅτι δηλαδὴ τώρα ἔγινεν ἀμέσως φυγάς, ἀλλὰ νὰ σκέπτεσαι τὴν δόξαν, ἡ ὁποία τὸν ἠκολούθησεν καὶ ὅτι, ἀφοῦ ἐπέρασεν ὁ καιρός, αὐτὸς ὁ ὁποῖος ἦτο τόσον φοβερὸς εἰς αὐτόν, δείχνει τόσον σεβασμὸν καὶ ὅτι τόσον πολὺ ἐδοξάσθη μετὰ ἀπὸ τὴν ταλαιπωρίαν εἰς τὴν ξένην χώραν, ὥστε οἱ ἀπόγονοί του νὰ αὐξηθοῦν πολὺ καὶ μὲ τὸ ὄνομά του νὰ χαρακτηρισθῇ ὁλόκληρον τὸ ἔθνος του. Τώρα δὲ ἡ ἁγία Γραφὴ μᾶς ὁμιλεῖ διὰ τὸν θυμὸν τοῦ ἀδελφοῦ καὶ ὅτι ἐσκέπτετο διὰ φόνον καὶ μᾶς λέγει· «Καὶ ἐμίσει ὁ Ἡσαῦ τὸν Ἰακὼβ διὰ τὴν εὐλογίαν, μὲ τὴν ὁποίαν ηὐλόγησεν αὐτὸν ὁ πατήρ του».

Καὶ διὰ νὰ μάθωμεν, ὅτι αὐτὸ δὲν ἦτο κάποια πρόσκαιρος ὀργή, μᾶς ἐφανέρωσε μὲ τὴν λέξιν τὸ μέγεθος τῆς κακίας του. Διότι λέγει «Ἐμίσει», ἀντὶ νὰ εἰπῇ 'ἐδίωκεν, ἐπέμενεν', ὥστε καὶ μὲ τοὺς λόγους νὰ φανερώσῃ τὴν σκέψιν, ἡ ὁποία ἐκρύπτετο μέσα του. Διότι λέγει, «Ἐσκέφθη ὁ Ἡσαῦ. Ἂς ἔλθῃ ἡ ἡμέρα τοῦ θανάτου τοῦ πατρός μου, διὰ νὰ φονεύσω τὸν ἀδελφόν μου Ἰακώβ». Πράγματι αὐτὸς ποὺ ὀργίζεται, δὲν εἶναι ὀλιγώτερον παράφρων ἀπ' αὐτὸν ὁ ὁποῖος καταλαμβάνεται ἀπὸ μανίαν. Σκέψου λοιπὸν ὅτι ἔγινε καὶ ἐδῶ ὅπως ἀκριβῶς καὶ εἰς τοὺς τρελλούς, ὅταν ὁ δαίμων εἰσέρχεται εἰς αὐτοὺς καὶ τοὺς κάνει παράφρονας καὶ τοὺς παρασύρει νὰ κάμουν τὰ ἀντίθετα ἀπ' ὅσα βλέπουν. Καθ' ὅσον δὲν βλέπουν σωστά, οὔτε κάμνουν κάτι ἄλλο χρήσιμον, ἀλλὰ κάμνουν τὰ πάντα, ὡσὰν νὰ ἔχουν νεκρωθῇ αἱ αἰσθήσεις καὶ νὰ ἔχασαν τὴν ἱκανότητα νὰ διακρίνουν.

Κατὰ τὸν ἴδιον τρόπον καὶ αὐτοὶ ποὺ ὀργίζονται. Δὲν ἀναγνωρίζουν τοὺς παρόντας, δὲν ἐνθυμοῦνται τὴν συγγένειαν, οὔτε τὴν φιλίαν, οὔτε τὴν συναναστροφήν, οὔτε τὰ

συνηθείας, οὐκ ἀξιώματος, οὐκ ἄλλου τινὸς ἔννοιαν λαμβάνουσιν, ἀλλ' ὅλοι ὑπὸ τοῦ θυμοῦ τυραννούμενοι κατὰ κρημνῶν φέρονται. Τί οὖν ἂν εἴη τῶν τοιούτων ἐλεεινότερον, ὅταν ἁλόντες ὑπὸ τοῦ πάθους, καὶ αἰχμάλωτοι γενόμενοι, καὶ πρὸς φόνον ἐπείγονται; Διὰ τοῦτο ὁ μακάριος Παῦλος τὴν ῥίζαν ἀποσπάσαι βουλόμενος τοῦ κακοῦ, γράφων παρήνει, οὕτω λέγων, «Πᾶσα ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ' ἡμῶν σὺν πάσῃ κακίᾳ». Οὐ μόνον, φησί, θυμοῦσθαι ὑμᾶς οὐ βούλομαι, οὐδὲ μὴ ὀργίζεσθαι, ἀλλὰ μηδὲ μετὰ κραυγῆς τοῖς πλησίον διαλέγεσθαι, κραυγὴν ἐνταῦθα λέγων, τὴν ὑπὸ τοῦ θυμοῦ γινομένην. Ὅταν γὰρ τὸ πάθος ἔνδοθεν διεγείρηται, καὶ ἡ καρδία οἰδαίνῃ, οὐκ ἔτι λοιπὸν ἡ γλῶσσα ἠρέμα φθέγγεσθαι ἀνέχεται, ἀλλὰ τὴν διάθεσιν τῆς καρδίας ἐμφαίνουσα, μετὰ κραυγῆς τῷ πλησίον διαλέγεσθαι παρασκευάζει.

Βουλόμενος οὖν ἐν γαλήνῃ διάγειν διηνεκεῖ τοὺς αὐτῷ πειθομένους ὁ μακάριος οὗτος, εἰπών, «Πᾶσα ὀργή», ἔδειξε τί ἐστι «Πᾶσα ὀργή», ἡ ἀφ' οἵου δή ποτε πράγματος κινουμένη· «καὶ πᾶς θυμὸς καὶ πᾶσα κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν». Εἶτα αὐτὴν τὴν ῥίζαν τῆς κακίας ξηρᾶναι βουλόμενος καὶ ἄκαρπον ἐργάσασθαι, φησί, «Σὺν πάσῃ κακίᾳ». Ὁ γὰρ οὕτω διακείμενος διηνεκῶς ἐν λιμένι κάθηται, τῶν ἀπὸ τῆς γῆς κυμάτων ἀπηλλαγμένος, καὶ οὔτε χειμῶνα δέδοικεν, οὔτε ναυάγιον, ἀλλὰ καθάπερ ἐν γαλήνῃ πλέων, ἢ ἐν εὐδίῳ λιμένι καθήμενος, οὕτως ἕλκει τὸν παρόντα βίον πάσης ταραχῆς ἐκτὸς ὤν, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τῶν ἀθανάτων καὶ ἀπορρήτων ἀγαθῶν τὴν ἀπόλαυσιν ἑαυτῷ διὰ πάντων προξενεῖ· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἀξιώματα, οὔτε ἀντιλαμβάνονται τίποτε ἄλλο, ἀλλὰ ὅλοι ὁδηγοῦνται εἰς τὴν καταστροφὴν τυραννούμενοι ἀπὸ τὴν ὀργήν των. Τί λοιπὸν θὰ ἦτο ἀθλιώτερον ἀπ' αὐτούς, ἀφοῦ, ὅταν καταλαμβάνωνται ἀπὸ τὸ πάθος καὶ γίνωνται αἰχμάλωτοι, σπεύδουν ἀκόμη καὶ εἰς φόνον; Διὰ τοῦτο ὁ μακάριος Παῦλος, ἐπειδὴ θέλει νὰ ἐκριζώσῃ τὴν ρίζαν τοῦ κακοῦ, γράφων συμβουλεύει καὶ λέγει· «Νὰ φύγῃ ἀπὸ σᾶς κάθε ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ μαζὶ μὲ κάθε κακίαν»[4]. Ὄχι μόνον, λέγει, δὲν θέλω νὰ θυμώνετε, οὔτε νὰ μὴ ὀργίζεσθε, ἀλλ' οὔτε νὰ συνομιλῆτε μὲ δυνατὴν φωνήν, καὶ ἐννοεῖ ἐδῶ δυνατὴν φωνὴν ἐκείνην ποὺ εἶναι πλήρης θυμοῦ. Διότι, ὅταν τὸ πάθος γεννᾶται ἀπὸ μέσα καὶ ἡ καρδία ταράσσεται, τότε πλέον ἡ γλῶσσα δὲν ἠμπορεῖ νὰ ὁμιλῇ μὲ ἠρεμίαν, ἀλλὰ ἐκφράζει τὴν διάθεσιν τῆς ψυχῆς καὶ μᾶς κάνει νὰ συζητῶμεν μὲ τὸν πλησίον μας μὲ δυνατὴν φωνήν.

Ἐπειδὴ λοιπὸν ὁ μακάριος Παῦλος θέλει νὰ ζοῦν μὲ γαλήνην ἐκεῖνοι ποὺ πιστεύουν εἰς τοὺς λόγους του, μὲ τὸ νὰ εἰπῇ «Κάθε ὀργή», ἔδειξε, τί εἶναι «Κάθε ὀργή», ἡ ὁποία ξεκινᾷ ἀπὸ κάθε αἰτίαν. «Καὶ κάθε θυμὸς καὶ κάθε δυνατὴ φωνὴ ἄς εἶναι μακριὰ ἀπὸ σᾶς». Ἔπειτα ἐπειδὴ ἐπιθυμεῖ νὰ ξηράνῃ τὴν ἰδίαν τὴν ρίζαν τοῦ κακοῦ καὶ νὰ τὴν καταστήσῃ ἄκαρπον λέγει· «Μαζὶ μὲ κάθε κακίαν». Αὐτὸς ὁ ὁποῖος ζῇ κατ' αὐτὸν τὸν τρόπον εὑρίσκεται διαρκῶς εἰς λιμένα ποὺ εἶναι ἀπηλλαγμένος ἀπὸ τὰ κύματα τῆς γῆς καὶ οὔτε θύελλα φοβεῖται, οὔτε ναυάγιον, ἀλλὰ περνᾷ τὸν παρόντα βίον ἀπηλλαγμένος ἀπὸ κάθε ταραχήν, ὡσὰν νὰ πλέῃ μὲ γαλήνην, ἤ νὰ μένῃ εἰς ἀπάνεμο λιμάνι. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ προκαλεῖ μὲ ὅλα εἰς τὸν ἑαυτόν του τὴν ἀπόλαυσιν τῶν ἀθανάτων καὶ ἀνεκφράστων ἀγαθῶν. Αὐτὰ τὰ ἀγαθὰ εἴθε νὰ τὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ ἐξουσία καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΔ΄

(Γεν. 27, 42 - 28, 22)

«Καλέσασα δὲ Ρεβέκκα τὸν υἱὸν αὐτῆς τὸν νεώτερον εἶπεν αὐτῷ».

1. Εἴδετε χθὲς καὶ τοῦ τελώνου τὴν πολλὴν εὐγνωμοσύνην, καὶ τοῦ Δεσπότου τὴν ἄφατον φιλανθρωπίαν, καὶ τῶν Ἰουδαίων τὴν ὑπερβάλλουσαν ἀναισθησίαν; Εἴδετε πῶς ἅπαντας ἡμᾶς ἐπαίδευσεν ὁ μακάριος Ματθαῖος, δι' ὧν οὕτω ταχέως ὑπήκουσε, δι' ὧν τοσαύτην ἐπεδείξατο τὴν μεταβολήν, ὅτι ἐν τῇ προαιρέσει κεῖται τῇ ἡμετέρᾳ, μετὰ τὴν ἄνωθεν χάριν, τὰ τῆς ἀρετῆς, καὶ τῆς κακίας, καὶ ὅτι καὶ σπουδάσαντες δυνάμεθα γενέσθαι ἐνάρετοι, καὶ ῥαθυμήσαντες πάλιν εἰς τὸν τῆς ἁμαρτίας κρημνὸν καταφερόμεθα; Τοῦτο γάρ ἐστιν, ᾧ τῶν ἀλόγων διεστήκαμεν, τὸ λόγῳ τετιμῆσθαι ἡμᾶς παρὰ τοῦ φιλανθρώπου Θεοῦ, καὶ ἐν τῇ φύσει τῇ ἡμετέρᾳ ἐναποκεῖσθαι τὴν γνῶσιν τοῦ καλοῦ, καὶ τοῦ πονηροῦ. Μηδεὶς τοίνυν προφασιζέσθω ὡς δι' ἄγνοιαν ἀρετῆς ἀμελῶν, ἢ διὰ τὸ μὴ ἔχειν τὸν ὑποδεικνύντα τὴν ταύτης ὁδόν. Ἀρκοῦντα γὰρ ἔχομεν διδάσκαλον τὸ συνειδός, καὶ οὐχ οἷόν τέ τινα ἀπεστερῆσθαι τῆς ἐκεῖθεν βοηθείας. Καὶ γὰρ ἅμα τῇ πλάσει τοῦ ἀνθρώπου καὶ ἡ γνῶσις τῶν πρακτέων αὐτῷ ἐναπετέθη, ἵνα τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενος, καθάπερ ἐν παλαίστρᾳ τινί, τῷ παρόντι βίῳ ἐγγυμνασάμενος πρὸς τοὺς τῆς ἀρετῆς πόνους, τὰ ὑπὲρ τῆς ἀρετῆς βραβεῖα κομίσηται, καὶ ἐν βραχεῖ χρόνῳ πονήσας, ἐν διηνεκεῖ τῷ αἰῶνι τῶν στεφάνων ἀξιωθείη, καὶ ἐν τῷ ἐπικήρῳ

ΟΜΙΛΙΑ ΝΔ΄
(Γεν. 27, 42 - 28, 22)

«Καὶ ἐκάλεσεν ἡ Ρεβέκκα τὸν μικρότερον υἱόν της καὶ εἶπεν εἰς αὐτόν».

1. Εἴδετε χθὲς καὶ τὴν μεγάλην εὐγνωμοσύνην τοῦ τελώνου καὶ τὴν ἀπερίγραπτον φιλανθρωπίαν τοῦ Κυρίου καὶ τὴν ὑπερβολικὴν ἀναισθησίαν τῶν Ἰουδαίων; Εἴδετε πῶς ἐδίδαξεν εἰς ὅλους ἡμᾶς ὁ μακάριος Ματθαῖος, μὲ ποῖον τρόπον ὑπήκουσε τόσον ταχέως καὶ ἐπέδειξε τόσον μεγάλην μεταβολήν, ἀφοῦ ἡ ἀρετὴ καὶ ἡ κακία ἐξαρτῶνται ἀπὸ τὴν ἰδικήν μας θέλησιν, μετὰ τὴν θείαν χάριν, καὶ ὅτι ἂν τὸ ἐπιδιώξωμεν ἠμποροῦμεν νὰ γίνωμεν ἐνάρετοι, ἐνῷ ἂν φανῶμεν ὀκνηροὶ θὰ πέσωμεν πάλιν εἰς τὸν κρημνὸν τῆς ἁμαρτίας; Διότι αὐτὸ εἶναι ἐκεῖνο ὡς πρὸς τὸ ὁποῖον διαφέρομεν ἀπὸ τὰ ἄλογα ζῶα, τὸ ὅτι δηλαδὴ ἔχομεν τιμηθῆ ἀπὸ τὸν φιλάνθρωπον Θεὸν μὲ τὴν λογικὴν καὶ τὸ ὅτι εἰς τὴν φύσιν μας εὑρίσκεται ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ. Κανεὶς λοιπὸν ἂς μὴ δικαιολογῆται, ὅτι παραμελεῖ τὴν ἀρετὴν ἀπὸ ἄγνοιαν, ἢ διότι δὲν ἔχει ἐκεῖνον ποὺ θὰ τοῦ δείξῃ τὴν ὁδὸν αὐτῆς. Καθ' ὅσον ἔχομεν ἐπαρκῆ διδάσκαλον τὴν συνείδησιν καὶ δὲν εἶναι δυνατὸν κανεὶς νὰ στερηθῇ τὴν βοήθειάν της. Διότι μαζὶ μὲ τὴν δημιουργίαν τοῦ ἀνθρώπου ἐδόθη εἰς αὐτὸν καὶ ἡ γνῶσις τοῦ τί πρέπει νὰ πράττῃ, ὥστε, ἀφοῦ δείξῃ τὴν εὐγνωμοσύνην του καὶ ἐξασκηθῇ εἰς τοὺς κόπους τῆς ἀρετῆς κατὰ τὴν παροῦσαν ζωήν, ὅπως ἀκριβῶς εἰς κάποιαν παλαίστραν, νὰ ἀποκομίσῃ τὰ βραβεῖα τῆς ἀρετῆς καί, ἀφοῦ κοπιάσῃ δι' ὀλίγον χρόνον, νὰ γίνῃ ἄξιος τῶν στεφάνων κατὰ τὴν αἰώνιον ζωήν, καὶ εἰς τὴν πρόσκαιρον αὐτὴν ζωήν, ἀφοῦ προτιμήσῃ τὴν ἀρετήν, νὰ ἀπολαμβάνῃ

τούτῳ αἰῶνι τὴν ἀρετὴν ἑλόμενος, ἐν τοῖς ἀπείροις καὶ ἀϊδίοις αἰῶσι τῶν ἀθανάτων ἀγαθῶν ἀπολαύῃ.

Ὅπερ εἰδότες, ἀγαπητοί, μὴ προδῶμεν ἡμῶν τὴν εὐγένειαν, μὴ ἀγνώμονες περὶ τὴν τοσαύτην εὐεργεσίαν γενώμεθα, μηδὲ τὸ πρόσκαιρον τῆς δοκούσης ἡδονῆς μεταδιώξαντες, διηνεκῆ τὴν ὀδύνην ἑαυτοῖς κατασκευάσωμεν, ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν τὸν τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενον διηνεκῶς προορώμενοι, οὕτως ἅπαντα τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ τοῖς ὅπλοις τοῦ Πνεύματος φραξάμενοι, καὶ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενοι, ἐπισπασώμεθα τὴν ἄνωθεν ῥοπήν, ἵνα τῆς ἐκεῖθεν ἀπολαύοντες συμμαχίας, καὶ τοῦ ἐχθροῦ καὶ πολεμίου περιγενόμενοι, καὶ ἄκυρα αὐτοῦ καταστήσαντες τὰ μηχανήματα, τῶν ἀγαθῶν ἐκείνων ἀπολαῦσαι δυνηθῶμεν, ὧν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτὸν ὁ Κύριος. Μὴ τοίνυν πρὸς τὸν πόνον τις ὁράτω τῆς ἀρετῆς, ἀλλὰ τὸ ἐντεῦθεν κέρδος λογιζόμενος ἑτοίμως τοὺς ὑπὲρ ταύτης πόνους καταδεχέσθω. Εἰ γὰρ οἱ περὶ τὰ βιωτικὰ στρεφόμενοι, καὶ περὶ τὴν τῶν χρημάτων συλλογὴν μεμηνότες, ἅπαντα προθύμως καταδέχονται, καὶ τοὺς κατὰ θάλατταν κινδύνους, καὶ τὰ ναυάγια, καὶ τὰς τῶν πειρατῶν ἐφόδους προορῶντες, οὐδὲ οὕτως ὀκνηρότεροι γίνονται, καὶ ταῦτα οὐδὲ θαρρεῖν περὶ τοῦ τέλους δυνάμενοι· ποίαν ἡμεῖς ἕξομεν ἀπολογίαν, τῶν ἀθανάτων ἐκείνων ἕνεκεν πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας μὴ πάσῃ σπουδῇ καὶ προθυμίᾳ ἀποδυόμενοι;

Τίνος ἕνεκεν οὕτως ἀγνώμονες περὶ τὸν εὐεργέτην γινόμεθα, καὶ οὔτε τὰ ἤδη δωρηθέντα λογιζόμεθα, οὔτε τὰ ἐπαγγελθέντα ἐννοοῦμεν, ἀλλὰ πάντων, ὡς εἰπεῖν, λήθην ποιησάμενοι, ἁπλῶς καὶ εἰκῇ βοσκημάτων δίκην βίον ἅπαντα παρατρέχομεν, τῆς μὲν ψυχῆς οὐδεμίαν ἐπιμέλειαν ποιούμενοι, τὴν δὲ γαστέρα μό-

τὰ ἄφθαρτα ἀγαθὰ εἰς τοὺς ἀπείρους καὶ ἀτελειώτους αἰῶνας.

Ἔχοντες ὑπ' ὄψιν αὐτὸ ἀκριβῶς, ἀγαπητοί, νὰ μὴ προδώσωμεν τὴν εὐγενῆ μας καταγωγήν, νὰ μὴ φανῶμεν ἀγνώμονες διὰ τὴν τόσην εὐεργεσίαν, οὔτε νὰ ἑτοιμάσωμεν διὰ τοὺς ἑαυτούς μας τὴν διαρκῆ ὀδύνην μὲ τὸ νὰ ἐπιδιώξωμεν τὴν πρόσκαιρον αὐτὴν ἡδονήν, ἀλλὰ βλέποντες συνέχεια πρὸς τὸν ἀκοίμητον ὀφθαλμόν, ὁ ὁποῖος γνωρίζει τὰ ἀπόρρητα τῆς σκέψεώς μας, νὰ ρυθμίζωμεν ἔτσι ὅλας τὰς ὑποθέσεις μας καί, ἀφοῦ ὀχυρωθῶμεν μὲ τὰ ὅπλα τοῦ ἁγίου Πνεύματος καὶ ἐπιδείξωμεν τὴν εὐγνωμοσύνην μας, νὰ ἀποσπάσωμεν τὴν ἄνωθεν βοήθειαν, ὥστε, ἀφοῦ ἐπιτύχωμεν τὴν ἀπὸ ἐκεῖ βοήθειαν καὶ ἀφοῦ νικήσωμεν τὸν ἐχθρὸν καὶ πολέμιον καὶ καταστήσωμεν ἄχρηστα τὰ ὅπλα του, νὰ ἠμπορέσωμεν νὰ ἀπολαύσωμεν ἐκεῖνα τὰ ἀγαθά, τὰ ὁποῖα ἔχει ὑποσχεθῆ ὁ Κύριος εἰς αὐτοὺς ποὺ τὸν ἀγαποῦν. Ἂς μὴ λαμβάνῃ λοιπὸν ὑπ' ὄψιν κανεὶς τὸν πόνον διὰ τὴν ἀρετήν, ἀλλ' ἀφοῦ σκεφθῇ τὸ κέρδος ποὺ θὰ προκύψῃ ἀπ' αὐτὸν τὸν κόπον, νὰ εἶναι ἕτοιμος νὰ κοπιάζῃ δι' αὐτήν. Διότι ἐὰν ἐκεῖνοι ποὺ ἀσχολοῦνται μὲ τὰ βιωτικὰ ἀγαθὰ καὶ καταλαμβάνονται ἀπὸ μανίαν διὰ τὴν ἀπόκτησιν χρωμάτων, ἀναλαμβάνουν τὰ πάντα μὲ προθυμίαν, καὶ τοὺς κινδύνους εἰς τὴν θάλασσαν, καὶ τὰ ναυάγια καί, ἐνῷ γνωρίζουν ἐκ τῶν προτέρων τὰς ἐπιθέσεις τῶν πειρατῶν, οὔτε κατ' αὐτὸν τὸν τρόπον γίνονται περισσότερον διστακτικοὶ καὶ μάλιστα ἐνῷ δὲν ἠμποροῦν νὰ εἶναι αἰσιόδοξοι διὰ τὸ τέλος, ποίαν ἀπολογίαν θὰ ἔχωμεν ἡμεῖς, οἱ ὁποῖοι δὲν ἀγωνιζόμεθα μὲ κάθε ζῆλον καὶ προθυμίαν διὰ τὴν ἀρετὴν λόγῳ τῶν αἰωνίων ἐκείνων ἀγαθῶν;

Διὰ ποῖον λόγον λοιπὸν γινόμεθα τόσον ἀχάριστοι εἰς τὸν εὐεργέτην μας καὶ δὲν σκεπτόμεθα οὔτε αὐτά, τὰ ὁποῖα ἤδη μᾶς ἔχουν χαρισθῆ, οὔτε ἀναλογιζόμεθα, ὅσα μᾶς ὑπεσχέθη, ἀλλὰ λησμονήσαντες τὰ πάντα, ὅπως θὰ ἐλέγαμεν, περνοῦμεν ὅλην μας τὴν ζωὴν ἁπλῶς καὶ χωρὶς σκοπόν, ἀφοῦ δὲν φροντίζομεν καθόλου διὰ τὴν ψυ-

νην διαρρηγνύντες, καὶ πολλὴν διὰ ταύτης τῷ ταλαιπώρῳ τούτῳ σώματι τὴν λύμην κατασκευάζοντες; Καὶ τοῦτο μὲν διὰ τῆς ἀμετρίας, καὶ τῆς πολλῆς ἀδηφαγίας μυρία πράγματα κατασκευάζειν ἡμῖν παρασκευάζομεν, τὴν δὲ ψυχὴν λιμῷ τήκεσθαι συγχωροῦμεν; καίτοι ψυχὴ σώματος κυριώτερον, καὶ ἐκείνης ἀπειρηκυίας νεκρὸν τοῦτο καταλείπεται. Δέον οὖν κἀκείνῃ τὴν κατάλληλον καὶ ἁρμόττουσαν παρέχειν τροφὴν ἡμᾶς, ἑκατέροις λυμαινόμεθα, ἀμετρίαν καὶ ἐνταῦθα κἀκεῖ πολλὴν ἐπιδεικνύμενοι, καὶ τὸ μὲν ὑπὲρ τὴν χρείαν πιαίνοντες, τὴν δὲ ὑπὸ λιμοῦ διαφθείρεσθαι καταναγκάζοντες. Καὶ ὅπερ ὁ τῶν ὅλων Δεσπότης ἐν τάξει μεγίστης ἀγανακτήσεως ἠπείλησέ ποτε τῷ τῶν Ἰουδαίων δήμῳ, λέγων, «Δώσω ὑμῖν οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου», διδάσκων ἡμᾶς, ὅτι ἐκεῖνος μὲν ὁ λιμὸς τὸ σῶμα κατατείνειν δύναται, οὗτος δὲ ὁ λιμὸς αὐτῆς καθικνεῖται τῆς ψυχῆς· τοῦτ' αὐτὸ νῦν, ὅπερ ἀντὶ τιμωρίας ἐκείνοις ἐπάγειν τότε ἠπείλησεν ὁ Δεσπότης, ἡμεῖς ἑκόντες ἐπισπασώμεθα, καὶ ταῦτα τοῦ Θεοῦ τοσαύτην περὶ ἡμᾶς κηδεμονίαν ἐπιδειξαμένου, καὶ οἰκονομήσαντος μετὰ τῆς ἀπὸ τῶν Γραφῶν ἀναγνώσεως, ἔχειν ἡμᾶς καὶ τὴν ἀπὸ τῶν διδασκάλων νουθεσίαν.

Δι' ὃ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην, πᾶσαν ῥαθυμίαν ἀποτινάξασθαι καὶ διεγερθῆναι μικρόν, καὶ πᾶσαν τὴν σπουδὴν μεταθεῖναι ἐπὶ τὴν τῆς ψυχῆς σωτηρίαν. Οὕτω γὰρ ἂν καὶ τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν μετὰ δαψιλείας ἐπισπάσησθε, καὶ ἡμεῖς προθυμότερον τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιησώμεθα, ὁρῶντες εἰς ἔργον ἡμῶν ἐκβαίνουσαν τὴν συμβουλήν. Ἐπεὶ καὶ γεωργός, ἐπειδὰν ἴδῃ τῆς γῆς τὴν ἐπιτηδειότητα πολλὴν παρέχουσαν αὐτῷ τῶν καρπῶν τὴν φοράν, καὶ αὐτὸς μετὰ πλείονος τῆς σπουδῆς πρὸς

---

1. Ἀμμώς 8, 11.

χήν μας, ἐνῷ γεμίζομεν τὴν κοιλίαν μας καὶ προκαλοῦμεν αὐτὴν μεγάλην φθορὰν εἰς αὐτὸ τὸ ταλαίπωρον σῶμα; Καὶ ἀκόμα μὲ τὴν ἄμετρον καὶ τὴν μεγάλην λαιμαργίαν προετοιμάζομεν ἀναρίθμητα προβλήματα δι' ἡμᾶς, ἐνῷ ἀφήνομεν τὴν ψυχὴν νὰ χαθῇ ἀπὸ τὴν πεῖναν, ἂν καὶ ἡ ψυχὴ εἶναι ἀνωτέρα τοῦ σώματος καὶ ὅταν ἐκείνη χαθῇ αὐτὸ ἐγκαταλείπεται νεκρόν. Πρέπει λοιπὸν νὰ προσφέρωμεν καὶ εἰς ἐκείνην τὴν κατάλληλον καὶ τὴν εἰδικὴν τροφήν, διότι βλάπτομεν καὶ τὰ δύο, ἀφοῦ δὲν χρησιμοποιοῦμεν κανένα μέτρον καὶ εἰς τὸ σῶμα καὶ εἰς τὴν ψυχήν, καὶ τὸ μὲν ἕνα παχαίνομεν περισσότερον ἀπ' ὅ,τι πρέπει, τὴν δὲ ἄλλην ἀναγκάζομεν νὰ ἀποθάνῃ ἀπὸ τὴν πεῖναν. Καὶ αὐτὸ ἀκριβῶς μὲ τὸ ὁποῖον ἠπείλησε κάποτε ὁ τῶν ὅλων Κύριος τὸν λαὸν τῶν Ἰουδαίων, ὅταν εἶχεν ἀγανακτήσει πολὺ καὶ εἶπε, «Θὰ σᾶς ἐπιβάλλω ὄχι τὴν ἔλλειψιν τοῦ ἄρτου, οὔτε τοῦ ὕδατος, ἀλλὰ τὸν ἀποκλεισμὸν ἀπὸ τὸ νὰ ἀκοῦτε τὸν λόγον τοῦ Θεοῦ»[1], διδάσκων μὲ αὐτὸ ἡμᾶς, ὅτι ἐκείνη ἡ πεῖνα ἠμπορεῖ νὰ βασανίζῃ τὸ σῶμα, ἐνῷ αὐτὴ ἡ πεῖνα καταβάλλει τὴν ἰδίαν τὴν ψυχήν, αὐτὸ τὸ ἴδιο τώρα, ποὺ τότε ἠπείλησεν ὁ Κύριος, ὅτι θὰ ἐπιβάλῃ ὡς τιμωρίαν εἰς ἐκείνους, θὰ τὸ ἐπισπάσωμεν ἐμεῖς μὲ τὴν θέλησίν μας, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ ὁ Θεὸς ἔχει δείξει τόσην φροντίδα δι' ἡμᾶς καὶ ἔχει ρυθμίσει μαζὶ μὲ τὴν ἀνάγνωσιν τῆς ἁγίας Γραφῆς νὰ ἔχωμεν καὶ τὴν νουθεσίαν τῶν διδασκάλων.

Διὰ τοῦτο παρακαλῶ τὴν ἀγάπην σας νὰ ἀποτινάξῃ κάθε ὀκνηρίαν καὶ νὰ συνέλθῃ δι' ὀλίγον καὶ νὰ μεταφέρῃ ὅλην τὴν προθυμίαν της εἰς τὴν σωτηρίαν τῆς ψυχῆς. Καθ' ὅσον, ἐὰν ἀποσπάσετε πλουσίαν τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ ἡμεῖς θὰ σᾶς διδάσκωμεν μὲ μεγαλυτέραν προθυμίαν, ἀφοῦ θὰ βλέπωμεν ὅτι ἡ συμβουλή μας πραγματοποιεῖται. Καθ' ὅσον καὶ ὁ γεωργός, ὅταν ἰδῇ ὅτι ἡ εὐφορία τῆς γῆς παρέχει εἰς αὐτὸν μεγάλην ἀφθονίαν καρπῶν, τότε καὶ αὐτὸς μὲ μεγαλυτέραν προθυμίαν ἀφιερώνεται εἰς τοὺς

νην διαρρηγνύντες, καὶ πολλὴν διὰ ταύτης τῷ ταλαιπώρῳ τούτῳ σώματι τὴν λύμην κατασκευάζοντες; Καὶ τοῦτο μὲν διὰ τῆς ἀμετρίας, καὶ τῆς πολλῆς ἀδηφαγίας μυρία πράγματα κατασκευάζειν ἡμῖν παρασκευάζομεν, τὴν δὲ ψυχὴν λιμῷ τήκεσθαι συγχωροῦμεν; καίτοι ψυχὴ σώματος κυριώτερον, καὶ ἐκείνης ἀπειρηκυίας νεκρὸν τοῦτο καταλείπεται. Δέον οὖν κἀκείνῃ τὴν κατάλληλον καὶ ἁρμόττουσαν παρέχειν τροφὴν ἡμᾶς, ἑκατέροις λυμαινόμεθα, ἀμετρίαν καὶ ἐνταῦθα κἀκεῖ πολλὴν ἐπιδεικνύμενοι, καὶ τὸ μὲν ὑπὲρ τὴν χρείαν πιαίνοντες, τὴν δὲ ὑπὸ λιμοῦ διαφθείρεσθαι καταναγκάζοντες. Καὶ ὅπερ ὁ τῶν ὅλων Δεσπότης ἐν τάξει μεγίστης ἀγανακτήσεως ἠπείλησέ ποτε τῷ τῶν Ἰουδαίων δήμῳ, λέγων, «Δώσω ὑμῖν οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου», διδάσκων ἡμᾶς, ὅτι ἐκεῖνος μὲν ὁ λιμὸς τὸ σῶμα κατατείνειν δύναται, οὗτος δὲ ὁ λιμὸς αὐτῆς καθικνεῖται τῆς ψυχῆς· τοῦτ' αὐτὸ νῦν, ὅπερ ἀντὶ τιμωρίας ἐκείνοις ἐπάγειν τότε ἠπείλησεν ὁ Δεσπότης, ἡμεῖς ἑκόντες ἐπισπασώμεθα, καὶ ταῦτα τοῦ Θεοῦ τοσαύτην περὶ ἡμᾶς κηδεμονίαν ἐπιδειξαμένου, καὶ οἰκονομήσαντος μετὰ τῆς ἀπὸ τῶν Γραφῶν ἀναγνώσεως, ἔχειν ἡμᾶς καὶ τὴν ἀπὸ τῶν διδασκάλων νουθεσίαν.

Δι' ὃ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην, πᾶσαν ῥαθυμίαν ἀποτινάξασθαι καὶ διεγερθῆναι μικρόν, καὶ πᾶσαν τὴν σπουδὴν μεταθεῖναι ἐπὶ τὴν τῆς ψυχῆς σωτηρίαν. Οὕτω γὰρ ἂν καὶ τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν μετὰ δαψιλείας ἐπισπάσησθε, καὶ ἡμεῖς προθυμότερον τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιησώμεθα, ὁρῶντες εἰς ἔργον ἡμῶν ἐκϐαίνουσαν τὴν συμϐουλήν. Ἐπεὶ καὶ γεωργός, ἐπειδὰν ἴδῃ τῆς γῆς τὴν ἐπιτηδειότητα πολλὴν παρέχουσαν αὐτῷ τῶν καρπῶν τὴν φοράν, καὶ αὐτὸς μετὰ πλείονος τῆς σπουδῆς πρὸς

1. Ἀμμώς 8, 11.

χήν μας, ἐνῷ γεμίζομεν τὴν κοιλίαν μας καὶ προκαλοῦμεν αὐτὴν μεγάλην φθορὰν εἰς αὐτὸ τὸ ταλαίπωρον σῶμα; Καὶ ἀκόμα μὲ τὴν ἄμετρον καὶ τὴν μεγάλην λαιμαργίαν προετοιμάζομεν ἀναρίθμητα προβλήματα δι' ἡμᾶς, ἐνῷ ἀφήνομεν τὴν ψυχὴν νὰ χαθῇ ἀπὸ τὴν πεῖναν, ἂν καὶ ἡ ψυχὴ εἶναι ἀνωτέρα τοῦ σώματος καὶ ὅταν ἐκείνη χαθῇ αὐτὸ ἐγκαταλείπεται νεκρόν. Πρέπει λοιπὸν νὰ προσφέρωμεν καὶ εἰς ἐκείνην τὴν κατάλληλον καὶ τὴν εἰδικὴν τροφήν, διότι βλάπτομεν καὶ τὰ δύο, ἀφοῦ δὲν χρησιμοποιοῦμεν κανένα μέτρον καὶ εἰς τὸ σῶμα καὶ εἰς τὴν ψυχήν, καὶ τὸ μὲν ἕνα παχαίνομεν περισσότερον ἀπ' ὅ,τι πρέπει, τὴν δὲ ἄλλην ἀναγκάζομεν νὰ ἀποθάνῃ ἀπὸ τὴν πεῖναν. Καὶ αὐτὸ ἀκριβῶς μὲ τὸ ὁποῖον ἠπείλησε κάποτε ὁ τῶν ὅλων Κύριος τὸν λαὸν τῶν Ἰουδαίων, ὅταν εἶχεν ἀγανακτήσει πολὺ καὶ εἶπε, «Θὰ σᾶς ἐπιβάλλω ὄχι τὴν ἔλλειψιν τοῦ ἄρτου, οὔτε τοῦ ὕδατος, ἀλλὰ τὸν ἀποκλεισμὸν ἀπὸ τὸ νὰ ἀκοῦτε τὸν λόγον τοῦ Θεοῦ»[1], διδάσκων μὲ αὐτὸ ἡμᾶς, ὅτι ἐκείνη ἡ πεῖνα ἠμπορεῖ νὰ βασανίζῃ τὸ σῶμα, ἐνῷ αὐτὴ ἡ πεῖνα καταβάλλει τὴν ἰδίαν τὴν ψυχήν, αὐτὸ τὸ ἴδιο τώρα, ποὺ τότε ἠπείλησεν ὁ Κύριος, ὅτι θὰ ἐπιβάλῃ ὡς τιμωρίαν εἰς ἐκείνους, θὰ τὸ ἐπισπάσωμεν ἐμεῖς μὲ τὴν θέλησίν μας, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ ὁ Θεὸς ἔχει δείξει τόσην φροντίδα δι' ἡμᾶς καὶ ἔχει ρυθμίσει μαζὶ μὲ τὴν ἀνάγνωσιν τῆς ἁγίας Γραφῆς νὰ ἔχωμεν καὶ τὴν νουθεσίαν τῶν διδασκάλων.

Διὰ τοῦτο παρακαλῶ τὴν ἀγάπην σας νὰ ἀποτινάξῃ κάθε ὀκνηρίαν καὶ νὰ συνέλθῃ δι' ὀλίγον καὶ νὰ μεταφέρῃ ὅλην τὴν προθυμίαν της εἰς τὴν σωτηρίαν τῆς ψυχῆς. Καθ' ὅσον, ἐὰν ἀποσπάσετε πλουσίαν τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ ἡμεῖς θὰ σᾶς διδάσκωμεν μὲ μεγαλυτέραν προθυμίαν, ἀφοῦ θὰ βλέπωμεν ὅτι ἡ συμβουλή μας πραγματοποιεῖται. Καθ' ὅσον καὶ ὁ γεωργός, ὅταν ἰδῇ ὅτι ἡ εὐφορία τῆς γῆς παρέχει εἰς αὐτὸν μεγάλην ἀφθονίαν καρπῶν, τότε καὶ αὐτὸς μὲ μεγαλυτέραν προθυμίαν ἀφιερώνεται εἰς τοὺς

τοὺς τῆς γεωργίας πόνους ἐπαποδύεται, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς ἂν θεασοίμεθα τὴν κατὰ Θεὸν ὑμῶν προκοπήν, καὶ ὅτι τὰ παρ' ἡμῶν λεγόμενα διὰ τῶν ἔργων ἐνδείκνυσθαι σπουδάζετε, πλείονα καὶ αὐτοὶ τὸν πόνον τὸν διδασκαλικὸν ἐπιδειξόμεθα· ἅτε εἰδότες ὅτι οὐ κατὰ πετρῶν σπείρομεν, ἀλλ' εἰς λιπαρὰν καὶ βαθύγεων καταβάλλομεν τὰ σπέρματα.

2. Διὰ γὰρ τοῦτο καθ' ἑκάστην ἡμέραν τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιούμεθα, ἵνα καὶ ὑμεῖς κερδάναντές τι χρήσιμον ἐντεῦθεν ἀπέλθητε, καὶ τὰ τῆς ἀρετῆς ὑμῖν αὐξάνηται, καὶ ἡμεῖς ὁρῶντες ὑμῶν τὴν προκοπὴν εὐφρανώμεθα. Μὴ γὰρ ἁπλῶς καὶ εἰκῇ λέγειν βουλόμεθα, ὥστε τὸν παρ' ὑμῶν ἔπαινον καρπώσασθαι, καὶ ἵνα κροτήσαντες ὑμεῖς ἀναχωρήσητε; Οὐ διὰ τοῦτο, μὴ γένοιτο, ἀλλὰ διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν. Ἐμοὶ μέγιστος ἔπαινος καὶ ἀρκετός, εἴ τις ἀπὸ τῆς κακίας ἐπὶ τὴν ἀρετὴν μεταβάλλοιτο, εἴ τις πρὸ τούτου ῥάθυμος ὤν, σπουδαῖος ἐκ τῆς παρ' ἡμῶν ὑπομνήσεως γένηται. Τοῦτο καὶ ἐμοὶ μέγιστον φέρει τὸν ἔπαινον καὶ τὴν παραμυθίαν, καὶ ὑμῖν πολὺ τὸ κέρδος καὶ τὸν πλοῦτον τὸν πνευματικόν. Ἀλλὰ καὶ ὅτι μὲν πολλὴν ἐπιδείξεσθε τὴν σπουδήν, οὐκ ἀμφιβάλλω· οἶδα γάρ, ὅτι θεοδίδακτοί ἐστε, δυνάμενοι καὶ ἄλλους νουθετεῖν. Διὰ τοῦτο ἐνταῦθα στήσας τὴν περὶ τούτου συμβουλήν, τῆς συνήθους ἅψομαι διδασκαλίας ἐκ τῶν τοῦ μακαρίου Μωϋσέως ῥημάτων, μᾶλλον δὲ τῶν παρὰ τοῦ ἁγίου Πνεύματος δι' αὐτοῦ ἡμῖν εἰρημένων, μικρά τινα εἰς τὸ μέσον προσθείς, ἐκεῖθεν ὑμῖν σήμερον τὴν ἑστίασιν παραθήσομαι.

Ἠκούσατε πρῴην, ὅπως κατὰ τὴν συμβουλὴν τῆς Ρεβέκκας ἅπαντα διαπραξάμενος ὁ Ἰακώβ, τὴν παρὰ τοῦ πατρὸς εὐλογίαν ἐπεσπάσατο, τὴν ἐπαινετὴν ἐκείνην κλοπὴν ἐπιδειξάμενος, δι' ὃ καὶ τῆς παρὰ τοῦ Θεοῦ συνεργίας ἀπήλαυσε, καὶ εἰς ἔργον ἐξῆλθεν αὐτῷ τὸ σπουδαζόμενον· ἀλλ' ἐπειδὴ ἐντεῦθεν

κόπους τῆς γεωργίας. Κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ἡμεῖς, ἐὰν ἰδοῦμεν τὴν κατὰ Θεὸν προκοπήν σας καὶ ὅτι φροντίζετε νὰ πραγματοποιήσετε αὐτά, τὰ ὁποῖα σᾶς λέγομεν, τότε καὶ ἡμεῖς οἱ ἴδιοι θὰ καταβάλλωμεν μεγαλυτέραν προσπάθειαν διὰ νὰ σᾶς διδάσκωμεν, ἀφοῦ θὰ γνωρίζωμεν, ὅτι δὲν σπείρομεν εἰς τὴν πέτραν, ἀλλ' ὅτι ρίπτομεν τοὺς σπόρους εἰς εὔφορον καὶ βαθεῖαν γῆν.

2. Διὰ τοῦτο ἀκριβῶς σᾶς διδάσκομεν κάθε ἡμέραν, διὰ νὰ φύγετε δηλαδὴ καὶ σεῖς ἀπὸ ἐδῶ, ἀφοῦ κερδήσετε κάτι χρήσιμον καὶ νὰ αὐξήσετε τὴν ἀρετήν σας, καὶ ἡμεῖς νὰ χαιρώμεθα βλέποντες τὴν προκοπήν σας. Μήπως δηλαδὴ θέλομεν νὰ ὁμιλῶμεν ἁπλῶς καὶ χωρὶς σκοπόν, ὥστε νὰ κερδήσωμεν τὸν ἔπαινόν σας καὶ νὰ ἀναχωρήσετε, ἀφοῦ μᾶς χειροκροτήσετε; Ὄχι δι' αὐτό, μὴ γένοιτο, ἀλλὰ διδάσκομεν διὰ τὴν ἰδικήν σας ὠφέλειαν. Δι' ἐμὲ ὁ μεγαλύτερος καὶ ὁ περισσότερον ἱκανοποιητικὸς ἔπαινος θὰ εἶναι, ἐὰν κάποιος ἐπιστρέψῃ ἀπὸ τὴν κακίαν εἰς τὴν ἀρετὴν καὶ ἐὰν κανείς, ἐνῷ πρὶν ἀπὸ τὴν ὁμιλίαν ἦτο νωθρός, γίνῃ τώρα μὲ τὴν ἰδικήν μας προτροπὴν προσεκτικός. Αὐτὸ καὶ εἰς ἐμὲ προσφέρει ἔπαινον καὶ παρηγορίαν καὶ εἰς σᾶς πολὺ κέρδος καὶ πνευματικὸν πλοῦτον. Ἀλλὰ καὶ δὲν ἀμφιβάλλω, ὅτι ἐδείξατε μεγάλον ζῆλον. Διότι γνωρίζω, ὅτι εἶσθε θεοδίδακτοι καὶ ὅτι ἠμπορεῖτε καὶ ἄλλους νὰ συμβουλεύετε. Διὰ τὸν λόγον αὐτόν, ἀφοῦ σταματήσω ἐδῶ τὴν περὶ αὐτοῦ συμβουλήν, θὰ συνεχίσω τὴν συνήθη διδασκαλίαν ἀπὸ τοὺς λόγους τοῦ Μωυσέως, ἢ μᾶλλον ἀπὸ τοὺς λόγους τοῦ ἁγίου Πνεύματος, οἱ ὁποῖοι ἐλέχθησαν εἰς ἡμᾶς μέσῳ αὐτοῦ καί, ἀφοῦ προσθέσω ἐνδιαμέσως ὀλίγα, θὰ σᾶς παραθέσω ἀπὸ ἐκεῖ σήμερον τὴν πνευματικὴν τροφήν.

Ἠκούσατε προηγουμένως, πῶς ὁ Ἰακὼβ κατὰ συμβουλὴν τῆς Ρεβέκκας ἔκαμε τὰ πάντα καὶ ἀπέσπασε τὴν πατρικὴν εὐλογίαν καὶ ἔκαμεν ἐκείνην τὴν ἐπαινετὴν κλοπήν. Διὰ τοῦτο ἀπήλαυσε καὶ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ἐπραγματοποιήθη εἰς αὐτὸν ἐκεῖνο, ποὺ ἐπεδίωκεν. Ἐπει-

αὐτῷ πολὺς ὁ φθόνος ἐτίκτετο παρὰ τοῦ Ἡσαῦ, καὶ πρὸς φόνον λοιπὸν παρεσκευάζετο· τοιοῦτον γὰρ τουτὶ τὸ ὀλέθριον πάθος· οὐ πρότερον ἵσταται, μέχρις ἂν τὸν ὑπὸ τοῦ πάθους ἁλόντα κατὰ κρημνῶν ἐνεχθῆναι παρασκευάσῃ, καὶ πρὸς τὴν τοῦ φόνου παρανομίαν δραμεῖν. Ρίζα γὰρ τοῦ φόνου ὁ φθόνος. Οὕτω καὶ ἐξ ἀρχῆς ἐπὶ τοῦ Κάϊν καὶ ἐπὶ τοῦ Ἄβελ γέγονεν. Οὐδὲν γὰρ ἔχων οὐδὲ ἐκεῖνος, οὐ μικρόν, οὐ μέγα ἐγκαλέσαι τῷ ἀδελφῷ, ἐπειδὴ εἶδεν εὐδοκιμοῦντα παρὰ τῷ Δεσπότῃ τῶν ὅλων ἀπὸ τῆς προσκομιδῆς τῶν δώρων, καὶ ἑαυτὸν ἀπόβλητον γεγενημένον διὰ τὴν οἰκείαν ῥαθυμίαν, εἰς φθόνον εὐθὺς διηγείρετο, καὶ τὴν ῥίζαν τοῦ φόνου τεκὼν ἐν τῇ διανοίᾳ, παραχρῆμα καὶ τὸν καρπὸν ἐκεῖνον τὸν ὀλέθριον ἐπεδείξατο, καὶ τὸν φόνον εἰς ἔργον ἤγαγεν. Οὕτω δὴ καὶ νῦν ὁ Ἡσαῦ ἰδὼν τὸν ἀδελφὸν τὰς εὐλογίας παρὰ τοῦ πατρὸς δεξάμενον, καὶ ὑπὸ τοῦ θυμοῦ καὶ τῆς βασκανίας εἰς φόνον ἐξενεχθείς, ἐμελέτα τοῦ ἀδελφοῦ τὴν ἀναίρεσιν.

Ἀλλ' ἡ θαυμασία μήτηρ τοῦτο αἰσθομένη, πάλιν τὴν μητρικὴν φιλοστοργίαν περὶ τὸν παῖδα ἐπιδείκνυται, καὶ συμβουλὴν εἰσάγει τὴν δυναμένην αὐτὸν ἐξαρπάσαι τῶν τοῦ ἀδελφοῦ χειρῶν. «Καλέσασα γάρ», φησί, τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, εἶπεν αὐτῷ· ἰδοὺ Ἡσαῦ ὁ ἀδελφός σου ἀπειλεῖ σοι ἀποκτεῖναί σε. Νῦν οὖν ἄκουσόν μου τῆς φωνῆς». Ἡ πεῖρά σε διδασκέτω, φησίν, ὅτι τὰ λυσιτελῆ σοι συμβουλεύω, καὶ καθάπερ ἤδη τῆς ἐμῆς φωνῆς ἀκούσας, τὰς μεγάλας ἐκείνας εὐλογίας ἐπεσπάσω παρὰ τοῦ πατρός, οὕτω δὴ καὶ νῦν ἄκουσόν μου τῆς φωνῆς, ἵνα διαφυγεῖν δυνηθῇς τοῦ ἀδελφοῦ τὰς χεῖρας. Οὕτω γὰρ ἑαυτὸν ἐλευθερώσεις τῶν κινδύνων, κἀμὲ τοῦ πένθους. Εἰκὸς γὰρ ἐκεῖνον, εἰ τοῦτο τολμήσειε, δίκην ἀπαιτηθῆναι, καὶ πανταχόθεν ἐμοὶ τῆς ὀδύνης τὴν ἐπίτασιν αὔξεσθαι.

δὴ ὅμως ὁ Ἠσαῦ ἐφθόνησεν αὐτὸν πολὺ ἐξ αἰτίας αὐτοῦ, ἡτοιμάζετο ἀκόμη καὶ διὰ φόνον. Καθ' ὅσον τέτοιο εἶναι αὐτὸ τὸ ὀλέθριον πάθος. Δὲν σταματᾷ προηγουμένως, μέχρις ὅτου κάμῃ αὐτὸν ποὺ κυριεύθηκε ἀπὸ τὸ πάθος αὐτὸ νὰ ὁδηγηθῇ πρὸς τὸν κρημνὸν καὶ νὰ παρασυρθῇ εἰς τὴν παρανομίαν τοῦ φόνου. Διότι ὁ φθόνος εἶναι ἡ ρίζα τοῦ κακοῦ. Τὸ ἴδιον συνέβη παλαιότερον καὶ μὲ τὸν Κάϊν καὶ τὸν Ἄβελ. Ἐνῷ δηλαδὴ ἐκεῖνος δὲν εἶχε τίποτε οὔτε μικρὸν οὔτε μεγάλο νὰ κατηγορήσῃ τὸν ἀδελφόν του τὸν Ἄβελ, ὅμως ὅταν εἶδεν, ὅτι ἐπιβραβεύεται ἀπὸ τὸν Θεὸν τῶν ὅλων διὰ τὴν προσφορὰν τῶν δώρων του καὶ ὅτι ὁ ἴδιος νὰ μὴ γίνεται δεκτὸς λόγῳ τῆς ὀκνηρίας του, ἤρχισεν ἀμέσως νὰ τὸν φθονῇ καὶ ἀφοῦ ἐσκέφθη τὸν φόνον, ἀμέσως ἐπέδειξε καὶ τὸν καταστρεπτικὸν ἐκεῖνον καρπὸν καὶ ἐπραγματοποίησε τὸν φόνον. Κατὰ τὸν ἴδιον λοιπὸν τρόπον καὶ τώρα ὁ Ἠσαῦ, ὅταν εἶδεν ὅτι ὁ ἀδελφός του ἔλαβε τὰς εὐλογίας ἀπὸ τὸν πατέρα του, ἀπὸ τὸν θυμὸν καὶ τὴν ὀργὴν ἔφθασεν εἰς τὸν φόνον καὶ ἐσχεδίαζε τὸν θάνατον τοῦ ἀδελφοῦ του.

Ὅμως ἡ ἀξιοθαύμαστη μητέρα του, ὅταν ἀντελήφθη αὐτό, ἐκδηλώνει εἰς τὸν υἱόν της τὴν μητρικὴν στοργὴν καὶ δίνει συμβουλὴν ἱκανὴν νὰ τὸν σώσῃ ἀπὸ τὰ χέρια τοῦ ἀδελφοῦ του. Διότι λέγει, «Ἐκάλεσεν ἡ Ρεβέκκα τὸν υἱόν της τὸν νεώτερον καὶ εἶπεν εἰς αὐτόν. Ἰδοὺ ὁ ἀδελφός σου Ἠσαῦ ἀπειλεῖ νὰ σὲ φονεύσῃ. Τώρα λοιπὸν ἄκουσε ὅ,τι θὰ σοῦ εἰπῶ». Ἡ πεῖρα, λέγει, νὰ σοῦ διδάξῃ, ὅτι σὲ συμβουλεύω τὰ ὠφέλιμα καὶ ὅπως ἀκριβῶς ἤκουσες τοὺς λόγους μου καὶ ἔλαβες ἐκείνας τὰς μεγάλας εὐλογίας ἀπὸ τὸν πατέρα σου, κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ τώρα ἄκουσε ὅ,τι θὰ σοῦ εἰπῶ, διὰ νὰ ἠμπορέσῃς νὰ γλυτώσῃς ἀπὸ τὰ χέρια τοῦ ἀδελφοῦ σου. Μὲ αὐτὸν τὸν τρόπον λοιπὸν θὰ ἠμπορέσῃς καὶ σὺ νὰ ἐλευθερωθῇς ἀπὸ τοὺς κινδύνους καὶ ἐγὼ ἀπὸ τὸ πένθος. Εἶναι φυσικὸν νὰ τιμωρηθῇ, ἐὰν τολμήσῃ αὐτό, καὶ ἔτσι θὰ αὐξηθῇ πολὺ ὁ πόνος μου.

«Ἄκουσον οὖν μου τῆς φωνῆς, καὶ ἀναστὰς ἀπόδραθι πρὸς τὸν ἀδελφόν μου Λάβαν εἰς Χαρράν, καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινάς, ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, καὶ ἐπιλάθηται, ἃ πεποίηκας αὐτῷ· καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν, μήποτε ἀτεκνωθῶ ἐκ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ». «Ἄπιθι», φησί, «πρὸς τὸν ἀδελφόν μου Λάβαν, καὶ οἴκει ἐκεῖ μετ' αὐτοῦ». Εἰκὸς γὰρ καὶ τὸν χωρισμὸν καὶ τὸν ἐν μέσῳ χρόνον ἰσχῦσαί τι πλέον, καὶ παραμυθήσασθαι τὸ πάθος, καὶ τὴν βασκανίαν λωφῆσαι, καὶ λήθην αὐτῷ γενέσθαι τῶν ὑπὸ σοῦ γεγενημένων περὶ τὴν τῆς εὐλογίας κλοπήν. «Καὶ ἐπιλάθηται», φησίν, «ἃ πεποίηκας αὐτῷ». Εἰκότως, φησίν, ὀργίζεται· δι' ὃ προσήκει ἐκκλῖναι αὐτοῦ τὴν ὁρμήν, ὅπως ἀπὸ τοῦ χρόνου λήθης ἐγγενομένης αὐτῷ, μετὰ ἀσφαλείας λοιπὸν δυνηθῇς τὴν ἐνταῦθα οἴκησιν ποιήσασθαι.

Καὶ ἵνα μὴ δυσχεράνῃ ὁ παῖς ἐπὶ τὴν ἀλλοτρίαν ἀπιέναι καταναγκαζόμενος, ὅρα πῶς παραμυθεῖται τοῦ νέου τὴν ψυχήν, πρῶτον μὲ εἰποῦσα· «Ἄπιθι πρὸς Λάβαν τὸν ἀδελφόν μου». Μὴ γὰρ πρὸς ξένον τινά, φησί, κατεπείγω σε ἀπελθεῖν; Πρὸς τὸν ἀδελφὸν τὸν ἐμόν, καὶ οἴκει μετ' αὐτοῦ ἡμέρας τινάς. Βραχύν, φησί, χρόνον, ὀλίγας ἡμέρας, ἕως τοῦ παύσασθαι τὴν ὀργήν. Νῦν γὰρ καὶ ἀκμάζει αὐτῷ, φησίν, ὁ θυμός, καὶ οὔτε τοῦ πατρὸς αἰδῶ τινα ποιεῖται, καθάπαξ τυραννούμενος ὑπὸ τοῦ πάθους, οὔτε τὴν ἀδελφικὴν στοργὴν ἐν διανοίᾳ λαμβάνει, ἀλλ' ἑνὸς μόνου γίνεται, τοῦ τὸν θυμὸν ἀποπληρῶσαι. «Καὶ ἀποστείλασα μεταπέμψομαί σε ταχέως», φησίν, «ἐκεῖθεν. Σὲ ἐπανάξω. Ἄπιθι τοίνυν θαρρῶν, ὅτι «Ἀποστείλασα μεταπέμψομαί σε». Περὶ γὰρ τοῦ παντός ἐστί μοι ὁ ἀγών, καὶ περὶ ἀμφοτέρων δέδοικα, μήποτε ἀποστερηθῶ ἀμφοτέρων.

Ὅρα σύνεσιν μητρός· πῶς οἴκοθεν κινουμένη, μᾶλλον δὲ τῇ τοῦ Θεοῦ προρρήσει καὶ νῦν ὑπηρετου-

Ἄκουσε λοιπὸν τοὺς λόγους μου καὶ ἀφοῦ σηκωθῇς πήγαινε εἰς τὸν ἀδελφόν μου τὸν Λάβαν εἰς τὴν Χαρράν καὶ νὰ μείνῃς μαζί του μερικὰς ἡμέρας, ἕως ὅτου παρέλθῃ ὁ θυμὸς καὶ ἡ ὀργὴ τοῦ ἀδελφοῦ σου καὶ λησμονήσῃ, ὅσα ἔχεις κάνει εἰς αὐτόν. Τότε θὰ στείλω ἄνθρωπον καὶ θὰ σὲ φέρω ἀπὸ ἐκεῖ, μήπως σᾶς χάσω εἰς μίαν ἡμέραν καὶ τοὺς δύο». «Πήγαινε», λέγει, «εἰς τὸν ἀδελφόν μου καὶ νὰ μείνῃς ἐκεῖ μαζί του». Καθ' ὅσον εἶναι φυσικὸν καὶ ὁ χωρισμὸς καὶ τὸ ἐνδιάμεσον διάστημα νὰ ἠμπορέσουν νὰ ἐπιτύχουν κάτι περισσότερον καὶ νὰ καταπραΰνουν τὸ πάθος καὶ νὰ παύσουν τὴν ὀργὴν καὶ νὰ λησμονήσῃ αὐτὸς ὅσα σὺ ἔκανες διὰ τὴν κλοπὴν τῆς εὐλογίας. «Καὶ νὰ λησμονήσῃ», λέγει, «ὅσα σὺ ἔκαμες εἰς αὐτόν». Δικαίως ὀργίζεται, λέγει. Διὰ τοῦτο πρέπει νὰ ἀνακόψῃς τὴν ὁρμήν του, διὰ νὰ ἠμπορέσῃς εἰς τὸ ἑξῆς νὰ κατοικήσῃς ἐδῶ μὲ ἀσφάλειαν, ἀφοῦ αὐτὸς μὲ τὴν πάροδον τοῦ χρόνου τὸ λησμονήσῃ.

Καὶ διὰ νὰ μὴ λυπήσῃ τὸ παιδί, ἀφοῦ ἠναγκάζετο νὰ φύγῃ εἰς ξένην χώραν, πρόσεχε, πῶς τὸ ἐνθαρρύνει, ἀφοῦ τοῦ εἶπεν ἀπὸ τὴν ἀρχήν· «Πήγαινε εἰς τὸν ἀδελφόν μου τὸν Λάβαν». Μήπως δηλαδή, λέγει, σὲ ἀναγκάζω νὰ ὑπάγῃς εἰς κάποιον ξένον; Εἰς τὸν ἀδελφόν μου νὰ μεταβῇς καὶ νὰ μείνῃς μαζί του μερικὰς ἡμέρας. Ὀλίγον χρόνον, λέγει, ὀλίγας ἡμέρας, ἕως ὅτου νὰ παύσῃ ἡ ὀργή του. Καθ' ὅσον τώρα, λέγει, ἔχει ἀνάψει ὁ θυμός του καὶ οὔτε τὸν πατέρα σέβεται, ἐπειδὴ τυραννεῖται ἀπὸ τό πάθος, οὔτε τὴν ἀδελφικὴν ἀγάπην ὑπολογίζει, ἀλλὰ ἕνα μόνον ἐπιδιώκει, νὰ ἱκανοποιήσῃ δηλαδὴ τὸν θυμόν του. «Τότε θὰ στείλω ἄνθρωπον καὶ θὰ σὲ φέρω ἀπὸ ἐκεῖ γρήγορα», λέγει. Θὰ σὲ ἐπαναφέρω. Φύγε λοιπὸν μὲ τὴν πεποίθησιν, ὅτι «Θὰ στείλω ἄνθρωπον καὶ θὰ σὲ φέρω πάλιν». Διότι ἐγὼ ἀγωνίζομαι τώρα διὰ τὸ κάθε τι καὶ φοβοῦμαι καὶ διὰ τοὺς δύο, μήπως στερηθῶ καὶ τοὺς δύο.

Πρόσεχε τὴν σύνεσιν τῆς μητρός. Πῶς δηλαδὴ παρακινεῖται ἀπὸ τὸν ἐσωτερικόν της κόσμον, ἢ μᾶλλον ὑ-

μένη, ἐκεῖνα συμβουλεύει τῷ παιδί, ἅπερ ὁ Χριστὸς παρήνει τοῖς μαθηταῖς, συμβουλεύων μὴ ὁμόσε χωρεῖν τοῖς κινδύνοις, ἀλλὰ διὰ τῆς ἀναχωρήσεως παραμυθεῖσθαι τοῦ πάθους τὴν μανίαν. Τοῦτο τοίνυν καὶ αὕτη εἰσηγουμένη τῷ παιδί, πρότερον αὐτῷ συμβουλεύσασα καὶ παραθαρρύνασα αὐτοῦ τὸν λογισμόν, ὥστε μὴ δυσχερᾶναι πρὸς τὸν χωρισμόν, τότε λοιπὸν καὶ ἀφορμὴν εὔλογον τῇ ἀποδημίᾳ περιθεῖναι βούλεται, ὥστε μὴ προφανῶς δόξαι διὰ τὴν τοῦ ἀδελφοῦ βασκανίαν ἀναχωρεῖν, μηδὲ τὸν πατέρα τοῦ γνῶναι τὴν ἀληθῆ τῆς ἀποδημίας αἰτίαν, μήτε τοῦ Ἡσαῦ τὴν κατὰ αὐτοῦ ἀγανάκτησιν. «Καὶ εἰσελθοῦσα», φησί, «πρὸς τὸν Ἰσαὰκ ἡ Ρεβέκκα εἶπε· προσώχθισα τῇ ζωῇ μου διὰ τὰς θυγατέρας τῶν υἱῶν Χέτ. Εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι τὸ ζῆν;».

3. Σκόπει πῶς εὐπρόσωπον εὗρε πρόφασιν. Ὅταν γὰρ ἡμῖν ἡ ἄνωθεν συμπράττῃ δεξιά, καὶ τὰ δυσχερῆ εὔκολα γίνεται, καὶ τὰ δύσκολα ῥᾴδια. Ἐπεὶ οὖν καὶ αὕτη εἶχε τὸν τῶν ὅλων Θεὸν συναινοῦντα αὐτῆς τῇ γνώμῃ, πάντα τὰ δυνάμενα συντελεῖν τῇ οἰκονομίᾳ τῇ μελλούσῃ, καὶ τοῦ παιδὸς τῇ σωτηρίᾳ, ὑπέβαλεν αὐτῆς τῇ διανοίᾳ. «Προσώχθισα», φησί, «τῇ ζωῇ διὰ τὰς θυγατέρας τῶν υἱῶν Χέτ. Εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι τὸ ζῆν;». Ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τῶν γυναικῶν τοῦ Ἡσαῦ τὸ δύστροπον, καὶ ὅτι πολλῆς ἀηδίας αὐτοῖς ὑπόθεσις γεγόνασι. Καὶ γὰρ ἀνωτέρω διηγήσατο ἡμῖν ἡ θεία Γραφή, ὅτι ἔλαβεν ἀπὸ τῶν Χετταίων καὶ ἀπὸ τῶν Εὐαίων γυναῖκας ὁ Ἡσαῦ, «Καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ρεβέκκᾳ». Τοῦτο οὖν αὐτὸ ὑπομνῆσαι αὐτὸν βουλομένη, μονονουχὶ ταῦτά φησι πρὸς αὐτόν· οἶδας, ὅπως μοι τὴν ζωὴν πικρὰν πεποιήκασιν αἱ γαμεταὶ τοῦ Ἡσαῦ, καὶ ὅπως διὰ τὴν τούτων μοχθηρίαν λοιπὸν πρὸς πά-

πηρετεῖ καὶ τώρα τὸ θεῖον σχέδιον καὶ συμβουλεύει εἰς τὸ παιδὶ ἐκεῖνα, τὰ ὁποῖα συνεβούλευεν ὁ Χριστὸς εἰς τοὺς μαθητάς του, ὅταν τοὺς ἔλεγε νὰ μὴ προχωροῦν ἀσυλλόγιστα εἰς τοὺς κινδύνους, ἀλλὰ νὰ καταπραΰνουν τὴν μανίαν τοῦ πάθους μὲ τὴν ἀναχώρησιν. Αὐτὸ λοιπὸν ἔκανε καὶ ἡ Ρεβέκκα, ἀφοῦ εἰσηγήθη εἰς τὸν Ἰακὼβ νὰ ἀναχωρήσῃ, ἀφοῦ προηγουμένως συνεβούλευσεν αὐτὸν καὶ τὸν ἐνεθάρρυνεν, διὰ νὰ μὴ στενοχωρηθῇ διὰ τὸν χωρισμόν, τότε λοιπὸν θέλει νὰ δώσῃ μίαν καλὴν δικαιολογίαν εἰς τὴν ἀναχώρησιν, διὰ νὰ μὴ φανῇ καθαρά, ὅτι φεύγει ἐξ αἰτίας τῆς ὀργῆς τοῦ ἀδελφοῦ, οὔτε νὰ καταλάβῃ ὁ πατέρας τὴν πραγματικὴν αἰτίαν τῆς φυγῆς, οὔτε τὴν ἀγανάκτησιν τοῦ Ἠσαῦ ἐναντίον του. «Καὶ εἰσῆλθεν ἡ Ρεβέκκα», λέγει, «εἰς τὴν σκηνὴν τοῦ Ἰσαὰκ καὶ εἶπεν. Ἀηδίασα τὴν ζωήν μου ἐξ αἰτίας τῶν θυγατέρων τοῦ Χέτ. Ἐὰν ὁ Ἰακὼβ λάβῃ γυναῖκα ἐκ τῶν θυγατέρων τῆς χώρας αὐτῆς, τί μὲ ὠφελεῖ νὰ ζῶ;».

3. Σκέψου πῶς εὗρε καλὴν δικαιολογίαν. Διότι, ὅταν μᾶς βοηθῇ ἡ δεξιὰ τοῦ Θεοῦ, καὶ τὰ δυσχερῆ γίνονται εὔκολα καὶ τὰ δύσκολα ἐλαφρά. Ἐπειδὴ λοιπὸν καὶ αὐτὴ εἶχε τὴν συναίνεσιν τοῦ Θεοῦ εἰς τὴν ἀπόφασίν της, ἐσκέφθη ὅλα ὅσα ἠμποροῦσαν νὰ συντελέσουν εἰς τὴν πραγματοποίησιν τοῦ σχεδίου τοῦ Θεοῦ καὶ εἰς τὴν σωτηρίαν τοῦ παιδιοῦ. «Ἀηδίασα τὴν ζωήν μου», λέγει, «ἐξ αἰτίας τῶν θυγατέρων τοῦ Χέτ. Ἐὰν ὁ Ἰακὼβ λάβῃ γυναῖκα ἐκ τῶν θυγατέρων τῆς χώρας αὐτῆς, τί μὲ ὠφελεῖ νὰ ζῶ;». Ἐδῶ νομίζω ὅτι ὑπαινίσσεται τοὺς κακοὺς τρόπους τῶν γυναικῶν τοῦ Ἠσαῦ καὶ ὅτι αὐταὶ εἶχον προκαλέσει μεγάλην δυσφορίαν εἰς αὐτούς. Καθ' ὅσον ἡ ἁγία Γραφὴ μᾶς διηγήθη ἀνωτέρω, ὅτι ὁ Ἠσαῦ ἔλαβε γυναῖκας ἀπὸ τοὺς Χετταίους καὶ ἀπὸ τοὺς Εὐαίους, «Καὶ ἐφιλονεικοῦσαν μὲ τὸν Ἰσαὰκ καὶ τὴν Ρεβέκκαν». Ἐπειδὴ λοιπὸν ἐπιθυμεῖ νὰ τοῦ ὑπενθυμίσῃ αὐτό, εἶναι σὰν νὰ τοῦ λέγῃ τὰ ἑξῆς. Γνωρίζεις, ὅτι αἱ γυναῖκες τοῦ Ἠσαῦ μοῦ ἔχουν κάνει τὴν ζωὴν πικρὰν καὶ ὅτι ἐξ αἰτίας τῆς κακίας αὐ-

σας ἀπεχθῶς ἔχω τὰς θυγατέρας τῶν υἱῶν Χέτ, καὶ ἅπαν τὸ ἔθνος δι' ἐκείνας μεμίσηκα. Εἰ τοίνυν συμβαίη καὶ τὸν 'Ιακὼβ ἐκ τούτων ἀγαγέσθαι γυναῖκα, ποία μοι λοιπὸν ἔσται σωτηρίας ἐλπίς; «Ἵνα τί γάρ μοι τὸ ζῆν;». Εἰ γὰρ ἐκείνας ἐνεγκεῖν οὐκ ἰσχύομεν, εἰ καὶ οὗτος φθάσει ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης λαβεῖν γυναῖκα, τὰ τῆς ζωῆς ἡμῖν οἴχεται.

'Ακούσας δὲ ταῦτα ὁ 'Ισαάκ, καὶ εἰς ὑπόμνησιν ἐλθὼν τῆς ἐκείνων κακίας, «Προσκαλεσάμενος τὸν 'Ιακώβ, εὐλόγησε», φησίν, «αὐτόν, καὶ ἐνετείλατο αὐτῷ, λέγων· οὐ λήψῃ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων· ἀλλ' ἀναστὰς πορεύου εἰς Μεσοποταμίαν, εἰς τὸν οἶκον τοῦ πατρὸς τῆς μητρός σου, καὶ λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων τοῦ ἀδελφοῦ τῆς μητρός σου». Καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ βουλόμενος προθυμότερον αὐτὸν ἐργάσασθαι περὶ τὴν ἀποδημίαν, καὶ τὰς παρ' αὐτοῦ εὐλογίας πάλιν προτίθησι, καί φησιν· «Ὁ Θεός μου εὐλογήσει σε, καὶ αὐξήσει σε, καὶ πληθυνεῖ σε, καὶ ἔσῃ εἰς συναγωγὰς ἐθνῶν, καὶ δώσει σοι τὴν εὐλογίαν 'Αβραὰμ τοῦ πατρός μου, σοὶ καὶ τῷ σπέρματί σου μετὰ σέ, κληρονομῆσαι τὴν γῆν τῆς παροικήσεώς σου, ἣν ἔδωκεν ὁ Θεὸς τῷ 'Αβραάμ».

Ὅρα τὸν δίκαιον τοῦτον, ὅπως προαναφωνεῖ αὐτῷ ἅπαντα, καὶ ἱκανὰ αὐτῷ ἐφόδια πρὸς παραμυθίαν δίδωσι, προμηνεύων αὐτῷ καὶ τὴν ἐπάνοδον καὶ τῆς γῆς τὴν κληρονομίαν, καὶ ὅτι οὐ μόνον εἰς πλῆθος ἐπιδώσει, ἀλλὰ καὶ συναγωγὰς ἐθνῶν ἐκ τοῦ σπέρματος αὐτοῦ ἐξελεύσεσθαι. Ταῦτα ἀκούσας ὁ παῖς ἐπλήρου τὰ δόξαντα τῷ πατρί, καὶ ἐπορεύετο εἰς τὴν Μεσοποταμίαν πρὸς Λάβαν τὸν τῆς μητρὸς ἀδελφόν. 'Αλλὰ πάλιν ὁ 'Ησαῦ τοῦτο μαθών, καὶ ὅτι εὐλογηθεὶς παρὰ τοῦ πατρὸς ὁ 'Ιακὼβ ἐντολὰς ἔλαβε, μὴ λαβεῖν γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων, ἀλλ' ὥρμησεν εἰς τὴν Μεσοποταμίαν, ὥσπερ διορθῶσαι βου-

των ἀπεχθάνομαι ὅλας τὰς γυναῖκας τῶν Χετταίων καὶ μισῶ ἐξ αἰτίας αὐτῶν ὁλόκληρον τὴν φυλήν των. Ἐάν λοιπὸν συμβῇ νὰ λάβῃ καὶ ὁ Ἰακὼβ γυναῖκα ἀπὸ τοὺς Χετταίους, ποίαν ἐλπίδα σωτηρίας θὰ ἔχω εἰς τὸ ἑξῆς; Διότι λέγει, «Τί μὲ ὠφελεῖ νὰ ζῶ;». Ἐφ' ὅσον δὲν ἠμποροῦμεν νὰ ὑποφέρωμεν ἐκείνας, θὰ ἀποθάνωμεν, ἐὰν καὶ αὐτὸς φθάσῃ νὰ λάβῃ γυναῖκα ἀπὸ τὰς θυγατέρας τῆς χώρας αὐτῆς.

Ὅταν ἤκουσεν αὐτὰ ὁ Ἰσαὰκ καὶ ἐνεθυμήθη τὴν κακίαν τῶν γυναικῶν ἐκείνων, «Ἐκάλεσε τὸν Ἰακώβ», λέγει, «καὶ εὐλόγησεν αὐτὸν καὶ ἔδωσεν εἰς αὐτὸν ἐντολὴν καὶ εἶπε· Δὲν θὰ λάβῃς γυναῖκα ἀπὸ τὰς θυγατέρας τῶν Χαναναίων, ἀλλὰ νὰ σηκωθῇς καὶ νὰ ὑπάγῃς εἰς τὴν Μεσοποταμίαν εἰς τὸν οἶκον τοῦ πατρὸς τῆς μητέρας σου καὶ νὰ λάβῃς γυναῖκα ἀπὸ ἐκεῖ, ἀπὸ τὰς θυγατέρας τοῦ ἀδελφοῦ τῆς μητρός σου». Καὶ δὲν ἐσταμάτησεν ἐδῶ, ἀλλ' ἐπειδὴ ἤθελε νὰ τὸν κάμῃ περισσότερον πρόθυμον διὰ τὴν ἀναχώρησιν, ἐπαναλαμβάνει τὰς εὐλογίας καὶ λέγει· «Ὁ Θεός μου νὰ σὲ εὐλογήσῃ καὶ νὰ σὲ αὐξήσῃ καὶ νὰ σὲ πληθύνῃ, ὥστε νὰ ἀναδειχθῇς γενάρχης πολλῶν ἐθνῶν. Καὶ νὰ σοῦ δώσῃ τὴν εὐλογίαν τοῦ πατρός μου Ἀβραὰμ εἰς ἐσὲ καὶ τοὺς ἀπογόνους σου, διὰ νὰ κληρονομήσῃς τὴν γῆν τῆς παροικήσεώς σου, τὴν ὁποίαν ἔδωκεν ὁ Θεὸς εἰς τὸν Ἀβραάμ».

Πρόσεχε πῶς ὁ δίκαιος αὐτὸς προλέγει εἰς τὸν Ἰακὼβ τὰ πάντα καὶ τοῦ δίδει ἀρκετὰ ἐφόδια διὰ νὰ τὸν ἐνθαρρύνῃ, ἀφοῦ τοῦ προλέγει καὶ τὴν ἐπάνοδον καὶ τὴν κληρονομίαν τῆς χώρας, καὶ ὅτι δὲν θὰ ἀποκτήσῃ μόνον πλῆθος ἀπογόνων, ἀλλὰ καὶ θὰ προέλθουν ἀπὸ τοὺς ἀπογόνους του πολλαὶ φυλαί. Ἀφοῦ ἤκουσεν αὐτὰ τὸ παιδὶ ἐξεπλήρωσε ὅλα, ὅσα ἐφάνησαν καλὰ εἰς τὸν πατέρα του, καὶ ἔφυγε διὰ τὴν Μεσοποταμίαν πρὸς τὸν Λάβαν, τὸν ἀδελφὸν τῆς μητρός του. Ὅταν ὅμως ὁ Ἠσαῦ ἔμαθε πάλιν, ὅτι ὁ Ἰακὼβ εὐλογήθη ἀπὸ τὸν πατέρα καὶ ὅτι ἔλαβεν ἐντολὴν νὰ μὴ λάβῃ γυναῖκα ἀπὸ τὰς θυγατέρας τῶν Χαναναίων καὶ ἔφυγε διὰ τὴν Μεσοποταμίαν, ὡσὰν νὰ ἤθελε

λόμενος τὸ οἰκεῖον πταῖσμα, καὶ ἐξευμενίσασθαι τὸν πατέρα, «Προσθείς», φησίν, «ἔλαβε γυναῖκα πρὸς ταῖς γυναιξὶν αὐτοῦ, θυγατέρα Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραάμ».

Εἶδες, ἀγαπητέ, μεθ' ὅσης συνέσεως ἡ φιλόστοργος αὕτη μήτηρ ἐξήρπασε τῶν κινδύνων τὸν Ἰακώβ, πρέπον σχῆμα ἐπιθεῖσα τῇ ἀποδημίᾳ, καὶ οὔτε τοῦ Ἡσαῦ τὴν κακίαν ἐξέφηνεν, οὔτε τῷ πατρὶ τὴν αἰτίαν δήλην ἐποίησεν, ἀλλὰ καὶ πρὸς τὸν παῖδα κατάλληλον ἐποιήσατο τὴν συμβουλήν, ἵνα προτρέψασθαι δυνηθῇ διὰ τοῦ φόβου καταδέξασθαι τὰ παρ' αὐτῆς λεγόμενα, καὶ τῷ πατρὶ ἁρμόζουσαν γνώμην εἰσηγήσατο; Ὅθεν καὶ ἐπιδραμὼν ὁ δίκαιος τοῖς ῥηθεῖσι παρ' αὐτῆς, ἐφοδιάσας ταῖς παρ' ἑαυτοῦ εὐλογίαις τὸν Ἰακὼβ ἐξέπεμψεν. Ἀλλ' εἰ δοκεῖ, καὶ μὴ ἀπεκάμετε, ἴδωμεν ὅπως τὴν ἀποδημίαν ποιεῖται ὁ Ἰακώβ. Οὐ μικρὰ γὰρ καὶ ἐντεῦθεν καρπώσασθαι δυνησόμεθα, ἐὰν προσέχωμεν. Καὶ γὰρ φιλοσοφίας ἁπάσης διδασκαλίαν περιέχει τῶν δικαίων ἡ διαγωγή. Ὅρα γοῦν ἐνταῦθα τὸν νέον τοῦτον, τὸν ἐπὶ τῆς οἰκίας τραφέντα, τὸν οὐχ ὁδοιπορίας πεῖραν εἰληφότα ποτέ, οὐ τῆς ἐν ξένῃ διατριβῆς, οὐχ ἑτέρας τινὸς κακουχίας, ὅπως ἅπτεται τῆς ὁδοιπορίας, καὶ μάνθανε τῆς φιλοσοφίας τὴν ὑπερβολήν. «Ἐξῆλθε», φησίν, Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρράν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ».

Εἶδες ἄφατον φιλοσοφίαν; εἶδες, πῶς οἱ παλαιοὶ τὰς ὁδοιπορίας ἐποιοῦντο; Ἀνὴρ ἐν οἰκίᾳ τραφεὶς (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ), τοσαύτης ἀπολαύσας θεραπείας («Ἄπλαστος γάρ», φησίν, «οἰκῶν οἰκίαν»), ἀποδημεῖν μέλλων, οὐχ ὑποζυγίων ἐδεήθη, οὐκ ἀκο-

---

2. Γέν. 25, 27.

νὰ διορθώσῃ τὸ λάθος του καὶ νὰ ἐξευμενίσῃ τὸν πατέρα, «Ἐπῆγε», λέγει, «καὶ ἔλαβε γυναῖκα τὴν θυγατέρα τοῦ Ἰσμαήλ, τοῦ υἱοῦ τοῦ Ἀβραάμ, ἐκτὸς ἀπὸ τὰς γυναῖκας, τὰς ὁποίας εἶχεν».

Εἶδες, ἀγαπητέ, μὲ πόσην σύνεσιν ἡ φιλόστοργος αὐτὴ μητέρα ἐγλύτωσεν ἀπὸ τοὺς κινδύνους τὸν Ἰακώβ, ἀφοῦ εὗρε κατάλληλον δικαιολογίαν διὰ τὴν ἀναχώρησιν; Καὶ οὔτε τὴν κακίαν τοῦ Ἡσαῦ ἐφανέρωσεν, οὔτε ἀπεκάλυψεν εἰς τὸν πατέρα τὴν αἰτίαν, ἀλλὰ καὶ τὸν Ἰακὼβ συνεβούλευσε καταλλήλως, διὰ νὰ ἠμπορέσῃ νὰ τὸν προτρέψῃ λόγῳ τοῦ φόβου νὰ δεχθῇ, ὅσα αὐτὴ τοῦ ἔλεγε, καὶ εἰσηγήθη εἰς τὸν πατέρα τὴν κατάλληλον γνώμην. Διὰ τοῦτο ὁ δίκαιος Ἰσαάκ, ἀφοῦ ὑπήκουσεν εἰς ὅσα τοῦ εἶπεν αὐτὴ καὶ ἀφοῦ ἐφωδίασε τὸν Ἰακὼβ μὲ τὰς εὐλογίας του, τὸν ἀπέστειλεν ἐκεῖ. Ἀλλ' ἐὰν σᾶς φαίνεται καλὸν καὶ δὲν ἐκουράσθητε, ἂς ἰδοῦμεν πῶς ὁ Ἰακὼβ ἀναχωρεῖ. Καθ' ὅσον θὰ ἠμπορέσωμεν νὰ λάβωμεν καὶ ἀπὸ ἐδῶ μεγάλην ὠφέλειαν, ἐὰν προσέξωμεν. Πράγματι ἡ συμπεριφορὰ τῶν δικαίων περιέχει διδασκαλίαν δι' ὅλας τὰς ἀρετάς. Πρόσεχε λοιπὸν ἐδῶ αὐτὸν τὸν νέον, ὁ ὁποῖος ἀνετράφη μέσα εἰς τὴν οἰκογένειάν του, αὐτόν, ὁ ὁποῖος δὲν ἔκανε ποτὲ ὁδοιπορίαν καὶ δὲν ἔζησε ποτὲ εἰς ξένην χώραν, οὔτε ἐδοκίμασε κάποιαν ἄλλην κακουχίαν, πῶς ἀρχίζει τὴν ὁδοιπορίαν καὶ μάθε τὴν πολὺ μεγάλην του εὐσέβειαν. «Ἀνεχώρησε», λέγει, «ὁ Ἰακὼβ ἀπὸ τὸ φρέαρ τοῦ ὅρκου καὶ ἐπῆγεν εἰς τὴν Χαρρὰν καὶ ἔφθασεν εἰς κάποιον τόπον καὶ ἐκοιμήθη ἐκεῖ, διότι εἶχε δύσει ὁ ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τοὺς λίθους τοῦ τόπου καὶ ἔκαμεν αὐτοὺς προσκέφαλον καὶ ἐκοιμήθη εἰς ἐκεῖνον τὸν τόπον».

Εἶδες ἀπερίγραπτον εὐσέβειαν; Εἶδες πῶς ἔκαμναν οἱ παλαιοὶ τὰς ὁδοιπορίας. Ἄνδρας ποὺ ἀνετράφη μέσα εἰς τὴν οἰκογένειαν (πάλιν τὰ ἴδια θὰ εἰπῶ), ποὺ ἔτυχε τόσης φροντίδος, (διότι λέγει, ἦταν ἄπλαστος ἄνθρωπος, ὁ ὁποῖος ἔμενεν εἰς τὴν οἰκίαν του»[2]), ὅταν ἐπρόκειτο νὰ ἀναχωρήσῃ, δὲν ἐχρειάσθη ὑποζύγια, οὔτε ἀκολούθους, οὔτε ἐφόδια,

λούθων, οὐκ ἐφοδίων· ἀλλ' ἀποστολικὸν ἤδη μιμούμενος τρόπον, οὕτως ἥπτετο τῆς ὁδοῦ. Καὶ ἐπειδὴ ὁ ἥλιος, φησίν, ἦν πρὸς δυσμάς, ἔνθα κατελήφθη, ἐκεῖ ἐκάθευδε. Λαβών, φησί, λίθον ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ. Ὅρα τοῦ παιδὸς τὴν ἀνδρείαν· τῷ λίθῳ ἀντὶ προσκεφαλαίου ἐχρήσατο, καὶ ἐπὶ τοῦ ἐδάφους ἐκάθευδε. Διὰ τοῦτο, ἐπειδὴ φιλόσοφον εἶχε ψυχήν, καὶ φρόνημα ἀνδρεῖον, καὶ πάσης φαντασίας βιωτικῆς ἀπήλλακτο, καὶ τῆς ὄψεως ἐκείνης ἠξιώθη τῆς θαυμαστῆς. Τοιοῦτος γὰρ ὁ Δεσπότης ὁ ἡμέτερος· ἐπειδὰν ἴδῃ ψυχὴν εὐγνώμονα, καὶ τῶν παρόντων οὐ πολὺν ποιουμένην λόγον, πολλὴν περὶ αὐτὴν τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν.

4. Ὅρα τοίνυν τὸν δίκαιον τοῦτον ἐπὶ τοῦ ἐδάφους κείμενον, καὶ ὀπτασίαν ὁρῶντα, μᾶλλον δὲ τῆς τοῦ Θεοῦ ὀπτασίας ἀξιούμενον. «Ἐνυπνιάσθη γάρ», φησί, «καὶ ἰδοὺ κλῖμαξ ἦν ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς. Ὁ δὲ Κύριος ἐστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν· ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ· μὴ φοβοῦ». Θέα μοι ἐνταῦθα τοῦ φιλανθρώπου Θεοῦ τὴν ὑπερβάλλουσαν κηδεμονίαν. Ἐπειδὴ γὰρ ἑώρα κατὰ τὴν συμβουλὴν τῆς μητρὸς διὰ τὸν τοῦ ἀδελφοῦ φόβον τὴν ἀποδημίαν καταδεξάμενον, καὶ καθάπερ ἀλήτην τινὰ οὕτω τὴν ὁδὸν ποιούμενον, καὶ οὐδαμόθεν οὐδεμίαν ἔχοντα παραμυθίαν, ἀλλὰ τὸ πᾶν ἐπὶ τὴν ἄνωθεν συμμαχίαν ἐπιρρίψαντα, εὐθὺς ἐν προοιμίοις τῆς ὁδοῦ νευρῶσαι αὐτοῦ τὴν προθυμίαν βουλόμενος ἐπιφαίνεται αὐτῷ, καί φησιν· «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαὰκ τοῦ πατρός σου». Καὶ τὸν πατριάρχην καὶ τὸν πατέρα τὸν σὸν εἰς τοσαύτην αὐξηθῆναι περιφάνειαν πεποίηκα· μὴ τοίνυν φοβοῦ, ἀλλὰ πίστευε, ὅτι ἐγώ, ὁ ἐκείνοις τὰς ὑποσχέσεις πληρώσας, καὶ σὲ τῆς ἐμῆς ἀξιώσω προνοίας.

ἀλλ' ἐμιμήθη τὸν ἀποστολικὸν τρόπον καὶ ἤρχισεν ἔτσι τὴν ὁδοιπορίαν. Καὶ ἐπειδή, λέγει, ἔδυεν ὁ ἥλιος, ἐκοιμήθη ἐκεῖ, ὅπου τὸν ἐπρόλαβεν ἡ νύκτα. Ἀφοῦ ἔλαβε λίθους, λέγει, ἔκαμεν αὐτοὺς προσκέφαλον. Πρόσεχε τὴν γενναιότητα τοῦ παιδιοῦ. Διὰ προσκέφαλον ἐχρησιμοποίησε τὸν λίθον καὶ ἐκοιμήθη εἰς τὸ ἔδαφος. Διὰ τοῦτο, ἐπειδὴ εἶχεν εὐσεβῆ ψυχὴν καὶ γενναῖον φρόνημα, ἦτο ἀπηλλαγμένος καὶ ἀπὸ κάθε βιωτικὴν σκέψιν καὶ ἔγινεν ἄξιος νὰ ἰδῇ ἐκείνην τὴν θαυμαστὴν μορφήν. Καθ' ὅσον τέτοιος εἶναι ὁ Κύριός μας. Ὅταν ἰδῇ εὐγνώμονα ψυχήν, ποὺ δὲν ἀσχολεῖται πολὺ μὲ τὰ παρόντα, προσφέρει πλουσίαν τὴν πρόνοιάν του δι' αὐτήν.

4. Πρόσεχε λοιπὸν τὸν δίκαιον αὐτὸν ποὺ εὑρίσκεται εἰς τὸ ἔδαφος καὶ βλέπει ὅραμα, ἢ μᾶλλον γίνεται ἄξιος νὰ ἰδῇ τὸν Θεόν. Διότι λέγει, «Εἶδεν ὄνειρον καὶ ἰδοὺ κλίμαξ ἦτο ἐστηριγμένη εἰς τὴν γῆν, τῆς ὁποίας ἡ κορυφὴ ἔφθανεν εἰς τὸν οὐρανόν. Καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς. Καὶ ὁ Κύριος ἵστατο εἰς τὴν κορυφὴν αὐτῆς καὶ εἶπεν· «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραὰμ τοῦ πατρός σου καὶ ὁ Θεὸς τοῦ Ἰσαάκ. Μὴ φοβῆσαι». Πρόσεχε παρακαλῶ ἐδῶ τὴν ὑπερβολικὴν φροντίδα τοῦ φιλανθρώπου Θεοῦ. Ἐπειδὴ δηλαδὴ ἔβλεπεν ὁ Θεός, ὅτι ὁ Ἰακὼβ ἐδέχθη νὰ ἀναχωρήσῃ κατὰ τὴν συμβουλὴν τῆς μητρός του, λόγῳ τοῦ φόβου τοῦ ἀδελφοῦ του, καὶ ἔκανε τὴν πορεῖαν, ὡσὰν νὰ ἦτο περιπλανώμενος καὶ χωρὶς νὰ ἔχῃ ἀπὸ πουθενὰ καμμίαν συμπαράστασιν, ἀλλ' ἐνεπιστεύθη τὸ κάθε τι εἰς τὴν ἄνωθεν βοήθειαν, ἀμέσως ὁ Θεὸς παρουσιάζεται εἰς αὐτόν, ἐπειδὴ ἤθελε νὰ τοῦ ἐνισχύσῃ τὴν προθυμίαν ἀπὸ τὴν ἀρχὴν τῆς πορείας του καὶ τοῦ λέγει· «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ἰσαὰκ τοῦ πατρός σου». Ἔχω δοξάσει πολὺ καὶ τὸν πατριάρχην καὶ τὸν πατέρα σου. Μὴ λοιπὸν φοβῆσαι, ἀλλὰ νὰ πιστεύῃς, ὅτι ἐγώ, ὁ ὁποῖος ἐξεπλήρωσα τὰς ὑποσχέσεις, τὰς ὁποίας ἔδωσα εἰς ἐκείνους, θὰ κάμω καὶ σὲ ἄξιον τῆς φροντίδος μου.

Μὴ οὖν φοβοῦ, ἀλλὰ θάρσει, καὶ πᾶσαν δειλίαν ἀπωσάμενος πίστευε τοῖς παρ' ἐμοῦ σοι λεγομένοις. «Καὶ γὰρ τὴν γῆν, ἐφ' ᾗ σὺ καθεύδεις, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου, καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς θαλάσσης». Μὴ νομίσῃς, φησίν, ἐπειδὴ ἐπὶ τῆς ἀλλοτρίας νῦν πορεύῃ, ἀπεστερῆσθαι τῆς γῆς ταύτης, ἔνθα ἐτέχθης, ἔνθα ἐτράφης, ἔνθα ηὐξήθης. Καὶ γάρ σοι αὐτὴν παρέξω, καὶ τῷ σπέρματί σου, ὅπερ ὡς τὴν ἄμμον τῆς θαλάσσης αὐξηθῆναι παρασκευάσω, «Καὶ πλατυνθήσεται πρὸς θάλασσαν, καὶ λίβα, καὶ βορρᾶν», καὶ ἀνατολάς, ἀντὶ τοῦ, 'πανταχοῦ ἐκταθήσεται'. «Καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου». Ὅρα πῶς ἤδη πάντα αὐτῷ τὰ μετὰ πολὺν ἐσόμενα χρόνον μηνύει. Οὕτω γὰρ ἔθος τῷ τῶν ὅλων Δεσπότῃ ἐφ' ἑκάστου τῶν δικαίων τοῦτο ποιεῖν· ὑπισχνεῖσθαι μέν, μὴ παραχρῆμα δὲ τὰς ὑποσχέσεις εἰς ἔργον ἄγειν, ἀλλὰ γυμνάζειν τῶν δικαίων τὴν ὑπακοὴν καὶ τὴν πολλὴν ὑπομονήν, καὶ οὕτω μετὰ πολλῆς τῆς δαψιλείας πληροῦν τὰ ἐπαγγελθέντα.

Εἶτα ἐπειδὴ ὑπέσχετο αὐτῷ τὰ μέλλοντα μετὰ ταῦτα γενήσεσθαι, ἐδεῖτο δὲ ὁ δίκαιος οὐ τῆς τυχούσης παρακλήσεως καὶ ἐν τοῖς αὐτῷ μάλιστα προκειμένοις, ὅρα τὸν ἀγαθὸν Δεσπότην, πῶς καὶ τὰ μέλλοντα ὑπισχνεῖται, καὶ δι' ὧν νῦν πρὸς αὐτὸν ἐπι δείκνυται, περὶ ἐκείνων θαρρεῖν παρασκευάζει. Μὴ γὰρ δὴ νομίσῃς, φησίν, ὅτι ταῦτα μόνα σοι ὑπισχνοῦμαι· ἀλλὰ καὶ νῦν «Μετὰ σοῦ εἰμι διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς». Μὴ τοίνυν νομίσῃς μόνος τὴν ὁδοιπορίαν ποιεῖσθαι· ἐμὲ ἕξεις συνοδοιπόρον, ἐμὲ ἕξεις φύλακα ἐν πάσῃ ὁδῷ, πάντα σοι τὰ δυσχερῆ ἐξευμαρίζοντα, καὶ τὰ δύσκολα εὔκολα κατασκευάζοντα. Εἶτα ἐπιτείνων αὐτῷ τὴν παραμυθί-

Μὴ λοιπὸν φοβῆσαι, ἀλλὰ νὰ ἔχῃς θάρρος καί, ἀφοῦ διώξῃς κάθε φόβον, νὰ πιστεύῃς, εἰς ὅσα ἐγὼ σοῦ λέγω. «Διότι τὴν γῆν, εἰς τὴν ὁποίαν τώρα κοιμᾶσαι, θὰ τὴν δώσω εἰς σὲ καὶ τοὺς ἀπογόνους σου. Καὶ θὰ γίνουν οἱ ἀπόγονοί σου πλῆθος, ὡσὰν τὴν ἄμμον τῆς θαλάσσης». Μὴ νομίσῃς, λέγει, ὅτι ἐπειδὴ τώρα πηγαίνεις εἰς ξένον τόπον, θὰ στερηθῇς τὴν χώραν αὐτήν, εἰς τὴν ὁποίαν ἐγεννήθης, εἰς τὴν ὁποίαν ἀνετράφης καὶ ἐμεγάλωσες. Καθ' ὅσον θὰ δώσω αὐτὴν εἰς σὲ καὶ τοὺς ἀπογόνους σου, τοὺς ὁποίους θὰ κάμω νὰ γίνουν πλῆθος ὡσὰν τὴν ἄμμον τῆς θαλάσσης. «Καὶ θὰ ἐξαπλωθῇς πρὸς δυσμὰς καὶ πρὸς νότον καὶ πρὸς βορρᾶν καὶ πρὸς ἀνατολάς», ἀντὶ νὰ εἰπῇ 'θὰ ἐξαπλωθῇς πρὸς ὅλας τὰς κατευθύνσεις'. «Καὶ θὰ εὐλογηθοῦν διά σοῦ καὶ τῶν ἀπογόνων σου ὅλαι αἱ φυλαὶ τῆς γῆς». Πρόσεχε πῶς ὁ Θεὸς φανερώνει εἰς αὐτὸν ὅλα, ὅσα θὰ συμβοῦν μετὰ ἀπὸ πολὺν χρόνον. Καθ' ὅσον αὐτὸ συνηθίζει νὰ κάνῃ ὁ Κύριος τῶν πάντων εἰς κάθε ἕναν ἀπὸ τοὺς δικαίους. Νὰ ὑπόσχεται δηλαδή, ὅμως νὰ μὴ πραγματοποιῇ ἀμέσως τὰς ὑποσχέσεις, ἀλλὰ νὰ ἐξασκῇ τὴν ὑπακοὴν καὶ τὴν μεγάλην ὑπομονὴν τῶν δικαίων καὶ κατ' αὐτὸν τὸν τρόπον νὰ ἐκπληρώνῃ τὰς ὑποσχέσεις μὲ μεγάλην γενναιοδωρίαν.

Ἔπειτα, ἐπειδὴ ὑπεσχέθη εἰς αὐτὸν αὐτά, τὰ ὁποῖα ἐπρόκειτο νά συμβοῦν μετὰ ἀπ' αὐτὰ καὶ ὁ δίκαιος ἐχρειάζετο ὄχι τὴν τυχαίαν παρηγορίαν, τήν στιγμὴν μάλιστα ποὺ εὑρίσκετο εἰς αὐτὴν τὴν κατάστασιν, πρόσεχε πῶς ὁ ἀγαθὸς Κύριος ὑπόσχεται τὰ μέλλοντα καὶ πῶς, μὲ ὅσα τώρα φανερώνει εἰς τὸν Ἰακώβ, τὸν προετοιμάζει νὰ ἔχῃ δι' αὐτὰ θάρρος. Μὴ δηλαδὴ νομίσῃς, λέγει, ὅτι σοῦ ὑπόσχομαι μόνον αὐτά, ἀλλὰ καὶ τώρα «Εἶμαι μαζί σου καὶ θὰ σὲ προφυλάσσω εἰς τὴν ὁδόν σου, ὅπου καὶ νὰ ὑπάγῃς». Μὴ νομίσῃς λοιπόν, ὅτι κάνεις τὴν ὁδοιπορίαν μόνος σου. Θά ἔχῃς συνοδοιπόρον ἐμέ, θὰ ἔχῃς φύλακα εἰς ὁλόκληρον τὴν πορείαν ἐμέ, ὁ ὁποῖος θὰ σοῦ ἐλαφρύνω ὅλας τάς δυσκολίας καὶ θὰ κάνω ὅλα τὰ δύσκολα εὔκολα. Ἔπειτα διά νὰ τὸν ἐνθαρρύνῃ περισσότερον, προ-

αν, ἤδη προμηνύει αὐτῷ καὶ τὴν εἰς τὰ οἰκεῖα ἐπάνοδον. «Καὶ ἀποστρέψω σε», φησίν, «εἰς τὴν γῆν ταύτην». Μὴ δείσῃς ὡς ἐπὶ τῆς ἀλλοτρίας λοιπὸν διάξων. «Καὶ γὰρ ἐπανάξω σε εἰς ταύτην τὴν γῆν, καὶ οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι». Οὐ περιόψομαί σε, φησίν, ἀλλὰ ταῦτα πάντα, ἅπερ ὑπεσχόμην, εἰς ἔργον ἐλθεῖν παρασκευάσω. Πῶς ἄν τις κατ' ἀξίαν ἐκπλαγείη τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ τὴν ὑπερβάλλουσαν συγκατάβασιν;

Ὅρα πόσον ὄγκον ὑποσχέσεων ἐποιήσατο πρὸς τὸν δίκαιον, καὶ ὅπως αὐτοῦ τὸ φρόνημα διανέστησε. Καὶ ἐπειδὰν θαυμάσῃς τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἐννόει καὶ τοῦ δικαίου τούτου τὴν εὐγνωμοσύνην, καὶ ὅτι μετὰ τοσαύτας ὑποσχέσεις εἴκοσιν ἐτῶν ἀριθμὸν ταλαιπωρηθεὶς παρὰ τῷ Λάβαν, οὐκ ἐδυσχέρανεν, οὐκ ἐνάρκησε πρὸς τὸ μῆκος τοῦ χρόνου· ἀλλὰ πάντα γενναίως ἔφερεν, ἀναμένων τῶν ὑποσχέσεων τὸ τέλος, καὶ εἰδὼς οὐχ οἷόν τε τὰ παρὰ τοῦ Θεοῦ ῥηθέντα διαπεσεῖν, καὶ μάλιστα ἐπειδὰν ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν σπουδάζωμεν, τὴν πίστιν, τὴν ὑπομονήν, τὸ τοῖς μήπω γεγονόσιν, ἐπειδὰν ὁ Δεσπότης ὑπόσχηται, ὡς ἤδη εἰς ἔργον ἐξελθοῦσι θαρρεῖν. Τοῦτο γὰρ ἀληθῶς πίστις, τὸ μὴ τοῖς ὁρωμένοις προσέχειν, κἂν ἐναντία ᾖ τὰ γινόμενα τῇ ὑποσχέσει, ἀλλὰ θαρρεῖν τῇ δυνάμει τοῦ ἐπαγγειλαμένου. Τέως δὲ ἴδωμεν τοῦ δικαίου τούτου τὴν εὐγνωμοσύνην.

«Καὶ ἐξηγέρθη», φησίν, «Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν, ὅτι ἐστὶ Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν· ὡς φοβερὸς ὁ τόπος οὗτος. Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ». Καταπλαγείς, φησίν, ὁ δίκαιος τὴν πολλὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἐφοβήθη, καὶ εἶπεν· «Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος

λέγει ἐκ τῶν προτέρων εἰς αὐτὸν καὶ τὴν ἐπάνοδόν του εἰς τὴν οἰκίαν του. «Καὶ θὰ σὲ ἐπαναφέρω», λέγει, «εἰς τὴν χώραν αὐτήν». Μὴ φοβηθῇς λοιπόν, ἐπειδὴ θὰ ζήσῃς εἰς ξένην χώραν. «Καθ' ὅσον θὰ σὲ ἐπαναφέρω εἰς τὴν χώραν αὐτὴν καὶ δὲν θὰ σὲ ἐγκαταλείψω, ἕως ὅτου ἐκπληρώσω ὅλα, ὅσα σοῦ εἶπα». Δὲν θὰ σὲ περιφρονήσω, λέγει, ἀλλὰ θὰ κάνω νὰ πραγματοποιηθοῦν ὅλα αὐτά, τὰ ὁποῖα ὑπεσχέθην. Πῶς θὰ ἠμποροῦσε κανεὶς νὰ ἐκπλαγῇ ἐπάξια διὰ τὴν ἀπεριόριστον φιλανθρωπίαν τοῦ Θεοῦ καὶ διὰ τὴν ὑπερβολικήν του συγκατάβασιν;

Πρόσεχε πόσον ὄγκον ὑποσχέσεων ἔδωσεν εἰς τὸν δίκαιον καὶ πῶς ἐνίσχυσε τὴν προθυμίαν του. Καὶ ὅταν θαυμάσῃς τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, σκέψου καὶ τὴν εὐγνωμοσύνην τοῦ δικαίου αὐτοῦ καὶ ὅτι μετὰ ἀπὸ τόσας ὑποσχέσεις, ἂν καὶ ἐταλαιπωρήθη εἴκοσιν ἔτη πλησίον τοῦ Λάβαν, ὅμως δὲν ἐδυσανασχέτησε, οὔτε ἔδειξε νωθρότητα διὰ τὸ μεγάλο χρονικὸν διάστημα, ἀλλ' ὑπέμενε τὰ πάντα μὲ θάρρος ἀναμένων τὴν ἐκπλήρωσιν τῶν ὑποσχέσεων. Καὶ ἐγνώριζεν, ὅτι δὲν εἶναι δυνατὸν νὰ μὴ γίνουν, ὅσα εἶπεν ὁ Θεός, καὶ μάλιστα ἐὰν ἡμεῖς φροντίζωμεν νὰ προσφέρωμεν τὰ ἰδικά μας, δηλαδὴ τὴν πίστιν καὶ τὴν ὑπομονὴν καὶ νὰ ἔχωμεν τὴν πεποίθησιν, ὅτι θὰ πραγματοποιηθοῦν, ὅταν ὁ Κύριος ὑπόσχεται, καὶ ἐκεῖνα τὰ ὁποῖα δὲν ἔχουν ἀκόμη γίνει. Πράγματι αὐτὸ εἶναι πίστις, τὸ νὰ μὴ δίδωμεν δηλαδὴ προσοχὴν εἰς αὐτὰ ποὺ βλέπομεν, ἔστω καὶ ἂν αὐτὰ ποὺ γίνονται εἶναι ἀντίθετα μὲ τὴν ὑπόσχεσιν, ἀλλὰ νὰ ἔχωμεν ἐμπιστοσύνην εἰς τὴν δύναμιν ἐκείνου ποὺ ἔδωσε τὴν ὑπόσχεσιν. Κατ' ἀρχὴν ἂς ἴδωμεν τὴν εὐγνωμοσύνην τοῦ δικαίου Ἰακώβ.

«Καὶ ἠγέρθη ὁ Ἰακώβ», λέγει, «ἀπὸ τὸν ὕπνον του καὶ εἶπεν. Ὁ Κύριος εὑρίσκεται εἰς τὸν τόπον αὐτόν, ἀλλὰ ἐγὼ δὲν τὸ ἐγνώριζον. Καὶ ἐφοβήθη καὶ εἶπεν· Πόσον φοβερὸς εἶναι ὁ τόπος αὐτός. Δὲν εἶναι τίποτε αὐτὸ παρὰ ὁ οἶκος τοῦ Θεοῦ καὶ αὐτὴ ἡ πύλη τοῦ οὐρανοῦ». Ἐξεπλάγη, λέγει, ὁ δίκαιος διὰ τὴν μεγάλην φιλανθρωπίαν τοῦ Θεοῦ καὶ ἐφοβήθη καὶ εἶπε· «Δὲν εἶναι τίποτε αὐτὸ παρὰ

τοῦ Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ». Οὗτος ὁ τόπος λοιπὸν ἐμοὶ οἶκος τοῦ Θεοῦ νενόμισται. Τοσαύτης οὖν ἐπιφανείας ἀξιωθείς, καὶ αὐτήν, ὡς εἰπεῖν τὴν πύλην τοῦ οὐρανοῦ θεασάμενος, δίκαιος ἂν εἴην τὴν ὀφειλομένην εὐχαριστίαν ἀνενεγκεῖν ἐνταῦθα τῷ Δεσπότῃ. «Καὶ ἀνέστη Ἰακώβ, καὶ ἔλαβε τὸν λίθον, ὃν εἶχε πρὸς εφάλην αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην, καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, οἶκος Θεοῦ. Ἕτερον γὰρ ἦν ὄνομα τῷ τόπῳ τὸ πρότερον». Ἐπειδὴ μεγάλων ἠξιώθη διὰ τῆς ὀπτασίας, τῇ προσηγορίᾳ τὴν μνήμην ἐναποτίθεσθαι βούλεται τῷ τόπῳ, καὶ ἐπίσημον εἰς τὸ ἑξῆς ἐργάσασθαι. Καὶ τὸν λίθον ἀντὶ τῆς στήλης στήσας, καὶ τὸ ἔλαιον ἐπιχέας (τοῦτο γὰρ αὐτὸν μόνον εἰκὸς ἐπιφέρεσθαι, ἅτε οὕτως ὁδοιποροῦντα), εὐχὴν προσάγει τῷ φιλανθρώπῳ Θεῷ πάσης γέμουσαν φιλοσοφίας.

5. Καὶ εἰ βούλεσθε, καὶ αὐτῶν ἐπακούσωμεν τῶν ῥημάτων. «Ηὔξατο γάρ», φησίν, «εὐχὴν λέγων· ἐὰν ᾖ Κύριος ὁ Θεὸς μετ' ἐμοῦ, καὶ φυλάξῃ με ἐν τῇ ὁδῷ ταύτῃ, ᾗ ἐγὼ πορεύομαι». Ἐπειδὴ εἶπεν, ὅτι «Ἐγώ εἰμι μετὰ σοῦ, καὶ διαφυλάξω σε ἐν τῇ ὁδῷ, ᾗ ἐὰν πορεύῃ», διὰ τοῦτο καὶ αὐτός φησιν· εἰ ἐκεῖνά μοι ὑπάρξει, ἅπερ μοι ὑπέσχου. Εἶτα καὶ αἴτησιν οἴκοθεν προσφέρει, λέγων, «Ἐὰν δῷ μοι Κύριος ἄρτον καὶ ἱμάτιον περιβαλέσθαι». Οὐ πλοῦτον, οὐ περιουσίαν τινὰ ᾔτησεν, ἀλλ' ἄρτον καὶ ἱμάτιον, τὸ μὲν εἰς τὴν τοῦ σώματος περιβολήν, τὸ δὲ εἰς τροφὴν τῆς χρείας. Σκόπει πῶς ἀποστολικὸν χαρακτῆρα διὰ τῆς αἰτήσεως ἡμῖν ᾐνίξατο· οὕτω πολλῆς ἔγεμε τῆς φιλοσοφίας τοῦ δικαίου τὸ φρόνημα. Ὅπερ γὰρ ὁ Χριστὸς ἔλεγε, «Μὴ κτήσησθε χρυσόν, μηδὲ ἀργύριον, μηδὲ δύο χιτῶνας», τοῦτο οὗτος οὐδέπω παρ' οὐδενὸς διδαχθείς, ἀλλ' οἴκοθεν καὶ ἐκ τοῦ ἐγκειμένου τῇ φύσει τῇ ἡμετέρᾳ διδασκάλου ταῦτα μαθών, ἐπεζήτει παρὰ

---

3. Ματθ. 10, 9.

ὁ οἶκος τοῦ Θεοῦ καὶ αὐτὴ ἡ πύλη τοῦ οὐρανοῦ. Νομίζω ὅτι αὐτὸς ὁ τόπος εἶναι ὁ οἶκος τοῦ Θεοῦ. Ἐπειδὴ λοιπὸν ἠξιώθην τόσης δόξης καὶ εἶδον, θὰ ἠμποροῦσα νὰ εἰπῶ, τὴν ἰδίαν τὴν πύλην τοῦ οὐρανοῦ, θὰ ἦτο πρέπον νὰ προσφέρω ἐδῶ εἰς τὸν Κύριον τὴν ὀφειλομένην εὐχαριστίαν. «Καὶ ἐσηκώθη ὁ Ἰακὼβ καὶ ἔλαβε τὸν λίθον, τὸν ὁποῖον εἶχεν ὡς προσκέφαλον, καὶ ἔστησεν αὐτὸν ὡς στήλην καὶ ἔχυσεν ἔλαιον εἰς τὴν κορυφὴν αὐτῆς. Καὶ ὠνόμασεν ὁ Ἰακὼβ τὸν τόπον ἐκεῖνον οἶκον Θεοῦ. Διότι προηγουμένως ἐκεῖνος ὁ τόπος εἶχεν ἄλλο ὄνομα». Ἐπειδὴ ἔγινεν ἄξιος νὰ ἐπιτύχῃ μεγάλα πράγματα μὲ τὸ ὅραμα, μὲ τὸ ὄνομα θέλει νὰ ἐνθυμοῦνται τὸν τόπον καὶ νὰ μείνῃ γνωστὸς εἰς τοὺς μεταγενεστέρους. Καὶ ἀφοῦ ἔστησε τὸν λίθον ὡς στήλην καὶ ἔχυσεν ἐπ' αὐτοῦ ἔλαιον, (διότι αὐτὸ μόνον ἦτο φυσικὸν νὰ προσφέρῃ, ἀφοῦ ἦτο ὁδοιπόρος), ἀναπέμπει εὐχὴν εἰς τὸν φιλάνθρωπον Θεόν, ἡ ὁποία ἦτο πλήρης ἀπὸ εὐσέβειαν.

5. Ἀλλ' ἐὰν θέλετε ἂς ἀκούσωμεν τοὺς ἰδίους τοὺς λόγους τῆς ἁγίας Γραφῆς. Διότι λέγει, «Καὶ ἔκαμεν εὐχὴν ὁ Ἰακὼβ καὶ εἶπεν· ἐὰν ὁ Κύριος ὁ Θεὸς εἶναι μαζί μου καὶ μὲ διαφυλάξῃ εἰς τὴν ὁδὸν αὐτήν, εἰς τὴν ὁποίαν ἐγὼ πορεύομαι». Ἐπειδὴ ὁ Θεὸς εἶπεν ὅτι, «Ἐγὼ εἶμαι μαζύ σου καὶ θὰ σὲ διαφυλάξω εἰς τὴν ὁδόν, ὅπου καὶ ἂν μεταβῇς», διὰ τοῦτο καὶ αὐτὸς λέγει· ἐὰν πραγματοποιηθοῦν ἐκεῖνα ποὺ μοῦ ὑπεσχέθης. Ἔπειτα κάνει παράκλησιν καὶ λέγει· «Ἐὰν μοῦ δώσῃ ὁ Κύριος ἄρτον καὶ ἐνδύματα». Δὲν ἐζήτησε πλοῦτον, οὔτε κάποιαν περιουσίαν, ἀλλὰ ἄρτον καὶ ἐνδύματα, τὸν μὲν ἕνα διὰ νὰ ἐνδύσῃ τὸ σῶμα του, τὸ δὲ ἄλλο διὰ τροφήν. Σκέψου πῶς μὲ τὴν παράκλησιν αὐτὴν μᾶς ὑπαινίχθη τὸν ἀποστολικόν του χαρακτῆρα· τόσο πολὺ τὸ φρόνημα τοῦ δικαίου ἦτο γεμᾶτον ἀπὸ εὐσέβειαν. Καθ' ὅσον ἐκεῖνο ποὺ ἔλεγεν ὁ Χριστός, «Νὰ μὴ ἀποκτήσετε χρυσόν, οὔτε ἄργυρον, οὔτε δύο χιτῶνας»[8], αὐτὸ ἀκριβῶς καὶ αὐτὸς χωρὶς νὰ διδαχθῇ ποτὲ ἀπὸ κανένα, ἀλλ' ἀπὸ μόνος του καὶ ἀπὸ τὸν διδάσκαλον ποὺ ὑπάρχει μέσα μας, ἀφοῦ ἔμαθεν αὐτά, ἐζήτει ἀπὸ

τοῦ Δεσπότου αὐτῷ παρασχεθῆναι, ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι. Ἐὰν ταῦτά μοι, φησίν, ὑπάρξῃ ἐπὶ τῆς ἀλλοτρίας, «Καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου», καθάπερ ὑπέσχετο· «καὶ ἔσται Κύριος ἐμοὶ εἰς Θεόν, καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσται μοι οἶκος Θεοῦ· καὶ πάντων ὧν ἄν μοι δῷς, δεκάτην ἀποδεκατώσω αὐτά σοι».

Ὅρα τοῦ δικαίου τὴν εὐγνωμοσύνην. Τὴν αἴτησιν μὲν αἰτούμενος, οὐδὲν πολυτελὲς αἰτῆσαι κατεδέξατο, ἀλλ' ἄρτον καὶ ἱμάτιον· ὑπισχνούμενος δὲ τὰ παρ' ἑαυτοῦ τῷ Δεσπότῃ, εἰδὼς αὐτοῦ τὸ φιλότιμον ἐν ταῖς δωρεαῖς, καὶ ὅτι ὑπερβαίνει ταῖς ἀντιδόσεσι τὰς ἐννοίας τὰς ἡμετέρας, φησί, καὶ τὴν στήλην ταύτην εἰς οἶκον Θεοῦ ἕξω, καὶ πάντων τῶν παρὰ σοῦ μοι χορηγουμένων τὰς δεκάτας ἀποδεκατώσω. Εἶδες γνώμην φιλόθεον; Οὔπω οὐδὲν ἔλαβε, καὶ ὑπισχνεῖται τῶν μελλόντων αὐτῷ δίδοσθαι τὰς δεκάτας τῷ Θεῷ προσοίσειν. Μὴ ἁπλῶς, ἀγαπητοί, παρατρέχωμεν τὰ εἰρημένα, ἀλλὰ ζηλώσωμεν ἅπαντες τοῦτον τὸν δίκαιον, οἱ ἐν τῇ χάριτι τὸν πρὸ τοῦ νόμου, καὶ μηδὲν βιωτικὸν αἰτῶμεν παρὰ τοῦ Δεσπότου. Οὐδὲ γὰρ περιμένει τὴν παρ' ἡμῶν ὑπόμνησιν, ἀλλὰ κἂν μὴ αἰτῶμεν, ἡμῖν τὰ πρὸς τὴν χρείαν δωρεῖται. «Ἀνατέλλει γὰρ τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Καὶ πειθώμεθα αὐτῷ παραινοῦντι καὶ λέγοντι, «Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν».

Ὁρᾷς, ὅτι αὐτὸς ἐκεῖνα ἡμῖν ἡτοίμασε παρασχεῖν, καὶ ταῦτα ἐν προσθήκης μέρει δοῦναι ἐπαγγέλλεται; Μὴ τοίνυν ἅπερ ἐν προσθήκης μέρει λαμβάνειν μέλλεις, ταῦτα ὡς προηγούμενα αἴτει· μηδὲ ἀντιστρέψω-

4. Ματθ. 5, 45.
5. Ματθ. 6, 33.

τὸν Θεὸν νὰ δώσῃ εἰς αὐτὸν ἄρτον, διὰ νὰ φάγῃ, καὶ ἔνδυμα, διὰ νὰ ἐνδυθῇ. Ἐὰν αὐτά, λέγει, θὰ ἔχω εἰς τὴν ξένην χώραν, «Καὶ ἐπιστρέψω μὲ εἰρήνην εἰς τὴν οἰκίαν τοῦ πατρός μου», ὅπως ἀκριβῶς μοῦ ὑπεσχέθη, «τότε ὁ Κύριος θὰ εἶναι ὁ Θεός μου, καὶ ὁ λίθος αὐτός, τὸν ὁποῖον ἔστησα ὡς στήλην, θὰ εἶναι οἶκος Θεοῦ. Καὶ ἀπὸ ὅλα ὅσα θὰ μοῦ δώσῃς, θὰ προσφέρω εἰς σὲ τὸ ἓν δέκατον».

Πρόσεχε τὴν εὐγνωμοσύνην τοῦ δικαίου. Ὅταν παρεκάλει τὸν Θεόν, δὲν κατεδέχθη νὰ ζητήσῃ τίποτε τὸ πολυτελές, ἀλλὰ ἄρτον καὶ ἔνδυμα. Ὅταν δὲ ὑπεσχέθη εἰς τὸν Θεὸν τὰς ἰδικάς του ἐνεργείας, ἐπειδὴ ἐγνώριζε τὴν γενναιοδωρίαν του κατὰ τὰς δωρεὰς καὶ ὅτι ὑπερβαίνει μὲ τὰς ἀνταποδώσεις τὰς ἰδικάς μας σκέψεις, λέγει· Τὴν στήλην αὐτὴν θὰ τὴν ἔχω ὡς οἶκον Θεοῦ καὶ ἀπ' ὅλα ὅσα θὰ μοῦ δώσῃς θὰ προσφέρω εἰς σὲ τὸ ἓν δέκατον. Εἶδες εὐσεβῆ διάθεσιν; Ἀκόμη δὲν ἔλαβε τίποτε καὶ ὑπόσχεται, ὅτι θὰ προσφέρῃ εἰς τὸν Θεὸν τὸ ἓν δέκατον, ἀπ' ὅσα αὐτὸς πρόκειται νὰ τοῦ δώσῃ. Ἂς μὴ παρατρέχωμεν, ἀγαπητοί, τοὺς λόγους αὐτούς, ἀλλ' ἂς ἔχωμεν ὡς ὑπόδειγμα ὅλοι ἡμεῖς, οἱ ὁποῖοι ζῶμεν εἰς τὴν ἐποχὴν τῆς χάριτος, τὸν δίκαιον αὐτόν, ὁ ὁποῖος ἔζησε πρὶν ἀπὸ τὸν Μωσαϊκὸν νόμον, καὶ ἂς μὴ ζητῶμεν τίποτε τὸ βιωτικὸν ἀπὸ τὸν Κύριον. Καθ' ὅσον δὲν περιμένει τὴν ἰδικήν μας ὑπενθύμισιν, ἀλλὰ μᾶς χαρίζει τὰ ἀναγκαῖα, ἀκόμη καὶ ἂν δὲν ζητῶμεν. «Διότι ἀνατέλλει τὸν ἥλιον διὰ τοὺς πονηροὺς καὶ διὰ τοὺς ἀγαθοὺς καὶ βρέχει διὰ τοὺς δικαίους καὶ ἀδίκους»[4]. Ἂς ἔχωμεν ἐμπιστοσύνην εἰς αὐτόν, ὁ ὁποῖος μᾶς συμβουλεύει καὶ λέγει· «Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τότε ὅλα αὐτὰ θὰ σᾶς χορηγηθοῦν»[5].

Βλέπεις, ὅτι ὁ Θεὸς ἡτοίμασε νὰ μᾶς χαρίσῃ ἐκεῖνα καὶ ὑπόσχεται, ὅτι θὰ μᾶς δώσῃ συμπληρωματικὰ καὶ αὐτά; Νὰ μὴ ζητῇς λοιπὸν ὡς πρῶτα ἐκεῖνα ποὺ θὰ λάβῃς ὡς συμπλήρωμα. Οὔτε νὰ ἀντιστρέψωμεν τὴν σειράν,

μεν τὴν τάξιν, ἀλλὰ ζητῶμεν ἐκεῖνα, καθὼς ἐπέταξεν, ἵνα κἀκείνων καὶ τούτων ἐν ἀπολαύσει γενώμεθα. Διὰ γὰρ τοῦτο καὶ ἐν τοῖς τῆς εὐχῆς ῥήμασιν ὅρους ἡμῖν καὶ κανόνας τιθείς, μέχρι τίνος δεῖ τὴν περὶ τῶν βιωτικῶν αἴτησιν ποιεῖσθαι, τὰ ῥήματα ἐκεῖνα λέγειν ἡμᾶς ἐκέλευσε, τὰ πάσης φιλοσοφίας γέμοντα, «Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον», ἀντὶ τοῦ, 'τὴν τῆς ἡμέρας τροφήν', ὅπερ ὁ δίκαιος οὗτος, οὐδὲν τούτων ἀκηκοώς, ηὔχετο λέγων· «Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι. Μὴ τοίνυν ἕτερόν τι τῶν βιωτικῶν αἰτῶμεν παρ' αὐτοῦ. Ἀνάξιον γὰρ σφόδρα παρὰ τοῦ οὕτω φιλοτίμου καὶ τοσαύτην δυνάμεως περιουσίαν κεκτημένου ταῦτα αἰτεῖν, ἃ τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ πολλὴν ἔχει τὴν μεταβολὴν καὶ τὴν μετάπτωσιν· τοιαῦτα γὰρ ἅπαντα τὰ ἀνθρώπινα, κἂν πλοῦτον εἴπῃς, κἂν δυναστείαν, κἂν δόξαν ἀνθρωπίνην· ἀλλ' αἰτῶμεν τὰ ἀεὶ μένοντα, τὰ διαρκῆ, καὶ μεταβολὴν οὐκ ἐπιστάμενα. Καὶ εἰδότες τοῦ ἡμετέρου Δεσπότου τὴν ἀγαθότητα, μηδένα ποιώμεθα λόγον τῶν παρόντων, ἀλλὰ πᾶσαν ἡμῶν τὴν σπουδὴν εἰς τὸν τῶν ἐπουρανίων πόθον μεταστήσωμεν. Εἰ γὰρ «Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους», πολλῷ μᾶλλον τοὺς ἀπεχομένους τῆς πονηρίας καὶ τὴν ἀδικίαν φεύγοντας οὐ περιόψεται, ἀλλὰ πολλῆς ἀξιώσει τῆς προνοίας, καὶ τὴν ἑαυτοῦ κηδεμονίαν ἐν ἅπασι παρέξει.

Ὅπερ εἰδότες, ἀγαπητοί, μὴ ἀπιστῶμεν ταῖς τοῦ Θεοῦ ὑποσχέσεσι, μηδὲ ἐναντία ὧν ἐκέλευσε διαπραττώμεθα. Τὰ γὰρ νῦν παρ' ἡμῶν γινόμενα οὐδὲν ἀπιστούντων διενήνοχεν. Ὅταν γὰρ αὐτὸς μὲν ἐπαγγέλληται τὰ μέλλοντα, ἡμεῖς δὲ μὴ βουλώμεθα θαρρεῖν ἐκείνοις, ἀλλὰ τοῖς παροῦσιν ὦμεν προσηλωμένοι, ποῖον ἕτερον δεῖγμα ἀπιστίας λοιπόν τις ἐπιζητήσειε,

---

6. Ματθ. 6, 11.

ἀλλὰ νὰ ζητῶμεν ἐκεῖνα, ὅπως παρήγγειλε, διὰ νὰ ἀπολαύσωμεν καὶ ἐκεῖνα καὶ αὐτά. Διὰ τοῦτο ἀκριβῶς, ἀφοῦ μᾶς ἔθεσεν ὅρους καὶ κανόνας εἰς τοὺς λόγους τῆς προσευχῆς, μέχρι ποίου σημείου δηλαδὴ πρέπει νὰ παρακαλῶμεν διὰ τὰς βιωτικὰς ἀνάγκας, μᾶς ἔδωσε ἐντολὴν νὰ λέγωμεν τούς λόγους ἐκείνους, οἱ ὁποῖοι εἶναι πλήρεις ἀπὸ σοφίαν. «Τόν καθημερινόν ἄρτον δῶσε εἰς ἡμᾶς σήμερον»', ἀντὶ νὰ εἰπῇ, 'τὴν τροφὴν τῆς ἡμέρας', πρᾶγμα διὰ τὸ ὁποῖον προσηύχετο καὶ ὁ δίκαιος αὐτός, ἂν καὶ δέν εἶχεν ἀκούσει τίποτε ἀπ' αὐτὰ καὶ ἔλεγεν· «Ἐὰν ὁ Κύριος μοῦ δώσῃ ἄρτον νὰ φάγω καὶ ἱμάτιον διὰ νὰ ἐνδυθῶ». Ἂς μὴ ζητῶμεν λοιπὸν ἀπὸ τό Κύριον τίποτε ἄλλο ἐκτὸς ἀπὸ τὰ πρός τὸ ζῆν. Διότι εἶναι πολὺ ἀνάξιον νὰ ζητῶμεν ἀπό τὸν τόσον φιλότιμον καὶ παντοδύναμον αὐτά, τὰ ὁποῖα καταστρέφονται εἰς τὴν παροῦσαν ζωὴν καὶ μεταβάλλονται διαρκῶς καὶ μετατρέπονται. Καθ' ὅσον παρόμοια εἶναι ὅλα τὰ ἀνθρώπινα πράγματα, εἴτε εἰπῇς διὰ τόν πλοῦτον, εἴτε διὰ τὴν ἐξουσίαν, εἴτε διὰ τὴν ἀνθρωπίνην δόξαν. Ἂς ζητῶμεν λοιπὸν ἐκεῖνα, τὰ ὁποῖα μένουν αἰωνίως, τὰ διαρκῆ, τὰ ἀμετάβλητα. Καὶ ἔχοντες ὑπ' ὄψιν τὴν ἀγαθότητα τοῦ Κυρίου μας, ἂς μὴ κάνωμεν λόγον διὰ τὰ παρόντα, ἀλλ' ἂς μεταφέρωμεν τὸν ζῆλον μας εἰς τὸ νὰ ἐπιθυμῶμεν τὰ ἐπουράνια. Διότι ἐὰν «Ἀνατέλλῃ τὸν ἥλιον διὰ τούς πονηρούς καὶ ἀγαθοὺς καὶ βρέχῃ διὰ τοὺς δικαίους καὶ ἀδίκους», πολὺ περισσότερον δὲν θὰ περιφρονήσῃ ἐκείνους, οἱ ὁποῖοι ἀπέχουν ἀπὸ τὴν πονηρίαν καὶ τὴν ἀδικίαν, ἀλλὰ θὰ τούς κάνῃ ἀξίους πολλῆς φροντίδος καὶ θά προσφέρῃ εἰς ὅλους τὴν προστασίαν του.

Αὐτὸ ἀκριβῶς ἔχοντες ὑπ' ὄψιν, ἀγαπητοί, ἂς μὴ ἀπιστῶμεν εἰς τὰς ὑποσχέσεις τοῦ Θεοῦ, οὔτε νὰ κάνωμεν τὰ ἀντίθετα, ἀπ' ὅσα διέταξε. Καθ' ὅσον αὐτὰ ποὺ ἡμεῖς κάνομεν τώρα, δὲν διαφέρουν καθόλου ἀπὸ τὰ ἔργα τῶν ἀπίστων. Διότι, ὅταν αὐτὸς μᾶς ὑπόσχεται τὰ μέλλοντα, ἡμεῖς ὅμως δέν θέλωμεν νὰ ἐνθαρρυνώμεθα μὲ ἐκεῖνα, ἀλλ' εἴμεθα προσηλωμένοι εἰς τὰ παρόντα, ποίαν ἄλλην ἀπόδειξιν ἀπιστίας θὰ ἐπεζήτει κανείς, ἀφοῦ ὁμιλοῦν τὰ

τῶν πραγμάτων αὐτῶν λαμπρὰν ἀφιέντων φωνήν; Καὶ πάλιν, αὐτοῦ κελεύοντος μηδὲν ζητεῖν παρ' αὐτοῦ τῶν ἐπικήρων τούτων καὶ βιωτικῶν, ἀλλ' ἐκείνων μᾶλλον, ἡμεῖς ἀπ' ἐναντίας αὐτῷ ἐρχόμενοι, ἅπερ εἶπε μὴ ζητεῖν, ἐκεῖνα ζητοῦμεν, καὶ ἅπερ εἶπε ζητεῖν, ἐκεῖνα οὐ ζητοῦμεν. Καὶ ταῦτα διαπραττόμενοι, καὶ οὕτω ῥᾳθύμως τὰ καθ' ἑαυτοὺς διοικοῦντες, καὶ παροργίζοντες τὸν ἥμερον καὶ προσηνῆ Δεσπότην, ὥσπερ ἐπιλαθόμενοι τῶν παρ' ἡμῶν γινομένων, τὴν αἰτίαν ζητοῦμεν τῆς καθ' ἡμῶν ἀγανακτήσεως, καὶ τίνος ἕνεκεν ἡμᾶς πολλάκις περιορᾷ ποικίλοις πειρασμοῖς περιπίπτοντας, καὶ οὐκ ἐννοοῦμεν τὸ μέγεθος τῶν ἡμῖν ἡμαρτημένων, ἀλλ' ἑκόντες ἑαυτοὺς παραλογιζόμεθα.

Διό, παρακαλῶ, ταῦτα πάντα ἀποσεισάμενοι, μηδὲν ἕτερον τῆς οἰκείας σωτηρίας προτιμῶμεν. «Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν μὲν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;». Καὶ τὰ περιττὰ τῶν χρημάτων ἤδη κενώσωμεν εἰς τοὺς δεομένους, καὶ πολλὴν ἐν ἅπασι τὴν φιλοσοφίαν ἐπιδειξώμεθα τῆς ματαίας δόξης καταφρονοῦντες, τὸν ἀνθρώπινον τῦφον καταπατοῦντες, καὶ πολλὴν τὴν ἀγάπην πρὸς ἀλλήλους· ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἀγαθῶν ἀπολαῦσαι δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

7. Ματθ. 16, 26.

ἴδια τὰ πράγματα; Καὶ ὅταν πάλιν αὐτὸς διατάσσῃ νὰ μὴ ζητῶμεν ἀπ' αὐτὸν τίποτε ἀπ' αὐτὰ τὰ πρόσκαιρα καὶ βιωτικά, ἀλλὰ ἐκεῖνα περισσότερον, τὰ μέλλοντα, ἡμεῖς ἀντιθέτως ἐρχόμεθα καὶ ζητοῦμεν ἀπ' αὐτὸν ἐκεῖνα, τὰ ὁποῖα εἶπε νὰ μὴ ζητῶμεν καὶ δὲν ζητοῦμεν ἐκεῖνα, τὰ ὁποῖα εἶπε νὰ ζητῶμεν. Καὶ ἐνῷ κάμνομεν αὐτὰ καὶ τακτοποιῶμεν τὰς ὑποθέσεις μας μὲ τόσην ὀκνηρίαν καὶ παροργίζομεν τὸν ἥμερον καὶ πρᾶον Κύριον, ὡσὰν νὰ λησμονῶμεν αὐτά, τὰ ὁποῖα διαπράττομεν, ζητοῦμεν νὰ εὕρωμεν τὴν αἰτίαν τῆς ἐναντίον μας ἀγανακτήσεώς του καὶ διὰ ποῖον λόγον μᾶς παραβλέπει πολλὲς φορές, ὅταν περιπίπτωμεν εἰς διαφόρους πειρασμούς, καὶ δὲν ἀναλογιζόμεθα τὸ μέγεθος τῶν ἁμαρτιῶν μας, ἀλλὰ ἐξαπατοῦμεν τοὺς ἑαυτούς μας μὲ τὴν θέλησίν μας.

Διὰ τοῦτο, παρακαλῶ, ἀφοῦ ἀπομακρύνωμεν ὅλα αὐτά, νὰ μὴ προτιμῶμεν τίποτε ἄλλο ἀπὸ τὴν σωτηρίαν μας. «Διότι, τί θὰ ὠφεληθῇ ὁ ἄνθρωπος, ἐὰν μὲν κερδήσῃ ὅλον τὸν κόσμον, ἀλλὰ ζημιωθῇ ὡς πρὸς τὴν ψυχήν του;»[7]. Καὶ τὰ πλεονάζοντα χρήματα ἂς τὰ μοιράσωμεν εἰς ἐκείνους ποὺ ἔχουν ἀνάγκην, καὶ ἂς ἐπιδείξωμεν εἰς ὅλα τὴν μεγάλην μας εὐσέβειαν, ἀφοῦ περιφρονήσωμεν τὴν ματαίαν δόξαν καὶ καταπατήσωμεν τὴν ἀνθρωπίνην ἀλαζονείαν καὶ ἂς ἐπιδείξωμεν μεταξύ μας μεγάλην ἀγάπην, ὥστε νὰ ἠμπορέσωμεν νὰ ἀπολαύσωμεν καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ ἐξουσία καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΕ΄
(Γεν. 29, 15 - 30)

«Καὶ εἶπε Λάβαν τῷ Ἰακώβ· Ὅτι γὰρ ἀδελφός μου εἶ σύ, οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σου».

1. Ἱκανῶς ἡμᾶς χθὲς τὰ προοίμια τῆς ἀποδημίας τοῦ δικαίου τῆς φιλοσοφίας αὐτοῦ τὸ μέγεθος ἐπαίδευσε, δι' ἣν αἰτίαν τοσαύτης τῆς ὑποσχέσεως ἠξιώθη παρὰ τοῦ Θεοῦ. Θαρσήσας πάλιν, διὰ τῆς αἰτήσεως καὶ τῆς εὐχῆς, ἣν ἐποιήσατο πρὸς τὸν τῶν ὅλων Θεόν, ἀρκοῦσαν ἡμῖν ἅπασι διδασκαλίαν παρεῖχεν, εἰ βουληθείημεν πρὸς μίμησιν διεγερθῆναι τῆς ἀρετῆς τοῦ δικαίου. Καὶ γὰρ θαυμάσαι ἄξιον, ὅπως καὶ τὴν δύναμιν εἰδὼς τοῦ ὑποσχομένου, καὶ τῶν ἐπαγγελθέντων αὐτῷ τὸ μέγεθος ἀκηκοώς, οὐδὲ οὕτω μέγα τι καὶ ὑπέρογκον αἰτῆσαι κατεδέξατο· ἀλλ' ἐκεῖνα μόνον αἰτήσας, ἅπερ χθὲς ἠκούσατε, ὅσα πρὸς τὴν ἐφήμερον αὐτῷ τροφὴν ἀρκεῖν ἠδύνατο, καὶ τὴν τοῦ σώματος περιβολὴν παρασχεῖν, ὑπισχνεῖται, εἰ τὴν ἐπάνοδον αὐτῷ τὴν εἰς τὰ οἰκεῖα χαρίσαιτο, καθάπερ ὑπέσχετο, πάντων αὐτῷ δεκάτας δώσειν, ὧν ἂν λάβοι παρ' αὐτοῦ· διὰ πάντων δεικνὺς αὐτοῦ τὸ φιλόθεον, καὶ αὐτὸν ἐπιγραφόμενος τῶν ἁπάντων χορηγόν, καὶ διδάσκων ἡμᾶς μόνῳ αὐτῷ πάντων εἰδέναι χάριν.

Ἤδει γὰρ ὁ δίκαιος, εἰδὼς τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας τὴν ὑπερβολήν, καὶ ἐννοῶν τοῦτο ἐξ ὧν εἰς τὸν αὐτοῦ πατέρα ἐπεδείξατο, ὅτι καὶ αὐτὸν

ΟΜΙΛΙΑ ΝΕ΄
(Γεν. 29, 15 - 30)

«Καὶ εἶπεν ὁ Λάβαν εἰς τὸν Ἰακώβ. Δὲν θὰ δουλεύσῃς εἰς ἐμὲ δωρεάν, ἐπειδὴ εἶσαι ἀδελφός μου. Εἰπέ μου, ποῖος θέλεις νὰ εἶναι ὁ μισθός σου».

1. Ἀρκετὰ μᾶς ἐδίδαξε χθὲς ἡ ἀρχὴ τῆς ἀποδημίας τοῦ δικαίου Ἰακώβ, ὅσον ἀφορᾷ τὸ μέγεθος τῆς εὐσεβείας του, διὰ ποίαν αἰτίαν δηλαδὴ ἔγινεν ἄξιος ἀπὸ τὸν Θεὸν τόσον μεγάλης ὑποσχέσεως. Ἀφοῦ πάλιν ἔλαβε θάρρος μὲ τὴν παράκλησιν καὶ τὴν προσευχήν, τὴν ὁποίαν ἔκανε πρὸς τὸν Θεὸν τῶν πάντων, προσέφερεν εἰς ὅλους ἡμᾶς ἀρκετὴν διδασκαλίαν, ἐὰν θὰ ἠθέλομεν νὰ μιμηθῶμεν τὴν ἀρετὴν τοῦ Ἰακώβ. Πράγματι ἀξίζει νὰ θαυμάσῃ κανεὶς πῶς δὲν κατεδέχθη νὰ ζητήσῃ κάτι τὸ τόσον μεγάλο καὶ ὑπερβολικόν, ἂν καὶ ἐγνώριζε καὶ τὴν δύναμιν αὐτοῦ ποὺ ἔδινε τὴν ὑπόσχεσιν, καὶ εἶχεν ἀκούσει διὰ τὸ μέγεθος τῶν ὅσων ὑπεσχέθη εἰς αὐτόν. Ἀλλ' ἀφοῦ ἐζήτησε μόνον ἐκεῖνα, τὰ ὁποῖα ἠκούσατε χθές, ὅσα δηλαδὴ ἦτο δυνατὸν νὰ ἐπαρκέσουν διὰ τὴν καθημερινήν του τροφὴν καὶ νὰ τοῦ παράσχουν τὴν ἔνδυσιν τοῦ σώματος, ὑπόσχεται, ὅτι θὰ δώσῃ εἰς τὸν Θεὸν τὸ ἓν δέκατον ἀπὸ ὅλα, ἀπ' ὅσα θὰ ἐλάμβανεν ἀπ' αὐτόν, ἐάν, ὅπως τοῦ ὑπεσχέθη, τοῦ ἐχάριζε τὴν ἐπάνοδον εἰς τὴν πατρίδα του. Μὲ ὅλα ἔδειχνε τὴν εὐσέβειάν του καὶ εἶχεν ὡς ἐγγυητὴν ἐκεῖνον, ὁ ὁποῖος παρέχει τὰ πάντα, καὶ διδάσκει εἰς ἡμᾶς νὰ εὐγνωμονῶμεν ἀπ' ὅλους μόνον αὐτόν.

Ἐγνώριζεν λοιπὸν ὁ δίκαιος Ἰακώβ, ὅτι ὁ Θεὸς θὰ τοῦ παραχωρήσῃ πολλὰ ἀγαθά, καθ' ὅσον εἶχεν ὑπ' ὄψιν του τὸ μέγεθος τῆς ἀπεριορίστου φιλανθρωπίας του καὶ διότι εἶχε καταλάβει αὐτὸ ἀπ' ὅσα ἐφανέρωσεν εἰς τὸν

ἐν πολλῇ καταστήσει τῇ περιουσίᾳ· καὶ τούτων μὲν αὐτὸς οὐδὲν αἰτεῖ παρὰ τοῦ Δεσπότου, οὐδὲ ἀνέχεται περὶ τούτων ἱκεσίαν προσαγαγεῖν, ἀλλὰ δι' ὧν ὑπέσχετο τὰς δεκάτας δώσειν, ἔδειξεν ὅπως ἐν ἅπασι θαρρεῖ τῇ τοῦ ὑποσχομένου δυνάμει. Διὰ γὰρ τοῦτο καὶ αὐτός, ἡνίκα αὐτῷ διελέγετο, ἔλεγεν· «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ Ἰσαὰκ τοῦ πατρός σου· μὴ φοβοῦ»· Ἐννόησον, φησίν, ὅτι καὶ ὁ πατριάρχης, καθάπερ ξένος καὶ ἄγνωστος εἰς τὴν γῆν ταύτην παραγεγονώς, εἰς τοσαύτην ἦλθε περιφάνειαν, ὡς ἐν τοῖς ἁπάντων εἶναι στόμασι. Καὶ τὸν πατέρα δὲ τὸν σὸν λογίζου, ὅτι ἐν ἐσχάτῳ γήρᾳ τῷ πατρὶ τεχθείς, οὕτως ηὐξήθη, ὡς ἐπίφθονον γενέσθαι τοῖς ἐγχωρίοις αὐτόν. Ταῦτα οὖν καὶ αὐτὸς προσδοκῶν, πάντα φόβον καὶ ἀγωνίαν ἀποσεισάμενος, ἔχου τῆς ἀποδημίας.

Ταῦτα ὁ δίκαιος λογισάμενος, καὶ οὐ πρὸς τὴν ἐν τῷ παρόντι κατάστασιν ἀπιδὼν (οὐδὲν γὰρ ὅλως ἐπεφέρετο· πῶς γὰρ μόνος ὢν καὶ ὁδοιπορεῖν ἀναγκαζόμενος;), ἀλλ' ἤδη τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὴν μετ' οὐ πολὺ μέλλουσαν αὐτῷ ἔσεσθαι εὐπορίαν προορῶν, τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται, καὶ μηδέπω λαβὼν ὑπισχνεῖται, ἀξιοπιστοτέραν αὐτῆς τῆς πείρας τῶν πραγμάτων εἶναι νομίζων τὴν ἐπαγγελίαν τοῦ Δεσπότου. Οὐδὲ γὰρ οὕτω τοῖς ὁρωμένοις καὶ ἐν χερσὶ κρατουμένοις θαρρεῖν ὀφείλομεν, ὡς ταῖς παρὰ τοῦ Θεοῦ ὑποσχέσεσι, κἂν μὴ παρ' αὐτὸν τὸν καιρὸν εἰς ἔργον ἐκβῶσι. Θάρσος τοίνυν μέγιστον λαβὼν ἐκ τῶν παρὰ τοῦ Θεοῦ πρὸς αὐτὸν ρηθέντων ὁ δίκαιος, εἴχετο τῆς ἀποδημίας. Πῶς γὰρ οὐκ ἔμελλε θαρρεῖν ἀκούσας, ὅτι «Ἰδοὺ ἐγὼ μετὰ σοῦ εἰμι, διαφυλάττων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορεύσῃ, καὶ πληθυνῶ τὸ σπέρμα σου, καὶ ἀποστρέψω σε πάλιν εἰς τὴν γῆν ταύτην, καὶ οὐ μή σε ἐγκαταλίπω», ἕως οὗ πάντα εὐδοκήσω εἰς ἔργον ἀγαγεῖν τὰ ἐπαγγελθέντα; Ἀλλ' ὅπερ χθὲς ἔλεγον, ἐν-

---

1. Γέν. 26, 24.
2. Γέν. 28, 15.

πατέρα του. Καὶ ἀπ' αὐτὰ τίποτε δὲν ζητεῖ ἀπὸ τὸν Θεόν, οὔτε ἀνέχεται νὰ τὸν παρακαλέσῃ δι' αὐτά, ἀλλὰ μὲ ὅσα ὑπεσχέθη, ὅτι θὰ τοῦ δώσῃ τὸ ἓν δέκατον, ἔδειξεν, ὅτι εἰς ὅλα ἔχει ἐμπιστοσύνην εἰς τὴν δύναμιν αὐτοῦ, ὁ ὁποῖος ἔδινε τὴν ὑπόσχεσιν. Διὰ τοῦτο ἀκριβῶς καὶ ὁ Θεός, ὅταν συνεζήτει μὲ τὸν Ἰακώβ, ἔλεγεν· «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαάκ, τοῦ πατρός σου. Μὴ φοβῆσαι»[1]. Σκέψου, λέγει, ὅτι καὶ ὁ πατριάρχης Ἀβραάμ, ὅταν ἦλθεν εἰς τὴν χώραν αὐτὴν ὡς ξένος καὶ ἄγνωστος, ἔφθασεν εἰς τόσην δόξαν, ὥστε νὰ εὑρίσκεται εἰς τὰ στόματα ὅλων. Σκέψου καὶ τὸν ἰδικόν σου πατέρα, πού ἂν καὶ ἐγεννήθη, ὅταν ὁ πατήρ του εὑρίσκετο εἰς τὸ ἔσχατον γῆρας, ὅμως προώδευσε τόσον πολύ, ὥστε οἱ ἐντόπιοι νὰ τὸν φθονήσουν. Αὐτὰ λοιπὸν νὰ περιμένῃς καὶ σὺ καί, ἀφοῦ ἀπομακρύνῃς κάθε φόβον καὶ ἀγωνίαν, νὰ ἀναχωρήσῃς.

Ἀφοῦ ἐσκέφθη αὐτὰ ὁ δίκαιος καὶ ἀφοῦ δὲν ἀπέβλεψεν εἰς τὴν παροῦσαν κατάστασιν (διότι τίποτε δὲν προσεφέρετο ἐξ ὁλοκλήρου· πῶς λοιπὸν θὰ ἠμποροῦσεν, ἀφοῦ ἦτο μόνος καὶ ἠναγκασμένος νὰ ὁδοιπορῇ;), φανερώνει ἤδη τὴν εὐγνωμοσύνην του, ἀφοῦ προέβλεψε μὲ τοὺς ὀφθαλμοὺς τῆς πίστεως τὴν εὐτυχίαν, ἡ ὁποία ἐπρόκειτο νὰ εὕρῃ αὐτὸν μετὰ ἀπ' ὀλίγον καὶ ὑπόσχεται, ἂν καὶ δὲν ἔλαβε τίποτε, ἐπειδὴ ἐπίστευεν, ὅτι ἡ ὑπόσχεσις τοῦ Θεοῦ εἶναι περισσότερον ἀξιόπιστος καὶ ἀπὸ τὴν πραγματικότητα. Διότι δὲν πρέπει νὰ ἔχωμεν ἐμπιστοσύνην τόσον εἰς αὐτά, τὰ ὁποῖα βλέπομεν καὶ κατέχομεν, ὅσον εἰς τὰς ὑποσχέσεις τοῦ Θεοῦ, καὶ ἂν ἀκόμη δὲν πραγματοποιηθοῦν ἐγκαίρως. Ἀφοῦ λοιπὸν ὁ δίκαιος ἔλαβε πολὺ θάρρος, ἀπ' ὅσα εἶπεν ὁ Θεὸς εἰς αὐτόν, ἀνεχώρησε. Καθ' ὅσον μὲ ποῖον τρόπον δὲν θὰ ἔπαιρνε θάρρος, ἀφοῦ ἤκουσεν, ὅτι «Ἰδού ἐγὼ εἶμαι μαζί σου, θὰ σὲ προφυλάσσω εἰς τὴν ὁδόν, εἰς τὴν ὁποίαν θὰ πορευθῇς καὶ θὰ πληθύνω τοὺς ἀπογόνους σου καὶ θὰ σὲ ἐπαναφέρω πάλιν εἰς τὴν γῆν αὐτὴν καὶ δὲν θὰ σὲ ἐγκαταλείψω»[2], ἕως ὅτου ἐκπληρώσω ὅλας τὰς ὑποσχέσεις; Ἀλλ' ὅπως ἔλεγον καὶ χθές, σκέ-

νόει καὶ τοῦ Θεοῦ τὴν εὐμήχανον σοφίαν, καὶ τοῦ δικαίου τούτου τὴν πολλὴν ὑπομονὴν καὶ εὐγνωμοσύνην.

Μετὰ γὰρ ταύτας τὰς ὑποσχέσεις ἀναστάς, ὥρμησεν ἐπὶ τὴν Χαρράν, καὶ πάλιν ἀλήτου καὶ ξένου τρόπον ποιεῖται τὴν ἀποδημίαν, καὶ διὰ πάντων ἀπολαύει τῆς ἄνωθεν εὐνοίας, τοῦ φιλανθρώπου Θεοῦ ἅπαντα αὐτῷ προοδοποιοῦντος, καὶ τὴν οἰκείαν ὑπόσχεσιν διὰ τῶν ἔργων ἐπιδεικνυμένου. Ὁ γὰρ εἰπών, ὅτι «Μετὰ σοῦ εἰμι, διαφυλάτων σε ἐν τῇ ὁδῷ, οὗ ἐὰν πορεύσῃ», οὗτος ὡδήγησε καὶ ἤγαγε τὸν δίκαιον ἐπὶ τὸ φρέαρ τοῦ ὕδατος, ἔνθα ἐπότιζον τὰ ποίμνια οἱ ἐγχώριοι· παρ' ὧν πυθόμενος τὰ περὶ τοῦ Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, καὶ μαθὼν τὰ κατ' αὐτὸν ἅπαντα, εἶτα καὶ τὴν τούτου θυγατέρα καὶ τὰ ποίμνια θεασάμενος, ὁρῶν τε τοὺς ἐγχωρίους οὐ δυναμένους αὐτοῖς ἀρκέσαι πρὸς τὸ μετακινῆσαι τὸν λίθον τοῦ φρέατος, καὶ ποτίσαι τὰ πρόβατα, ἐπιδραμὼν οὗτος, ὅπερ ἐκεῖνοι ποιῆσαι οὐκ ἴσχυον, αὐτὸς ὑπὸ τῆς ἄνωθεν συμμαχίας δυναμούμενος, προφθάνει ταῖς εὐεργεσίαις τὸν Λάβαν, καὶ μετακινήσας τὸν λίθον ποτίζει τὰ πρόβατα, ἅπερ ἔνεμεν ἡ Ραχήλ. Εἶτα ἀσπασάμενος τὴν κόρην, καὶ γνωρίσας τίς τε εἴη, καὶ πόθεν παραγέγονεν, ἔμενεν ἐφ' ἑαυτοῦ.

Ἀλλ' ἐπειδὴ Θεὸς ἦν ὁ ἅπαντα τῷ δικαίῳ προοδοποιῶν, οὗτος καὶ τὴν κόρην διήγειρε μετὰ πολλοῦ τοῦ τάχους δραμεῖν καὶ ἀναγγεῖλαι ταῦτα τῷ πατρί, ὃς ἀδελφὸς ἐτύγχανε τῆς τούτου μητρός, καὶ διηγήσασθαι τήν τε εὐεργεσίαν τὴν παρ' αὐτοῦ γενομένην εἴς τε αὐτὴν καὶ τὰ ποίμνια, καὶ ὅτι οὐ ξένος τίς ἐστιν οὐδὲ ἄγνωστος, ἀλλὰ τῆς ἀδελφῆς υἱός. Σκόπει μοι, ἀγαπητέ, τῆς θείας Γραφῆς τὴν ἀκρίβειαν, ὅπως ἡμῖν ἅπαντα σαφῶς διηγεῖται, παιδεύουσα ἡμᾶς τῶν παλαιῶν τοὺς τρόπους, καὶ ὅσην ἐπεδείκνυντο τὴν προθυμίαν περὶ τὴν φιλοξενίαν. Ἵνα γὰρ δείξῃ καὶ τῆς κόρης τὸ πρόθυμον, οὐχ ἁπλῶς εἶπεν, ὅτι ἀπῆλ-

ψου καὶ τοῦ Θεοῦ τὴν ἐφευρετικὴν σοφίαν, καὶ τοῦ δικαίου τούτου τὴν μεγάλην ὑπομονὴν καὶ εὐγνωμοσύνην.

Μετὰ ἀπὸ αὐτὰς λοιπὸν τὰς ὑποσχέσεις ἐσηκώθη καὶ ἔσπευσε πρὸς τὴν Χαρρὰν καὶ ἀποδημεῖ πάλιν ὡς περιπλανώμενος καὶ ξένος καὶ μὲ ὅλα αὐτὰ ἀπολαμβάνει τὴν ἄνωθεν βοήθειαν, ἀφοῦ ὁ φιλάνθρωπος Θεὸς προετοιμάζει εἰς αὐτὸν τὰ πάντα καὶ ἐκπληρώνει μὲ ἔργα τὴν ὑπόσχεσίν του. Διότι αὐτὸς πού εἶπεν, ὅτι «Εἶμαι μαζί σου καὶ θὰ σὲ προφυλάσσω εἰς τὴν ὁδόν, εἰς τὴν ὁποίαν θὰ πορευθῇς», αὐτὸς ὡδήγησε καὶ ἔφερε τὸν δίκαιον εἰς τὸ φρέαρ, ὅπου οἱ ἐντόπιοι ἐπότιζον τὰ ποίμνια. Ἀπ᾽ αὐτοὺς ἀφοῦ ἔμαθε διὰ τὸν Λάβαν, τὸν ἀδελφὸν τῆς μητρός του, καὶ ἀφοῦ ἐπληροφορήθη ὅλα τὰ σχετικὰ μὲ αὐτὸν καὶ ἔπειτα ἀφοῦ εἶδε τὴν θυγατέρα του καὶ τὰ ποίμνιά του καὶ ὅτι οἱ ἐντόπιοι δὲν ἦσαν ἀρκετοί, διὰ νὰ μετακινήσουν τὸν λίθον τοῦ φρέατος καὶ νὰ ποτίσουν τὰ πρόβατα, ἦλθεν αὐτὸς καὶ ἐκεῖνο, τὸ ὁποῖον δὲν ἠδύναντο νὰ κάνουν ἐκεῖνοι, τὸ κατορθώνει αὐτός, ἐπειδὴ ἐνισχύετο ἀπὸ τὴν ἄνωθεν βοήθειαν, καὶ προλαμβάνει τὸν Λάβαν μὲ τὰς εὐεργεσίας του καί, ἀφοῦ μετακινεῖ τὸν λίθον, ποτίζει τὰ πρόβατα, τὰ ὁποῖα ἔβοσκεν ἡ Ραχήλ. Ἔπειτα, ἀφοῦ ἠσπάσθη τὴν κόρην καὶ τῆς ἐδήλωσε ποῖος ἦτο καὶ ἀπὸ ποῦ ἦλθεν, ἔμενεν ἐκεῖ.

Ἐπειδὴ ὅμως ὁ Θεὸς ἦτο ἐκεῖνος πού προετοίμαζε τὰ πάντα εἰς τὸν δίκαιον, αὐτὸς παρεκίνησε καὶ τὴν κόρην νὰ τρέξῃ πολὺ γρήγορα καὶ νὰ ἀναγγείλῃ αὐτὰ εἰς τὸν πατέρα της, ὁ ὁποῖος ἦτο ἀδελφὸς τῆς μητρός του, καὶ νὰ διηγηθῇ καὶ τὴν εὐεργεσίαν, τὴν ὁποίαν ἔκανεν ὁ Ἰακὼβ καὶ εἰς αὐτὴν καὶ εἰς τὰ ποίμνια καὶ ὅτι δὲν ἦτο κάποιος ξένος οὔτε κάποιος ἄγνωστος, ἀλλὰ υἱὸς τῆς ἀδελφῆς του. Σκέψου, παρακαλῶ, ἀγαπητέ, τὴν ἀκρίβειαν τῆς ἁγίας Γραφῆς, πῶς δηλαδὴ μᾶς τὰ διηγεῖται ὅλα μὲ σαφήνειαν, διδάσκουσα εἰς ἡμᾶς τοὺς τρόπους τῶν παλαιοτέρων καὶ πόσην προθυμίαν ἐπεδείκνυον διὰ τὴν φιλοξενίαν. Διὰ νὰ δείξῃ δηλαδὴ καὶ τὴν προθυμίαν τῆς κόρης, δὲν εἶπεν ἁπλῶς, ὅτι ἐπῆγε καὶ ἀνήγγειλε τὰ συμ-

θε, καὶ ἀπήγγειλε τὰ γεγενημένα, ἀλλὰ «Δραμοῦσα», ἀντὶ τοῦ, 'μετὰ πολλῆς τῆς περιχαρείας'. Εἶτα καὶ περὶ τοῦ Λάβαν, ὃς πατὴρ αὐτῆς ἐτύγχανε, φησίν, ὅτι ταῦτα ἀκούσας παρὰ τῆς κόρης, «Ἔδραμε καὶ αὐτὸς εἰς συνάντησιν τοῦ Ἰακώβ, καὶ ἀσπασάμενος αὐτὸν εἰσήγαγεν εἰς τὸν οἶκον αὐτοῦ».

2. Καὶ μαθὼν ὁ Λάβαν ἅπαντα παρ' αὐτοῦ μετ' ἀκριβείας, «Εἶπε, φησίν, αὐτῷ· ἐκ τῶν ὀστέων μου καὶ ἐκ τῶν σαρκῶν μου εἶ σύ». Τῆς ἀδελφῆς, φησί, τῆς ἐμῆς τυγχάνων υἱός, οὐδὲν ἕτερον, ἢ σὰρξ ἡμῶν τυγχάνεις, καὶ ἀδελφὸς ἡμέτερος. Καὶ ἦν μετ' αὐτοῦ, φησί, μῆνα ἡμερῶν. Λοιπὸν ὡς ἐν οἰκίᾳ ἰδίᾳ, οὕτω διῆγεν ὁ δίκαιος, ἐν ἀδείᾳ τυγχάνων καὶ πάσης ἀπηλλαγμένος φροντίδος. Ἀλλ' ἐπειδὴ ὁ Θεὸς ἦν ὁ τὰ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν τῷ δικαίῳ τούτῳ, καὶ ἐν ἅπασιν αὐτῷ τὴν παρ' ἑαυτοῦ συνεργίαν χαριζόμενος, οὗτος καὶ τοῦ Λάβαν τὴν προθυμίαν διήγειρε, καὶ ὁρῶν τοῦ ἀνδρὸς τὴν ἐπιείκειαν, φησὶ πρὸς αὐτόν· «Ὅτι γὰρ ἀδελφός μου εἶ σύ, οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σού ἐστιν».

Ὅρα πῶς μὲν αὐτὸς ἐπεζήτησεν οὐδέν, ὁ δὲ Λάβαν μόνον ἀφ' ἑαυτοῦ τοῦτο προτίθησι τῷ δικαίῳ. Καὶ σκόπει μοι πῶς, ἐπειδὰν ὑπὸ τῆς ἄνωθεν χειρός τις βοηθῆται, πάντα αὐτῷ κατὰ ῥοῦν πρόεισιν. «Οὐ δουλεύσεις μοι, φησί, δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σού ἐστι». Καίτοι ἀγαπητῶς εἶχεν ὁ μακάριος οὗτος, καὶ τὸ ἁπλῶς τῆς ἐφημέρου τροφῆς ἀπολαύειν, καὶ πολλὴν καὶ ὑπὲρ τούτου ἤθελεν αὐτῷ χάριν ἔχειν· ἀλλ' ἐπειδὴ αὐτὸς πολλὴν τὴν ἐπιείκειαν ἐπεδείξατο, προλαβὼν ὁ Λάβαν μισθὸν αὐτῷ τελέσειν ὑπισχνεῖται, ὃν ἂν αὐτὸς προθῇ. Τί οὖν ὁ δίκαιος; Ὅρα μοι καὶ ἐνταῦθα τῆς συνέσεως αὐτοῦ τὴν ὑπερβολήν, καὶ πῶς οὐδεμίαν ἔχει περὶ χρημάτων συλλογὴν ἐπιθυμίαν, οὐδὲ καθάπερ μισθωτός τις ἀκριβολογεῖται πρὸς τὸν Λάβαν, καὶ ἕτερόν τι ἀπαιτεῖ, ἀλλὰ

θάντα, ἀλλ' «Ἔτρεξε γρήγορα», ἀντὶ νὰ εἰπῇ 'μὲ πολλὴν χαράν'. Ἔπειτα λέγει καὶ διὰ τὸν Λάβαν, ὁ ὁποῖος ἦτο πατὴρ αὐτῆς, ὅτι, μόλις ἤκουσεν αὐτὰ ἀπὸ τὴν κόρην του, «Ἔτρεξε γρήγορα καὶ αὐτός, διὰ νὰ συναντήσῃ τὸν Ἰακὼβ καί, ἀφοῦ τὸν ἠσπάσθη, τὸν ὡδήγησεν εἰς τὴν οἰκίαν του.

2. Ἀφοῦ ὁ Λάβαν ἔμαθεν ἀπ' αὐτὸν τὰ πάντα μὲ ἀκρίβειαν. «Εἶπε», λέγει, «εἰς αὐτόν. Σὺ εἶσαι ἀπὸ τὰ ὀστᾶ μου καὶ ἀπὸ τὴν σάρκα μου». Ἀφοῦ εἶσαι υἱὸς τῆς ἀδελφῆς μου, λέγει, δὲν εἶσαι τίποτε ἄλλο, παρὰ σάρκα μας καὶ ἀδελφός μας. «Καὶ ἔμεινε μὲ αὐτόν», λέγει, «ἕνα μῆνα». Ὁ δίκαιος ἐπερνοῦσε, ὡσὰν νὰ εὑρίσκετο εἰς τὸν οἶκόν του, χωρὶς φόβον καὶ ἀπηλλαγμένος ἀπὸ κάθε φροντίδα. Ἀλλ' ἐπειδὴ ὁ Θεὸς ἦτο αὐτός, ὁ ὁποῖος ἐρρύθμιζε τὰ πάντα σύμφωνα μὲ τὸ συμφέρον τοῦ δικαίου αὐτοῦ καὶ ὁ ὁποῖος ἐχάριζεν εἰς αὐτὸν εἰς ὅλα τὴν βοήθειάν του, αὐτὸς ἔκανε καὶ τὸν Λάβαν πρόθυμον καὶ ἐπειδὴ εἶδε τὴν προθυμίαν τοῦ ἀνδρὸς λέγει πρὸς αὐτόν· «Δὲν θὰ δουλεύσῃς εἰς ἐμὲ δωρεάν, ἐπειδὴ εἶσαι ἀδελφός μου. Εἰπέ μου, ποῖος θέλεις νὰ εἶναι ὁ μισθός σου».

Πρόσεχε πῶς ὁ Ἰακὼβ δὲν ἐζήτησε τίποτε, ὁ Λάβαν ὅμως μόνος του αὐτορμήτως προτείνει αὐτὸ εἰς τὸν δίκαιον. Καὶ πρόσεχε, παρακαλῶ, ὅτι ὅταν κάποιος βοηθῆται ἀπὸ τὸ θεϊκὸν χέρι, τὰ πάντα ἔρχονται δι' αὐτὸν εὐνοϊκά. «Δὲν θὰ δουλεύσῃς δι' ἐμέ», λέγει, «δωρεάν. Εἰπέ μου, ποῖος θέλεις νὰ εἶναι ὁ μισθός σου». Ἂν καὶ ὁ μακάριος αὐτὸς ἠγαπᾶτο καὶ ἠδύνατο νὰ ἀπολαμβάνῃ χωρὶς ὑποχρέωσιν τὴν καθημερινὴν τροφήν, ὅμως ἐπεθύμει νὰ ἀποδώσῃ δι' αὐτὸ μεγάλην εὐγνωμοσύνην εἰς τὸν Λάβαν. Ἐπειδὴ ὅμως ἐπέδειξε μεγάλην καλωσύνην ὁ Λάβαν τὸν ἐπρόλαβε καὶ ὑπόσχεται, ὅτι θὰ τοῦ δώσῃ τὴν ἀμοιβήν, τὴν ὁποίαν αὐτὸς θὰ προτείνῃ. Τί λοιπὸν ἀπήντησεν ὁ δίκαιος; Βλέπε καὶ ἐδῶ, παρακαλῶ, τὸ μέγεθος τῆς συνέσεως αὐτοῦ καὶ ὅτι δὲν ἔχει καμμίαν ἐπιθυμίαν διὰ νὰ συγκεντρώνῃ χρήματα, οὔτε ὁμιλεῖ πρὸς τὸν Λάβαν μὲ λεπτομερείας, ὅπως ἀκριβῶς κάποιος μισθωτός,

μεμνημένος τῆς μητρός, καὶ τῶν ἐντολῶν τοῦ πατρός, καὶ τῆς οἰκείας σωφροσύνης δεικνὺς τὴν ὑπερβολήν, φησὶ πρὸς τὸν Λάβαν· «Δουλεύσω σοι ἑπτὰ ἔτη περὶ Ραχὴλ τῆς θυγατρός σου τῆς νεωτέρας». Ταύτην γὰρ ἐξ ἀρχῆς θεασάμενος ἐπὶ τοῦ φρέατος, ἠγάπησα.

Καὶ ὅρα εὐγνωμοσύνην ἀνδρός. Ἑαυτῷ καὶ τὸν χρόνον ὁρίζει, καὶ διὰ τοῦ χρόνου τῶν ἐτῶν ἱκανὴν βάσανον τῆς οἰκείας σωφροσύνης παρέχει. Καὶ τί θαυμάζεις, ἀγαπητέ, ἀκούων ὅτι ἑπτὰ ἔτη δουλεύειν ὑπέσχετο ὑπὲρ τῆς ἀγαπωμένης κόρης; Ἵνα γὰρ δείξῃ ἡ θεία Γραφή, ὅπως ὁ πόθος ὁ πολὺς ἐπετέμετο καὶ τὸν κάματον αὐτῷ καὶ τοῦ χρόνου τὸ μῆκος, φησί· «Καὶ ἐδούλευσεν Ἰακὼβ περὶ Ραχὴλ ἑπτὰ ἔτη, καὶ ἦσαν ἐναντίον αὐτοῦ ὡς ἡμέραι ὀλίγαι, παρὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν». Ὁ τῶν ἑπτά, φησίν, ἐτῶν ἀριθμὸς ὀλίγαι ἡμέραι ἐνομίζοντο διὰ τὴν ἀγάπην τὴν ὑπερβάλλουσαν τὴν περὶ τὴν κόρην. Ὅταν γὰρ τρωθῇ τις τῷ πόθῳ τῆς ἀγάπης, οὐδὲν ὁρᾷ τῶν δυσχερῶν, ἀλλ' ἅπερ ἂν ᾖ κινδύνων μεστά, καὶ πολλῆς ἑτέρας ταλαιπωρίας, πάντα κούφως φέρει, πρὸς ἓν ὁρῶν μόνον, ὥστε τὸν οἰκεῖον ἀποπληρῶσαι πόθον.

Ἀκούσωμεν οἱ ῥάθυμοι καὶ ἀναπεπτωκότες, οἱ πολλὴν περὶ τὸν Δεσπότην ἀγνωμοσύνην ἐπιδεικνύμενοι. Εἰ γὰρ ὁ δίκαιος οὗτος διὰ τὸν τῆς κόρης πόθον ἑπτὰ ἐτῶν ἀριθμὸν δουλεῦσαι κατεδέξατο, καὶ τὴν ἀπὸ τῆς ποιμενικῆς ταλαιπωρίαν ὑπομεῖναι, καὶ οὐδὲ αἴσθησιν ἐλάμβανεν οὐ τῶν πόνων, οὐ τοῦ μήκους τοῦ χρόνου, ἀλλὰ πάντα αὐτῷ κοῦφα καὶ ῥάδια ἐφαίνετο, καὶ τῇ προσδοκίᾳ τῆς ἀπολαύσεως τρεφόμενος, ὡς ἡμέρας ὀλίγας τὸν πολὺν ἐκεῖνον εἶναι χρόνον ἐνόμιζε· ποίαν ἡμεῖς ἕξομεν ἀπολογίαν μηδὲ τὸν ὅμοιον πόθον περὶ τὸν Δεσπότην τὸν ἡμέτερον, τὸν εὐεργέτην, τὸν κηδεμόνα, τὸν πάντα ἡμῖν γινόμενον ἐπιδεικνύμενοι; Ἀλλ' ἂν μὲν βιωτικὸν κέρδος πρόκειται, πάντα προθύμως ὑπομένειν αἱρούμεθα, κἂν κάματον ἔχῃ, κἂν

καὶ δὲν ἀπαιτεῖ τίποτε ἄλλο, ἀλλ' ἀφοῦ ἐνεθυμήθη τὴν μητέρα του καὶ τὰς ἐντολὰς τοῦ πατρός του καὶ ἔδειξε τὴν μεγάλην του σύνεσιν, λέγει πρὸς τὸν Λάβαν· «Θὰ ἐργασθῶ εἰς ἐσὲ ἑπτὰ ἔτη διὰ τὴν Ραχὴλ τὴν μικροτέραν κόρην σου». Διότι ἠγάπησα αὐτὴν μόλις τὴν εἶδον εἰς τὸ φρέαρ.

Καὶ πρόσεχε τὴν εὐγνωμοσύνην τοῦ ἀνδρός. Ὁρίζει διὰ τὸν ἑαυτόν του καὶ τὸν χρόνον καὶ μὲ τὸ διάστημα τῶν ἐτῶν παρέχει ἀρκετὴν ἀπόδειξιν τῆς σωφροσύνης του. Διὰ ποῖον λόγον ἀπορεῖς, ἀγαπητέ, ὅταν ἀκούῃς, ὅτι ὑπεσχέθη νὰ ἐργασθῇ ἑπτὰ ἔτη πρὸς χάριν τῆς κόρης, τὴν ὁποίαν ἠγάπα; Καθ' ὅσον διὰ νὰ δείξῃ ἡ ἁγία Γραφή, πῶς ἡ μεγάλη ἀγάπη ἐμείωσε καὶ τὸν κόπον του καὶ τὸ χρονικὸν διάστημα, λέγει· «Καὶ ἐδούλευσεν ὁ Ἰακὼβ διὰ τὴν Ραχὴλ ἑπτὰ ἔτη. Καὶ ἐφαίνοντο εἰς αὐτὸν τὰ ἔτη ὀλίγα, διότι ἠγάπα αὐτήν». Ὁ ἀριθμὸς τῶν ἑπτὰ ἐτῶν, λέγει, ἐφαίνετο εἰς αὐτὸν ὡς ὀλίγαι ἡμέραι ἐξ αἰτίας τῆς ὑπερβολικῆς ἀγάπης, τὴν ὁποίαν εἶχε διὰ τὴν κόρην. Διότι, ὅταν κανεὶς κτυπηθῇ ἀπὸ τὸν πόθον τῆς ἀγάπης, δὲν βλέπει καμμίαν ἀπὸ τὰς δυσκολίας, ἀλλ' ἐκεῖνα ποὺ εἶναι ἐπικίνδυνα καὶ πλήρη ἀπὸ κάθε ἄλλην ταλαιπωρίαν, ὅλα τὰ ὑπομένει εὔκολα, ἀφοῦ εἰς ἕνα μόνον ἀποβλέπει, νὰ ἱκανοποιήσῃ δηλαδὴ τὴν ἐπιθυμίαν του.

Ἂς ἀκούωμεν ἡμεῖς οἱ ὀκνηροὶ καὶ δειλοί, οἱ ὁποῖοι δείχνομεν μεγάλην ἀχαριστίαν πρὸς τὸν Κύριον. Διότι, ἐὰν ὁ Ἰακὼβ ἐδέχθη ἐξ αἰτίας τῆς ἀγάπης διὰ τὴν κόρην νὰ ἐργασθῇ ἐπὶ ἑπτὰ ἔτη καὶ νὰ ὑπομείνῃ τὰς ταλαιπωρίας τῆς ποιμενικῆς ζωῆς καὶ δὲν ἀντελαμβάνετο οὔτε τὸ διάστημα τοῦ χρόνου, ἀλλ' ὅλα αὐτὰ ἐφαίνοντο εἰς αὐτὸν ἐλαφρὰ καὶ εὔκολα καὶ ἐθεώρει τὸ μεγάλο ἐκεῖνο χρονικὸν διάστημα ὡς ὀλίγας ἡμέρας, ἐπειδὴ ἐτρέφετο μὲ τὴν προσδοκίαν τῆς ἀπολαύσεως, ποίαν ἀπολογίαν θὰ ἔχωμεν ἡμεῖς, οἱ ὁποῖοι δὲν δείχνομεν τὴν ἰδίαν ἀγάπην διὰ τὸν Κύριόν μας, τὸν εὐεργέτην, τὸν προστάτην, ποὺ γίνεται δι' ἡμᾶς τὰ πάντα; Ἂν ὅμως πρόκειται διὰ βιωτικὸν κέρδος, προτιμῶμεν νὰ ὑποφέρωμεν τὰ πάντα μὲ

ἄλλην τινὰ ταλαιπωρίαν, κἂν αἰσχύνην, κἂν κόλασιν τὴν ἐν τῷ παρόντι, τὴν ἐν τῷ μέλλοντι· διὰ δὲ τὴν ἡμετέραν σωτηρίαν, καὶ ὑπὲρ τοῦ τὴν ἄνωθεν ἐπισπάσασθαι ῥοπήν, χαῦνοι καὶ ἀναπεπτωκότες καὶ διαλελυμένοι φαινόμεθα.

Καὶ ποία ἡμῖν ἔσται συγγνώμη, τίς δὲ ἀπολογία οὕτω ῥαθύμως διακειμένοις, καὶ οὐδὲ ὅσον ὁ μακάριος οὗτος περὶ τὴν κόρην τὸν πόθον ἐπεδείξατο, τοσαύτην ἀγάπην περὶ τὸν Θεὸν ἐπιδείξασθαι βουλομένοις, καὶ ταῦτα τοσαύτας ἔχοντες ἀριθμεῖν εὐεργεσίας εἰς ἡμᾶς γεγενημένας, καθ' ἑκάστην ἡμέραν γινομένας; Ἀλλ' εἰ καὶ ἡμεῖς οὕτως ἀγνώμονες, ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ὁ τοσοῦτον ζέων τῷ πνεύματι, καὶ πεπυρωμένος εἰς τὸν περὶ τὸν Θεὸν πόθον, ὡς ἐκεῖνα τὰ τῆς ψυχῆς αὐτοῦ ἄξια φθέγξασθαι ῥήματα καὶ ἀναβοῆσαι, καὶ εἰπεῖν· «Τί ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;». Ὅρα λέξεως ἔμφασιν· ὅρα πόθου τυραννικοῦ μανίαν· ὅρα ἀγάπην πεπυρωμένην. «Τίς ἡμᾶς χωρίσει;». Τί, φησίν, ἐστίν, ὃ δύναται τῆς ἀγάπης ἡμᾶς ἀποστερῆσαι τῆς πρὸς τὸν Θεόν; τί τῶν ὁρωμένων, τί τῶν μὴ ὁρωμένων;

3. Εἶτα βουλόμενος καὶ κατ' εἶδος ἅπαντα ἀπαριθμήσασθαι, καὶ πᾶσιν ἡμῖν κατάδηλον ποιήσασθαι τὸν πόθον τὸν ἀκάθεκτον, ὃν περὶ τὸν Δεσπότην ἐκέκτητο, ἐπήγαγε λέγων· «Θλῖψις, ἢ στενοχωρία, ἢ λιμός, ἢ διωγμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;». Ὢ ψυχῆς μαινομένης μανίαν σωφροσύνης μητέρα. Τί, φησί, τῶν ἐπαγομένων ἡμῖν δυνήσεται ἡμᾶς ἀποστῆσαι τῆς πρὸς τὸν Θεὸν ἀγάπης; Αἱ θλίψεις αἱ καθημεριναί; Οὐδαμῶς. Ἀλλ' αἱ στενοχωρίαι; Οὐδὲ αὗται. Ἀλλ' οἱ διωγμοί; Οὐδ' ὅλως. Ἀλλὰ τί; λιμός; Οὐδὲ τοῦτο. Ἀλλὰ κίνδυνοι; Καὶ τί λέγω λιμὸν καὶ γυμνότητα καὶ κινδύνους; ἀλλὰ μάχαιρα; Αὐτός, φησίν, ὁ θάνατος ἐπαγόμενος τοῦτο ἰσχῦσαι οὐ δυνήσεται· ἀμήχανον γὰρ καὶ πάντα ἀδύνατον. Οὐ-

---

3. Ρωμ. 8, 35.

προθυμίαν, ἔστω καὶ ἂν ἀπαιτῆται κόπος, ἢ κάποια ἄλλη ταλαιπωρία, ἢ ἐντροπή, ἢ ἀκόμη τιμωρία εἰς τὸ παρὸν καὶ εἰς τὸ μέλλον. Διὰ τὴν ἰδικήν μας ὅμως σωτηρίαν καὶ διὰ νὰ κερδήσωμεν τὴν θείαν βοήθειαν, παρουσιαζόμεθα νωθροὶ καὶ δειλοὶ καὶ ἐξησθενημένοι.

Καὶ ποία συγγνώμη θὰ ὑπάρξῃ δι' ἡμᾶς καὶ ποία ἀπολογία, ἀφοῦ εἴμεθα τόσον ἀδιάφοροι καὶ δὲν θέλομεν νὰ δείξωμεν εἰς τὸν Θεὸν τόσην ἀγάπην, ὅσην ὁ μακάριος αὐτὸς ἔδειξεν εἰς τὴν κόρην, καὶ μάλιστα, ὅταν ἠμποροῦμεν νὰ ἀπαριθμήσωμεν τόσας εὐεργεσίας, αἱ ὁποῖαι ἔχουν γίνει καὶ γίνονται εἰς ἡμᾶς καθημερινῶς; Ἀλλ' ἂν καὶ ἡμεῖς εἴμεθα τόσον ἀχάριστοι, ὅμως ὁ Παῦλος δὲν εἶναι παρόμοιος μὲ ἡμᾶς, αὐτὸς ὁ ὁποῖος ἦτο φλογερὸς κατὰ τὸ Πνεῦμα καὶ εἶχε φλογερὰν ἀγάπην πρὸς τὸν Θεόν, ὥστε νὰ εἴπῃ καὶ νὰ ἀναφωνήσῃ τοὺς λόγους ἐκείνους, οἱ ὁποῖοι εἶναι ἀντάξιοι τῆς ψυχῆς του· «Ποῖος θὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ;»[3]. Πρόσεχε τὴν ἔμφασιν τῆς λέξεως. Πρόσεχε τὸν δυνατὸν πόθον. Πρόσεχε τὴν φλογερὰν ἀγάπην. «Ποῖος θὰ μᾶς χωρίσῃ;». Τί εἶναι, λέγει, ἐκεῖνο, τὸ ὁποῖον ἠμπορεῖ νὰ μᾶς στερήσῃ τὴν πρὸς τὸν Θεὸν ἀγάπην; Ποῖον ἀπὸ τὰ ὁρατά, ποῖον ἀπὸ τὰ ἀόρατα;

3. Ἔπειτα, ἐπειδὴ ἤθελε νὰ ἀπαριθμήσῃ τὰ πάντα καὶ εἰδικότερον καὶ νὰ καταστήσῃ εἰς ὅλους ἡμᾶς ὁλοφάνερον τὴν ὑπερβολικὴν ἀγάπην, τὴν ὁποίαν ἔτρεφε διὰ τὸν Κύριον, ἐπρόσθεσε καὶ εἶπε, «Θλῖψις, ἢ στενοχωρία, ἢ πεῖνα, ἢ διωγμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;»[4]. Ὢ ψυχή, ἡ ὁποία κατέχεται ἀπὸ ἱερὰν μανίαν, ἡ ὁποία εἶναι μητέρα τῆς σωφροσύνης. Τί λέγει, ἀπ' αὐτὰ ποὺ θὰ μᾶς ἐπιβληθοῦν, εἶναι δυνατὸν νὰ μᾶς στερήσῃ τὴν ἀγάπην μας πρὸς τὸν Θεόν; Αἱ καθημεριναὶ θλίψεις; Καθόλου. Ἀλλὰ τί; Ἡ πεῖνα; Οὔτε αὐτό. Ἢ οἱ κίνδυνοι; Καὶ τί λέγω διὰ τὴν πεῖναν καὶ τὴν γυμνότητα καὶ τοὺς κινδύνους; Μήπως ἡ μάχαιρα; Ὁ ἴδιος ὁ θάνατος, λέγει, καὶ ἂν μᾶς ἐπιβληθῇ, δὲν θὰ ἠμπορέσῃ νὰ κατορθώσῃ αὐτό. Διότι εἶναι ἀκατόρθωτον καὶ ἐντελῶς ἀδύνατον. Κανεὶς

δεὶς ἕτερος οὕτως ἀγαπῆσαι κατηξιώθη τὸν Δεσπότην, ὡς ἡ μακαρία αὕτη ψυχή. Καθάπερ γὰρ ἀπαλλαγεὶς τοῦ σώματος, καὶ μετάρσιος, ὡς εἰπεῖν, γεγονώς, καὶ οὐδὲ ἐπὶ τῆς γῆς βαδίζειν νομίζων, οὕτως ἅπαντα φθέγγεται. Ὁ γὰρ περὶ τὸν Θεὸν πόθος, καὶ ἡ πεπυρωμένη ἀγάπη μετέστησεν αὐτοῦ τὸν λογισμὸν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά, καὶ ἀπὸ τῶν παρόντων ἐπὶ τὰ μέλλοντα, καὶ ἀπὸ τῶν βλεπομένων ἐπὶ τὰ μὴ ὁρώμενα. Τοιοῦτον γὰρ ἡ πίστις, καὶ ἡ περὶ τὸν Θεὸν ἀγάπη.

Καὶ ἵνα μάθῃς αὐτοῦ τὴν πολλὴν εὐγνωμοσύνην, ὅρα τὸν οὕτως ἀγαπῶντα τὸν Δεσπότην, καὶ ἐκκαιόμενον εἰς τὸν περὶ αὐτὸν πόθον, ἐλαυνόμενον, διωκόμενον, μαστιζόμενον, μυρία δεινὰ ὑπομένοντα, καὶ λέγοντα· «Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις· ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον· τρὶς ἐρραβδίσθην· ἅπαξ ἐλιθάσθην· νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις ἐν ψευδαδέλφοις, ἐν κόπῳ καὶ μόχθῳ». Καὶ τοσαῦτα πάσχων ἔχαιρε καὶ ἠγαλλιᾶτο. Ἤδει γὰρ καὶ ἐπεπληροφόρητο, ὅτι οἱ πρὸς τὸ παρὸν πόνοι τῶν μεγίστων αὐτῷ βραβείων πρόξενοι γίνονται, καὶ οἱ κίνδυνοι στεφάνους ἔτικτον. Εἰ γὰρ ὁ Ἰακὼβ διὰ τὸν περὶ τὴν Ραχὴλ πόθον ὡς ἡμέρας ὀλίγας τῶν ἑπτὰ ἐτῶν τὸν ἀριθμὸν ἐνόμιζε, πολλῷ μᾶλλον ὁ μακάριος οὗτος οὐδὲν ἅπαντα ἡγεῖτο, πυρωθεὶς ἅπαξ τῷ περὶ τὸν Θεὸν πόθῳ, καὶ διὰ τὸν ἀγαπώμενον Χριστὸν ἅπαντα ὑπομένων.

Σπουδάσωμεν τοίνυν, παρακαλῶ, καὶ ἡμεῖς ἀγαπῆσαι τὸν Χριστόν. Οὐδὲν γὰρ ἕτερον, φησίν, ὁ Χριστὸς ζητεῖ παρὰ σοῦ, ἢ τὸ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ποιεῖν τὰς ἐντολὰς αὐτοῦ. Ὁ γὰρ ἀγαπῶν αὐτόν, καθ' ὃν δεῖ τρόπον ἀγαπᾶν, δηλονότι καὶ

4. Ρωμ. 8, 35.
5. Β΄ Κορ. 11, 23 - 27.

ἄλλος δὲν ἔγινεν ἄξιος νὰ ἀγαπήσῃ τόσον πολὺ τὸν Κύριον, ὅσον ἡ μακαρία αὐτὴ ψυχή. Διότι λέγει ὅλα αὐτά, ὡσὰν νὰ εἶχεν ἐλευθερωθῇ ἀπὸ τὸ σῶμα καὶ ὡσὰν νὰ εἶχε γίνει ὑπερκόσμιος, ὅπως θὰ ἐλέγομεν, καὶ ἐπειδὴ ἐνόμιζεν, ὅτι δὲν βαδίζει ἐπάνω εἰς τὴν γῆν. Καθ' ὅσον ὁ πόθος καὶ ἡ φλογερή του ἀγάπη πρὸς τὸν Θεὸν μετέφερε τὸν νοῦν του ἀπὸ τὰ αἰσθητὰ εἰς τὰ νοητὰ καὶ ἀπὸ τὰ παρόντα εἰς τὰ μέλλοντα καὶ ἀπὸ τὰ βλεπόμενα πρὸς τὰ ἀόρατα. Τέτοιο πρᾶγμα εἶναι ἡ πίστις καὶ ἡ πρὸς τὸν Θεὸν ἀγάπη.

Καὶ διὰ νὰ μάθῃς τὴν μεγάλην του εὐγνωμοσύνην, βλέπε αὐτόν, ὁ ὁποῖος ἠγάπα τόσον τὸν Κύριον καὶ ἐφλέγετο ἀπὸ τὸν πόθον δι' αὐτόν, νὰ ἐξορίζεται, νὰ καταδιώκεται, νὰ μαστιγώνεται καὶ νὰ ὑπομένῃ μύρια δεινὰ καὶ νὰ λέγῃ· «Εἰς τοὺς κόπους πολὺ περισσότερον, εἰς μαστιγώσεις ὑπερβολικά, εἰς τὸν θάνατον πολλὰς φορὰς ὡδηγήθην. Ὑπὸ τῶν Ἰουδαίων πέντε φορὰς ἐμαστιγώθην μὲ τεσσαράκοντα παρὰ μίαν μαστιγώσεις. Τρεῖς φορὰς ἐρραβδίσθην, μίαν φορὰν ἐλιθοβολήθην, ἕνα ἡμερονύκτιον ἔμεινα εἰς τὸν βυθόν, πολλὰς φορὰς εἰς ὁδοιπορίας μὲ κινδύνους ποταμῶν, μὲ κινδύνους ψευδαδέλφων, μὲ κόπον καὶ μόχθον»[5]. Καὶ ἐνῷ ἐπάθαινεν αὐτά, ὅμως ἐχαίρετο καὶ ἠγάλλετο. Διότι ἐγνώριζε καὶ εἶχε πληροφορηθῆ, ὅτι οἱ πρὸς τὸν παρὸν κόποι γίνονται δι' αὐτὸν αἴτιοι τῶν πολὺ μεγάλων βραβείων καὶ ὅτι οἱ κίνδυνοι προσφέρουν στεφάνους. Πράγματι, ἐὰν ὁ Ἰακὼβ λόγῳ τῆς ἀγάπης του πρὸς τὴν Ραχὴλ ἐθεώρει τὸν ἀριθμὸν τῶν ἑπτὰ ἐτῶν ὡς ὀλίγας ἡμέρας, πολὺ περισσότερον αὐτὸς ὁ μακάριος Παῦλος ἐθεώρει τὰ πάντα ὡς μηδέν, ἐπειδὴ ἐφλέγετο ἐξ ὁλοκλήρου ἀπὸ τὴν ἀγάπην πρὸς τὸν Θεὸν καὶ ὑπέμενε τὰ πάντα διὰ τὸν Χριστόν, τὸν ὁποῖον ἠγάπα.

Ἄς ἐπιδιώξωμεν λοιπόν, παρακαλῶ, καὶ ἡμεῖς νὰ ἀγαπήσωμεν τὸν Χριστόν. Διότι τίποτε ἄλλο, λέγει, δὲν ζητεῖ ὁ Χριστὸς ἀπὸ ἐσένα, παρὰ τὸ νὰ ἀγαπᾷς αὐτὸν μὲ ὅλην σου τὴν καρδίαν καὶ νὰ ἐκτελῇς τὰς ἐντολάς του. Διότι αὐτὸς ποὺ τὸν ἀγαπᾷ, ὅπως πρέπει νὰ τὸν ἀγαπᾷ,

τὰς αὐτοῦ ἐπείγεται ἐντολὰς ποιεῖν. Ὅταν γάρ τις περί τινα γνησίως διάκειται, πάντα πράττειν σπουδάζει, ἃ τὸν ἀγαπώμενον ἐφέλκεσθαι δύναται εἰς τὸν περὶ αὐτὸν πόθον. Καὶ ἡμεῖς τοίνυν, ἐὰν ἀγαπήσωμεν γνησίως τὸν Δεσπότην, καὶ τὰς ἐντολὰς αὐτοῦ πληρῶσαι δυνησόμεθα, καὶ μηδὲν πράττειν ἐκείνων τῶν παροξῦναι δυναμένων τὸν ἀγαπώμενον. Τοῦτο ἡ βασιλεία τῶν οὐρανῶν, τοῦτο ἡ ἀπόλαυσις τῶν ἀγαθῶν, τοῦτο τὰ μυρία ἀγαθά, τὸ καταξιωθῆναι γνησίως καὶ καθ' ὃν χρὴ δὴ τρόπον ἀγαπᾶν· ἀγαπήσομεν δὲ αὐτὸν γνησίως, ἐὰν διὰ τὴν περὶ αὐτὸν ἀγάπην, καὶ περὶ τοὺς ὁμοδούλους πολλὴν ἐπιδειξώμεθα ἀγάπην. «Ἐν ταύταις», γάρ, φησί, «ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται», ἐν τῷ ἀγαπῆσαι Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν.

Τοῦτο τῶν ἀρετῶν τὸ κεφάλαιον, τοῦτο πασῶν τῶν τοῦ Θεοῦ ἐντολῶν ὁ θεμέλιος. Τῇ γὰρ ἀγάπῃ τῇ περὶ τὸν Θεὸν συνεισέρχεται καὶ ἡ περὶ τὸν πλησίον ἀγάπη. Ὁ γὰρ ἀγαπῶν τὸν Θεὸν οὐ περιόψεται τὸν ἀδελφόν, οὐδὲ τὰ χρήματα τοῦ οἰκείου μέλους προτιμήσει, ἀλλὰ πολλὴν περὶ αὐτὸν ἐπιδείξεται τὴν φιλοτιμίαν, μεμνημένος τοῦ εἰρηκότος, ὅτι «Ὁ ποιήσας ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε». Καὶ ἐννοῶν, ὅτι διὰ τῆς εἰς τὸν ὁμόδουλον θεραπείας αὐτός ἐστιν ὁ τὰ γινόμενα οἰκειούμενος, ὁ τῶν ἁπάντων Δεσπότης, μετὰ πολλῆς τῆς προθυμίας ἅπαντα ἐργάσεται, καὶ πολλὴν τὴν δαψίλειαν περὶ τὴν ἐλεημοσύνην ἐπιδείξεται, οὐ πρὸς τὴν εὐτέλειαν ὁρῶν τοῦ φαινομένου, ἀλλὰ πρὸς τὸ μέγεθος τοῦ οἰκειοῦσθαι ἐπαγγειλαμένου τὰ εἰς τοὺς πένητας γινόμενα.

Μὴ δὴ παρατρέχωμεν ἁπλῶς, παρακαλῶ, τὸ κέρ-

6. Ματθ. 22, 40.
7. Πρβλ. Μαρκ. 12, 30 - 31.
8. Ματθ. 25, 40.

εἶναι φανερόν, ὅτι ἐπιδιώκει νὰ ἐκτελῇ τὰς ἐντολάς του. Καθ' ὅσον ὅταν κανεὶς συμπαθῇ κάποιον, φροντίζει νὰ κάνῃ ὅλα, ὅσα εἶναι δυνατὸν νὰ προσελκύσουν ἐκεῖνον ποὺ ἀγαπᾷ, εἰς τὴν ἀγάπην του πρὸς αὐτόν. Ἐὰν λοιπόν καὶ ἡμεῖς ἀγαπήσωμεν ἀληθινὰ τὸν Κύριον, θὰ ἠμπορέσωμεν καὶ τὰς ἐντολάς του νὰ ἐκπληρώσωμεν καὶ νὰ μὴ κάνωμεν τίποτε ἀπὸ ἐκεῖνα, τὰ ὁποῖα εἶναι δυνατὸν νὰ ἐξοργίσουν αὐτόν, ὁ ὁποῖος ἀγαπᾶται. Αὐτὸ εἶναι ἡ βασιλεία τῶν οὐρανῶν, αὐτὸ εἶναι ἡ ἀπόλαυσις τῶν ἀγαθῶν, αὐτό εἶναι τὰ ἀναρίθμητα ἀγαθά, τὸ νὰ ἀξιωθῇ δηλαδὴ κανεὶς νὰ ἀγαπᾷ ἀληθινά, ὅπως πρέπει. Θὰ ἀγαπήσωμεν δὲ αὐτὸν ἀληθινά, ἐὰν δείξωμεν μεγάλην ἀγάπην καὶ πρὸς τοὺς συνανθρώπους μας χάριν τῆς πρὸς αὐτὸν ἀγάπης. Διότι λέγει, «Ἀπ' αὐτὰς τὰς δύο ἐντολὰς ἐξαρτῶνται ὅλος ὁ νόμος καὶ οἱ προφῆται»[6], νὰ ἀγαπήσῃς δηλαδὴ Κύριον τὸν Θεόν σου μὲ ὅλην σου τὴν καρδίαν καὶ μὲ ὅλην σου τὴν δύναμιν καὶ μὲ ὅλην σου τὴν διάνοιαν καὶ τὸν πλησίον σου ὅπως τὸν ἑαυτόν σου[7].

Αὐτὴ εἶναι ἡ κορωνὶς τῶν ἀρετῶν, αὐτὴ εἶναι ἡ θεμελιώδης ἀπ' ὅλας τὰς ἐντολὰς τοῦ Θεοῦ. Διότι μαζὶ μὲ τὴν πρὸς τὸν Θεὸν ἀγάπην συγκαταλέγεται καὶ ἡ ἀγάπη πρὸς τὸν πλησίον. Διότι αὐτὸς ποὺ ἀγαπᾷ τὸν Θεὸν δὲν θὰ παραμελήσῃ τὸν συνάνθρωπόν του, οὔτε θὰ προτιμήσῃ τὰ χρήματα τοῦ συγγενοῦς του, ἀλλὰ θὰ δείξῃ εἰς αὐτὸν μεγάλην γενναιοδωρίαν, ἀφοῦ ἐνθυμηθῇ αὐτόν, ὁ ὁποῖος ἔχει εἰπεῖ, ὅτι «Αὐτὸς ποὺ ἔκανε κάτι εἰς ἕνα ἀπ' αὐτοὺς τοὺς πιὸ ἀσημάντους ἀδελφούς μου, εἰς ἐμὲ τὸ ἔκανε»[8]. Καὶ σκεπτόμενος ὅτι διὰ τὴν βοήθειαν πρὸς τὸν συνάνθρωπόν του αὐτὸς εἶναι ἐκεῖνος, ὁ ὁποῖος οἰκειοποιεῖται, ὅσα ἔχουν γίνει, δηλαδὴ ὁ Κύριος τῶν πάντων, θὰ πραγματοποιήσῃ τὰ πάντα μὲ πολλὴν προθυμίαν καὶ θὰ ἐπιδείξῃ μεγάλην γενναιοδωρίαν εἰς τὴν ἐλεημοσύνην, ἀφοῦ δὲν ἀποβλέπει εἰς τὴν ὠφέλειαν ἐκείνου ποὺ φαίνεται, ἀλλ' εἰς τὸ μέγεθος ἐκείνου, ὁ ὁποῖος ὑπεσχέθη, ὅτι θὰ οἰκειοποιηθῇ, ὅσα γίνονται εἰς τοὺς πτωχούς.

Ἂς μὴ παρατρέχωμεν λοιπόν, παρακαλῶ, ἔτσι ἁπλῶς,

δος τῶν ἡμετέρων ψυχῶν τὸ φάρμακον τῶν ἡμετέρων τραυμάτων. Τοῦτο γάρ, τοῦτο μάλιστα τὸ φάρμακον τοσαύτην ἡμῖν παρέξει τὴν θεραπείαν, καὶ οὕτως ἀφανίσει τὰ ἕλκη τῶν ἡμετέρων ψυχῶν, ὡς μηδὲ ἴχνος μηδὲ οὐλὴν καταλειφθῆναι· ὅπερ ἐπὶ τῶν σωματικῶν τραυμάτων οὐχ οἷόν τε γενέσθαι. Κἂν γὰρ μυριάκις τις τὰ φάρμακα τῷ οἰκείῳ τραύματι ἐπιθῇ τὰ παρὰ τῶν ἰατρῶν κατασκευαζόμενα, ἀνάγκη τὴν οὐλὴν ἐν τῷ σώματι ἐναπομένειν· καὶ εἰκότως· σῶμα γάρ ἐστι τὸ θεραπευόμενον. Ἐνταῦθα δὲ ἐπειδὴ ψυχή ἐστιν ἡ θεραπευομένη, ἐπειδὰν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξηται, πολλὴν δέχεται τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν, καὶ οὕτως ἅπαντα φυγαδεύεται τὰ ἕλκη, ὡς ἂν κονιορτός, ἀνέμου σφοδροῦ διεγερθέντος. Καὶ τούτων ἁπάντων τῶν ὑποδειγμάτων ὑπερπλήρεις ἡμῖν αἱ Γραφαί. Οὕτως ὁ μακάριος Παῦλος ἀπόστολος γέγονεν ἀπὸ διώκτου, καὶ ὁ πρότερον πορθῶν τὴν Ἐκκλησίαν, ὕστερον αὐτὸς αὐτῆς γέγονε νυμφαγωγός.

4. Εἶδες ἄκραν τὴν μεταβολήν; εἶδες ἄφατον τὴν μετάστασιν; Οὕτω καὶ ὁ λῃστὴς μυρίους ἐργασάμενος φόνους, ἐν μιᾷ καιροῦ ῥοπῇ διὰ τῶν ὀλίγων ἐκείνων ῥημάτων οὕτως ἅπαντα ἀπενίψατο τὰ ἁμαρτήματα, ὡς ἀκοῦσαι παρὰ τοῦ Δεσπότου, ὅτι «Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ». Οὕτω καὶ ὁ τελώνης, στῆθος πλήξας, καὶ τὰ οἰκεῖα ἁμαρτήματα ὁμολογήσας, κατῆλθε δεδικαιωμένος ὑπὲρ τὸν Φαρισαῖον. Ἀλλὰ τούτων μὲν ἕκαστος ψυχῆς εὐγνωμοσύνην ἐπιδειξάμενος, καὶ τὰ πρότερα ὁμολογήσας πταίσματα, οὕτω τῆς συγχωρήσεως ἀπήλαυσεν. Ἴδωμεν δὲ ταύτης τῆς ἐντολῆς τὴν ἰσχύν, καὶ ὅσην περιουσίας δύναμιν κέκτηται ἡ δαψιλὴς ἐλεημοσύνη, ἵνα μαθόντες τὸ ἐξ αὐτῆς ἡμῖν ἐγγινόμενον κέρδος, προθύμως αὐτὴν μετέλθωμεν. Τάχα γὰρ τοσαύτη αὐτῆς ἡ πε-

9. Λουκᾶ 23, 43.
10. Πρβλ. Λουκᾶ 18, 13.

τὸ ὄφελος τῶν ψυχῶν μας, τὸ φάρμακον τῶν τραυμάτων μας. Διότι αὐτὸ κατ' ἐξοχὴν τὸ φάρμακον θὰ παράσχῃ εἰς ἡμᾶς τόσην θεραπείαν καὶ ἔτσι θὰ ἐξαφανίσῃ τὰς πληγὰς τῶν ψυχῶν μας, ὥστε νὰ μὴ ἀφήσῃ οὔτε ἴχνος οὔτε οὐλήν, πρᾶγμα τὸ ὁποῖον δὲν εἶναι δυνατὸν νὰ γίνῃ διὰ τὰ σωματικὰ τραύματα. Διότι καὶ ἂν ἀκόμη κάποιος βάλῃ εἰς τὸ τραῦμα του ἀπεριορίστους φορὰς τὰ φάρμακα, τὰ ὁποῖα παρασκευάζονται ἀπὸ τοὺς ἰατρούς, εἶναι φυσικὸν ἡ οὐλὴ νὰ μείνῃ εἰς τὸ σῶμα. Καὶ πολὺ εὔλογα, διότι σῶμα εἶναι αὐτό, τὸ ὁποῖον θεραπεύεται. Ἐδῶ ὅμως ἐπειδὴ ἡ ψυχὴ εἶναι αὐτή, ἡ ὁποία θεραπεύεται, ἐὰν φανερώσῃ τὴν εὐγνωμοσύνην της, δέχεται μεγάλην μεταβολὴν πρὸς τὸ καλύτερον καὶ κατ' αὐτὸν τὸν τρόπον ἐξαφανίζονται ὅλαι αἱ πληγαί, ὡσὰν νὰ ἦσαν σκόνη καὶ νὰ ἐφύσηξεν ἰσχυρὸς ἄνεμος. Ἀπ' ὅλα αὐτὰ τὰ παραδείγματα εἶναι ὑπερπλήρεις αἱ Γραφαί. Κατὰ παρόμοιον τρόπον ὁ μακάριος Παῦλος ἔγινεν ἀπὸ διώκτης ἀπόστολος, καὶ αὐτὸς ὁ ὁποῖος προηγουμένως ἐμάχετο τὴν Ἐκκλησίαν, ἔπειτα ἔγινε νυμφαγωγός της.

4. Εἶδες τὴν ριζικὴν μεταβολήν; Εἶδες τὴν ἀπερίγραπτον ἀλλαγήν; Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ ληστής, ἀφοῦ ἔκανε μυρίους φόνους, ἐντὸς μιᾶς στιγμῆς μὲ τοὺς ὀλίγους ἐκείνους λόγους ἐκαθαρίσθη τόσον ἀπὸ τὰ ἁμαρτήματα, ὥστε νὰ ἀκούσῃ ἀπὸ τὸν Κύριον, ὅτι «Ἀπὸ σήμερον θὰ εἶσαι μαζί μου εἰς τὸν παράδεισον»[9]. Κατὰ παρόμοιον τρόπον καὶ ὁ τελώνης ἀφοῦ ἐκτύπησε τὸ στῆθος του καὶ ἀφοῦ ὡμολόγησε τὰ ἁμαρτήματά του, κατέβη αὐτὸς συγχωρημένος παρὰ ὁ Φαρισαῖος[10]. Ἀλλ' ἀπ' αὐτοὺς ὁ καθεὶς ἔλαβε τὴν συγχώρησιν, ἀφοῦ ἔδειξε τὴν εὐγνωμοσύνην τῆς ψυχῆς του καὶ ἀφοῦ ὡμολόγησε τὰ προηγούμενα σφάλματά του. Ἂς ἰδοῦμεν ὅμως τὴν ἰσχὺν αὐτῆς τῆς ἐντολῆς καὶ πόσην δύναμιν ὠφελείας περιέχει ἡ πλουσία ἐλεημοσύνη, ὥστε, ἀφοῦ ἀντιληφθῶμεν τὸ κέρδος ποὺ προέρχεται ἀπ' αὐτὴ νὰ τὴν κάνωμεν μὲ προθυμίαν. Ἴσως λοιπὸν νὰ εἶναι

ριουσία, ὡς μὴ μόνον ἁμαρτήματα ἐκκαθαίρειν, ἀλλὰ καὶ αὐτὸν τὸν θάνατον φυγαδεύειν. Καὶ λέγω τὸν τρόπον.

Καὶ τίς, φησίν, ἐλεημοσύνην ἐπιδειξάμενος, τοῦ θανάτου κρείττων γέγονε; Καὶ μὴν ἅπαντας ὁρῶμεν ὑπὸ τὴν τυραννίδα τοῦ θανάτου γινομένους. Μὴ θορυβηθῇς, ἀγαπητέ, ἀλλὰ μάθε δι' αὐτῶν τῶν πραγμάτων, ὅπως ἡ τῆς ἐλεημοσύνης δύναμις ἐνίκησε καὶ τούτου τὴν τυραννίδα. Ταβιθά τις ἐγένετο γυνή, ἥτις διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἔργον ἐποιεῖτο καθ' ἑκάστην ἡμέραν τὴν ἀπὸ τῆς ἐλεημοσύνης εὐπορίαν συλλέγειν ἑαυτῇ· καὶ ἐνεδίδυσκε, φησί, τὰς χήρας, καὶ τὴν ἄλλην ἅπασαν εὐπορίαν αὐταῖς παρεῖχεν. Ἐγένετο δὲ ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. Ἀλλὰ βλέπε μοι ἐνταῦθα, ἀγαπητέ, πῶς αἱ τῆς θεραπείας ἀπολαύουσαι, καὶ τὰ σώματα σκεπόμεναι ἀπ' αὐτῆς, ἐν καιρῷ τὴν εὐεργέτιν ἀμειβόμεναι, περιεστῶσαι τὸν ἀπόστολον, ἐπεδείκνυον, φησί, τὰ ἱμάτια, καὶ ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς, καὶ τὴν τροφὸν ἐπεζήτουν, καὶ δάκρυα ἴσως προσέχεον, καὶ εἰς πολὺν οἶκτον τὸν ἀπόστολον ἐφείλκοντο. Τί οὖν ὁ μακάριος Πέτρος; «Τὰ γόνατα θείς», φησί, «προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε· Ταβιθά, ἀνάστηθι. Ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον, ἀνεκάθισε. Δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτήν, καὶ φωνήσας τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν».

Εἶδες δύναμιν τοῦ ἀποστόλου, μᾶλλον δὲ τοῦ ἐνεργοῦντος ἐν αὐτῷ Δεσπότου; εἶδες ὅση τῆς εἰς τὰς χήρας εὐποιίας ἀμοιβὴ καὶ ἐν τῷ παρόντι καιρῷ γέγονε; Τί γὰρ τοσοῦτον, εἰπέ μοι, παρέσχεν αὕτη ταῖς χήραις, ὅσον αὗται αὐτὴν ἠμείψαντο; Ἱμάτια παρέσχε καὶ τροφὰς αὐταῖς, ἀλλ' αὗται πρὸς ζωὴν αὐτὴν

---

11. Πρβλ. Πράξ. 9, 36 - 43. Πρόκειται διὰ τὴν ἀνάστασιν τῆς Ταβιθὰ ἀπὸ τὸν ἀπόστολον Πέτρον.

12. Πράξ. 9, 40 - 41.

τόσον μεγάλη ἡ δύναμίς της, ὥστε νὰ μὴ καθαρίζῃ μόνον τὰ ἁμαρτήματα, ἀλλὰ καὶ νὰ ἐξαφανίζῃ καὶ τόν ἴδιον τὸν θάνατον. Καὶ θὰ σᾶς εἰπῶ μὲ ποιὸν τρόπον.

Καὶ ποῖος, λέγει, ποὺ ἔδειξεν ἐλεημοσύνην ἔγινεν ἀνώτερος ἀπὸ τὸν θάνατον; Βεβαίως βλέπομεν, ὅτι ὅλοι ὑπόκεινται εἰς τὴν ἐξουσίαν τοῦ θανάτου. Μὴ ταραχθῇς, ἀγαπητέ, ἀλλὰ νὰ μάθῃς μὲ τὰ ἴδια τὰ πράγματα, πῶς ἡ δύναμις τῆς ἐλεημοσύνης ἐνίκησε ἀκόμη καὶ τὴν ἐξουσίαν αὐτοῦ. Ὑπῆρχε κάποια γυναῖκα μέ τὸ ὄνομα Ταβιθὰ ποὺ ἑρμηνεύεται Δορκάς[11]. Αὐτὴ καθημερινῶς εἶχεν ὡς ἔργον νὰ συλλέγῃ διὰ τὸν ἑαυτόν της τὸν πνευματικὸν πλοῦτον ἀπὸ τὴν ἐλεημοσύνην. Καὶ ἔντυνε, λέγει, τὰς χήρας καὶ ἔδιδεν εἰς αὐτὰς καὶ ὅλην τὴν ἄλλην περιουσίαν της. Συνέβη ὅμως νὰ ἀσθενήσῃ καὶ νὰ ἀποθάνῃ. Πρόσεχε ὅμως ἐδῶ, παρακαλῶ, ἀγαπητέ, πῶς ἐκεῖναι αἱ γυναῖκες, αἱ ὁποῖαι εἶχον ἀπολαύσει τὴν βοήθειάν της καὶ εἶχον ἐνδυθῆ ἀπ' αὐτήν, εἰς τὴν κατάλληλον στιγμὴν ἀμείβουν τὴν εὐεργέτιδα, ἀφοῦ ἐπλησίασαν τὸν ἀπόστολον Πέτρον, ἐδείκνυον, λέγει ἡ Γραφή, τὰ ἐνδύματα καὶ ὅσα ἔκανεν ἡ Δορκάς, ὅταν ἦτο μαζύ των καὶ ἐζήτουν τὴν τροφόν των καὶ δάκρυα ἴσως νὰ ἔχυνον καὶ προεκάλουν εἰς τὸν ἀπόστολον πολὺν οἶκτον. Τί ἔκανε λοιπὸν ὁ μακάριος Πέτρος; «Ἀφοῦ ἐγονάτισε», λέγει, «προσηυχήθη καὶ στραφεὶς πρὸς τὸ σῶμα, εἶπε· Ταβιθά, σήκω ἐπάνω. Αὐτὴ ἤνοιξε τοὺς ὀφθαλμούς της καὶ ὅταν εἶδε τὸν Πέτρον ἐσηκώθη. Ὁ Πέτρος ἔδωσεν εἰς αὐτὴν τὸ χέρι του καὶ τὴν ἐσήκωσεν ἐπάνω καὶ ἐφώναξε τοὺς χριστιανοὺς καὶ τὰς χήρας καὶ τὴν παρουσίασε ζωντανήν»[12].

Εἶδες τὴν δύναμιν τοῦ ἀποστόλου ἤ μᾶλλον τοῦ Κυρίου, ὁ ὁποῖος ἐνεργεῖ μέσῳ αὐτοῦ; Εἶδες πόση ἀμοιβὴ ἔλαβε διὰ τὰ καλά της ἔργα ἀκόμη καὶ εἰς τὴν παροῦσαν ζωήν; Διότι εἰπὲ μου, τί τόσον μεγάλο προσέφερεν αὐτὴ εἰς τὰς χήρας, ὅσον αὐταὶ ἀντήμειψαν αὐτήν; Προσέφερεν εἰς αὐτὰς ἐνδύματα καὶ τροφάς, ἀλλ' αὐταὶ τὴν ἐπανέ-

ἐπανήγαγον, καὶ τὸν θάνατον ἐξ αὐτῆς δραπετεῦσαι ἐποίησαν· μᾶλλον δὲ οὐχ αὗται, ἀλλὰ διὰ τὴν εἰς ταύτας θεραπείαν ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης. Εἴδετε φαρμάκου δύναμιν, ἀγαπητοί; Τοῦτο πάντες ἑαυτοῖς κατασκευάσωμεν· οὐδὲ γὰρ πολυτελές ἐστι, καίτοι γε τοσαύτην ἔχον τὴν δύναμιν, ἀλλὰ καὶ σφόδρα εὔωνον, καὶ οὔτε δαπάνης δεῖται πολλῆς. Τὸ γὰρ τῆς ἐλεημοσύνης μέγεθος οὐκ ἐν τῷ πλήθει τῶν χρημάτων κρίνεται, ἀλλ' ἐν τῇ προθυμίᾳ τῶν διδόντων. Διὰ τοῦτο καὶ ὁ ποτήριον ψυχροῦ δοὺς ἀπόδεκτος γέγονε, καὶ ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα, ἵνα μάθωμεν, ὅτι πανταχοῦ γνώμην ὀρθὴν ἐπιζητεῖ ὁ τῶν ἁπάντων Δεσπότης. Ἔστι πολλάκις καὶ ὀλίγα ἔχοντα πολλὴν τὴν δαψίλειαν τῆς ἐλεημοσύνης ἐπιδείξασθαι, ὅταν ᾖ ἡ προθυμία ἐρρωμένη· καὶ πάλιν τὸ ἐναντίον, ἔστι καὶ πολλὰ κεκτημένον ἐλάττονα ὀφθῆναι τῶν ὀλίγα ἐχόντων διὰ τὴν τῆς ἰδίας γνώμης μικρολογίαν.

Ἐκχέωμεν οὖν, παρακαλῶ, τὰ ὄντα εἰς τοὺς ἐν χρείᾳ ὄντας μετὰ δαψιλοῦς γνώμης, ἐξ ὧν ὁ Δεσπότης ἡμῖν κεχάρισται, καὶ αὐτὰ τὰ παρ' αὐτοῦ ἡμῖν δοθέντα αὐτῷ πάλιν ἡμεῖς δῶμεν, ἵνα οὕτω πάλιν μετὰ πολλῆς προσθήκης ἡμέτερα γένηται. Τοσαύτη γὰρ αὐτοῦ ἡ φιλοτιμία, ὅτι καὶ ἀφ' ὧν ἔδωκε λαμβάνων, οὐχ ἡγεῖται τὰ ἴδια λαμβάνειν, ἀλλὰ μετὰ πολλῆς ἡμῖν αὐτὰ τῆς φιλοτιμίας ἀποδιδόναι ὑπισχνεῖται· μόνον ἐὰν ἡμεῖς τὰ παρ' ἑαυτῶν ἐπιδείξασθαι βουληθῶμεν, καὶ καθάπερ τῇ τοῦ Θεοῦ χειρὶ ταῦτα παρακατατιθέμενοι, οὕτως αὐτὰ τοῖς πένησι χορηγῶμεν, εἰδότες ὅτι ἅπερ ἂν ἡ χεὶρ ἐκείνη δέξηται, οὐκ ἐκεῖνα μόνον ἀποδίδωσιν, ἀλλὰ καὶ πολυπλασίονα τὰ δοθέντα οὗτος ἡμῖν αὐτὰ πάλιν χαρίζεται, τὴν οἰκείαν φιλοτιμίαν διὰ πάντων ἐπιδεικνύμενος.

Καὶ τί λέγω, ὅτι αὐτὰ πάλιν πολυπλασιάζει; Ἡ

13. Πρβλ. Ματθ. 10, 42.
14. Πρβλ. Λουκᾶ 21, 2 - 3.

φερον εἰς τὴν ζωὴν καὶ συνετέλεσαν νὰ τὴν ἀπαλλάξουν ἀπὸ τὸν θάνατον. Ἢ μᾶλλον ὄχι αὐταί, ἀλλ' ὁ φιλάνθρωπος Κύριός μας λόγῳ τῶν ὑπηρεσιῶν της πρὸς αὐτάς. Εἴδατε, ἀγαπητοί, δύναμιν φαρμάκου; Αὐτὸ ἂς ἑτοιμάσωμεν ὅλοι διὰ τοὺς ἑαυτούς μας, διότι οὔτε εἶναι τόσον ἀκριβόν, ἂν καὶ ἔχῃ τόσην δύναμιν, ἀλλὰ καὶ πολὺ εὐθυνὸν καὶ δὲν ἔχει ἀνάγκην μεγάλης δαπάνης. Καθ' ὅσον τὸ μέγεθος τῆς ἐλεημοσύνης δὲν κρίνεται ἀπὸ τὸ πλῆθος τῶν χρημάτων, ἀλλ' ἀπὸ τὴν προθυμίαν αὐτῶν ποὺ δίδουν ἐλεημοσύνην. Διὰ τοῦτο καὶ ἐκεῖνος ὁ ὁποῖος ἔδωσε ποτήριον μὲ δροσερὸν ὕδωρ[13], ἔγινε δεκτὸς καὶ ἀκόμη καὶ αὐτὴ ἡ ὁποία ἔδωσε δύο λεπτά[14], διὰ νὰ μάθωμεν, ὅτι ὁ Κύριος τῶν πάντων ζητεῖ παντοῦ καλὴν διάθεσιν. Συμβαίνει πολλὲς φορὲς νὰ δεικνύῃ κανεὶς μεγάλην γενναιοδωρίαν εἰς τὴν ἐλεημοσύνην, ἂν καὶ ἔχει ὀλίγα, ὅταν ἡ προθυμία εἶναι ἰσχυρά. Καὶ τὸ ἀντίθετον πάλιν εἶναι δυνατὸν νὰ συμβῇ, ἐνῷ δηλαδὴ κάποιος ἔχει πολλά, νὰ φανῇ ὅτι ἔχει ὀλιγώτερα ἀπ' αὐτούς, οἱ ὁποῖοι ἔχουν ὀλίγα, λόγῳ τῆς μικροπρεπείας τοῦ χαρακτῆρος του.

Ἂς μοιράζωμεν λοιπόν, παρακαλῶ, γενναιόδωρα εἰς ἐκείνους, οἱ ὁποῖοι ἔχουν ἀνάγκη τὰ ἀγαθὰ ποὺ μᾶς ἐχάρισεν ὁ Κύριος καὶ αὐτά, τὰ ὁποῖα μᾶς ἔχει δώσει αὐτός, νὰ τὰ προσφέρωμεν καὶ πάλιν εἰς αὐτόν, ὥστε νὰ γίνουν πάλιν ἰδικά μας κατὰ πολὺ ηὐξημένα. Διότι τόσον μεγάλη εἶναι ἡ φιλοτιμία τοῦ Κυρίου, ὥστε, ἂν καὶ λαμβάνει ἀπ' αὐτὰ ποὺ ἔδωσε, δὲν θεωρεῖ, ὅτι λαμβάνει ἀπὸ τὰ ἴδια, ἀλλὰ ὑπόσχεται εἰς ἡμᾶς, ὅτι θὰ μᾶς τὰ ἀποδώσῃ μὲ μεγάλην γενναιοδωρίαν. Μόνον ἐὰν ἡμεῖς θελήσωμεν νὰ ἐπιδείξωμεν τὰ ἰδικά μας, νὰ δίδωμεν αὐτὰ εἰς τοὺς πτωχούς, ὡσὰν ἀκριβῶς νὰ τοποθετῶμεν αὐτὰ εἰς τὸ χέρι τοῦ Θεοῦ, ἔχοντες ὑπ' ὄψιν, ὅτι ἐκεῖνα, τὰ ὁποῖα θὰ δεχθῇ ἐκεῖνο τὸ χέρι, δὲν θὰ μᾶς ἀνταποδώσῃ μόνον αὐτά, ἀλλὰ θὰ μᾶς τὰ χαρίσῃ καὶ πάλιν αὐτός, ἂν καὶ εἶναι πολὺ περισσότερα, ὅσα ἔχουν δοθῇ καὶ δεικνύει μὲ ὅλα αὐτὰ τὴν φιλοτιμίαν του.

Καὶ διατί λέγω ὅτι πολλαπλασιάζει πάλιν αὐτά; Τὸ

χεὶρ ἐκείνη δίδωσιν οὐκ αὐτὰ μόνον, ἀλλὰ μετὰ τούτων καὶ τὴν βασιλείαν τῶν οὐρανῶν δωρεῖται, καὶ ἀνακηρύττει καὶ στεφανοῖ, καὶ τὰ μυρία ἀγαθὰ χαρίζεται, ἐὰν ἐκ τῶν παρ' αὐτοῦ δοθέντων μικρόν τι εἰσενεγκεῖν βουληθῶμεν. Μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς παρ' ἡμῶν αἰτεῖ; Τὰ περιττὰ τῆς χρείας βούλεται ἀναγκαῖα ἡμᾶς ποιήσασθαι, καὶ ἅπερ εἰκῇ καὶ μάτην ἐν τοῖς ταμιείοις ἐναπόκειται, ταῦτα βούλεται ὑφ' ἡμῶν αὐτῶν καλῶς διανεμηθῆναι, ἵνα ἀφορμὴν λαβὼν ἐντεῦθεν, λαμπρῶς ἡμᾶς στεφανώσῃ. Σπεύδει γὰρ καὶ ἐπείγεται, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε ἀξιῶσαι ἡμᾶς ὧν καὶ ἐπηγγείλατο.

5. Μὴ τοίνυν ἑαυτοὺς ἀποστερήσωμεν, παρακαλῶ, τῶν τοσούτων ἀγαθῶν. Εἰ γὰρ οἱ περὶ τὴν γῆν πονούμενοι καὶ ταλαιπωροῦντες, τὰς ἑαυτῶν ἀποθήκας κενοῦντες, εἰς τὴν γῆν καταβάλλουσι τὰ σπέρματα, καὶ τὰ πάλαι συνηγμένα σκορπίζουσι, καὶ μεθ' ἡδονῆς τοῦτο ποιοῦσι, τῇ ἐλπίδι τοῦ πλείονος ἑαυτοὺς παραμυθούμενοι, καὶ ταῦτα εἰδότες ὡς καὶ ἀέρων ἀνωμαλίαι πολλάκις, καὶ γῆς ἀκαρπία, καὶ ἕτεραι πολλαὶ περιστάσεις, ἢ ἀκρίδων στρατόπεδον, ἢ ἐρυσίβης ἡ ἔφοδος τῆς προσδοκίας διαμαρτεῖν ἐποίησε, καὶ ὅμως ταῖς χρησταῖς ἐλπίσιν ἑαυτοὺς τρέφοντες, τὰ ἐν τοῖς ταμιείοις συνηγμένα τῇ γῇ παρακατατίθενται· πολλῷ μᾶλλον ἡμᾶς τὰ ἁπλῶς ἀποκείμενα σκορπίζειν εἰς τὴν τῶν πενήτων διατροφὴν προσῆκεν, ἔνθα οὐκ ἔνι ποτὲ διαμαρτεῖν τοῦ τέλους, οὐδὲ δεῖσαι τὴν ἀποτυχίαν τὴν ἐπὶ τῆς γῆς γινομένην. Ἐσκόρπισε γάρ, φησίν, ἔδωκε τοῖς πένησιν. Ἀλλ' ἄκουε καὶ τῶν ἑξῆς· «Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ὢ θαυμασίου σκορπισμοῦ. Ἐν βραχεῖ τῷ χρόνῳ τὴν διανομὴν ἐποιήσατο, καὶ ἐν διη-

15. Ψαλμ. 111, 9.

χέρι ἐκεῖνο δὲν δίδει μόνον αὐτά, ἀλλὰ μαζὶ μὲ αὐτὰ χαρίζει καὶ τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἀνακηρύσσει καὶ στεφανώνει καὶ δωρίζει τὰ ἀναρίθμητα ἀγαθά, ἐὰν θελήσωμεν νὰ προσφέρωμεν κάτι μικρὸν ἀπ' ὅσα μᾶς ἔχουν δοθῆ ἀπ' αὐτόν. Μήπως δηλαδὴ μᾶς ζητεῖ κάτι τὸ βαρὺ καὶ τὸ δύσκολον; Ὅσα ἀπὸ τὰ ἀναγκαῖα μᾶς περισσεύουν, αὐτὰ θέλει νὰ μᾶς τὰ καταστήσῃ ἀπαραίτητα καὶ ἐκεῖνα τὰ ὁποῖα εὑρίσκονται εἰς τὰ θησαυροφυλάκια ἄσκοπα καὶ μάταια, αὐτὰ ἐπιθυμεῖ νὰ διανεμηθοῦν ὅπως πρέπει ἀπὸ ἡμᾶς τοὺς ἰδίους, ὥστε νὰ λάβῃ ἀπὸ ἐδῶ ἀφορμὴν καὶ νὰ μᾶς στεφανώσῃ λαμπρῶς. Διότι σπεύδει καὶ ἐπείγεται καὶ κάνει τὰ πάντα καὶ φροντίζει, ὥστε νὰ μᾶς καταστήσῃ ἀξίους ἐκείνων ποὺ μᾶς ὑπεσχέθη.

5. Παρακαλῶ λοιπὸν ἂς μὴ στερήσωμεν τοὺς ἑαυτούς μας ἀπὸ τὰ τόσον μεγάλα ἀγαθά. Διότι ἐὰν αὐτοὶ ποὺ κοπιάζουν καὶ ταλαιπωροῦνται διὰ τὴν γῆν, ἐκκενώνουν τὰς ἀποθήκας των καὶ ρίπτουν τοὺς σπόρους εἰς τὴν γῆν καὶ διασκορπίζουν αὐτὰ ποὺ πρὶν ἀπ' ὀλίγον συνεκέντρωσαν, καὶ κάνουν αὐτὸ μὲ εὐχαρίστησιν, ἀφοῦ παρηγοροῦνται μὲ τὴν ἐλπίδα τῶν περισσοτέρων, καὶ κάνουν αὐτά, ἂν καὶ γνωρίζουν, ὅτι πολλὲς φορὲς καὶ αἱ καταιγῖδες καὶ ἡ ἀκαρπία τῆς γῆς καὶ ἄλλαι πολλαὶ ἀνωμαλίαι, ἢ σμῆνος ἀκρίδων, ἢ ἐνσκήπτουσαι ἀσθένειαι συντελοῦν, ὥστε αἱ προσδοκίαι των νὰ διαψευσθοῦν, καὶ ὅμως τρέφονται μὲ χρηστὰς ἐλπίδας καὶ ρίπτουν εἰς τὴν γῆν ὅσα ἔχουν συγκεντρωθῆ εἰς τὰς ἀποθήκας, πολὺ περισσότερον ἡμεῖς πρέπει νὰ μοιράζωμεν αὐτά, ποὺ ἔχουν ἀποταμιευθῆ χωρὶς σκοπόν, διὰ τὴν διατροφὴν τῶν πτωχῶν, ὅπου δὲν εἶναι δυνατὸν ποτὲ νὰ πέσωμεν ἔξω ἀπὸ τὸν σκοπόν μας, οὔτε νὰ φοβηθῶμεν τὴν ἀποτυχίαν, ἡ ὁποία συμβαίνει εἰς τὴν γῆν. Διότι λέγει· «Ἐσκόρπισεν, ἔδωσεν εἰς τοὺς πτωχούς». Ἄκουσε ὅμως καὶ τὰ ἑπόμενα. «Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[15]. Ὢ θαυμάσιος σκορπισμός. Εἰς σύντομον χρονικὸν διάστημα ἔκανε τὴν διανομὴν καὶ ἡ ἀγάπη του μένει εἰς τὸν διαρκῆ

νεκεῖ τῷ αἰῶνι ἡ δικαιοσύνη αὐτοῦ διαμένει. Τί τούτου μακαριστότερον γένοιτ' ἂν ποτε;

Διὰ τοῦτο, παρακαλῶ, τὴν διὰ τῆς ἐλεημοσύνης δικαιοσύνην ἑαυτοῖς ἐπισπασώμεθα, ἵν' ᾖ καὶ περὶ ἡμῶν τοῦτο λέγεσθαι ἄξιον, ὅτι ἐσκόρπισαν, ἔδωκαν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτῶν μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐπειδὴ γὰρ εἶπεν, «Ἐσκόρπισεν, ἔδωκεν», ἵνα μὴ νομίσῃς, ὅτι τὰ σκορπισθέντα ἀπώλετο, διὰ τοῦτο ταχέως ἐπήγαγεν, «Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἐκείνων, φησί, τῶν σκορπισθέντων ἡ δικαιοσύνη ἀνάλωτος μένῃ, παντὶ τῷ αἰῶνι παρεκτεινομένη καὶ μηδέποτε πέρας λαμβάνουσα. Καὶ μετὰ τῆς ἐλεημοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πολλὴν τὴν ἐπιμέλειαν ποιησώμεθα, καὶ τὰ πάθη τῆς σαρκὸς καταστέλλωμεν, καὶ ἐξορίσωμεν ἐκ τῆς ἑαυτῶν ψυχῆς πᾶσαν ἐπιθυμίαν ἄτοπον, πάντα πονηρὸν λογισμόν, ὀργήν, θυμόν, βασκανίαν, καὶ τὴν εὐμορφίαν τῆς ψυχῆς διὰ πάντων καλλωπίζωμεν, ἵνα φαιδρὸν αὐτῆς καὶ λαμπρὸν τὸ κάλλος κατασκευάσαντες ἐπισπασώμεθα ἑαυτοῖς τὸν τῶν οὐρανῶν Δεσπότην, καὶ μονὴν παρ' ἡμῖν καταξιώσῃ ποιῆσαι. Ἔνθα γὰρ ἂν ἴδῃ ψυχῆς εὐμορφίαν, εὐθέως ἐκεῖ ἐφίπταται. Αὐτὸς γὰρ εἴρηκεν, ὅτι «Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον, καὶ ἡσύχιον, καὶ ταπεινόν, καὶ τρέμοντά μου τοὺς λόγους;».

Εἶδες πῶς ἡμᾶς ἐδίδαξεν ἅπαντα τὰ πνευματικὰ χρώματα τὰ δυνάμενα τῆς ψυχῆς τὴν εὐμορφίαν φαιδρὰν ἀπεργάσασθαι; «Ἐπὶ τὸν πρᾶον», φησί, «καὶ ἡσύχιον, καὶ ταπεινόν». Εἶτα τὸ πάντων κατασκευαστικὸν ἐπήγαγε. «Καὶ τρέμοντά μου τοὺς λόγους». Τί ἐστι τό, «Καὶ τρέμοντά μου τοὺς λόγους»; Τὴν ὑπακοὴν τῶν τοῦ Θεοῦ προσταγμάτων δι' αὐτῶν τῶν ἔργων πληροῦντα, καθάπερ καὶ ἀλλαχοῦ φησι· «Μακάριος, ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν». Εἰ γὰρ

16. Ἡσ. 66, 2.
17. Παροιμ. 28, 14

αἰῶνα. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ποτὲ εὐτυχέστερον ἀπ' αὐτόν;

Διὰ τοῦτο, παρακαλῶ, ἂς κερδήσωμεν μὲ τὴν ἐλεημοσύνην τὴν ἀγάπην τοῦ Θεοῦ, διὰ νὰ καταστῇ ἄξιον νὰ λέγεται αὐτὸ καὶ δι' ἡμᾶς, ὅτι δηλαδὴ ἐσκόρπισαν, ἔδωσαν εἰς τοὺς πτωχούς, ἡ ἀγάπη των μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐπειδὴ δηλαδὴ εἶπεν, «Ἐσκόρπισεν, ἔδωσε», διὰ νὰ μὴ νομίσῃς, ὅτι, ὅσα διεσκορπίσθησαν, ἐχάθησαν, διὰ τοῦτο ἀμέσως ἐπρόσθεσεν, «Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἡ δικαιοσύνη ἐκείνων, λέγει, ποὺ διεμοιράσθησαν, μένει ἄφθαρτος, παρατείνεται αἰωνίως καὶ δὲν τελειώνει ποτέ. Καὶ μαζὶ μὲ τὴν ἐλεημοσύνην ἂς φροντίζωμεν καὶ διὰ τὴν ἄλλην ἀρετὴν καὶ ἂς καταστέλλωμεν τὰ πάθη τῆς σαρκὸς καὶ ἂς ἀπομακρύνωμεν ἀπὸ τὴν ψυχήν μας κάθε παράλογον ἐπιθυμίαν, κάθε πονηρὰν σκέψιν, ὀργήν, θυμόν, φθόνον καὶ ἂς καλλωπίζομεν τὴν ὡραιότητα τῆς ψυχῆς μὲ ὅλα, ὥστε, ἀφοῦ ἑτοιμάσωμεν τὸ φωτεινὸν καὶ λαμπρὸν κάλλος της, νὰ ἀποσπάσωμεν διὰ τοὺς ἑαυτούς μας τὴν βοήθειαν τοῦ Κυρίου τῶν οὐρανῶν καὶ νὰ μᾶς κάνῃ ἀξίους νὰ κατοικήσῃ εἰς τὰς ψυχάς μας. Καθ' ὅσον ὅπου θὰ ἰδῇ ὡραιότητα ψυχῆς, ἐκεῖ ἔρχεται ἀμέσως. Διότι αὐτὸς ὁ ἴδιος εἶπεν, «Εἰς ποῖον ἄλλον θὰ ρίψω τὸ βλέμμα μου παρὰ εἰς τὸν πρᾶον καὶ ἥσυχον καὶ τὸν ταπεινὸν καὶ αὐτόν, ὁ ὁποῖος τρέμει τοὺς λόγους μου;»[16].

Εἶδες πῶς μᾶς ἐδίδαξεν ὅλα τὰ πνευματικὰ χρώματα, τὰ ὁποῖα ἠμποροῦν νὰ κοσμήσουν τὴν ὡραιότητα τῆς ψυχῆς; «Εἰς τὸν πρᾶον καὶ ἥσυχον καὶ ταπεινόν», λέγει. Ἔπειτα ἐπρόσθεσεν ἐκεῖνο, ποὺ κατορθώνει τὰ πάντα· «Καὶ αὐτὸν ποὺ τρέμει τοὺς λόγους μου». Τί σημαίνει τό, «Καὶ αὐτὸν ποὺ τρέμει τοὺς λόγους μου»; Σημαίνει τὴν ὑπακοὴν εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ, αὐτὸν ποὺ ἐκπληρώνει αὐτὰς μὲ τὰ ἴδια τὰ ἔργα, ὅπως ἀκριβῶς λέγει καὶ ἀλλοῦ· «Μακάριος εἶναι ἐκεῖνος ποὺ ἀπὸ εὐλάβειαν προσέ-

ἡμεῖς, ἐπειδὰν ἴδωμεν οἰκέτην ἡμέτερον μετ' ἐπιμελείας πολλῆς τὰ ἐπιτάγματα πληροῦντα τὰ ἡμέτερα, καὶ πολλοῦ τοῦ φόβου καὶ τοῦ τρόμου, πλείονα τὴν παρ' ἑαυτῶν εὔνοιαν καὶ συμπάθειαν εἰς αὐτὸν ἐπιδεικνύμεθα, πολλῷ μᾶλλον ἂν ὁ ἀγαθὸς Δεσπότης εἰς ἡμᾶς τοῦτο ἐπιδείξηται. Διὰ τοῦτο τοίνυν ἔλεγεν· «'Επ' ἐκεῖνον ἐπιβλέψω τὸν πρᾷον, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους».

Τρέμωμεν τοίνυν, παρακαλῶ, καὶ μετὰ πολλοῦ φόβου πληρῶμεν αὐτοῦ τοὺς λόγους· αὐτοῦ γάρ εἰσι λόγοι τὰ παρ' αὐτοῦ ἡμῖν δοθέντα προστάγματα· καὶ μαθόντες τίσιν ἀρέσκεται, καὶ τίνα προσίεται, ἐκεῖνα μετίωμεν, καὶ τοιοῦτοι γενέσθαι σπουδάζωμεν, ἡσυχίαν, πρᾳότητα, ταπείνωσιν πολλὴν ἐπιδεικνύμενοι, καὶ πάντα τὰ παρ' αὐτοῦ ἐπιτάγματα μετ' εὐλαβείας πολλῆς μετερχόμενοι καὶ φόβου πολλοῦ, ἵνα τὴν διάθεσιν τῆς γνώμης τῆς ἡμετέρας ἀποδεξάμενος ὁ τῶν ἁπάντων Δεσπότης, καὶ ἀρκεσθεὶς ἡμῶν τῇ ὑπακοῇ, ἐπιβλέψαι ἐφ' ἡμᾶς καταξιώσῃ. 'Εὰν γὰρ τοῦτο ποιῆσαι καταδέξηται, ἐν πάσῃ ἀσφαλείᾳ ἡμᾶς καταστήσει· «'Επιβλέψω γάρ», φησίν, ἀντὶ τοῦ, 'προνοίας ἀξιώσω, χεῖρα ὀρέξω, ἐν ἅπασιν ἀντιλήψομαι, τὰς παρ' ἐμαυτοῦ φιλοτιμίας μετὰ δαψιλείας παρέξω'.

Ταῦτα οὖν ἅπαντα μετίωμεν, παρακαλῶ, ἵνα ἐπιβλέψῃ καὶ ἐφ' ἡμᾶς ὁ Δεσπότης, καὶ δυνηθείημεν καὶ τὸν παρόντα βίον ἀλύπως διανύσαι, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

χει νὰ μὴ ἁμαρτήσῃ»[17]. Διότι, ἐὰν ἡμεῖς δείχνωμεν εἰς τὸν ὑπηρέτην μας μεγαλυτέραν ἀγάπην καὶ συμπάθειαν, ὅταν ἴδοῦμεν αὐτὸν νὰ ἐκτελῇ τὰς ἐντολάς μας μὲ πολλὴν ἐπιμέλειαν καὶ μὲ πολὺν φόβον καὶ τρόμον, πολὺ περισσότερον θὰ κάνῃ αὐτὸ εἰς ἡμᾶς ὁ ἀγαθὸς Κύριος. Διὰ τοῦτο λοιπὸν ἔλεγε, «Θὰ ρίψω εὐσπλαχνικὰ τὸ βλέμμα μου πρὸς ἐκεῖνον ποὺ εἶναι πρᾶος, ἥσυχος καὶ ποὺ τρέμει τοὺς λόγους μου».

Ἂς τρέμωμεν λοιπόν, παρακαλῶ, καὶ ἂς ἐκπληρώνωμεν τοὺς λόγους του μὲ πολὺν φόβον. Διότι ἰδικοί του λόγοι εἶναι αἱ ἐντολαὶ ποὺ μᾶς ἔχουν δοθῇ ἀπ' αὐτόν. Καὶ ἀφοῦ μάθωμεν ποῖα πράγματα τοῦ ἀρέσουν καὶ ποῖα ἐπιδοκιμάζει, ἂς κάνωμεν ἐκεῖνα καὶ ἂς φροντίζωμεν νὰ γίνωμεν τέτοιοι, νὰ δείχνωμεν δηλαδὴ ἠρεμίαν, πραότητα καὶ πολλὴν ταπείνωσιν, καὶ νὰ ἐκτελῶμεν ὅλας τὰς ἐντολάς του μὲ πολλὴν εὐλάβειαν καὶ πολὺν φόβον, διὰ νὰ ἀξιωθῶμεν νὰ ρίψῃ καὶ εἰς ἡμᾶς τὸ εὐσπλαχνικὸν βλέμμα του, ἀφοῦ ὁ Κύριος τῶν πάντων ἀποδεχθῇ τὴν ψυχικήν μας διάθεσιν καὶ ἀρκεσθῇ εἰς τὴν ὑπακοήν μας. Διότι, ἐὰν καταδεχθῇ νὰ κάνῃ αὐτό, θὰ μᾶς καταστήσῃ τελείως ἀσφαλεῖς. Καθ' ὅσον λέγει, «Θὰ ρίψω εὐσπλαχνικὸν τὸ βλέμμα μου», ἀντὶ νὰ εἰπῇ, 'θὰ σᾶς κάνω ἀξίους τῆς φροντίδος μου, θὰ ἁπλώσω χέρι βοηθείας, θὰ ἐνδιαφερθῶ δι' ὅλα, θὰ παράσχω πλουσίως τὴν μεγαλοδωρίαν μου'.

Ἂς ἀσχολούμεθα λοιπὸν μὲ ὅλα αὐτά, παρακαλῶ, διὰ νὰ ἐπιβλέψῃ καὶ ἐφ' ἡμᾶς ὁ Κύριος καὶ νὰ ἠμπορέσωμεν νὰ διανύσωμεν τὸν παρόντα βίον χωρὶς θλίψεις καὶ νὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ ἐξουσία καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΣΤ´
(Γέν. 29, 21 - Γέν. 30, 24)

«Εἶπε δὲ Ἰακὼβ πρὸς Λάβαν· ἀπόδος μοι τὴν γυναῖκά μου· πεπλήρωνται γὰρ αἱ ἡμέραι, ὅπως εἰσέλθω πρὸς αὐτήν».

1. Ἀπὸ τῆς ἀγάπης τοῦ Ἰακώβ, ἣν περὶ τὴν Ραχὴλ ἐπεδείξατο, εἰς τὴν Παύλου ἀγάπην μεταστάντες χθές, καὶ τὸ μέγεθος τοῦ περὶ τὸν Χριστὸν πόθου αὐτοῦ καταμαθόντες, καθάπερ ὑπὸ ῥύμης τινὸς σφοδροτέρας ἐξελκυσθέντες, οὐκ ἔτι ἰσχύσαμεν ἐπὶ τὴν ἀκολουθίαν ἐπανελθεῖν τοῦ λόγου. Διόπερ, εἰ δοκεῖ, σήμερον τοῖς ἑξῆς ἐπεξελθόντες, τὰ ληφθέντα ἀναπληρώσωμεν, ἵνα καὶ ἐκ τῶν σήμερον λεγομένων ἀρκοῦσαν ὠφέλειαν καρπωσάμενοι, οὕτως οἴκαδε ἐπανέλθωμεν. Ἐπειδὴ γὰρ ἐπληρώθη ὁ τῶν ἑπτὰ ἐτῶν ἀριθμός, «Καὶ ἦσαν», φησίν, «ἐνώπιον Ἰακὼβ ὡς ἡμέραι ὀλίγαι ὁ τοσοῦτος χρόνος διὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν, εἶπε τῷ Λάβαν· ἀπόδος μοι τὴν γυναῖκά μου· πεπλήρωνται γὰρ αἱ ἡμέραι μου, ὅπως εἰσέλθω πρὸς αὐτήν. Συνήγαγε δὲ Λάβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου, καὶ ἐποίησε τὸν γάμον. Καὶ ἐγένετο ἑσπέρα, καὶ λαβὼν Λάβαν Λείαν τὴν θυγατέρα αὐτοῦ, εἰσήγαγεν αὐτὴν πρὸς Ἰακώβ».

Εἶδες τὸ παλαιὸν μεθ' ὅσης σεμνότητος τοὺς γάμους ἐπετέλουν; Ἀκούσατε οἱ περὶ τὰς σατανικὰς πομπὰς ἐπτοημένοι, καὶ ἐξ αὐτῶν τῶν προοιμίων τὰ σεμνὰ τοῦ γάμου καταισχύνοντες. Μή που αὐλοί; μή που κύμβαλα; μή που χορεῖαι σατανικαί; Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τοσαύτην λύμην εὐθέως ἐπεισάγεις εἰς τὴν οἰκίαν, καὶ τοὺς ἀπὸ τῆς σκηνῆς καὶ τῆς ὀρ-

ΟΜΙΛΙΑ ΝΣΤ΄
(Γέν. 29, 21 - Γέν. 30, 24)

«Καὶ εἶπεν ὁ Ἰακὼβ πρὸς τὸν Λάβαν. Δός μου τὴν Ραχὴλ ὡς γυναῖκα μου, διότι ἐσυμπληρώθησαν τὰ ἑπτὰ ἔτη, διὰ νὰ τὴν νυμφευθῶ».

1. Ἐξ αἰτίας τῆς ἀγάπης, τὴν ὁποίαν ἔδειξεν ὁ Ἰακὼβ πρὸς τὴν Ραχήλ, ἀφοῦ μετεφέρθημεν εἰς τὴν χθεσινήν μας ὁμιλίαν εἰς τὴν ἀγάπην τοῦ Παύλου καὶ ἐμάθομεν τὸ μέγεθος τοῦ πόθου του πρὸς τὸν Χριστόν, ὡσὰν νὰ παρεσύρθημεν ἀπὸ μίαν πάρα πολὺ μεγάλην δύναμιν, δὲν ἠμπορέσαμεν πλέον νὰ ἐπανέλθωμεν εἰς τὴν συνέχειαν τῆς ὁμιλίας μας. Διὰ τοῦτο, ἐὰν σᾶς φαίνεται καλόν, ἀφοῦ ἐξετάσωμεν σήμερον τὰ ὑπόλοιπα, νὰ συμπληρώσωμεν τὰς ἐλλείψεις, οὕτως ὥστε νὰ ἐπανέλθωμεν εἰς τὰς οἰκίας μας, ἀφοῦ ὠφεληθῶμεν πολὺ ἀπὸ τὸ σημερινὸν ἀνάγνωσμα. Καὶ ὅταν ἐπέρασαν τὰ ἑπτὰ ἔτη, «Καὶ ἐφαίνοντο εἰς τὸν Ἰακώβ», λέγει, «ὡς ὀλίγαι ἡμέραι λόγῳ τῆς ἀγάπης, τὴν ὁποίαν εἶχε πρὸς αὐτήν, εἶπεν εἰς τὸν Λάβαν· Δός μου τὴν Ραχὴλ ὡς γυναῖκα μου, διότι συνεπληρώθησαν τὰ ἑπτὰ ἔτη, διὰ νὰ τὴν νυμφευθῶ. Καὶ ὁ Λάβαν ἐκάλεσεν ὅλους τοὺς ἐντοπίους καὶ ἔκαμε τὸν γάμον. Καὶ τὴν ἑσπέραν ἔλαβε τὴν κόρην του τὴν Λείαν καὶ τὴν ὡδήγησε πρὸς τὸν Ἰακώβ».

Εἶδες μὲ πόσην σεμνότητα ἐτέλουν τοὺς γάμους τὸν παλαιὸν ἐκεῖνον καιρόν; Ἀκούσατε αὐτὸ σεῖς, οἱ ὁποῖοι συγκινεῖσθε ἀπὸ τὰς σατανικὰς πομπὰς καὶ καταστρέφετε τὴν ἱερότητα τοῦ γάμου ἀκόμη ἀπὸ τὴν πρώτην στιγμήν. Μήπως εἶχον τότε αὐλούς; Μήπως εἶχον κύμβαλα; Μήπως ἐχόρευον σατανικοὺς χορούς; Εἰπέ μου, διατί εἰσάγεις ἀμέσως εἰς τὴν οἰκίαν σου τόσην καταστροφὴν καὶ καλεῖς τοὺς θεατρίνους καὶ τοὺς χορευτάς, ὥστε μαζὶ μὲ

χήστρας καλεῖς, ἵνα μετὰ τῆς ἀκαίρου δαπάνης καὶ τὴν τῆς κόρης λυμήνῃ σωφροσύνην, καὶ τὸν νέον ἀναισχυντότερον ἐργάσῃ; Ἀγαπητὸν γάρ, καὶ ἄνευ τούτων τῶν ὑπεκκαυμάτων, ἐκείνην τὴν ἡλικίαν δυνηθῆναι πράως ἐνεγκεῖν τὸν χειμῶνα τῶν παθῶν· ὅταν δὲ καὶ τοσαῦτα ᾖ τὰ διὰ τῆς ὄψεως καὶ διὰ τῆς ἀκοῆς δαψιλεστέραν ἀνάπτοντα τὴν πυράν, καὶ τὴν κάμινον τῶν παθῶν φλογωδεστέραν ἐργαζόμενα, πῶς οὐχὶ ὑποβρύχιος ἡ τοῦ νέου ψυχὴ γενήσεται; Ἐντεῦθεν γὰρ ἅπαντα ἀπόλωλε καὶ διέφθαρται, ἀπὸ τοῦ τὴν σωφροσύνην ἐξ ἀρχῆς διορύττεσθαι τῶν μελλόντων ἀλλήλοις συνιέναι· καὶ πολλάκις ἐκ πρώτης ἡμέρας καὶ ὁ νέος ἐδέξατο βέλος σατανικὸν ἐν τῇ ψυχῇ, ἀκολάστοις ἰδὼν ὀφθαλμοῖς, καὶ ἡ κόρη καὶ διὰ τῆς ἀκοῆς καὶ διὰ τῆς ὄψεως αἰχμάλωτος γέγονε, καὶ ταῦτα ἐξ ἐκείνης λοιπὸν τῆς ἡμέρας τὰ τραύματα αὐξανόμενα μεῖζον ἐργάζεται τὸ κακόν.

Καὶ γὰρ πρῶτον μὲν τὴν πρὸς ἀλλήλους αὐτῶν ὁμόνοιαν διορύττει, καὶ τὸν πόθον καταμαραίνει. Ὅταν γὰρ πρὸς ἑτέραν ἐκεῖνος προσχῇ τῇ διανοίᾳ, ὧδε κἀκεῖσε μεριζόμενος τὸν λογισμόν, καὶ ὑπὸ τοῦ διαβόλου αὐτοῦ στρατηγούμενος, πολλῆς ἀηδίας πληρώσει τὴν οἰκίαν. Εἰ δὲ κἀκείνη εὑρεθείη τοιοῦτόν τι παθοῦσα, ἐξ αὐτῶν, ὡς εἰπεῖν, τῶν βάθρων ἅπαντα ἀνατρέπεται, καὶ λοιπὸν ἀλλήλους κρύπτοντες, ὁ μὲν δι' ὑποψίας ἔχει τὴν γαμετήν, ἡ δὲ τὸν ἄνδρα. Καὶ ἔνθα ἐχρῆν ὁμόνοιαν εἶναι καὶ σύνδεσμον, καὶ οἱ ὀφείλοντες σὰρξ εἶναι μία («Ἔσονται» γάρ, φησίν, «οἱ δύο εἰς σάρκα μίαν»), οὗτοι ἐν τοσαύτῃ διαιρέσει τυγχάνουσιν, ὡς εἰ καὶ κατατετμημένοι ἦσαν. Ἐπεισελθὼν γὰρ ὁ διάβολος τοσαύτην ἐν αὐτοῖς ἐργάζεται τὴν λύμην, ὡς πολέμους καὶ μάχας καθημερινὰς τίκτεσθαι, καὶ μηδέποτε ἀνάπαυλαν ἔχειν τῶν κακῶν.

1. Γέν. 2, 24.

τὴν ἀδικαιολόγητον δαπάνην νὰ παραβλάψῃς καὶ τὴν σύνεσιν τῆς κόρης σου καὶ νὰ κάμῃς τὸν νέον περισσότερον ἀναίσχυντον; Καθ' ὅσον εἶναι ἀρκετὸν τὸ νὰ ἠμπορέσουν οἱ ἄνθρωποι αὐτῆς τῆς ἡλικίας νὰ ὑποφέρουν πράως αὐτὴν τὴν ταραχὴν τῶν παθῶν χωρὶς νὰ ὑπάρχουν καὶ αὐταὶ αἱ ὠθήσεις. Ὅταν ὅμως εἶναι τόσον πολλὰ αὐτά, τὰ ὁποῖα ἀνάπτουν περισσότερον τὴν φλόγα τῆς ἐπιθυμίας, ἐνῷ βλέπομεν ἢ ἀκούομεν αὐτά, καὶ φλογίζουν περισσότερον τὴν κάμινον τῶν παθῶν, τότε πῶς δὲν θὰ καταποντισθῇ ἡ ψυχὴ τοῦ νέου ἀνθρώπου. Πράγματι ἐξ αἰτίας αὐτῶν τῶν παθῶν ἐχάθησαν καὶ διεφθάρησαν τὰ πάντα, ἀπὸ τὸ ὅτι δηλαδὴ ἀπὸ τὴν ἀρχὴν ἀκόμη ραγίζουν τὰ δεσμά, τὰ ὁποῖα θὰ τοὺς ἑνώνουν εἰς τὸ μέλλον. Καὶ πολλὰς φορὰς ἀπὸ τὴν πρώτην ἡμέραν ἀκόμη ὁ νέος δέχεται εἰς τὴν ψυχήν του σατανικὸν βέλος, ἐπειδὴ ἐκοίταξε μὲ ἁμαρτωλὸν βλέμμα, ἡ δὲ κόρη αἰχμαλωτίζεται, ἀπ' ὅσα ἀκούει καὶ βλέπει, καὶ ἔτσι ἀπ' αὐτὴν τὴν πρώτην ἡμέραν μεγαλώνουν τὰ τραύματα καὶ κάνουν πολὺ μεγαλύτερον κακόν.

Καθ' ὅσον ἀπὸ τὴν ἀρχὴν ἀκόμη χάνεται ἡ μεταξύ των ὁμόνοια καὶ μαραίνεται ὁ πόθος τοῦ ἑνὸς πρὸς τὸν ἄλλον. Διότι ὅταν ὁ ἄνδρας σκέπτεται ἄλλην γυναῖκα καὶ τὸ μυαλόν του διασπᾶται ἐδῶ καὶ ἐκεῖ καὶ καθοδηγεῖται ἀπὸ τὸν διάβολον, τότε ἡ οἰκία θὰ γεμίσῃ ἀπὸ στενοχώριαν. Ἐὰν δὲ πάθῃ κάτι τέτοιον καὶ ἡ γυναῖκα, τότε ἠμποροῦμεν νὰ εἰποῦμεν, ὅτι τὰ πάντα καταστρέφονται ἐκ θεμελίων καὶ ὑποψιάζονται ὁ μὲν ἄνδρας τὴν γυναῖκα, ἡ δὲ γυναῖκα τὸν ἄνδρα, καὶ ἔτσι παρακολουθοῦν ὁ ἕνας τὸν ἄλλον. Καὶ ἐκεῖ ποὺ ἔπρεπε νὰ ἐπικρατῇ ἡ ὁμόνοια καὶ ἡ ἀγάπη καὶ αὐτοί, οἱ ὁποῖοι ὤφειλον νὰ εἶναι ἡνωμένοι ὡς μία σάρκα (διότι λέγει, «Οἱ δύο θὰ ἀποτελοῦν μίαν σάρκα»[1]), αὐτοὶ εἶναι τόσον πολὺ χωρισμένοι ὁ ἕνας ἀπὸ τὸν ἄλλον, ὡσὰν νὰ εἶναι ἐχθροί. Εἰσῆλθεν εἰς τὴν ζωήν των ὁ διάβολος καὶ τοὺς προξενεῖ τόσον μεγάλην ζημίαν, ὥστε νὰ γίνωνται καθημερινῶς πόλεμοι καὶ διαμάχαι καὶ νὰ μὴ ἡσυχάζουν ἀπ' αὐτὰ τὰ κακά. Ἀλλὰ τί θὰ ἠμποροῦσε νὰ

Τί γὰρ ἄν τις εἴποι λοιπὸν τῶν οἰκετῶν τὰς καταφρονήσεις, τῶν πλησίον οἰκούντων τὸν γέλωτα, τὰς ἀσχημοσύνας; Καθάπερ γὰρ τῶν κυβερνητῶν στασιαζόντων καὶ οἱ ἐμπλέοντες τῶν κινδύνων συναπολαύουσι, καὶ αὔτανδρον ἀνάγκη τὴν ναῦν καταποντισθῆναι, οὕτω δὴ καὶ ἐνταῦθα, τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς πρὸς ἀλλήλους διαστασιαζόντων, καὶ τοὺς ἄλλους ἅπαντας συναπολαύειν τῶν κακῶν εἰκός.

Διὰ τοῦτο παρακαλῶ, ταῦτα ἅπαντα προορωμένους μὴ τῇ συνηθείᾳ κατακολουθεῖν. Οἶδα γὰρ ὅτι πολλοὶ ταύτην ἡμῖν προβαλλόμενοι οὐδὲ ἀνέχονται τῶν παρ' ἡμῶν λεγομένων· ἀλλ' ὅμως ἡμᾶς ἀνάγκη τὰ λυσιτελῆ καὶ τὰ τῆς μελλούσης κολάσεως ἐξαρπάζοντα λέγειν. Ὅπου γὰρ λύμη τοσαύτη ψυχῆς, τίνος ἕνεκέν μοι συνήθειαν βούλει προβάλλεσθαι; Ἰδοὺ κἀγὼ συνήθειάν σοι προβάλλομαι βελτίονα, ᾗ οἱ ἐξ ἀρχῆς ἐκέχρηντο, ὅτε οὐδέπω τοσαύτη γνῶσις ἦν τῆς εὐσεβείας. Καὶ μή μοι τὸν δίκαιον ἐνταῦθα λογίζου, τὸν Ἰακὼβ λέγω, ἀλλὰ τὸν Λάβαν ἐννόει, ἄνδρα ἔτι τοῖς εἰδώλοις προσανέχοντα, καὶ οὐδεμίαν γνῶσιν ἔχοντα τῆς εὐσεβείας, καὶ τοσαύτην φιλοσοφίαν ἐπιδεικνύμενον. Τοῦτο γὰρ οὐ τοῦ μέλλοντος ἦν ἄγεσθαι τὴν κόρην τὸ κατόρθωμα, ἀλλὰ τοῦ πατρὸς τοῦ τὴν κόρην ἐκδιδόντος. Δι' ὃ καὶ τοῦτον ἐκίνησα τὸν λόγον, οὐχὶ πρὸς τοὺς νυμφίους τοσοῦτον ἀποτεινόμενος, ὅσον πρὸς τοὺς γεγεννηκότας, πρὸς τὸν πατέρα τοῦ νυμφίου, καὶ πρὸς τὸν τὴν κόρην ἐκδιδόντα φημί.

Πῶς γὰρ οὐκ ἄτοπον ἡμᾶς τοὺς τοσαύτης ἀπολαύσαντας φιλανθρωπίας, καὶ τῶν φρικτῶν καὶ ἀπορρήτων μυστηρίων ἀξιωθέντας, ἐλάττους κατὰ τοῦτο γίνεσθαι τοῦ Λάβαν, τοῦ ἔτι εἴδωλα θεραπεύοντος; Ἢ οὐκ ἀκούεις Παύλου λέγοντος, ὅτι μυστήριόν ἐστιν ὁ γάμος, καὶ εἰκών ἐστι τῆς ἀγάπης τοῦ Χριστοῦ, ἣν περὶ τὴν Ἐκκλησίαν ἐπεδείξατο; Μὴ

εἰπῇ κανεὶς ἀκόμη διὰ τὰς περιφρονήσεις τῶν ὑπηρετῶν, διὰ τὸν γέλωτα τῶν γειτόνων καὶ διὰ τὰς διαφόρους ἀσχημοσύνας; Διότι, ὅπως ὅταν ἐπαναστατοῦν οἱ κυβερνῆται, κινδυνεύουν καὶ αὐτοί, οἱ ὁποῖοι ταξιδεύουν μαζί των, καὶ τὸ πλοῖον βυθίζεται ἀναγκαστικῶς αὔτανδρον, κατὰ τὸν ἴδιον τρόπον καὶ ἐδῶ, ὅταν ὑπάρχῃ διάστασις μεταξὺ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, εἶναι φυσικὸν νὰ ὑπομένουν τὰ κακὰ αὐτῆς τῆς διχονοίας καὶ οἱ ἄλλοι.

Διὰ τοῦτο, παρακαλῶ, ἔχοντες ὑπ' ὄψιν σας ὅλα αὐτὰ νὰ μὴ ἀκολουθῆτε αὐτὴν τὴν κακὴν συνήθειαν. Καθ' ὅσον γνωρίζω, ὅτι πολλοὶ προβάλλουν αὐτὴν τὴν δικαιολογίαν τοῦ ἐθίμου καὶ δὲν ἀνέχονται νὰ ἀκούσουν αὐτά, τὰ ὁποῖα λέγω. Ἐγὼ ὅμως πρέπει νὰ λέγω αὐτὰ ποὺ θὰ σᾶς ὠφελήσουν καὶ θὰ σᾶς ἀπαλλάξουν ἀπὸ τὴν μέλλουσαν τιμωρίαν. Ὅπου λοιπὸν ὑπάρχει τόση μεγάλη φθορὰ τῆς ψυχῆς, διὰ ποῖον λόγον θέλεις νὰ μοῦ προβάλλῃς τὸ ἔθιμον; Ἰδοὺ σοῦ παρουσιάζω καὶ ἐγὼ καλυτέραν συνήθειαν, τὴν ὁποίαν εἶχον οἱ παλαιότεροι, ὅταν ἀκόμη δὲν ἐγνώριζον τόσον καλῶς τὴν θείαν διδασκαλίαν. Καὶ μὴ φαντάζεσαι ἐδῶ τὸν δίκαιον, ἐννοῶ τὸν Ἰακώβ, ἀλλὰ νὰ συλλογίζεσαι τὸν Λάβαν, ὁ ὁποῖος ἐπίστευεν ἀκόμη εἰς τὰ εἴδωλα καί, ἂν καὶ δὲν ἐγνώριζεν ἀκόμη τὴν ἀληθινὴν πίστιν, ὅμως ἦτο πολὺ εὐσεβής. Διότι αὐτὴ ἡ καλὴ ἐνέργεια δὲν ἦτο αὐτοῦ, ὁ ὁποῖος ἐπρόκειτο νὰ πάρῃ τὴν κόρην, ἀλλὰ τοῦ πατρὸς τῆς νύμφης. Διὰ τοῦτο καὶ ἐγὼ ἤρχισα τὸν λόγον, χωρὶς νὰ ἀπευθύνωμαι τόσον πρὸς τοὺς μελλονύμφους, ὅσον πρὸς τοὺς γονεῖς, πρὸς τὸν *πατέρα* δηλαδὴ *τοῦ* γαμβροῦ καὶ πρὸς τὸν *πατέρα* τῆς νύμφης.

Πράγματι, πῶς δὲν εἶναι παράλογον νὰ γινώμεθα εἰς τοῦτο κατώτεροι ἀπὸ τὸν Λάβαν, ὁ ὁποῖος ἐλάτρευεν ἀκόμη τὰ εἴδωλα, ἡμεῖς, οἱ ὁποῖοι ἐτύχομεν τόσης φιλανθρωπίας ἀπὸ τὸν Θεὸν καὶ ἠξιώθημεν νὰ ἴδωμεν ἐκεῖνα τὰ φρικτὰ καὶ ἀπερίγραπτα μυστήρια; Ἢ δὲν ἀκούεις τὸν Παῦλον, ὁ ὁποῖος λέγει, ὅτι ὁ γάμος εἶναι μυστήριον καὶ τύπος τῆς ἀγάπης τοῦ Χριστοῦ πρὸς τὴν Ἐκκλησίαν;

τοίνυν καταισχύνωμεν ἑαυτούς, καὶ τὰ σεμνὰ τοῦ γάμου διαφθείρωμεν. Εἰ μὲν γὰρ καλόν ἐστι τὸ τῆς συμβουλῆς καὶ ἐπωφελές, κἂν μὴ συνήθεια ᾖ, γινέσθω· εἰ δὲ βλάβην ἔχον καὶ πολὺν τὸν ὄλεθρον τὸ νῦν παρ' ὑμῶν ἐπιτελούμενον, κἂν συνήθεια ᾖ, ἐγκοπτέσθω. Ἐπεὶ εἰ τοῦτο συγχωρήσαιμεν, καὶ ὁ κλέπτων, καὶ ὁ πορνεύων, καὶ ὁ τὴν ἄλλην ἅπασαν κακίαν ἐπιδεικνύμενος, τὴν συνήθειαν ἡμῖν προβαλεῖται· ἀλλ' οὐδὲν ἀπὸ τούτου κέρδος αὐτῷ ἔσται, οὐδὲ συγγνώμη, ἀλλὰ καὶ πολλὴ ἡ κατηγορία, ὅτι οὐκ ἴσχυσε συνηθείας περιγενέσθαι πονηρᾶς.

2. Ἐὰν γὰρ βουλώμεθα νήφειν, καὶ πολλὴν τῆς ἑαυτῶν σωτηρίας ποιεῖσθαι τὴν φροντίδα, δυνησόμεθα καὶ τῆς κακῆς συνηθείας ἀποστῆναι, καὶ εἰς καλὴν συνήθειαν ἑαυτοὺς ἀγαγεῖν· καὶ οὕτω καὶ τοῖς μεθ' ἡμᾶς οὐ μικρὰν παρέξομεν ἀφορμὴν τοῦ τὰ αὐτὰ ζηλοῦν, καὶ τῶν ὑπ' ἐκείνων κατορθουμένων ἡμεῖς ληψόμεθα τὸν μισθόν. Ὁ γὰρ τὴν ἀρχὴν παρασχὼν τῆς καλῆς ὁδοῦ, οὗτος καὶ τῶν ὑφ' ἑτέρων γινομένων αἴτιος ἔσται, καὶ διπλοῦν κομιεῖται τὸν μισθόν, ὑπὲρ ὧν τε αὐτὸς κατορθοῖ, ὑπὲρ ὧν τε ἑτέρους ἐπάγει εἰς τὴν ἀρίστην ταύτην φιλοσοφίαν. Μή μοι τὰ ψυχρὰ ἐκεῖνα ῥήματα καὶ γέλωτος γέμοντα προβάλλεσθε, λέγοντες νόμιμά τινα εἶναι ταῦτα, καὶ διὰ τοῦτο πληροῦσθαι χρή. Οὐ ταῦτα γὰρ νόμιμον ποιεῖ συνοικέσιον, ἀλλὰ τὸ κατὰ τοὺς τοῦ Θεοῦ νόμους μετὰ σωφροσύνης καὶ σεμνότητος τὴν συνέλευσιν γίνεσθαι, καὶ τῇ ὁμονοίᾳ συμπεπλέχθαι τοὺς ἀλλήλους συνιόντας. Τοῦτο καὶ οἱ ἔξωθεν ἴσασι νόμοι, καὶ ἀκούσῃ τῶν περὶ ταῦτα ἐσχολακότων λεγόντων, ὅτι συνοικέσιον οὐδὲν ἕτερον συνίστησιν ἢ συνήθεια.

Μὴ τοίνυν καὶ τοὺς τοῦ Θεοῦ νόμους παραβῶμεν μετὰ τῶν ἀνθρωπίνων, καὶ προτιμῶμεν τοὺς διαβολικοὺς νόμους καὶ τὴν ὀλεθρίαν ταύτην συνήθειαν· ἐκείνου γάρ ἐστι νόμος ταῦτα, τοῦ χαίροντος ἀεὶ τῇ

῎Ας μὴ ἐντροπιάζωμεν λοιπὸν τοὺς ἑαυτούς μας καὶ ἂς μὴ διαφθείρωμεν τὴν σεμνότητα τοῦ γάμου. Ἐφ' ὅσον ἡ συμβουλὴ εἶναι καλὴ καὶ ὠφέλιμος, νὰ τὴν ἐφαρμόσετε, ἔστω καὶ ἂν δὲν εἶναι ἔθιμον. Ἐὰν ὅμως σᾶς βλάπτῃ καὶ σᾶς καταστρέφῃ αὐτό, τὸ ὁποῖον κάνετε τώρα, νὰ τὸ καταργήσετε, καὶ ἂν ἀκόμη εἶναι ἔθιμον. Διότι, ἐὰν ἀφήσωμεν νὰ γίνετε αὐτό, τότε καὶ ὁ κλέπτης, καὶ ὁ πόρνος, καὶ ὁ κἄθε εἴδους κακός, θὰ μᾶς προβάλλῃ ὡς δικαιολογίαν τὴν συνήθειαν. Δὲν θὰ κερδίσῃ ὅμως τίποτε, οὔτε θὰ συγχωρηθῇ μὲ αὐτὴν τὴν δικαιολογίαν, ἀλλ' ἀπεναντίας θὰ κατηγορηθῇ περισσότερον, ἐπειδὴ δὲν ἠμπόρεσε νὰ κόψῃ τὴν κακὴν συνήθειαν.

2. Ἐὰν λοιπὸν θέλωμεν νὰ ἀγρυπνοῦμεν καὶ νὰ φροντίζωμεν πολὺ διὰ τὴν σωτηρίαν μας, θὰ ἠμπορέσωμεν καὶ νὰ ἀποβάλωμεν τὴν κακὴν συνήθειαν καὶ νὰ ὁδηγήσωμεν τοὺς ἑαυτούς μας εἰς τὴν καλήν. Κατ' αὐτὸν τὸν τρόπον θὰ παρακινήσωμεν πολὺ νὰ κάνουν τὸ ἴδιον καὶ οἱ μετὰ ἀπὸ ἡμᾶς, καὶ ἔτσι θὰ λάβωμεν ἡμεῖς τὴν ἀμοιβὴν τῶν ὅσων θὰ κάνουν ἐκεῖνοι. Διότι αὐτὸς ποὺ κάμνει τὴν ἀρχὴν τῆς καλῆς ὁδοῦ, αὐτὸς θὰ εἶναι ἡ αἰτία καὶ τῶν πράξεων τῶν ἄλλων ἀνθρώπων καὶ θὰ λάβῃ διπλὸν μισθόν, καὶ δι' ὅσα κάμνει αὐτὸς ὁ ἴδιος, καὶ διότι ὁδηγεῖ τοὺς ἄλλους εἰς τὴν ἀρίστην αὐτὴν εὐσέβειαν. Μὴ μοῦ προβάλλετε ὡς δικαιολογίαν ἐκείνους τοὺς ψυχροὺς καὶ γελοίους λόγους, ὅτι δηλαδὴ αὐτὰ εἶναι νόμιμα καὶ διὰ τοῦτο πρέπει νὰ γίνωνται. Δὲν νομιμοποιοῦν τὸν γάμον αὐτά, ἀλλὰ τὸ νὰ γίνῃ ἡ συγκέντρωσις συμφώνως πρὸς τοὺς νόμους τοῦ Θεοῦ μὲ σύνεσιν καὶ σεμνότητα καὶ νὰ ὑπάρχῃ ὁμόνοια μεταξὺ τῶν συγκεντρωθέντων. Αὐτὸ τὸ γνωρίζουν καὶ οἱ πολιτικοὶ νόμοι καὶ θὰ ἀκούσῃς ἀπὸ αὐτοὺς ποὺ ἀσχολοῦνται μὲ αὐτοὺς τοὺς νόμους νὰ λέγουν, ὅτι τὸν γάμον δὲν τὸν ἐνισχύει τίποτε τόσον, ὅσον ἡ ὁμόνοια.

῎Ας μὴ παραβαίνωμεν λοιπὸν μαζὶ μὲ τοὺς ἀνθρωπίνους νόμους καὶ τοὺς νόμους τοῦ Θεοῦ καὶ ἂς μὴ προτιμῶμεν τοὺς διαβολικοὺς καὶ τὴν καταστρεπτικὴν αὐτὴν συνήθειαν, διότι αὐτὰ εἶναι νόμος αὐτοῦ, ὁ ὁποῖος χαίρε-

ἀπωλείᾳ τῇ ἡμετέρᾳ. Τί οὖν ἂν γένοιτο καταγελαστότερον τῆς συνηθείας ταύτης, ὅταν ὑπὸ οἰκετῶν καὶ τριωβολιμαίων ἀνθρώπων σκώμματα καὶ λοιδορίας ἀπείρους δέχωνται καὶ ὁ ἀνὴρ καὶ ἡ γυνή, καὶ οὐδεὶς ᾖ ὁ ἐπιτιμῶν, ἀλλ' ἔξεστι τῷ βουλομένῳ ἀδεῶς κατὰ τὴν ἑσπέραν ἅπαντα φθέγγεσθαι, καὶ βάλλειν τοῖς σκώμμασι καὶ τὸν νυμφίον καὶ τὴν νύμφην; Καὶ ἐν ἑτέρᾳ μὲν ἡμέρᾳ, ἐάν τις ἐπιχειρήσῃ λοιδορήσασθαι, δικαστήρια αὐτῷ, καὶ ἀπαγωγαί, καὶ κίνδυνοι· τότε δὲ ὅτε μάλιστα πολλὴν ἐχρῆν εἶναι τὴν αἰδῶ, πολλὴν τὴν κοσμιότητα, πολλὴν τὴν ἁγνείαν, τοσαύτης ἅπαντα πληροῦνται τῆς ἀσχημοσύνης, ὡς εἰκὸς τὸν διάβολον στρατηγοῦντα ταῦτα ἅπαντα ἐπιδείκνυσθαι.

'Αλλὰ μὴ δυσχεραίνετε, παρακαλῶ· οὐδὲ γὰρ ἁπλῶς εἰς τοῦτον ἐξέβην τὸν λόγον, ἀλλὰ κηδόμενος ὑμῶν καὶ τῆς σωτηρίας καὶ τῆς εὐκοσμίας, καὶ βουλόμενος ὑμᾶς τὴν ἀρίστην ταύτην μεταβολὴν ἐπιδείξασθαι, καὶ τῆς καλῆς ταύτης συνηθείας ἀρχηγοὺς καταστῆναι. 'Εὰν γὰρ μόνον ἀρχὴ καὶ ὁδὸς γένηται τοῦ πράγματος, κατὰ μικρὸν εἷς τὸν ἕνα ζηλοῦντες τὸν καλὸν τοῦτον καὶ ἐπαινετὸν ζῆλον, πάντας ἐπαινέτας ἕξετε, καὶ οὐ μόνον οἱ τὴν πόλιν οἰκοῦντες μιμήσονται τὴν καλλίστην ταύτην μεταβολήν, ἀλλὰ καὶ τοὺς πόρρωθεν οἰκοῦντας ἐπισπάσεσθε, καὶ ζηλωτὰς ὑμετέρους καταστήσετε, καὶ πολυπλασίονα τὸν παρὰ τοῦ Θεοῦ κομιεῖσθε στέφανον, ὅτι διὰ τὸν τοῦ Θεοῦ φόβον καὶ τὴν παρ' αὐτοῦ ἐντολήν, τῆς σατανικῆς ταύτης παραγεγόνατε συνηθείας. 'Αλλ' ὅτι μὲν δέξεσθε μετὰ προθυμίας ταύτην ἡμῶν τὴν συμβουλήν, καὶ εἰς ἔργον αὐτὴν ἄξετε, σφόδρα πέπεισμαι. 'Ορῶν γὰρ ὑμᾶς μετὰ τοσαύτης ἡδονῆς ἀκούοντας τῶν λεγομένων, ἀπὸ τοῦ κρότου καὶ τῶν ἐπαίνων στοχάζομαι, ὅτι καὶ πρὸς τὴν διὰ τῶν ἔργων κατόρθωσιν ἐπειχθήσεσθε.

Διὸ ἀρκεσθεὶς τοῖς εἰρημένοις ἐπὶ τὴν ἀκολουθί-

τε πάντοτε διά τὴν ἰδικήν μας καταστροφήν. Τί λοιπόν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ περισσότερον γελοῖον ἀπὸ τὴν συνήθειαν αὐτήν, ἀφοῦ καὶ ὁ ἄνδρας καὶ ἡ γυναῖκα δέχονται ἀναρίθμητα πειράγματα καὶ λοιδορίας ἀπὸ ὑπηρέτας καὶ ἄλλους ἀσημάντους ἀνθρώπους καὶ δὲν ὑπάρχει κανείς, ὁ ὁποῖος θὰ τοὺς σταματήσῃ, ἀλλὰ ἠμπορεῖ ὁ καθένας χωρὶς φόβον νὰ λέγῃ τὰ πάντα κατὰ τὴν νύκτα καὶ νὰ πειράζῃ καὶ τὸν γαμβρόν, καὶ τὴν νύμφην; Καὶ ἐὰν ἐπιχειρήσῃ κάποιος νὰ πειράξῃ εἰς ἄλλην ἡμέραν, τότε συλλαμβάνεται, ὁδηγεῖται εἰς τὰ δικαστήρια καὶ κινδυνεύει νὰ καταδικασθῇ. Τὴν ἡμέραν τοῦ γάμου ὅμως, κατὰ τὴν ὁποίαν ἔπρεπε νὰ ὑπάρχῃ μεγαλύτερος σεβασμὸς καὶ κοσμιότης καὶ ἁγνότης, τότε τὰ πάντα γεμίζουν ἀπὸ τόσον μεγάλην ἀσχημοσύνην, ὥστε εἶναι φυσικὸν νὰ ὑπάρχουν αὐτὰ τὰ πράγματα, μόνον ὅταν κυβερνᾷ ὁ διάβολος.

Ἀλλά, παρακαλῶ, νὰ μὴ στενοχωρῆσθε. Διότι δὲν ὡμίλησα χωρὶς σκοπόν, ἀλλὰ ἐπειδὴ φροντίζω διὰ τὴν σωτηρίαν καὶ τὴν εὐκοσμίαν σας καὶ ἐπειδὴ θέλω νὰ κάνετε αὐτὴν τὴν ἀρίστην ἀλλαγὴν καὶ νὰ γίνεται οἱ πρῶτοι τῆς καλῆς αὐτῆς συνηθείας. Καθ' ὅσον, ἐὰν γίνῃ ἡ ἀρχὴ καὶ ἀνοίξῃ ἡ ὁδὸς διὰ τὴν συνήθειαν αὐτήν, τότε ὀλίγον κατ' ὀλίγον ὁ ἕνας θὰ γίνεται ζηλωτὴς τοῦ καλοῦ καὶ ἐπαινετοῦ αὐτοῦ παραδείγματος τοῦ ἄλλου καὶ σᾶς θὰ σᾶς ἐπαινέσουν ὅλοι καὶ θὰ μιμηθοῦν τὴν ὡραίαν αὐτὴν ἀλλαγὴν ὄχι μόνον οἱ συμπολῖται σας, ἀλλὰ θὰ προσελκύσετε καὶ αὐτούς, οἱ ὁποῖοι κατοικοῦν μακριὰ καὶ θὰ τοὺς κάνετε νὰ ἀκολουθήσουν τὸ ἰδικόν σας παράδειγμα καὶ ἔτσι θὰ ἀποκομίσετε λαμπρότερον τὸν στέφανον τοῦ Θεοῦ, διότι κατεστείλατε τὴν σατανικὴν αὐτήν συνήθειαν λόγῳ τοῦ φόβου πρὸς τὸν Θεὸν καὶ λόγῳ τῆς ἐντολῆς του. Ἀλλὰ εἶμαι ἀπολύτως βέβαιος, ὅτι θὰ δεχθῆτε καὶ θὰ πραγματοποιήσετε μὲ προθυμίαν αὐτὴν τὴν ἐντολήν. Διότι ὅταν βλέπω, ὅτι ἀκούετε πολὺ εὐχαρίστως τοὺς λόγους μου, ἀπὸ τὰ χειροκροτήματα καὶ τοὺς ἐπαίνους σκέπτομαι, ὅτι θὰ σπεύσετε νὰ τὰ ἐφαρμόσετε καὶ εἰς τὴν πρᾶξιν.

Διὰ τοῦτο ἀρκεσθεὶς εἰς ὅσα εἶπον, θὰ ἐπανέλθω εἰς

αν τοῦ λόγου ἐπανήξω. «Καὶ ἐγένετο», φησίν, «ἑσπέρα, καὶ ἔλαβε Λάβαν τὴν Λείαν τὴν θυγατέρα αὐτοῦ, καὶ εἰσήγαγεν αὐτὴν πρὸς τὸν Ἰακώβ». Μὴ ἁπλῶς, μηδὲ τοῦτο παραδράμωμεν· ἔστι γὰρ καὶ ἐκ τούτου πολλὰ συνιδεῖν· ἓν μὲν τοῦ Ἰακὼβ τὸ ἄπλαστον, καὶ ὅπως πάσης πονηρίας ἐκτὸς ὢν παρεκρούσθη· δεύτερον δέ, ὅτι μετὰ τοσαύτης εὐκοσμίας ἅπαντα ἐγίνετο, καὶ οὐδαμοῦ λαμπάδες καὶ χορεῖαι καὶ φῶτα τὴν χρείαν ὑπερβαίνοντα, ὡς καὶ τὴν ἀπάτην τοῦ Λάβαν εἰς ἔργον ἐλθεῖν. Ἔστι δὲ καὶ τοῦ Λάβαν ἐντεῦθεν καταλαβεῖν τὴν περὶ τὸν Ἰακὼβ φιλοστοργίαν. Τοῦτο γὰρ ἐμηχανήσατο, βουλόμενος ἐπὶ πλεῖον κατέχειν παρ' ἑαυτῷ τὸν δίκαιον. Ἐπειδὴ γὰρ ᾔδει ὅτι ἐκείνης περιεκαίετο, καὶ εἰ τοῦ σπουδαζομένου ἐπέτυχεν, οὐκ ἂν εἵλετο λοιπὸν τῆς Λείας ἕνεκεν τὴν δουλείαν ὑποστῆναι, οὐδὲ τὴν μετ' αὐτοῦ συνείκησιν, διὰ τοῦτο θεασάμενος ὁ Λάβαν τοῦ ἀνδρὸς τὴν ἀρετήν, καὶ ἐννοῶν ὡς οὐκ ἂν ἑτέρως αὐτοῦ περιγένοιτο καὶ πείσειε, τὴν ἀπάτην ταύτην εἰργάσατο, καὶ δίδωσιν αὐτῷ τὴν Λείαν μετὰ Ζελφᾶς τῆς παιδίσκης.

Εἶτα ἐγκαλούμενος ὑπὸ τοῦ δικαίου, τίνος ἕνεκεν τὰ τῆς ἀπάτης εἰργάσατο, εὐπρόσωπον ἀπολογίαν ἐποιήσατο. Ἐπειδὴ γὰρ εἶπεν ὁ Ἰακώβ, «Τίνος ἕνεκεν τοῦτό μοι ἐποίησας; οὐ περὶ τῆς Ραχὴλ ἐδούλευσά σοι; καὶ ἵνα τί παρελογίσω με;»· τί φησιν ὁ Λάβαν; «Οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ τούτῳ δοῦναι τὴν νεωτέραν, πρὶν ἢ πρεσβυτέραν. Συντέλεσον οὖν καὶ ταύτης τὰ ἕβδομα καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς ἐργασίας, ἧς ἐργάσῃ παρ' ἐμοὶ ἔτι ἑπτὰ ἔτη». Ὁρᾷς ὅτι τοῦτο αὐτὸ μηχανώμενος ἅπαντα κατεσκεύασεν. Ἐπειδὴ γὰρ εἶδε τὸν ἔρωτα, ὃν περὶ τὴν κόρην ἐκέκτητο, φησί· μὴ νομίσῃς ἠδικῆσθαί σε. Ἐπειδὴ γὰρ οὗτος παρ' ἡμῶν ὁ νόμος, ὥστε πρότερον τὴν πρεσβυτέραν ἐκδιδόναι ἀνδρί· διὰ τοῦτο μὲν τοῦτο γεγένηται, λήψῃ δὲ καὶ ταύτην ἣν ποθεῖς, ἐὰν

τὴν συνέχειαν τῆς ὁμιλίας μας. «Καὶ τὴν ἑσπέραν», λέγει, «ἔλαβεν ὁ Λάβαν τὴν κόρην του τὴν Λείαν καὶ τὴν ὡδήγησε πρὸς τὸν Ἰακώβ». Νὰ μὴ προσπεράσωμεν αὐτὸ τὸ γεγονὸς χωρὶς τὴν δέουσαν προσοχήν, διότι εἶναι δυνατὸν νὰ διδαχθοῦμεν πολλὰ πράγματα καὶ ἀπὸ αὐτό. Καὶ κατὰ πρῶτον μὲν τὴν ἁπλότητα τοῦ Ἰακὼβ καὶ πῶς ἐξηπατήθη, ἐπειδὴ ἦτο ἀπηλλαγμένος ἀπὸ κάθε πονηρίαν. Καὶ ἔπειτα, ὅτι ὅλα αὐτὰ ἐγίνοντο μὲ τόσην εὐκοσμίαν καὶ δὲν ὑπῆρχον λαμπάδες, χοροὶ καὶ φῶτα περισσότερα ἀπὸ τὰ ἀναγκαῖα, ὥστε νὰ γίνῃ καὶ ἡ ἀπάτη τοῦ Λάβαν. Ἀπ' ἐδῶ εἶναι δυνατὸν νὰ ἀντιληφθοῦμεν καὶ τὴν φιλοστοργίαν τοῦ Λάβαν πρὸς τὸν Ἰακώβ. Διότι ἐμηχανεύθη τοῦτο, ἐπειδὴ ἤθελε νὰ κρατήσῃ κοντά του τὸν δίκαιον περισσότερον χρόνον. Ἐπειδὴ δηλαδὴ ἐγνώριζεν, ὅτι ὁ Ἰακὼβ ἠγάπα σφοδρῶς τὴν Ραχὴλ καὶ ὅτι, ἐὰν τὴν ἔκαμνεν ἰδικήν του, δὲν θὰ ἤθελε πλέον νὰ παραμείνῃ ἐκεῖ νὰ δουλεύῃ χάριν τῆς Λείας καὶ νὰ κατοικῇ μαζί του, διὰ τοῦτο, ὅταν εἶδεν ὁ Λάβαν τὴν ἀρετὴν τοῦ Ἰακὼβ καὶ ἐπειδὴ ἐγνώριζεν, ὅτι δὲν θὰ ἠμποροῦσε νὰ τὸν κρατήσῃ καὶ νὰ τὸν πείσῃ, ἔκαμεν αὐτὴν τὴν ἀπάτην καὶ τοῦ ἔδωσε τὴν Λείαν μὲ τὴν δούλην Ζελφᾶν.

Ἔπειτα, ὅταν ἠρωτήθη ἀπὸ τὸν δίκαιον, διατί τοῦ ἔκαμεν αὐτὴν τὴν ἀπάτην, ἀπελογήθη μὲ πειστικὸν τρόπον. Ὅταν λοιπὸν εἶπεν ὁ Ἰακώβ, «Διατί μοῦ ἔκανες αὐτό; Δὲν ἐδούλευσα διὰ τὴν Ραχήλ; Καὶ διατί μὲ ἐξηπάτησες;», τί λέγει ὁ Λάβαν; «Εἰς τὸν τόπον μας δὲν συνηθίζεται νὰ ὑπανδρεύεται ἡ μικροτέρα κοπέλλα ἐνωρίτερον ἀπὸ τὴν μεγαλυτέραν. Ἃς τελειώσῃ ἡ ἑβδομὰς τοῦ γάμου μὲ τὴν Λείαν καὶ θὰ σοῦ δώσω καὶ τὴν Ραχὴλ ἀντὶ τῆς ἐργασίας, τὴν ὁποίαν θὰ κάμνῃς δι' ἐμὲ ἐπὶ ἑπτὰ ἀκόμη ἔτη». Βλέπεις, ὅτι ἔκαμεν ὅλα αὐτὰ σχεδιάζων μόνον νὰ παραμείνῃ ἐκεῖνος πλησίον του. Ἐπειδὴ δηλαδὴ εἶδε τὸν ἔρωτα τοῦ Ἰακὼβ διὰ τὴν κόρην του λέγει· Μὴ νομίσῃς, ὅτι ἠδικήθης. Ἐπειδὴ λοιπὸν ὑπάρχῃ αὐτὸ τὸ ἔθιμον εἰς τὴν περιοχήν μας, τὸ νὰ ὑπανδρεύεται δηλαδὴ ἐνωρίτερον ἡ μεγαλυτέρα κόρη, διὰ τοῦτο ἔγινεν αὐτό.

τὰ ὅμοια ἔτη καὶ ὑπὲρ αὐτῆς δουλεύσῃς. Ταῦτα ἀκούσας ὁ δίκαιος ἑτοίμως ἅπαντα κατεδέξατο, καὶ μετὰ ταῦτα ἕτερα ἑπτὰ ἔτη «Ἔδωκε», φησίν, «αὐτῷ τὴν θυγατέρα αὐτοῦ Ραχὴλ γυναῖκα.

3. Ὁρᾷς πάλιν ὅτι τὰ τῶν γάμων γίνεται μετὰ πάσης κοσμιότητος. Ἀλλ' ἀκούων ὅτι ἔλαβε τὴν πρεσβυτέραν, καὶ πάλιν τὴν νεωτέραν, μὴ ταραχθῇς, μηδὲ πρὸς τὴν νῦν κατάστασιν τὰ τότε κρῖναι πράγματα. Τότε μὲν γάρ, ἐπειδὴ ἀρχὴ καὶ προοίμια ἦν, συνεχωρεῖτο καὶ δυσὶ καὶ τρισὶ γυναιξὶ καὶ πλείοσι μίγνυσθαι, ὥστε τὸ γένος ἐκταθῆναι, νυνὶ δέ, ἐπειδὴ διὰ τὴν τοῦ Θεοῦ χάριν καὶ τὸ τῶν ἀνθρώπων γένος ἐπὶ πολὺ πλῆθος ἐκτέταται, καὶ τὰ τῆς ἀρετῆς ἐπίδοσιν ἔσχε. Παραγενόμενος γὰρ ὁ Χριστός, καὶ τὴν ἀρετὴν καταφυτεύσας ἐν τοῖς ἀνθρώποις καὶ ἀγγέλους, ὡς εἰπεῖν, ἐξ ἀνθρώπων αὐτοὺς ἐργασάμενος, ἅπασαν ταύτην τὴν παλαιὰν συνήθειαν ἐξέκοψεν. Ὁρᾷς πῶς οὐ δεῖ συνήθειαν προβάλλεσθαι, ἀλλὰ τὸ χρήσιμον πανταχοῦ ἐπιζητεῖν; Ἰδοὺ γάρ, ἐπειδὴ κακὴ ἦν αὕτη ἡ συνήθεια, ὅρα πῶς ἐξεκόπη, καὶ οὐκ ἔξεστι νῦν οὐδενὶ ταύτην προβάλλεσθαι τὴν συνήθειαν. Μηδαμοῦ τοίνυν, παρακαλῶ, συνήθειαν ἐπιζήτει, ἀλλὰ τὸ χρήσιμον ζήτει, καὶ μὴ τὸ ψυχοβλαβές· καὶ εἴ τι τυγχάνει καλόν, κἂν μὴ ᾖ συνήθεια, γινέσθω παρ' ἡμῶν· ἂν δέ τι βλαβερόν, κἂν ἐν συνηθείᾳ ᾖ, φεύγωμεν καὶ ἀποστρεφώμεθα.

«Καὶ ἔδωκε», φησίν, «Ἰακὼβ Ραχὴλ μετὰ Βάλλας τῆς παιδίσκης». Εἶδες πόση ἡ φιλοσοφία; Μή που ἀνδραπόδων ἀγέλαι; μή που γραμματεῖα, καὶ συνθῆκαι, καὶ αἱρέσεις ἐκεῖναι αἱ καταγέλαστοι, ἐὰν τόδε γένηται, καὶ ἐὰν τόδε συμβῇ; Καὶ εὐθέως, πρὶν ἢ συνελθεῖν, οἱ οὐκ εἰδότες οὐδ' εἰ μέχρι τῆς ἑσπέρας διαμενοῦσι, τὰ μετὰ πολὺν ἐσόμενα χρόνον ἐν τοῖς

Θὰ νυμφευθῇς δὲ καὶ αὐτήν, τὴν ὁποίαν πολὺ ἀγαπᾷς, ἐὰν δουλεύσῃς καὶ δι' αὐτὴν πάλιν ἑπτὰ ἔτη. Ὅταν ἤκουσεν ὁ δίκαιος αὐτά, ἐδέχθη τὰ πάντα μὲ προθυμίαν καὶ μετὰ ἀπὸ ἄλλα ἑπτὰ ἔτη, λέγει ἡ Γραφὴ «Ἔδωσεν ὁ Ἰακὼβ εἰς αὐτὸν ὡς γυναῖκα τὴν κόρην του Ραχήλ».

3. Βλέπεις πάλιν ὅτι οἱ γάμοι ἐγίνοντο μὲ κάθε κοσμιότητα. Ἀλλὰ ὅταν ἀκούῃς, ὅτι ἔλαβεν ὡς γυναῖκα καὶ τὴν μεγαλυτέραν καὶ τὴν μικροτέραν κόρην, νὰ μὴ ταραχθῇς, οὔτε νὰ κρίνῃς ἐκεῖνα τὰ πράγματα μὲ τὰ σημερινὰ κριτήρια. Διότι τότε, ἐπειδὴ ἦτο ἡ ἀρχὴ καὶ τὰ πρῶτα βήματα τοῦ ἀνθρωπίνου γένους, ἐπετρέπετο νὰ λαμβάνῃ ὁ ἄνδρας καὶ μίαν καὶ δύο γυναῖκας, οὕτως ὥστε νὰ πολλαπλασιασθῇ τὸ ἀνθρώπινον γένος. Τώρα ὅμως μὲ τὴν χάριν τοῦ Θεοῦ ηὐξήθησαν καὶ οἱ ἄνθρωποι καὶ ἡ ἀρετὴ διεδόθη. Διότι ἦλθεν ὁ Χριστὸς καὶ ἐφύτευσε τὴν ἀρετὴν εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων καὶ τοὺς μετέτρεψεν, ἠμποροῦμεν νὰ εἰποῦμεν, ἀπὸ ἀνθρώπους εἰς ἀγγέλους καὶ ἔκοψεν ἐκείνην τὴν παλαιὰν συνήθειαν. Βλέπεις ὅτι δὲν πρέπει νὰ προβάλλωμεν ὡς δικαιολογίαν τὴν συνήθειαν, ἀλλὰ νὰ ἐπιζητοῦμεν παντοῦ τὸ χρήσιμον; Ἰδοὺ λοιπόν, ἐπειδὴ ἦτο κακὴ αὐτὴ συνήθεια, βλέπε πῶς διεκόπη καὶ δὲν ἠμπορεῖ κανεὶς νὰ προβάλλῃ αὐτὴν ὡς δικαιολογίαν. Ἄρα νὰ μὴ ἐπιζητῇς, παρακαλῶ, τὴν συνήθειαν, ἀλλὰ νὰ ἐρευνᾷς διὰ τὸ χρήσιμον καὶ ὄχι αὐτό, τὸ ὁποῖον βλάπτει τὴν ψυχήν. Καὶ ἂν κάτι εἶναι καλόν, νὰ τὸ κάμνωμεν, ἔστω καὶ ἂν δὲν συνηθίζεται. Καὶ ἂν κάτι εἶναι ἐπιβλαβές, νὰ τὸ ἀποφεύγωμεν καὶ νὰ τὸ ἀποστρεφώμεθα, ἔστω καὶ ἂν συνηθίζεται.

«Καὶ ἔδωσε», λέγει, «εἰς τὸν Ἰακὼβ τὴν Ραχὴλ μαζὶ μὲ τὴν δούλην Βάλλαν». Εἶδες πόση εἶναι ἡ εὐσέβεια; Μήπως ὑπῆρχον ἀγέλαι ἀπὸ δούλους; Μήπως ἔγιναν συμβόλαια καὶ συμφωνητικὰ καὶ οἱ γελοῖοι ἐκεῖνοι ὅροι, ἐὰν θὰ γίνῃ τοῦτο, ἢ ἐὰν συμβῇ τὸ ἄλλο; Καὶ ἀμέσως, προτοῦ ἔλθουν εἰς ἐπαφήν, αὐτοὶ ποὺ δὲν γνωρίζουν, οὔτε ἐὰν θὰ ζήσουν μέχρι τὸ βράδυ, συντάσσουν εἰς τὰ συμβόλαια αὐτά, τὰ ὁποῖα πρόκειται νὰ γίνουν μετὰ ἀπὸ πολὺν χρόνον, ἐὰν δηλαδὴ ἀπο-

γραμματείοις συντιθέασιν· ἐὰν ἄτεκνος, φησί, τελευτήσῃ, ἐὰν παιδία ἐσχηκώς, καὶ ὅσα τοιαῦτα. Ἀλλ' ἐνταῦθα οὐδὲν τοιοῦτον, ἀλλὰ παιδίσκην μίαν ἑκάστῃ δοὺς ὁ πατήρ, οὕτω τὰς θυγατέρας ἐξεδίδου. «Ἠγάπησε δέ», φησί, «Ραχὴλ μᾶλλον ἢ Λείαν, καὶ ἐδούλευσεν αὐτῷ ἑπτὰ ἔτη ἕτερα». Ἐπειδὴ γὰρ ἐξ ἀρχῆς διὰ τὴν εὐμορφίαν ἠράσθη τῆς κόρης, μόλις δὲ τυχεῖν ποτε ἠδυνήθη τοῦ σποδαζομένου, ἐκείνην, φησί, πλέον ἠγάπα, ἤπερ τὴν Λείαν. Καὶ γὰρ ἡ ταύτης εὐμορφία, φησίν, ἐφείλκετο αὐτὸν εἰς τὸν περὶ αὐτὴν πόθον.

Ἀλλ' ὅρα μοι ἐνταῦθα λοιπὸν τοῦ Δεσπότου τὴν ἄφατον φιλανθρωπίαν, καὶ πῶς τὰ παρ' αὐτοῦ ἐπαγγελθέντα κατὰ μικρὸν εἰς ἔργον ἄγει. Ὁ γὰρ εἰπών, ὅτι «Ἔσομαι μετὰ σοῦ, διαφυλάσσων σε ἐν πάσῃ ὁδῷ, ᾗ ἐὰν πορευθῇς», καὶ ὅτι Αὐξανῶ σε καὶ πληθυνῶ, αὐτὸς καὶ νῦν ἅπαντα οἰκονομεῖ. Καὶ ἵνα μάθῃς, ἄκουε καὶ αὐτῆς τῆς θείας Γραφῆς τοῦτο σαφῶς λεγούσης. «Ἰδὼν δὲ Κύριος ὁ Θεός», φησίν, «ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ραχὴλ δὲ ἦν στεῖρα. Καὶ συνέλαβε Λεία, καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ». Ὅρα τοῦ εὐμηχάνου Θεοῦ τὴν σοφίαν. Ἐπειδὴ ἡ μὲν ἀπὸ τῆς εὐμορφίας τὴν εὔνοιαν ἐπεσπάσατο τοῦ ἀνδρός, ἡ δὲ ταύτης ἀπεστερημένη μισεῖσθαι ἐδόκει, ταύτην μὲν διεγείρει πρὸς γονήν, ἐκείνης δὲ πηροῖ τὴν μήτραν, ἀμφότερα διὰ τὴν οἰκείαν φιλανθρωπίαν οἰκονομῶν, ἵνα καὶ αὕτη διὰ τὰ ἐξ αὐτῆς τικτόμενα σχῇ τινα παραμυθίαν, ἐφελκομένη εἰς τὸν περὶ αὐτὴν πόθον τὸν ἄνδρα, κἀκείνη μὴ διὰ τὸ κάλλος καὶ τὴν εὐμορφίαν κατεξανίστηται τῆς ἀδελφῆς.

«Καὶ διήνοιξε», φησί, «τὴν μήτραν αὐτῆς». Μάνθανε ἐντεῦθεν, ἀγαπητέ, ὅτι ὁ τῶν ἁπάντων δημιουργός ἐστιν ὁ τὰ πάντα οἰκονομῶν, καὶ τὴν φύσιν αὐτὴν διεγείρων πρὸς γονήν, καὶ ὅτι οὐδὲν τῆς συνου-

θάνῃ ἄτεκνος, ἐὰν ἀποθάνῃ ἐνῷ θὰ ἔχῃ ἀποκτήσει τέκνα, καὶ ἄλλα παρόμοια. Ἐδῶ ὅμως δὲν ἔγινε τίποτε τὸ παρόμοιον, ἀλλὰ ὁ πατέρας ἔδωσεν εἰς τὴν κάθε μίαν κόρην ἀπὸ μίαν δούλην καὶ ἔτσι τὰς ὑπάνδρευσεν. «Καὶ ὁ Ἰακώβ», λέγει, «ἠγάπησε τὴν Ραχὴλ περισσότερον ἀπὸ τὴν Λείαν καὶ ἐδούλευσεν εἰς αὐτὸν ἀκόμη ἄλλα ἑπτὰ ἔτη». Ἐπειδὴ δηλαδὴ ἀπὸ τὴν ἀρχὴν ἠγάπησε περισσότερον αὐτὴν τὴν κόρην ἐξ αἰτίας τῆς ὡραιότητος αὐτῆς, διὰ τοῦτο μόλις ἠμπόρεσε νὰ ἐπιτύχῃ αὐτό, τὸ ὁποῖον ἐπεθύμει, ἠγάπα ἐκείνην, λέγει περισσότερον ἀπὸ τὴν Λείαν. Διότι, λέγει, ἡ ὡραιότητα αὐτῆς εἷλκυε περισσότερον αὐτὸν εἰς τὸ νὰ τὴν ἀγαπᾷ.

Ἀλλὰ πρόσεχε ἐδῶ τὴν ἀπερίγραπτον φιλανθρωπίαν τοῦ Κυρίου καὶ πῶς πραγματοποιεῖ ὀλίγον κατ' ὀλίγον αὐτά, τὰ ὁποῖα ὑπεσχέθη. Καθ' ὅσον αὐτός, ὁ ὁποῖος εἶπεν, ὅτι «Θὰ εἶμαι μαζί σου καὶ θὰ σὲ διαφυλάσσω, ὅπου καὶ νὰ ὑπάγῃς», καὶ ὅτι θὰ αὐξήσω καὶ θὰ πληθύνω τοὺς ἀπογόνους σου, αὐτὸς καὶ τώρα ρυθμίζει τὰ πάντα. Καὶ διὰ νὰ καταλάβῃς αὐτό, ἄκουσε καὶ τὴν ἰδίαν τὴν ἁγίαν Γραφήν, ἡ ὁποία λέγει αὐτὸ μὲ σαφήνειαν. «Καὶ ὅταν εἶδεν ὁ Κύριος ὁ Θεός», λέγει, «ὅτι ἡ Λεία περιφρονεῖται τὴν κατέστησε γόνιμον. Ἡ δὲ Ραχὴλ ἦτο στεῖρα. Καὶ ἡ Λεία συνέλαβε καὶ ἐγέννησεν εἰς τὸν Ἰακὼβ υἱόν». Πρόσεχε τὴν σοφίαν τοῦ ἐφευρετικοῦ Θεοῦ. Ἐπειδὴ ἡ μὲν Ραχὴλ ἀκέρδισε τὴν ἀγάπην τοῦ ἀνδρὸς ἐξ αἰτίας τῆς ὀμορφιᾶς της, ἡ δὲ Λεία ἐφαίνετο, ὅτι περιεφρονεῖτο, ἀφοῦ δὲν ἦτο ὄμορφη, αὐτὴν μὲν τὴν καθιστᾷ γόνιμον, ἐνῷ κλείει τὴν μήτραν τῆς Ραχήλ, ρυθμίζων καὶ τὰ δύο διὰ τῆς φιλανθρωπίας του, ὥστε καὶ ἡ Λεία νὰ ἔχῃ κάποιαν παρηγορίαν ἐξ αἰτίας αὐτῶν, οἱ ὁποῖοι θὰ ἐγεννῶντο ἀπὸ αὐτήν, μὲ τὸ νὰ προσελκύῃ τὴν ἀγάπην τοῦ ἀνδρός της, καὶ ἐκείνη νὰ μὴ περιφρονῇ τὴν ἀδελφήν της ἐξ αἰτίας τοῦ κάλλους της καὶ τῆς ὡραιότητός της.

«Καὶ κατέστησεν αὐτὴν γόνιμον», λέγει ἡ Γραφή. Νὰ μάθῃς ἀπ' ἐδῶ, ἀγαπητέ, ὅτι ὁ δημιουργὸς τοῦ παντὸς εἶναι αὐτὸς ποὺ ρυθμίζει τὰ πάντα καὶ αὐτὸς ποὺ καθι-

σίας ὄφελος, μὴ τῆς ἄνωθεν συμμαχίας γενομένης. Διὰ γὰρ τοῦτο εἶπεν, ὅτι «Διήνοιξε τὴν μήτραν αὐτῆς», ἵνα γνῶμεν, ὅτι αὐτὸς ὁ Δεσπότης ἠβουλήθη τὴν Λείαν πρὸς τεκνογονίαν διεγεῖραι, ὥστε αὐτῆς τὴν ἀθυμίαν παραμυθήσασθαι. Αὐτὸς γάρ ἐστιν ὁ καὶ ἐν τῇ μήτρᾳ διαπλάττων τὰ βρέφη καὶ ζωογονῶν, καθάπερ καὶ Δαυίδ φησιν· «Ἀντελάβου μου ἐκ τῆς γαστρὸς μητρός μου». Καὶ ὅρα πῶς δείκνυσιν ἡμῖν ἡ θεία Γραφὴ τὸν τῆς φύσεως δημιουργὸν ἑκάτερα τῇ οἰκείᾳ δυνάμει ἐργαζόμενον, καὶ τῆς μὲν τὴν μήτραν διεγείροντα, τῆς δὲ Ραχὴλ ἐπέχοντα. Δεσπότης γὰρ ὢν τῆς φύσεως, μετ' εὐκολίας ἅπαντα ἐργάζεται.

«Καὶ συνέλαβε», φησί, «Λεία, καὶ ἔτεκεν υἱὸν τὸν Ἰακώβ· ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ρουβήν, λέγουσα· ὅτι εἶδέ μου Κύριος τὴν ταπείνωσιν, νῦν ἀγαπήσει με ὁ ἀνήρ μου». Ὅρα πῶς εὐγνώμων ἡ γυνή, θεασάμενος, φησί, τὴν ταπείνωσίν μου ὁ Δεσπότης, παρέσχε μοι τὸν τόκον, ἵνα διὰ τούτου ἀγαπηθῆναι δυνηθῶ. Καὶ θέα μοι τοῦ φιλανθρώπου Θεοῦ τὴν φιλοτιμίαν, πῶς ἐπιδαψιλεύεται, ὁμοῦ καὶ τὸ τοῦ δικαίου σπέρμα αὐξῆσαι βουλόμενος, καὶ ταύτην νῦν ποθεινοτέραν καταστῆσαι τῷ Ἰακώβ. «Καὶ συνέλαβε», φησί, «πάλιν, καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ, καὶ εἶπεν, ὅτι ἤκουσε Κύριος, ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Συμεών». Σκόπει πῶς ἐφ' ἑκάστου τῶν παίδων εὐχαριστεῖ τῷ Δεσπότῃ, καὶ εὐγνώμων γίνεται περὶ τὴν εὐεργεσίαν. «Ἤκουσε γάρ», φησί, «Κύριος, ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον»· καὶ διὰ τοῦτο «Ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Συμεών».

4. Εἶδες πῶς οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, οὐδὲ τὰς ὀνομασίας τοῖς τικτομένοις ἐπετίθει; Ἐκάλεσε γὰρ αὐτὸν Συμεών, ἐπειδὴ ἤκουσε Κύριος. Τοῦτο γὰρ

---

2. Ψαλμ. 138, 13.
3. Τὸ Ρουβὴν εἰς τὴν Ἑβραϊκὴν σημαίνει· Ἰδοὺ υἱός.
4. Τὸ ὄνομα Συμεὼν εἰς τὴν ἑβραϊκὴν σημαίνει· Ἀκοή.

στᾷ γόνιμον τὴν φύσιν καὶ ὅτι δὲν ὠφελεῖ καθόλου ἡ συνουσία, ἐὰν δὲν ὑπάρχῃ ἡ ἐκ τῶν ἄνω βοήθεια. Διὰ τοῦτο λοιπὸν εἶπεν, ὅτι «κατέστησεν αὐτὴν γόνιμον», διὰ νὰ καταλάβωμεν δηλαδή, ὅτι ὁ ἴδιος ὁ Κύριος ἠθέλησε νὰ κάμῃ τὴν Λείαν νὰ ἀποκτήσῃ τέκνα, διὰ νὰ τὴν παρηγορήσῃ, ἐπειδὴ ἦτο στενοχωρημένη. Καθ' ὅσον αὐτὸς εἶναι ποὺ διαπλάσσει καὶ ζωογονεῖ τὰ βρέφη ἀκόμη ἀπὸ τὴν μήτραν, ὅπως ἀκριβῶς λέγει καὶ ὁ Δαυΐδ· «Μὲ ἔλαβες πλησίον σου ἀπὸ τότε ποὺ ἤμουν εἰς τὴν κοιλίαν τῆς μητρός μου»[2]. Καὶ κοίταξε, μὲ ποῖον τρόπον μᾶς δείχνει ἡ ἁγία Γραφή, ὅτι ὁ δημιουργὸς τῆς φύσεως ἐνεργεῖ εἰς τὴν κάθε μίαν ἀπ' αὐτὰς μὲ τὴν δύναμίν του καὶ τὴν μὲν καθιστᾷ γόνιμον, τὴν δὲ Ραχὴλ στεῖραν. Διότι, ἀφοῦ εἶναι ὁ Κύριος τῆς φύσεως, κάνει τὰ πάντα μὲ εὐκολίαν.

«Καὶ συνέλαβεν ἡ Λεία», λέγει, «καὶ ἐγέννησεν εἰς τὸν Ἰακὼβ υἱόν. Ὠνόμασε δὲ αὐτὸν Ρουβὴν[3] λέγουσα· διότι εἶδεν ὁ Κύριος τὴν ταπείνωσίν μου καὶ τώρα θὰ μὲ ἀγαπήσῃ». Βλέπε πόσον εὐγνώμων εἶναι ἡ γυναῖκα. Ἐπειδὴ εἶδεν ὁ Κύριος τὴν ταπείνωσίν μου, λέγει, μοῦ ἔκανεν ἱκανὴν νὰ τεκνοποιήσω, διὰ νὰ ἠμπορέσω νὰ ἀγαπηθῶ ἀπὸ τὸν ἄνδρα μου. Καὶ πρόσεχε τὴν φιλοτιμίαν τοῦ φιλανθρώπου Θεοῦ, πῶς δηλαδὴ εἶναι γενναιόδωρος, ἐπειδὴ ἤθελε συγχρόνως καὶ τοὺς ἀπογόνους τοῦ δικαίου νὰ αὐξήσῃ καὶ αὐτὴν νὰ τὴν κάνῃ περισσότερον ἀγαπητὴν εἰς τὸν Ἰακώβ. «Καὶ συνέλαβε», λέγει, «πάλιν καὶ ἐγέννησε δεύτερον υἱὸν εἰς τὸν Ἰακὼβ καὶ εἶπεν. Ἐπειδὴ ἤκουσεν ὁ Κύριος, ὅτι ἀκόμη περιφρονοῦμαι, διὰ τοῦτο μοῦ ἔδωσε καὶ αὐτὸν τὸν υἱόν. Καὶ αὐτὸν τὸν ὠνόμασε Συμεών»[4]. Πρόσεχε πῶς εὐχαριστεῖ τὸν Θεὸν διὰ τὸ κάθε ἕνα τέκνον της καὶ πῶς γίνεται εὐγνώμων διὰ τὴν εὐεργεσίαν. «Διότι ἤκουσεν ὁ Κύριος», λέγει, «ὅτι περιφρονοῦμαι ἀκόμη καὶ διὰ τοῦτο μοῦ ἔδωσε καὶ αὐτὸν τὸν υἱόν». Καὶ διὰ τοῦτο «Ὠνόμασεν αὐτὸν Συμεών».

4. Εἶδες πῶς δὲν δίδει εἰς τοὺς υἱοὺς τὰ ὀνόματα ἁπλῶς καὶ τυχαίως; Διότι ὠνόμασεν αὐτὸν Συμεών, ἐπειδὴ ἤκουσεν αὐτὴν ὁ Κύριος. Καθ' ὅσον ἔτσι ἑρμηνεύε-

ἑρμηνεύεται τὸ ὄνομα τῇ Ἑβραϊκῇ διαλέκτῳ, ὅτι ἠκούσθη. «Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν υἱόν, καὶ εἶπεν· ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου· τέτοκα γὰρ αὐτῷ τρεῖς υἱούς· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῷ Λευί». Δοκεῖ μοι ἐνταῦθα αἰνίττεσθαι, ὅτι καὶ τῶν δύο τεχθέντων οὐδέπω ἴσχυσεν εἰς τὴν περὶ αὐτὴν διάθεσιν ἐφελκύσασθαι τὸν ἄνδρα, ἀλλ' ἔτι ὅλως ἦν πρὸς τὴν Ραχὴλ νενευκώς· διὰ τοῦτό φησιν, «Ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου». Τάχα, φησί, κἂν ἡ προσθήκη τοῦ τρίτου παρασκευάσῃ τὸν ἄνδρα εὐνοϊκῶς περὶ ἐμὲ διατεθῆναι. Ἰδοὺ γὰρ αὐτῷ τέτοκα τρεῖς υἱούς.

«Καὶ συλλαβοῦσα ἔτι, ἔτεκεν υἱόν, καὶ εἶπε· νῦν ἔτι τοῦτο ἐξομολογήσομαι τῷ Κυρίῳ· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰούδαν». Τί ἐστι, «Τοῦτο ἐξομολογήσομαι τῷ Κυρίῳ»; Τὸ «Ἐξομολογήσομαι» ἐνταῦθα, εὐχαριστήσω καὶ δοξάσω αὐτόν ἐστιν, ὅτι καὶ τέταρτον προσέθηκέ μοι υἱόν, καὶ τοσαύτην μοι τὴν εὐπορίαν ἐχαρίσατο· καὶ ὅπερ ἀπὸ τῆς τοῦ σώματος ἀμορφίας εἰς τὴν παρὰ τοῦ ἀνδρὸς εὔνοιαν ἔμελλον καταβλάπτεσθαι, τοῦτο ἡ τέκνων παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας χαρισθέντων μοι γονὴ διωρθώσατο, καὶ τῆς ἀθυμίας τὴν ὑπερβολὴν διεσκέδασε, τὴν διὰ τὴν ἀμορφίαν μισουμένην παραμυθησάμενος, καὶ μεταστήσας τὸ μῖσος εἰς τὴν ἀδελφὴν τὴν ἐμήν. Τεκοῦσα δέ, φησί, τὸν Ἰούδαν, «ἔστη τοῦ τίκτειν».

«Ἰδοῦσα δὲ Ραχήλ, ὅτι οὐ τέτοκε τῷ Ἰακώβ, ἐζήλωσε τὴν ἀδελφὴν αὐτῆς, καὶ εἶπε τῷ Ἰακώβ· δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ». Ἀπερίσκεπτος ἡ αἴτησις καὶ γυναικώδης, καὶ ψυχῆς ὑπὸ τῆς ζηλοτυπίας πολιορκουμένης· «Δός μοι τέκνα». Οὐκ ἤκουσας ὅτι οὐχ ἡ τοῦ ἀνδρὸς συνουσία ἐκείνη τὸν τόκον παρέσχεν, ἀλλὰ Κύριος ὁ Θεός, ὁ «Ἰδών», φησίν, «ὅτι μισεῖται, ἤνοιξε τὴν μήτραν αὐτῆς»; Τίνος

5. Λευὶ σημαίνει· Ἕνωσις.
6. Τὸ ὄνομα Ἰούδας εἰς τὴν ἑβραϊκὴν σημαίνει· Δοξολογία.

ται τὸ ὄνομα αὐτὸ εἰς τὴν ἑβραϊκὴν γλῶσσαν, ἐπειδὴ δηλαδὴ εἰσηκούσθη. «Καὶ συνέλαβε πάλιν ἡ Λεία καὶ ἐγέννησεν υἱὸν καὶ εἶπε· Τώρα πλέον ὁ σύζυγός μου θὰ εἶναι μὲ τὸ μέρος μου, διότι ἐγέννησα εἰς αὐτὸν τρεῖς υἱούς. Καὶ ὠνόμασεν αὐτὸν Λευί»[5]. Νομίζω, ὅτι ἐδῶ ὑπαινίσσεται, ὅτι καὶ μετὰ ἀπὸ τὴν γέννησιν τῶν δύο πρώτων υἱῶν δὲν ἠμπόρεσε νὰ προσελκύσῃ τὴν ἀγάπην τοῦ συζύγου της, ἀλλ' ἀκόμη ἦτο αὐτὸς προσκολλημένος πρὸς τὴν Ραχήλ. Διὰ τοῦτο λέγει· «Τώρα πλέον ὁ σύζυγός μου θὰ εἶναι μὲ τὸ μέρος μου». Ἴσως, λέγει, ἡ προσθήκη τοῦ τρίτου υἱοῦ νὰ κάνῃ τὸν ἄνδρα μου νὰ μὲ ἀγαπήσῃ περισσότερον. Ἰδοὺ λοιπόν τοῦ ἐγέννησα τρεῖς υἱούς.

«Καὶ συνέλαβε καὶ πάλιν ἡ Λεία καὶ ἐγέννησεν υἱὸν καὶ εἶπε· Καὶ αὐτὴν τὴν φορὰν θὰ δοξολογήσω τὸν Κύριον. Διὰ τοῦτο ὠνόμασεν αὐτὸν Ἰούδαν»[6]. Τί σημαίνει «τοῦτο ἐξομολογήσομαι τῷ Κυρίῳ»; Τὸ «ἐξομολογήσομαι» ἐδῶ σημαίνει, θὰ εὐχαριστήσω καὶ θὰ δοξάσω αὐτόν, διότι μοῦ ἐχάρισε καὶ τέταρτον υἱὸν καὶ μοῦ προσέφερε τόσην εὐπορίαν. Καὶ τὴν ζημίαν, τὴν ὁποίαν ἐπρόκειτο νὰ ὑποστῶ εἰς τὴν ἀγάπην τοῦ συζύγου μου ἐξ αἰτίας τῆς ἀσχημίας τοῦ σώματός μου, αὐτὴν τὴν ἐπανώρθωσεν ἡ γέννησις τῶν τέκνων, τὴν ὁποίαν μοῦ ἐχάρισεν ἡ φιλανθρωπία τοῦ Θεοῦ, ποὺ ἐξηφάνισε τὴν μεγάλην μου λύπην, παρηγορῶν ἐμέ, ποὺ περιεφρονούμην ἐξ αἰτίας τῆς ἀσχημίας μου, καὶ μεταφέρων τὸ μῖσος τοῦ συζύγου μου εἰς τὴν ἀδελφήν μου. Καὶ ἀφοῦ ἐγέννησε τὸν Ἰούδαν, λέγει, «ἔπαυσε νὰ γεννᾷ».

«Ὅταν εἶδεν ἡ Ραχήλ, ὅτι δὲν ἐγέννησεν υἱὸν εἰς τὸν Ἰακώβ, ἐφθόνησε τὴν ἀδελφήν της καὶ εἶπεν εἰς τὸν Ἰακώβ· Δός μου τέκνα, εἰ δὲ μὴ θὰ αὐτοκτονήσω». Ἀπερίσκεπτον εἶναι τὸ αἴτημα καὶ ἁρμόζει μόνον εἰς γυναῖκα, καὶ βγαίνει ἀπὸ ψυχήν, ἡ ὁποία εἶναι πλήρης ζηλοτυπίας. «Δός μου τέκνα». Δὲν ἤκουσες, ὅτι δὲν ἐχάρισε τὴν γέννησιν ἡ συνουσία τοῦ ἀνδρός, ἀλλὰ ὁ Κύριος ὁ Θεός, «ὁ ὁποῖος εἶδε», λέγει, «ὅτι περιφρονεῖται καὶ τὴν κατέστησε γόνιμον»; Διατί ζητεῖς ἀπὸ τὸν ἄνδρα τὰ ὑπερφυσικὰ

οὖν ἕνεκεν τὰ ὑπὲρ τὴν φύσιν ἀπαιτεῖς παρὰ τοῦ ἀνδρός, καὶ καταλιποῦσα τὸν τῆς φύσεως Δεσπότην, τῷ ἀνδρὶ ἐγκαλεῖς τῷ μηδὲν πρὸς τοῦτο συμβάλλεσθαί σοι δυναμένῳ; «Δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ». Δεινὸν ἡ ζηλοτυπία κακόν· καὶ γὰρ εἰς ἀφροσύνην ἐκπίπτει· ὃ δὴ καὶ αὕτη πέπονθεν. Ὁρῶσα γὰρ τῶν τέκνων τῆς ἀδελφῆς τὸν χορόν, καὶ τὴν οἰκείαν ἐρημίαν λογιζομένη, οὐκ ἔφερε τὴν ἐπήρειαν, οὐδὲ κατασχεῖν ἠδυνήθη τοῦ ταράττοντος αὐτὴν λογισμοῦ, ἀλλ' ἐκεῖνα τὰ ἀνοίας ἀνάμεστα φθέγγεται ῥήματα, καί φησι· «Δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ». Ἴσως εἶδε τοῦ ἀνδρὸς τὸν περὶ αὐτὴν πόθον, καὶ νομίζουσα παρὰ τὴν ἐκείνου αἰτίαν κἀκείνην τοσούτους ἐσχηκέναι παῖδας, καὶ ἑαυτὴν μηδέπω τετοκέναι, φησί, «Δός μοι τέκνα». Εἶτα φοβῆσαι βουλομένη τὸν ἄνδρα, ἐπάγει, «Εἰ δὲ μή, τελευτήσω ἐγώ».

Τί οὖν ὁ φιλόθεος Ἰακώβ; «Ἐθυμώθη», φησί, «πρὸς τὰ ῥηθέντα, καὶ εἶπεν αὐτῇ· μὴ ἀντὶ Θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπῶν κοιλίας;». Τί, φησί, καταλιποῦσα τὸν Δεσπότην τῆς φύσεως, τὴν μέμψιν ἐμοὶ ἐπάγεις; Ἐκεῖνός ἐστιν ὁ ἀποστερήσας σε τοῦ καρποῦ τῆς κοιλίας. Διατί μὴ παρ' ἐκείνου ζητεῖς, τοῦ δυναμένου διανοῖξαι τῆς φύσεως τὸ ἐργαστήριον, καὶ διεγεῖραι τὴν μήτραν πρὸς γονήν; Μάνθανε τοίνων, ὅτι ἐκεῖνος ὅς σε στερήσας τοῦ καρποῦ τῆς κοιλίας, καὶ τῇ ἀδελφῇ τῇ σῇ τὴν τοσαύτην εὐπορίαν ἐχαρίσατο. Μὴ τοίνυν παρ' ἐμοῦ ζήτει, ἃ μὴ δύναμαι παρασχεῖν, καὶ ὧν οὐκ εἰμὶ κύριος. Εἰ γὰρ ἐπ' ἐμοὶ τοῦτο ἦν, πάντως ἂν σε τῆς ἀδελφῆς προετίμησα, τὴν πλείονα εὔνοιαν περὶ σὲ κεκτημένος. Ἐπειδὴ δέ, κἂν μυριάκις ὦ εὐνοϊκῶς περὶ σὲ διακείμενος, οὐδέν σοι πρὸς τοῦτο συμβάλλεσθαι δυνήσομαι, παρ' ἐκείνου ζήτει τοῦ καὶ τὴν στείρωσιν ἐπάγοντος, καὶ ταύτην λῦσαι δυναμένου.

Ὅρα τοῦ δικαίου τὴν σύνεσιν, ὅπως καὶ εἰς θυμὸν ἐξενεχθεὶς ἐκ τῶν παρ' αὐτῆς ῥηθέντων, μετὰ

πράγματα καὶ ἀφοῦ ἐγκατέλειψες τὸν Κύριον τῆς φύσεως, κατηγορεῖς τὸν ἄνδρα, ὁ ὁποῖος δὲν ἠμπορεῖ νὰ συμβάλῃ καθόλου εἰς τὴν περίπτωσιν αὐτήν; «Δός μου τέκνα, εἰ δὲ μὴ θὰ αὐτοκτονήσω». Φοβερὸν κακὸν ἡ ζηλοτυπία. Καθ' ὅσον ὅταν ἔβλεπε τὸ πλῆθος τῶν τέκνων τῆς ἀδελφῆς της καὶ ἐσκέπτετο τὴν ἰδικήν της ἐρημίαν, δὲν ἠμποροῦσε νὰ ὑποφέρῃ αὐτὸν τὸν χλευασμόν, οὔτε νὰ καταπραΰνῃ τὸν ταραγμένον ἐσωτερικόν της κόσμον, ἀλλὰ λέγει ἐκείνους τοὺς πλήρεις ἀνοησίας λόγους· «Δός μου τέκνα, εἰ δὲ μὴ θὰ αὐτοκτονήσω». Ἴσως νὰ ἀντελήφθη τὴν ἀγάπην τοῦ Ἰακὼβ πρὸς τὴν Λείαν καὶ ἐπειδὴ ἐνόμιζεν, ὅτι ἐκείνη ἀπέκτησε τόσα πολλὰ τέκνα ἐξ αἰτίας αὐτοῦ καὶ ὅτι ἡ ἰδία δὲν ἐγέννησε καθόλου, λέγει· «Δός μου τέκνα». Ἔπειτα ἐπιθυμοῦσα νὰ ἐκφοβίσῃ τὸν ἄνδρα της προσθέτει· «Εἰ δὲ μὴ θὰ αὐτοκτονήσω».

Τί λοιπὸν ἔκαμεν ὁ φιλόθεος Ἰακώβ; «Ἐθύμωσεν ὁ Ἰακώβ», λέγει, «διὰ τοὺς λόγους ἐκείνους καὶ εἶπεν εἰς αὐτήν· Μήπως εἶμαι ἐγὼ εἰς τὴν θέσιν τοῦ Θεοῦ, ὁ ὁποῖος σοῦ ἐστέρησα τὸν καρπὸν τῆς κοιλίας;». Διατί, λέγει, ἄφησες τὸν Κύριον τῆς φύσεως καὶ ἀποδίδεις εἰς ἐμὲ τὴν κατηγορίαν; Ἐκεῖνος εἶναι αὐτὸς ποὺ σοῦ ἐστέρησε τὸν καρπὸν τῆς κοιλίας. Διατί δὲν παρακαλεῖς ἐκεῖνον ποὺ εἶναι ἱκανὸς νὰ ἀνοίξῃ τὸ ἐργαστήριον τῆς φύσεως καὶ νὰ κάνῃ τὴν μήτραν ἱκανὴν νὰ τεκνοποιήσῃ; Μάθαινε λοιπόν, ὅτι ἐκεῖνος εἶναι ποὺ σοῦ ἐστέρησε τὸν καρπὸν τῆς κοιλίας καὶ ἐχάρισεν εἰς τὴν ἀδελφήν σου τόσην εὐγονίαν. Μὴ ζητῇς λοιπὸν ἀπὸ ἐμέ, ὅσα δὲν δύναμαι νὰ προσφέρω καὶ αὐτὰ ποὺ δὲν ἐξουσιάζω. Διότι, ἐὰν αὐτὸ ἦτο δυνατὸν εἰς ἐμέ, θὰ ἐπροτιμοῦσα σὲ ἀπὸ τὴν ἀδελφήν σου, ἀφοῦ ἀγαπῶ σὲ περισσότερον ἀπὸ ἐκείνην. Ἐπειδὴ ὅμως, ἂν καὶ τρέφω μεγάλην ἀγάπην διὰ σέ, δὲν θὰ ἠμπορέσω νὰ κάνω τίποτε, διὰ τοῦτο νὰ παρακαλέσῃς ἐκεῖνον, ὁ ὁποῖος καὶ προκαλεῖ τὴν στείρωσιν, καὶ δύναται νὰ λύσῃ αὐτήν.

Πρόσεχε τὴν σύνεσιν τοῦ δικαίου, πῶς δηλαδή, ἂν καὶ ἐξωργίσθη ἐξ αἰτίας τῶν ὅσων εἶπεν, ὅμως ἀποκρίνεται μὲ μεγάλην σοφίαν ἐξηγῶν τὰ πάντα μὲ κάθε λεπτο-

πολλῆς τῆς σοφίας τὴν πρὸς αὐτὴν ἀπόκρισιν ποιεῖται, μετὰ ἀκριβείας αὐτὴν πάντα διδάσκων, καὶ τὴν αἰτίαν αὐτῇ δήλην ποιῶν, ἵνα μὴ καταλιποῦσα τὸν Δεσπότην, παρ' ἑτέρου ζητῇ, ἅπερ ἐκεῖνος μόνος παρασχεῖν δύναται. Μαθοῦσα τοίνυν ὅτι παρὰ τοῦ Θεοῦ τοῦ τίκτειν ἀπεστέρηται, καὶ ὁρῶσα τὴν ἀδελφὴν κομῶσαν τοῖς τέκνοις, μετρίαν γοῦν παραμυθίαν ποριζομένη, φησὶ τῷ 'Ιακώβ· ἐπειδὴ νῦν με ἐδίδαξας, ὅτι οὐ παρὰ τὴν σὴν αἰτίαν ἄτεκνος ἐγὼ τυγχάνω, κἂν τὴν παιδίσκην μου λαβών, τεκνοποίησον ἐξ αὐτῆς, ἵνα κἂν βραχεῖαν παραμυθίαν εὑρεῖν δυνηθῶ, τὰ παρ' αὐτῆς τικτόμενα οἰκειουμένη. «Καὶ ἔδωκεν αὐτῷ», φησί, «Βάλλαν τὴν παιδίσκην αὐτῆς αὐτῷ γυναῖκα· καὶ εἰσῆλθε πρὸς αὐτήν· καὶ συνέλαβε, καὶ ἔτεκε τῷ 'Ιακὼβ υἱόν· καὶ εἶπε Ραχήλ· ἔκρινέ με ὁ Θεός, καὶ ὑπήκουσε τῆς φωνῆς μου, καὶ ἔδωκέ μοι υἱόν. Διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δᾶν»[7]. Βραχεῖαν γοῦν ἔσχε παράκλησιν τεκούσης τῆς παιδίσκης. Διὸ καὶ αὐτὴ τὴν προσηγορίαν ἐπιτίθησι τῷ παιδί, καὶ εὐχαριστεῖ τῷ Δεσπότῃ ὑπὲρ τοῦ τεχθέντος.

«Καὶ συνέλαβε», φησίν, «ἔτι Βάλλα, καὶ ἔτεκε· καὶ εἶπε Ραχήλ· συναντελάβετό μου ὁ Θεός, καὶ συνανεστράφην τῇ ἀδελφῇ μου, καὶ ἠδυνήθην. Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νεφθαλείμ». Καὶ ἐμάνθανε λοιπὸν διὰ τῆς παιδίσκης σαφῶς, ὅτι οὐχ ὁ 'Ιακὼβ αἴτιος αὐτῇ τῆς ἀτεκνίας ἐγένετο. Διὸ καὶ τοὺς τεχθέντας ὡς οἰκείους παῖδας ἀνατρέφει, καὶ τὰς προσηγορίας ἐπιτίθησι, μεγίστην ἑαυτῇ παραμυθίαν ἐντεῦθεν ἐπινοήσασα. «'Ιδοῦσα δέ», φησί, «Λεία, ὅτι ἔστη τοῦ τίκτειν, καὶ αὐτὴ τὴν παιδίσκην τὴν Ζέλφαν ἔδωκε τῷ 'Ιακὼβ εἰς γυναῖκα· καὶ συνέλαβε καὶ ἔτεκε. Καὶ εἶπε Λεία· τετύχηκα», ἀντὶ τοῦ, 'ἐπέτυχον τοῦ σκοποῦ'. «Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Γάδ». Καὶ ἐπειδὴ εἰς ἔργον ἐξῆλθεν αὐτῇ τὸ σπουδασθέν, ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Γάδ. «Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν ἕτερον· καὶ εἶπε Λεία· Μακαρία ἐγώ, ὅτι

---

7. Τὸ ὄνομα Δᾶν εἰς τὴν ἑβραϊκὴν σημαίνει Κρίσις.

μέρειαν καὶ φανερώνων εἰς αὐτὴν τὴν αἰτίαν τῆς στειρότητός της, οὕτως ὥστε νὰ μὴ ἐγκαταλείπῃ τὸν Κύριον καὶ ζητῇ ἀπὸ ἄλλον αὐτά, τὰ ὁποῖα μόνον ἐκεῖνος ἠμπορεῖ νὰ προσφέρῃ. Ὅταν λοιπὸν ἔμαθεν, ὅτι ὁ Θεὸς τῆς ἐστέρησε τὴν τεκνογονίαν καὶ ἔβλεπε τὴν ἀδελφήν της νὰ εὐτυχῇ μὲ τὰ τέκνα της, ὡσὰν νὰ εἶχε παρηγορηθῇ ὀλίγον, λέγει πρὸς τὸν Ἰακώβ. Ἐπειδὴ τώρα μοῦ ἔμαθες, ὅτι δὲν εἶμαι ἄτεκνος ἐξ αἰτίας σου, διὰ τοῦτο νὰ πάρῃς τὴν δούλην μου καὶ νὰ τεκνοποιήσῃς ἀπ' αὐτήν, οὕτως ὥστε νὰ ἠμπορέσω νὰ εὕρω ὀλίγην ἔστω παρηγορίαν, θεωροῦσα ὡς ἰδικά μου αὐτά, τὰ ὁποῖα θὰ γεννήσῃ αὐτή. «Καὶ ἡ Ραχὴλ ἔδωσεν εἰς αὐτόν», λέγει, «τὴν δούλην της Βάλλαν ὡς σύζυγον. Καὶ αὐτοὶ ἦλθον εἰς ἕνωσιν καὶ ἡ Βάλλα συνέλαβε καὶ ἐγέννησεν εἰς τὸν Ἰακὼβ υἱόν. Καὶ ἡ Ραχὴλ εἶπεν· Ὁ Θεὸς μὲ ἔκρινε καὶ ἤκουσε τὴν φωνήν μου καὶ μοῦ ἔδωσεν υἱόν. Διὰ τοῦτο ὠνόμασεν αὐτὸν Δᾶν[7]. Ὅταν ἐγέννησε λοιπὸν ἡ δούλη, ἡ Ραχὴλ εὗρε κάποιαν μικρὰν παρηγορίαν. Διὰ τοῦτο καὶ δίδει αὐτὸ τὸ ὄνομα εἰς τὸν υἱόν της καὶ εὐχαριστεῖ τὸν Κύριον διὰ τὸ γεννηθέν.

«Καὶ συνέλαβε καὶ πάλιν ἡ Βάλλα», λέγει, «καὶ ἐγέννησεν. Καὶ εἶπεν ἡ Ραχήλ· Ὁ Θεὸς μὲ ἐβοήθησε καὶ συνηγωνίσθην τὴν ἀδελφήν μου καὶ ὑπερίσχυσα. Καὶ ὠνόμασε τὸν δεύτερον υἱὸν Νεφθαλείμ»[8]. Κατ' αὐτὸν τὸν τρόπον ἡ Ραχὴλ ἐμάνθανε μὲ βεβαιότητα, ὅτι δὲν ἦτο ὁ Ἰακὼβ αἴτιος τῆς ἀτεκνίας της. Διὰ τοῦτο καὶ ἀνατρέφει τοὺς γεννηθέντας, ὡσὰν νὰ ἦσαν ἰδικά της τέκνα, καὶ δίδει εἰς αὐτὰ ὀνόματα ποὺ τῆς ἔδιδον μεγάλην παρηγορίαν. «Καὶ ὅταν εἶδεν ἡ Λεία», λέγει, «ὅτι ἔπαυσε νὰ γεννᾷ, ἔδωσε καὶ αὐτὴ τὴν δούλην της Ζέλφαν εἰς τὸν Ἰακὼβ ὡς σύζυγον. Καὶ ἡ Ζέλφα συνέλαβε καὶ ἐγέννησεν. Καὶ εἶπεν ἡ Λεία· Εἶμαι εὐτυχιαμένη», ἀντὶ νὰ εἴπῃ ἐπέτυχον τὸν σκοπόν μου. «Καὶ ὠνόμασεν αὐτὸν Γάδ»[9]. Καὶ ἐπειδὴ ἐπέτυχεν αὐτό, τὸ ὁποῖον ἐπεδίωκε, διὰ τοῦτο ἔδωσεν εἰς αὐτὸν τὸ ὄνομα Γάδ. «Καὶ ἡ δούλη Ζελφὰ συνέλαβε καὶ πάλιν καὶ ἐγέννησε καὶ δεύτερον υἱόν. Καὶ εἶπεν ἡ Λεία· Εἶμαι εὐτυχισμένη, διότι θὰ μὲ μακαρίζουν αἱ γυναῖκες.

---

8. Τὸ ὄνομα Νεφθαλεὶμ σημαίνει· Πάλη μου.
9. Τὸ ὄνομα Γὰδ σημαίνει· Εὐτυχία.

μακαριοῦσι με αἱ γυναῖκες· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ 'Ασήρ».

5. Εἶδες καὶ ταύτην τοὺς παρὰ τῆς παιδίσκης τεχθέντας πῶς ᾠκειώσατο, καὶ μακαρίαν ἑαυτὴν εἶναι λέγει, καὶ μακαρισμοῦ ἀξίαν ἐπὶ τῷ τόκῳ τῶν παίδων. 'Αλλ' ὅρα μοι πάλιν τὰ μετὰ ταῦτα, ἵνα μάθης, ὅπως τὸ τῆς ζηλοτυπίας πάθος ἐντεῦθεν ἐκεῖ, κἀκεῖθεν ὧδε μετέβαινε, καὶ ποτὲ μὲν ἐκείνη τούτῳ ἐπολιορκεῖτο, ποτὲ δὲ αὕτη. «'Επορεύθη δέ», φησί, «Ρουβὴν ἐν ἡμέραις θερισμοῦ πυρῶν, καὶ εὗρε μῆλα μανδραγορῶν ἐν τῷ ἀγρῷ, καὶ ἤνεγκεν αὐτὰ τῇ μητρὶ αὐτοῦ. Καὶ εἶπε Ραχὴλ τῇ Λείᾳ· δός μοι τῶν μανδραγορῶν τοῦ υἱοῦ σου. Εἶπε δὲ Λεία· οὐχ ἱκανόν σοι ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ;». 'Ορᾷς πῶς τὸ πάθος τῆς ψυχῆς διὰ τῶν ῥημάτων κατάδηλον ποιεῖ;

«Οὐχ ἱκανόν σοι», φησίν, «ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ; Εἶπε δὲ Ραχήλ· οὐχ οὕτω· κοιμηθήτω δὴ μετὰ σοῦ τὴν νύκτα ταύτην ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ σου». Δός μοι τῶν μανδραγορῶν, καὶ λάβε σήμερον μετὰ σοῦ τὸν ἄνδρα. 'Ορᾷς πῶς δείκνυται ὅλως τῇ εὐνοίᾳ τῆς Ραχὴλ προσκείμενος; Εἰ γὰρ καὶ τοσούτων παίδων χορὸν τικτούσης τῆς Λείας, ἔτι πρὸς τὴν Ραχὴλ ἦν προσκείμενος τῇ εὐνοίᾳ, εἰ μὴ τοῦτο ἐγεγόνει, πῶς ἂν ἐνεγκεῖν ἡ Λεία ἠδυνήθη τὴν μετὰ τῆς ἀδελφῆς συνοίκησιν; 'Ως γὰρ ἐξουσίαν ἅπασαν ἔχουσα τοῦ ἀνδρός, οὕτω προΐεται τῶν μανδραγορῶν τὸν ἄνδρα, καί φησι· «Κοιμηθήτω σήμερον μετὰ σοῦ ἀντὶ τῶν μανδραγορῶν». Πλήρωσόν μου, φησί, τὴν ἐπιθυμίαν τὴν ἐπὶ τοῖς μανδραγόραις, καὶ δέχου τὸν ἄνδρα.

Παραγενομένου δὲ τοῦ 'Ιακώβ, ἐξελθοῦσα εἰς συνάντησιν ἡ Λεία εἶπε· πρὸς ἐμὲ εἰσελεύσῃ σήμερον· μεμίσθωμαι γάρ σε σήμερον ἀντὶ τῶν μανδραγορῶν

---

10. Τὸ ὄνομα 'Ασὴρ σημαίνει· Μακαρισμός.

11. Μανδραγόραι· Φυτὸν τῆς Παλαιστίνης μὲ μικροὺς κιτρίνους καρπούς.

Καὶ ὠνόμασεν αὐτὸν Ἀσήρ»[10].

5. Εἶδες πῶς καὶ αὐτὴ ἐθεώρησεν ὡς ἰδικά της τέκνα αὐτὰ ποὺ ἐγεννήθησαν ἀπὸ τὴν δούλην της καὶ πῶς λέγει, ὅτι εἶναι εὐτυχισμένη καὶ ἀξία μακαρισμοῦ διὰ τὴν γέννησιν αὐτῶν τῶν παιδιῶν. Ἀλλὰ πρόσεχε πάλιν τὰ ἑπόμενα, διὰ νὰ μάθῃς ὅτι τὸ πάθος τῆς ζηλοτυπίας ἐπήγαινεν ἀπ' ἐδῶ ἐκεῖ καὶ ἀπ' ἐκεῖ ἐδῶ καὶ ἄλλοτε μὲν κατελαμβάνετο ἐκείνη ἀπὸ αὐτὸ καὶ ἄλλοτε ἡ ἄλλη. «Καὶ ἐπῆγεν», λέγει, «ὁ Ρουβὴν κατὰ τὸν καιρὸν τοῦ θερισμοῦ τοῦ σίτου εἰς τοὺς ἀγροὺς καὶ εὗρε μανδραγόρας[11] καὶ ἔφερεν αὐτοὺς εἰς τὴν μητέρα του Λείαν. Καὶ εἶπεν ἡ Ραχὴλ εἰς τὴν Λείαν· Δός μου ἀπὸ τοὺς μανδραγόρας τοῦ υἱοῦ σου. Καὶ εἶπεν ἡ Λεία· Δὲν σοῦ φθάνει ποὺ ἐπῆρες τὸν ἄνδρα μου καὶ θέλεις νὰ πάρῃς καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου;». Βλέπεις πῶς φανερώνεται μὲ τοὺς λόγους τὸ πάθος τῆς ψυχῆς;

«Δὲν σοῦ φθάνει», λέγει, «ποὺ ἐπῆρες τὸν ἄνδρα μου καὶ θέλεις νὰ πάρῃς καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου; Καὶ εἶπεν ἡ Ραχήλ· Ὄχι ἔτσι ἁπλῶς· ἂς κοιμηθῇ μαζί σου αὐτὴν τὴν νύκτα ὡς ἀντάλλαγμα διὰ τοὺς μανδραγόρας τοῦ υἱοῦ σου». Δός μου ὀλίγους ἀπὸ τοὺς μανδραγόρας καὶ πάρε σήμερον μαζί σου τὸν Ἰακώβ. Βλέπεις πῶς γίνεται φανερόν, ὅτι ὅλη ἡ ἀγάπη του εἶναι διὰ τὴν Ραχήλ; Πράγματι ἂν καὶ ἡ Λεία ἐγέννησε τόσον πλῆθος τέκνων, ὅμως αὐτὸς ἠγάπα ἀκόμη περισσότερον τὴν Ραχήλ. Ἐὰν δὲν συνέβαινεν αὐτό, πῶς θὰ ἠμποροῦσε ἡ Λεία νὰ ὑποφέρῃ τὴν συγκατοίκησιν μὲ τὴν ἀδελφήν της; Διότι, ὡσὰν νὰ ἔχῃ ὁλοκληρωτικὴν ἐξουσίαν ἐπὶ τοῦ ἀνδρός, ἀνταλλάσσει τὸν ἄνδρα μὲ τοὺς μανδραγόρας καὶ λέγει· «Ἂς κοιμηθῇ μαζί σου αὐτὴν τὴν νύκτα ὡς ἀντάλλαγμα διὰ τοὺς μανδραγόρας τοῦ υἱοῦ σου». Νὰ ἱκανοποιήσῃς, λέγει, τὴν ἐπιθυμίαν μου διὰ τοὺς μανδραγόρας καὶ πάρε τὸν ἄνδρα.

«Καὶ ἦλθεν ὁ Ἰακὼβ τὸ ἑσπέρας ἀπὸ τὸν ἀγρὸν καὶ ἦλθεν ἔξω ἡ Λεία, διὰ νὰ τὸν συναντήσῃ καὶ εἶπεν εἰς αὐτόν. Σήμερον θὰ ἔλθῃς εἰς ἕνωσιν μὲ ἐμέ, διότι σὲ

τοῦ υἱοῦ μου. Καὶ ἐκοιμήθη, φησί, μετὰ αὐτῆς τὴν νύκτα ἐκείνην. Καὶ ἐπήκουσεν ὁ Θεὸς Λείας, καὶ συλλαβοῦσα ἔτεκε τὸν πέμπτον υἱόν. Καὶ εἶπε Λεία· ἔδωκέ μοι ὁ Θεὸς τὸν μισθόν μου, ἀνθ' οὗ ἔδωκα τὴν παιδίσκην μου τῷ ἀνδρί μου. Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ 'Ισαχάρ, ὅ ἐστι μισθός». «'Επήκουσε», φησίν, «ὁ Θεὸς τῆς Λείας». 'Επειδὴ ἑώρα κατώδυνον αὐτὴν οὖσαν καὶ παρευδοκιμουμένην, ἐπήκουσεν αὐτῆς ὁ Θεός, καὶ ἔτεκε καὶ εἶπεν· ἐκομισάμην μισθὸν ὑπὲρ ὧν ἔδωκα τὴν παιδίσκην μου. Διὰ τοῦτο ἐκάλεσεν αὐτὸν 'Ισαχάρ. Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν υἱὸν ἕκτον. Καὶ εἶπε Λεία· δεδώρηταί μοι ὁ Θεὸς δῶρον καλόν. 'Εν τῷ νῦν καιρῷ αἱρετιεῖ με ὁ ἀνήρ μου· τέτοκα γὰρ αὐτῷ υἱοὺς ἕξ. Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβουλών». Λοιπόν, φησίν, ἐπέραστος ἔσομαι κἀγὼ ἀνδρί μου· ἔτεκον γὰρ ἓξ υἱούς. Διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβουλών. «Ἔτεκε δὲ καὶ θυγατέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς Δεῖνα».

«'Εμνήσθη δὲ ὁ Θεός», φησί, «τῆς Ραχήλ, καὶ ἐπήκουσεν αὐτῆς, καὶ ἤνοιξεν αὐτῆς τὴν μήτραν. Καὶ συνέλαβε, καὶ ἔτεκε τῷ 'Ιακὼβ υἱόν. Εἶπε δὲ Ραχήλ· ἀφεῖλέ μου ὁ Θεὸς τὸ ὄνειδος. Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ 'Ιωσήφ, λέγουσα· προσέθετό μοι ὁ Θεὸς υἱὸν ἕτερον». «'Αφεῖλέ μου», φησίν, «ὁ Θεὸς τὸ ὄνειδος»· ἔλυσε τὴν στείρωσιν, κατηλλάγη, καὶ διήγειρέ μου πρὸς παιδοποιίαν τὴν μήτραν, καὶ ἠλευθέρωσέ με τοῦ ὀνειδισμοῦ. «Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ 'Ιωσήφ, λέγουσα· προσέθετό μοι ὁ Θεὸς υἱὸν ἕτερον». 'Ορᾷς πῶς αἱ τοῦ Θεοῦ ὑποσχέσεις κατὰ μικρὸν εἰς ἔργον ἐξῄεσαν; 'Ιδοὺ γὰρ ἀθρόον πόσων παίδων χορὸν ὁ δίκαιος ἔσχε διὰ τὴν τοῦ Θεοῦ περὶ αὐτὸν πρόνοιαν. 'Επειδὴ γὰρ πολλὴν τὴν ὑπομονὴν ἐπεδείξατο ἐν δεκατέσσερσιν ἔτεσι τὴν δουλείαν ἀσπαζόμενος,

12. Τὸ ὄνομα Ζαβουλὼν σημαίνει· Κατοίκησις. Τοῦτο ἐκφράζει τὴν ἐπιθυμίαν τῆς Λείαν νὰ κατοικήσῃ μαζὶ μὲ τὸν 'Ιακώβ.

13. Τὸ ὄνομα Δεῖνα σημαίνει· Κρίσις.

14. Τὸ ὄνομα 'Ιωσὴφ σημαίνει· Προσθήκη.

ἔλαβον ὡς ἀντάλλαγμα σήμερον διὰ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου. Καὶ ἐκοιμήθη», λέγει ἡ Γραφή, «μὲ αὐτὴν κατὰ τὴν νύκτα ἐκείνην. Καὶ ὁ Θεὸς ἤκουσε τὴν προσευχὴν τῆς Λείας καὶ αὐτὴ συνέλαβε καὶ ἐγέννησε πέμπτον υἱόν. Καὶ ἡ Λεία εἶπεν· Ὁ Θεὸς μὲ ἔδωσεν ἀνταμοιβήν, διότι ἔδωσα τὴν δούλην μου εἰς τὸν ἄνδρα μου. Καὶ ὠνόμασεν αὐτόν Ἰσαχάρ, τὸ ὁποῖον σημαίνει μισθός». «Ἤκουσεν ὁ Θεός», λέγει, «τὴν προσευχὴν τῆς Λείας». Ἐπειδὴ ἔβλεπεν, ὅτι αὐτὴ ἦτο πολὺ στενοχωρημένη καὶ παρηγκωνισμένη, ἤκουσεν ὁ Θεός τὴν προσευχήν της καὶ ἐγέννησε καὶ εἶπεν· ἔλαβον ἀνταμοιβὴν ἀπὸ τὸν Θεόν, διότι ἔδωσα εἰς τὸν ἄνδρα μου τὴν δούλην μου. Διὰ τοῦτο ὠνόμασεν αὐτὸν Ἰσαχάρ. «Καὶ ἡ Λεία συνέλαβε καὶ πάλιν καὶ ἐγέννησε τὸν ἕκτον υἱόν. Καὶ εἶπεν ἡ Λεία. Ὁ Θεός μοῦ ἐχάρισεν ἕνα καλὸ δῶρον. Τώρα πλέον θὰ μὲ προτιμᾷ ὁ ἄνδρας μου, διότι ἐγέννησα εἰς αὐτόν ἕξ υἱούς. Καὶ ὠνόμασεν αὐτὸν Ζαβουλών»[12]. Ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς, λέγει, θὰ εἶμαι πολὺ ἀγαπητὴ καὶ ἐγὼ εἰς τὸν ἄνδρα μου, διότι ἐγέννησα ἕξ υἱούς. Διὰ τοῦτο καὶ ὠνόμασεν αὐτὸν Ζαβουλών. «Καὶ ἔπειτα ἡ Λεία ἐγέννησε καὶ θυγατέρα καὶ ὠνόμασεν αὐτὴν Δεῖνα»[13].

«Καὶ ὁ Θεὸς ἐνεθυμήθη τὴν Ραχήλ», λέγει, «ἤκουσε τὴν προσευχήν της καὶ κατέστησεν αὐτὴν γόνιμον. Καὶ συνέλαβεν ἡ Ραχὴλ καὶ ἐγέννησεν εἰς τὸν Ἰακὼβ υἱόν. Καὶ εἶπεν ἡ Ραχήλ. Ὁ Θεὸς ἀφήρεσε τὴν ἐντροπὴν τῆς ἀτεκνίας μου. Καὶ ὠνόμασεν αὐτόν Ἰωσήφ[14] λέγουσα· Ὁ Θεός νὰ προσθέσῃ εἰς ἐμὲ καὶ ἄλλον υἱόν». «Ὁ Θεὸς μοῦ ἀφήρεσε», λέγει, «τὴν ἐντροπὴν τῆς ἀτεκνίας μου». Ἔλυσε τὴν στείρωσιν, ἔγινεν εὐνοϊκὸς εἰς ἐμὲ καὶ μὲ κατέστησε γόνιμον καὶ μὲ ἀπήλλαξεν ἀπὸ τὴν καταισχύνην. «Καὶ ὠνόμασεν αὐτὸν Ἰωσὴφ λέγουσα· νὰ μοῦ προσθέσῃ ὁ Θεὸς καὶ ἄλλον υἱόν». Βλέπεις πῶς πραγματοποιοῦνται ὀλίγον κατ' ὀλίγον αἱ ὑποσχέσεις τοῦ Θεοῦ; Ἰδοὺ λοιπὸν πόσα τέκνα ἀπέκτησεν ὁ δίκαιος ἐξ αἰτίας τῆς προνοίας τοῦ Θεοῦ πρὸς αὐτόν Ἐπειδὴ δηλαδὴ ἔδειξεν ὁ Ἰακὼβ μεγάλην ὑπομονὴν κατὰ τὰ δέκα τέσσαρα ἔτη, κατὰ τὰ

διὰ τοῦτο καὶ ὁ τῶν ὅλων Θεὸς ἀμειβόμενος τοῦ δικαίου τὸ φιλόθεον, εἰς τοσοῦτον αὐτὸν αὐξηθῆναι παρεσκεύασεν, ὡς ἐπίφθονον γενέσθαι λοιπόν, ὡς ἐκ τῶν ἑξῆς μαθησόμεθα, οἷς ἐβουλόμην ἐπεξελθεῖν.

6. Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος τὸν λόγον ἐκτείνοντες παρενοχλεῖν δόξωμεν τῇ ὑμετέρᾳ ἀγάπῃ, εἰ δοκεῖ, τὰ λειπόμενα εἰς τὴν ἑξῆς ταμιευσάμενοι, τὸν λόγον ἐνταῦθα καταπαύσωμεν, ἐκεῖνο παραινέσαντες ὑμῶν τῇ ἀγάπῃ, μεμνῆσθαι τῶν εἰρημένων, ζηλοῦν τῶν παλαιῶν τὴν ἀρετήν, οὕτω τοὺς παῖδας ἑαυτῶν ἐκδιδόναι, οὕτω τὰς θυγατέρας τοῖς νυμφίοις παραδιδόναι, οὕτω διὰ τῆς οἰκείας ἀρετῆς τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν ἐπισπάσασθαι. Ὅταν γὰρ ἐκεῖνος ἡμῖν εὐμενὴς ᾖ, κἂν ἐπ' ἀλλοτρίας ὦμεν, κἂν πάντων ἔρημοι, κἂν μηδενὶ γνώριμοι, πάντων ἐσόμεθα περιφανέστεροι. Οὐδὲν γὰρ μακαριστότερον ἀνδρὸς ὑπὸ τῆς ἄνωθεν χειρὸς βοηθουμένου. Ἐκείνης γὰρ ἀπολαύων τῆς συμμαχίας καὶ ὁ μακάριος Ἰακὼβ ἐπὶ τοσαύτην κατὰ μικρὸν ηὐξήθη περιφάνειαν, ὡς καὶ αὐτοῖς τοῖς ὑποδεξαμένοις ἐπίφθονος γενέσθαι.

Τοῦτο τοίνυν καὶ ἡμεῖς σπουδάζωμεν, ὥστε τῆς ἐκεῖθεν ἀξιοῦσθαι βοηθείας, καὶ μὴ πρὸς τὰς ἀνθρωπίνας καταφεύγωμεν δυναστείας, μηδὲ τὴν τούτων προστασίαν διώκωμεν· οὐδὲν γὰρ ταύτης ἐπισφαλέστερον· καὶ τοῦτο ἡ πεῖρα τῶν πραγμάτων ἡμᾶς ἱκανὴ διδάξαι. Καὶ γὰρ ὁρῶμεν καθ' ἑκάστην ἡμέραν ὀξυρρόπους τὰς μεταβολάς, καὶ εἰς τὸ ἐναντίον ἅπαντα περιτρεπόμενα, καὶ τὸν ἐν τῇ ἀνωτάτω εὐημερίᾳ πρὸ μικροῦ τυγχάνοντα, ἀθρόον εἰς ἐσχάτην δυσπραγίαν καταφερόμενον, καὶ τὰ τῶν καταδίκων πολλάκις ὑπομένοντα. Ποίας οὖν ἂν εἴη παρανοίας τούτων μεταδιώκειν τὴν προστασίαν τῶν ἐν τοσαύτῃ ἀδηλίᾳ

όποῖα εἰργάζετο εἰς τὸν Λάβαν, διὰ τοῦτο καὶ ὁ Θεὸς τοῦ παντὸς ἀμείβων τὴν εὐσέβειαν τοῦ δικαίου τὸν ἔκανε νὰ ἀποκτήσῃ τόσους ἀπογόνους, ὥστε νὰ προκαλέσῃ τὸν φθόνον, ὅπως θὰ μάθωμεν εἰς τὰ ἑπόμενα, τὰ ὁποῖα θὰ ἤθελον νὰ ἐξετάσωμεν μαζί.

6. Ἀλλὰ διὰ νὰ μὴ φανῶ ὅτι ἐκμεταλλεύομαι τὴν ἀγάπην σας, ἐὰν ἐπεκτείνωμεν πολὺ τὴν ὁμιλίαν μας, διὰ τοῦτο, ἐὰν σᾶς φαίνεται καλόν, ἂς ἀφήσωμεν τὰ ὑπόλοιπα δι' αὔριον καὶ ἄς σταματήσωμεν ἐδῶ τὴν ὁμιλίαν μας, ἀφοῦ συμβουλεύσω εἰς τὴν ἀγάπην σας ἐκεῖνο, τὸ νὰ ἐνθυμῆσθε δηλαδὴ ὅσα εἴπομεν, νὰ μιμῆσθε τὴν ἀρετὴν τῶν παλαιῶν, νὰ νυμφεύετε ὅπως ἐκεῖνοι τοὺς υἱούς σας, νὰ ὑπανδρεύετε τὰς θυγατέρας σας ὅπως ἐκεῖνοι, καὶ ἔται νὰ κερδίσετε τὴν ἀγάπην τοῦ Θεοῦ μὲ τὰς ἐναρέτους πράξεις σας. Διότι ὅταν ὁ Θεὸς εἶναι μὲ τὸ μέρος μας, καὶ ἄν ἀκόμη εἴμεθα εἰς ξένον τόπον, καὶ ἂν εἴμεθα τελείως μόνοι, καὶ ἂν ἄγνωστοι εἰς ὅλους, ὅμως θὰ εἴμεθα οἱ περισσότερον ἔνδοξοι ἀπὸ ὅλους. Διότι δὲν ὑπάρχει τίποτε τό εὐτυχέστερον ἀπὸ ἄνθρωπον, ὁ ὁποῖος βοηθεῖται ἐκ τῶν ἄνω. Καθ' ὅσον καὶ ὁ μακάριος Ἰακὼβ εἶχεν ἐκείνην τὴν βοήθειαν καὶ ἔφθασεν ὀλίγον κατ' ὀλίγον εἰς τόσην δόξαν, ὥστε νὰ τὸν φθονήσουν καὶ αὐτοί, οἱ ὁποῖοι τὸν ἐδέχθησαν.

Αὐτὸ λοιπὸν ἄς ἐπιδιώκωμεν καὶ ἡμεῖς ὥστε νὰ γίνωμεν ἄξιοι ἐκείνης τῆς βοηθείας καὶ νὰ μὴ καταφεύγωμεν πρὸς τὴν δύναμιν τῶν ἀνθρώπων, οὔτε νὰ ἐπιδιώκωμεν τὴν προστασίαν ἀπὸ ἐκείνους, διότι δὲν ὑπάρχει τίποτε περισσότερον ἐπισφαλὲς ἀπὸ αὐτήν. Καὶ τοῦτο εἶναι δυνατὸν νὰ μᾶς τὸ διδάξῃ ἡ πεῖρα τῶν πραγμάτων. Βλέπομεν πράγματι καθημερινῶς ἀποτόμους μεταβολὰς καὶ ὅτι τὰ πάντα ἀνατρέπονται καὶ αὐτὸς ποὺ πρὶν ἀπ' ὀλίγον ἦτο εἰς τὴν καλυτέραν εὐημερίαν νὰ εὑρίσκεται ἐντὸς ὀλίγον εἰς τὴν ἐσχάτην δυστυχίαν καὶ νὰ ὑπομένῃ πολλὰς φοράς, ὅσα ὑπομένουν οἱ κατάδικοι. Πόσην ἀνοησίαν φανερώνει τὸ νὰ ἐπιδιώκωμεν τὴν προστασίαν ἐκείνων, οἱ ὁποῖοι εὑρίσκονται εἰς τόσον μεγάλην ἀνασφάλειαν καὶ

τυγχανόντων, καὶ οὐδὲ τὰ καθ' ἑαυτοὺς ἱκανῶν ὄντων μετὰ ἀσφαλείας διαθεῖναι; Διὸ πάσης μὲν ἀνθρωπίνης προστασίας ἑαυτοὺς ἀποστήσωμεν, μεμνημένοι καὶ τοῦ προφήτου λέγοντος· «Ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον». Ὁρᾷς ὅτι ὁ τοιοῦτος οὐ μόνον ἀνόητος, ἀλλὰ καὶ ἐπικατάρατος, ἅτε δὴ καταλιπὼν τὸν τῶν ἁπάντων Δεσπότην, καὶ πρὸς τὸν ὁμόδουλον τρέχων, τὸν οὐδὲ ἑαυτῷ ἀρκέσαι δυνάμενον;

Φεύγωμεν τοίνυν τὴν κατάραν ταύτην, παρακαλῶ, καὶ τὴν ἐλπίδα πᾶσαν ἐπὶ τὸν Θεὸν μεταστήσωμεν. Αὕτη γὰρ βεβαία καὶ ἀκίνητος καὶ μεταβολὴν οὐκ ἐπιδεχομένη, καθάπερ ἡ ἐπὶ τῶν ἀνθρώπων. Ἢ γὰρ θάνατος ἐνταῦθα διέκοψε τὴν προστασίαν, καὶ γυμνοὺς καὶ ἐρήμους γενέσθαι παρεσκεύασε τοὺς ἐπὶ τοῦτον καταφεύγοντας· ἢ καὶ πρὸ τοῦ θανάτου μεταβολὴ πραγμάτων ἐπελθοῦσα, ἅπαντα ἄκυρα ἀμφοῖν πεποίηκε. Καὶ τούτων τῶν παραδειγμάτων πᾶς γέμει ὁ βίος. Διὸ οὐδὲ συγγνώμης εἰσὶν ἄξιοι, οἱ μετὰ τὴν τοσαύτην πεῖραν ἔτι ἀνθρωπίνῃ προστασίᾳ προστετηκότες, καὶ πολλάκις ὑπ' αὐτῶν τῶν δοκούντων εἶναι προστατῶν τὰ μυρία δεινὰ ὑπομένοντες.

Τοσαύτη γὰρ τῆς κακίας ἡ ὑπερβολή, ὡς καὶ τοὺς θεραπεύοντας τοῖς ἐναντίοις ἀμείβεσθαι. Ἐπὶ δὲ τοῦ τῶν ὅλων Θεοῦ ἅπαν τοὐναντίον· καὶ ἀγνωμονοῦντας ἡμᾶς ἑκάστοτε εὐεργετεῖ, καὶ τὴν οἰκείαν ἀπονέμει προστασίαν, οὐ πρὸς τὴν ἡμετέραν ὁρῶν ἀγνωμοσύνην, ἀλλὰ τὴν οἰκείαν ἐν ἅπασι φιλανθρωπίαν μιμούμενος· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

15. Ἱερ. 17, 5.

δὲν ἠμποροῦν νὰ τακτοποιήσουν τὰ ἰδικά των ζητήματα μὲ βεβαιότητα; Διὰ τοῦτο ἂς ἀπομακρυνθοῦμεν ἀπὸ κάθε ἀνθρωπίνην προστασίαν ἐνθυμούμενοι καὶ τὸν προφήτην, ὁ ὁποῖος λέγει· «Ἐπικατάρατος ὁ ἄνθρωπος ποὺ στηρίζει τὰς ἐλπίδας του εἰς ἄλλον ἄνθρωπον»[15]. Βλέπεις ὅτι ὁ παρόμοιος ἄνθρωπος ὄχι μόνον δὲν εἶναι ἀνόητος, ἀλλὰ καὶ ἐπικατάρατος, διότι ἐγκαταλείπει τὸν Κύριον τοῦ παντὸς καὶ τρέχει πρὸς τὸν σύνδουλόν του, ποὺ δὲν ἠμπορεῖ οὔτε τὸν ἑαυτόν του νὰ ὑπερασπίσῃ;

Ἂς ἀποφεύγωμεν λοιπόν, παρακαλῶ, αὐτὴν τὴν κατάραν καὶ ἂς στηρίξωμεν τὴν κάθε ἐλπίδα μας εἰς τὸν Θεόν. Διότι αὐτὴ εἶναι σίγουρη καὶ σταθερὰ καὶ δὲν ἐπιδέχεται μεταβολήν, ὅπως ἡ ἀνθρωπίνη. Καθ' ὅσον ἢ ὁ θάνατος διέκοψεν ἐδῶ τὴν προστασίαν καὶ κατέστησεν αὐτοὺς ποὺ κατέφευγον εἰς τὸν θανόντα, γυμνοὺς καὶ ἐρήμους, ἢ καὶ πρὶν ἀπὸ τὸν θάνατον κάποια ἀπρόβλεπτος μεταβολὴ τῶν πραγμάτων κατέστησεν ἀκύρους τὰς συμφωνίας. Καὶ ὁλόκληρος ἡ ζωὴ εἶναι πλήρης ἀπὸ τέτοια παραδείγματα. Διὰ τοῦτο οὔτε συγγνώμης εἶναι ἄξιοι αὐτοὶ ποὺ μετὰ ἀπὸ τόσην πεῖραν παραμένουν ἀκόμη ὑπὸ τὴν ἀνθρωπίνην προστασίαν, ἂν καὶ πολλὰς φορὰς ἔχουν ὑποφέρει ἀναρίθμητα κακὰ ἀπὸ τοὺς ἰδίους τοὺς θεωρουμένους προστάτας των.

Τόσον δηλαδὴ εἶναι τὸ μέγεθος τῆς κακίας, ὥστε καὶ αὐτούς, οἱ ὁποῖοι τὴν ὑπηρετοῦν, τοὺς ἀμείβει μὲ τὰ ἀντίθετα. Ὅσον ἀφορᾷ δὲ τὸν Θεὸν τοῦ παντὸς μὲ αὐτὸν συμβαίνει τελείως τὸ ἀντίθετον. Μᾶς εὐεργετεῖ δηλαδὴ πάντοτε, καὶ ἂν ἀκόμη εἴμεθα ἀγνώμονες, καὶ μᾶς προσφέρει τὴν προστασίαν του χωρὶς νὰ δίδῃ σημασίαν εἰς τὴν ἰδικήν μας ἀγνωμοσύνην, ἀλλὰ ἀποδεικνύων παντοῦ τὴν ἰδικήν του φιλανθρωπίαν, τὴν ὁποίαν εἴθε ν' ἀπολαύσωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΖ΄
(Γεν. 30. 25 - 31, 55)

«Ἐγένετο δὲ ὡς ἔτεκε Ραχὴλ τὸν Ἰωσήφ, εἶπεν ὁ Ἰακὼβ τῷ Λάβαν· ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου καὶ εἰς τὴν γῆν μου».

1. Τὰ λειπόμενα τῶν χθὲς εἰρημένων ἀναγκαῖον ἀποδοῦναι σήμερον τῇ ὑμετέρᾳ ἀγάπῃ, ἵνα καὶ ἐκ τῶν νῦν λεγομένων καὶ τὴν τοῦ Θεοῦ κηδεμονίαν, ἣν περὶ τὸν Ἰακὼβ ἐπεδείκνυτο, καὶ τὸ τοῦ δικαίου φιλόθεον καταμαθόντες, ζηλώσωμεν τοῦ ἀνδρὸς τὴν ἀρετήν. Οὐδὲ γὰρ ἁπλῶς ἡμῖν τὰς ἱστορίας ταύτας ἀναγράπτους ἡ τοῦ Πνεύματος χάρις γενέσθαι παρεσκεύασεν, ἀλλ' ἵνα πρὸς μίμησιν ἡμᾶς διεγείρῃ καὶ ζῆλον τῶν ἐναρέτων ἀνδρῶν. Ὅταν γὰρ ἀκούσωμεν τοῦ μὲν τὴν ὑπομονήν, τοῦ δὲ τὴν σωφροσύνην, ἑτέρου τὸ περὶ τὴν φιλοξενίαν ἕτοιμον, καὶ ἑκάστου τὴν πολλὴν ἀρετήν, καὶ ὅπως τούτων ἕκαστος διέλαμψε καὶ περιφανέστερος γέγονεν, εἰς ὅμοιον διεγειρόμεθα ζῆλον. Φέρε οὖν καὶ τὰ λειπόμενα τῆς κατὰ τὸν δίκαιον τοῦτον ἱστορίας σήμερον ἐπελθόντες, τέλος ἐπιθῶμεν τῷ λόγῳ.

«Ἐγένετο δέ», φησίν, «ὡς ἔτεκε Ραχὴλ τὸν Ἰωσήφ, εἶπεν Ἰακὼβ τῷ Λάβαν· ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου καὶ εἰς τὴν γῆν μου. Ἀπόδος μοι τὰς γυναῖκας καὶ τὰ παιδία μου, περὶ ὧν δεδούλευκά σοι». Ὅρα τοῦ δικαίου τὴν πολλὴν εὐγνωμοσύνην, πῶς ὁρῶν ἐναργῆ τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν περὶ αὐτόν, οὐδὲν μέγα ἐφρόνησε κατὰ τοῦ Λάβαν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας φησίν, «Ἀ-

ΟΜΙΛΙΑ ΝΖ΄
(Γεν. 30. 25 - 31, 55)

«Καὶ ὅταν ἡ Ραχὴλ ἐγέννησε τὸν Ἰωσήφ, ὁ Ἰακὼβ εἶπεν εἰς τὸν Λάβαν· Νὰ μοῦ ἐπιτρέψῃς νὰ ἀπέλθω εἰς τὴν πατρίδα μου καὶ εἰς τὴν χώραν μου».

1. Εἶναι ἀνάγκη νὰ παρουσιάσω εἰς τὴν ἀγάπην σας σήμερον τὰ ὑπόλοιπα ἀπ' ὅσα εἶπα χθές, ὥστε, ἀφοῦ μάθωμεν καὶ ἀπὸ αὐτὰ πού λέγομεν τώρα καὶ τὴν πρόνοιαν πού ἔδειχνεν ὁ Θεὸς πρὸς τὸν Ἰακὼβ καὶ τὴν εὐσέβειαν τοῦ δικαίου, νὰ γίνωμεν ζηλωταὶ τῆς ἀρετῆς αὐτοῦ τοῦ ἀνδρός. Διότι ἡ χάρις τοῦ ἁγίου Πνεύματος δὲν ἐπέτρεψε χωρὶς λόγον νὰ μᾶς παραδοθοῦν γραπτῶς αἱ ἱστορίαι αὐταί, ἀλλὰ διὰ νὰ μιμηθῶμεν καὶ νὰ ἀκολουθήσωμεν τὸ παράδειγμα τῶν ἐναρέτων ἀνδρῶν. Ὅταν δηλαδὴ μάθωμεν τὴν ὑπομονὴν τοῦ ἑνός, τὴν σωφροσύνην τοῦ ἄλλου, τὴν αὐθόρμητον φιλοξενίαν τοῦ ἄλλου καὶ τὴν πολλὴν ἀρετὴν τοῦ καθενὸς καὶ τὸν τρόπον, μὲ τὸν ὁποῖον ὁ καθένας ἔλαμψε καὶ ἔγινε περισσότερον ἔνδοξος, τότε θὰ μεγαλώσῃ καὶ ὁ ἰδικός μας ζῆλος. Ἐμπρὸς λοιπὸν νὰ τελειώσωμεν σήμερον τὸν λόγον μας, ἀφοῦ ἐξετάσωμεν καὶ τὴν ὑπόλοιπον ἱστορίαν τὴν σχετικὴν μὲ τὸν δίκαιον.

«Καὶ συνέβη», λέγει, «ὅταν ἐγέννησεν ἡ Ραχὴλ τὸν Ἰωσήφ, εἶπεν ὁ Ἰακὼβ εἰς τὸν Λάβαν· Νὰ μοῦ ἐπιτρέψῃς νὰ ἀπέλθω εἰς τὴν πατρίδα μου καὶ εἰς τὴν χώραν μου. Δός μου τὰς γυναῖκάς μου καὶ τὰ τέκνα μου, διὰ τοὺς ὁποίους ἐδούλευσα εἰς σέ». Πρόσεχε τὴν πολὺ καλὴν διάθεσιν τοῦ δικαίου, πῶς δηλαδή, ἂν καὶ ἔβλεπε τὴν πρὸς αὐτὸν συνεχῆ εὔνοιαν τοῦ Θεοῦ, ὅμως δὲν περιεφρόνησε τὸν Λάβαν, ἀλλὰ εἶπεν εἰς αὐτὸν μὲ πολλὴν

πόστειλόν με, ἵνα ἀπέλθω». Ἀληθῶς οὐδὲν ἐπιεικείας ἰσχυρότερον, καὶ οὐδὲν ταύτης δυνατώτερον. Ὅρα γοῦν, ἐπειδὴ προλαβὼν τῇ ἐπιεικείᾳ ἐχρήσατο, ὅπως καὶ τὸν Λάβαν παρεσκεύασε μετὰ πολλῆς τῆς εὐγνωμοσύνης τὴν πρὸς αὐτὸν ἀπόκρισιν ποιήσασθαι. «Εἶπε γὰρ αὐτῷ», φησί, «Λάβαν· εἰ εὗρον χάριν ἐναντίον σου· οἰωνισάμην ἄν· εὐλόγησε γάρ με ὁ Θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ. Διάστειλον τὸν μισθόν σου πρός με, καὶ δώσω». Οὐκ ἀγνοῶ, φησίν, ὅτι μετὰ τὴν σὴν παρουσίαν πλουσίως ἀπήλαυσα τῆς παρὰ τοῦ Θεοῦ εὐνοίας. Ἐπεὶ οὖν αἰσθάνομαι τῆς εὐεργεσίας, ἧς διὰ τὴν σὴν παρουσίαν ἔτυχον, ὃν βούλει μισθὸν πρότεινον, κἀγὼ ἑτοίμως παρέξω.

Σκόπει πόσον ἐστὶν ἐπιείκεια, καὶ μὴ ἁπλῶς παραδράμωμεν τὸ εἰρημένον· ἀλλ' ἐννόησον ὅτι οὐδὲ μνήμην ποιησαμένου τοῦ δικαίου, οὐδὲ ἐπιζητήσαντος τὸν μισθὸν τῶν καμάτων, ἀλλὰ τοῦτο μόνον εἰρηκότος, ὅτι «Ἀπόδος μοι τὰς γυναῖκας καὶ τὰ παιδία, ὑπὲρ ὧν δεδούλευκά σοι», ἵνα ἀπέλθω, ἐκεῖνος αἰδεσθεὶς τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, φησίν· εἰπὲ τίνα βούλει μισθὸν παρ' ἐμοῦ σοι δοθῆναι, καὶ τοῦτον προθύμως δώσω. Μὴ γὰρ οὐ σὺν αὐτῷ ἦσαν αἱ γυναῖκες καὶ τὰ παιδία; Τίνος οὖν ἕνεκεν ἔλεγεν· «Ἀπόδος μοι τὰς γυναῖκας καὶ τὰ παιδία»; Τὴν προσήκουσαν αὐτῷ τιμὴν ἀπονέμων, καὶ τὸν οἰκεῖον τρόπον διὰ πάντων ἐμφαίνων, καὶ μετ' ἐλευθερίας τὴν ἀναχώρησιν ποιήσασθαι βουλόμενος. Ὅρα γοῦν ἐκ τῶν ῥημάτων τούτων ὅπως ἐφελκύσατο τὸν Λάβαν, ὡς καὶ μισθὸν ἐπαγγείλασθαι προσθεῖναι, καὶ τούτῳ αὐτῷ ἐπιτρέψαι τὴν αἵρεσιν.

Τί οὖν ὁ δίκαιος; Ὅρα πάλιν τῆς αὐτοῦ ἐπιεικείας τὴν ὑπερβολήν, καὶ ὅπως οὐδὲ οὕτως ἐπαχθὴς γίνεται καὶ φορτικὸς τῷ Λάβαν. Ἀλλὰ τί; Πάλιν αὐτὸν μάρτυρα καλεῖ τῆς εὐγνωμοσύνης αὐτοῦ, καὶ τῆς

καλωσύνην· «Νὰ μοῦ ἐπιτρέψῃς νὰ ἀπέλθω». Πράγματι δὲν ὑπάρχει τίποτε τὸ ἰσχυρότερον καὶ δυνατώτερον ἀπὸ τὴν καλὴν θέλησιν. Πρόσεχε λοιπὸν μὲ ποῖον τρόπον ἔκανε τὸν Λάβαν νὰ τοῦ ἀπαντήσῃ μὲ εὐγνωμοσύνην, ἀφοῦ πρῶτος αὐτὸς ὡμίλησε μὲ καλωσύνην. Διότι λέγει, «Εἶπεν εἰς αὐτὸν ὁ Λάβαν· Παρακαλῶ νὰ εὕρω χάριν ἔμπροσθέν σου. Ἔμαθα ἀπὸ οἰωνούς, ὅτι ἐξ αἰτίας σου μὲ εὐλόγησεν ὁ Θεός. Ὅρισε τί ἀμοιβὴν θέλεις καὶ θὰ σοῦ τὴν δώσω». Δὲν ἀγνοῶ, λέγει, ὅτι μὲ τὴν ἰδικήν σου παρουσίαν ἀπήλαυσα τὴν πλουσίαν χάριν τοῦ Θεοῦ. Ἐπειδὴ λοιπὸν ἀντιλαμβάνομαι τὴν εὐεργεσίαν, τὴν ὁποίαν εὗρον ἐξ αἰτίας τῆς ἰδικῆς σου παρουσίας, διὰ τοῦτο πρότεινε, τί ἀμοιβὴν θέλεις καὶ ἐγὼ θὰ σοῦ δώσω αὐτὴν μὲ μεγάλην προθυμίαν.

Σκέψου πόσον μεγάλο πρᾶγμα εἶναι ἡ καλωσύνη καὶ ἂς μὴ προσπεράσωμεν χωρὶς προσοχὴν αὐτὸ πού ἐλέχθη. Σκέψου ὅμως ὅτι, ἂν καὶ δὲν ἀνέφερε τίποτε ὁ δίκαιος καὶ ἂν καὶ δὲν ἐζήτησεν ἀμοιβὴν διὰ τοὺς κόπους του, ἀλλ' εἶπε μόνον αὐτό, δηλαδὴ «Δός μου τὰς γυναῖκάς μου καὶ τὰ τέκνα μου, διὰ τοὺς ὁποίους ἐδούλευσα εἰς σέ», καὶ νὰ ἀπέλθω, ἐκεῖνος ὅμως ἐντραπεὶς διὰ τὴν πολλὴν καλωσύνην τοῦ δικαίου λέγει. Νὰ μοῦ εἰπῇς ποίαν ἀμοιβὴν θέλεις ἀπ' ἐμὲ καὶ ἐγὼ θὰ σοῦ δώσω αὐτὴν μὲ πολλὴν προθυμίαν. Μήπως δηλαδὴ δὲν ἦσαν μαζί του αἱ γυναῖκες καὶ τὰ τέκνα του; Διατί λοιπὸν ἔλεγε, «Δός μου τὰς γυναῖκας καὶ τὰ τέκνα μου»; Διότι ἤθελε νὰ τοῦ ἀπονείμῃ τὴν πρέπουσαν τιμήν, νὰ φανερώσῃ μὲ τὸ κάθε τι τὸν χαρακτῆρα του καὶ νὰ ἀναχωρήσῃ ἄνευ ὑποχρεώσεων. Πρόσεχε λοιπὸν πῶς προσείλκυσε τὴν εὔνοιαν τοῦ Λάβαν μὲ τοὺς λόγους αὐτούς, ὥστε νὰ ὑποσχεθῇ, ὅτι θὰ δώσῃ εἰς αὐτὸν ἀμοιβὴν καὶ θὰ ἐπιτρέψῃ εἰς αὐτὸν τὸν ἴδιον νὰ κάμῃ τὴν ἐκλογήν.

Τί λοιπὸν ἀπήντησεν ὁ δίκαιος; Βλέπε πάλιν τὸ μέγεθος τῆς καλωσύνης του καὶ μὲ ποῖον τρόπον δὲν γίνεται ἐπαχθὴς καὶ φορτικὸς εἰς τὸν Λάβαν. Ἀλλὰ τί κάνει; Καλεῖ πάλιν αὐτὸν μάρτυρα τῆς εὐγνωμοσύνης του καὶ

ἐν τῷ χρόνῳ παντὶ γενομένης παρ' αὐτῷ εὐνοίας περὶ τὴν δουλείαν. «Σὺ γινώσκεις», φησίν, «ἃ δεδούλευκά σοι, καὶ ὅσα ἦν κτήνη σου μετ' ἐμοῦ. Μικρὰ γὰρ ἦν ὅσα σοι ἐναντίον ἐμοῦ, καὶ ηὐξήθη εἰς πλῆθος, καὶ εὐλόγησέ σε Κύριος ἐπὶ τῷ ποδί μου· νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον;». Σὲ μάρτυρα, φησί, καλῶ τῶν καμάτων τῶν ἐμῶν. Οἶδας γὰρ πῶς μετ' εὐνοίας τὰ παρ' ἐμαυτοῦ ἅπαντα ἐπεδειξάμην, καὶ ὅπως εὐαρίθμητα λαβὼν τὰ θρέμματά σου, τῇ ἐπιμελείᾳ τῇ ἐμαυτοῦ καὶ τῇ ἀγρυπνίᾳ εἰς πλῆθος αὐτὰ ἐπιδοῦναι πεποίηκα. Εἶτα ἐπιδεικνὺς ἑαυτοῦ τὸ φιλόθεον, φησίν· «Εὐλόγησε γάρ σε Κύριος ἐπὶ τῷ ποδί μου· νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον;».

Οἶδας καὶ αὐτὸς ὅτι μετὰ τὴν ἐμὴν παρουσίαν ἡ ἄνωθεν χάρις ηὔξησέ σου τὴν περιουσίαν. Νῦν οὖν, ἐπειδὴ κἀγὼ τὰ παρ' ἐμαυτοῦ πάντα ἐπεδειξάμην μετὰ πάσης εὐνοίας, τὴν ὑπηρεσίαν ἀποπληρώσας, καὶ ἡ παρὰ τοῦ Θεοῦ ῥοπὴ δήλη γέγονε, δίκαιον κἀμὲ ἐμαυτῷ ποιῆσαι οἶκον. Τί δέ ἐστι, «ποιῆσαι ἐμαυτῷ οἶκον»; 'Αντὶ τοῦ, ἐν ἐλευθερίᾳ λοιπὸν διάγειν, καὶ οἰκίας φροντίδα ἰδίας ποιήσασθαι. Ταῦτα ἀκούσας ὁ Λάβαν, «Εἶπεν αὐτῷ· Τί σοι δώσω;» ἢ τί βούλει παρ' ἐμοῦ σοι δοθῆναι; εἰπέ. 'Ομολογῶ γὰρ κἀγώ, καὶ οὐκ ἀρνηθείην· οἶδα γὰρ ὅσα μοι ὑπῆρξε παρὰ τοῦ Θεοῦ, καὶ ὅτι εὐλόγησέ με ὁ Θεὸς τῇ σῇ εἰσόδῳ.

«Εἶπε δέ», φησίν, «αὐτῷ 'Ιακώβ· οὐ δώσεις μοι οὐδέν. 'Εὰν δὲ ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου». Οὐδέν, φησί, βούλομαι παρὰ σοῦ μισθῶν ἕνεκα κομίσασθαι, ἀλλὰ τοῦτο μόνον ὃ λέγω καταδέξασθαι, καὶ «Πάλιν ποιμανῶ τὰ πρόβατά σου». Ὃ δὲ βούλομαι, ἔστι τοῦτο. Ὅρα τὸν δίκαιον, ἐπειδὴ ἐπεποίθει τῇ περὶ αὐτὸν τοῦ Θεοῦ ῥοπῇ, οἵαν

τῆς καλωσύνης, τὴν ὁποίαν ἐπέδειξε πρὸς αὐτὸν καθ' ὅλον τὸν χρόνον, κατὰ τὸν ὁποῖον ἐδούλευεν εἰς αὐτόν. «Σὺ γνωρίζεις», λέγει, «μὲ ποῖον τρόπον ἐδούλευσα εἰς σὲ καὶ πόσα ἔγιναν τὰ κτήνη σου ἐξ αἰτίας μου. Διότι ἦσαν ὀλίγα, ὅσα εἶχες πρὶν ἀπ' ἐμὲ καὶ τώρα μὲ τὸν ἐρχομόν μου ἐπολλαπλασιάσθησαν καὶ ἔλαβες τὴν εὐλογίαν τοῦ Κυρίου. Τώρα λοιπὸν πότε θὰ φροντίσω καὶ ἐγὼ διὰ τὴν ἰδικήν μου οἰκίαν»; Σέ, λέγει, ἐπικαλοῦμαι ὡς μάρτυρα τῶν κόπων μου. Διότι γνωρίζεις, ὅτι ἔκαμα τὰ πάντα, ὅσον ἐξαρτᾶται ἀπ' ἐμέ, μὲ ἀγάπην καὶ ὅτι, ἂν καὶ παρέλαβον ὀλιγάριθμα τὰ ζῶα σου, μὲ τὴν ἰδικήν μου φροντίδα καὶ ἐπιμέλειαν ἔκαμα αὐτὰ νὰ γίνουν πολυάριθμα. Ἔπειτα φανερώνων καὶ τὴν εὐσέβειάν του λέγει· «Μὲ τὸν ἐρχομόν μου ἔλαβες τὴν εὐλογίαν τοῦ Κυρίου. Τώρα λοιπὸν πότε θὰ φροντίσω καὶ ἐγὼ διὰ τὴν ἰδικήν μου οἰκίαν»;

Γνωρίζεις καὶ σὺ ὁ ἴδιος, ὅτι μὲ τὴν ἰδικήν μου παρουσίαν ἡ χάρις τοῦ Θεοῦ ηὔξησε τὴν περιουσίαν σου. Τώρα λοιπόν, ἐπειδὴ καὶ ἐγὼ ἔκαμα μὲ πολλὴν ἀγάπην, ὅ,τι ἠμποροῦσα, ἀφοῦ ἐτελείωσεν ἡ ἀποστολή μου, καὶ ἔγινε φανερὰ καὶ ἡ εὐλογία τοῦ Θεοῦ, πρέπει νὰ κάμω καὶ ἐγὼ τὴν ἰδικήν μου οἰκογένειαν. Τί σημαίνει «Νὰ κάμω ἰδικήν μου οἰκογένειαν»; Ἀντὶ νὰ ζῶ εἰς τὸ ἑξῆς ἐλεύθερος, νὰ φροντίζω διὰ τὴν ἰδικήν μου οἰκογένειαν. Ὅταν ἤκουσεν αὐτὰ ὁ Λάβαν, «Εἶπεν εἰς αὐτόν· Τί νὰ σοῦ δώσω;». Ἢ νὰ μοῦ εἰπῇς σύ· τί θέλεις νὰ σοῦ δώσω; Διότι ὁμολογῶ καὶ ἐγὼ καὶ δὲν θὰ ἠμποροῦσα νὰ τὸ ἀρνηθῶ. Διότι γνωρίζω, πόσα μοῦ ἔδωσεν ὁ Θεὸς καὶ πόσον μὲ εὐλόγησε μὲ τὸν ἐρχομόν σου.

«Καὶ εἶπεν ὁ Ἰακὼβ εἰς αὐτόν», λέγει, «Δὲν θὰ μοῦ δώσῃς τίποτε. Ἐὰν θὰ μοῦ κάνῃς αὐτὸ ποὺ θὰ σοῦ εἰπῶ, θὰ συνεχίσω νὰ βόσκω τὰ πρόβατά σου». Δὲν θέλω νὰ πάρω τίποτε ἀπὸ σέ, λέγει, ὡς ἀμοιβήν, ἀλλὰ νὰ δεχθῇς αὐτὸ ποὺ θὰ σοῦ εἰπῶ καὶ «Θὰ συνεχίσω νὰ βόσκω τὰ πρόβατά σου». Αὐτὸ τὸ ὁποῖον θέλω, αὐτὸ εἶναι. Πρόσεχε ποίαν πρότασιν κάνει ὁ δίκαιος πρὸς τὸν Λάβαν, ἐπει-

πρότασιν τῷ Λάβαν προτίθησι. «Παρελθέτω», φησί, «τὰ πρόβατά σου σήμερον, καὶ διαχώρισον ἐκεῖθεν πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἄρνασι, καὶ πᾶν διάλευκον καὶ ῥαντὸν ἐν ταῖς αἶξιν ἔσται μοι μισθός. Καὶ ἐπακούσεταί μου ἡ δικαιοσύνη μου ἐν τῇ ἡμέρᾳ τῇ αὔριον, ὅτι ἐστὶν ὁ μισθός μου ἐνώπιόν σου· πᾶν ὃ ἂν μὴ ᾖ ῥαντὸν καὶ διάλευκον ἐν ταῖς αἰξί, καὶ φαιὸν ἐν τοῖς ἄρνασι, κεκλεμμένον ἔσται μοι».

2. Σκόπει τοῦ δικαίου τὴν σύνεσιν. Ἐπειδὴ ᾔδει, ὅσης ἀξιοῦται τῆς ἄνωθεν εὐνοίας, καὶ ἐδόκει κατὰ τὴν τῆς φύσεως ἀκολουθίαν τοῦτο ἢ δυσχερὲς εἶναι, ἢ καὶ πάντῃ ἀδύνατον (σπάνιον ἦν γάρ ποτε τοῦτο, ἐνηλλαγμένην εἶναι τὴν χροιὰν τῶν τικτομένων), ταῦτα αἰτεῖται παρ' αὐτοῦ, ὅθεν καὶ ταχέως ἐπέδραμεν ὁ Λάβαν τῇ αἰτήσει, καί φησιν, «Ἔστω κατὰ τὸ ῥῆμά σου. Καὶ διέστελεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοὺς τράγους τοὺς ῥαντοὺς καὶ διαλεύκους, καὶ πάσας τὰς αἶγας τὰς ῥαντὰς καὶ τὰς διαλεύκους, καὶ πᾶν ὃ ἦν λευκὸν ἐπ' αὐτοῖς, καὶ πᾶν ὃ ἦν φαιὸν ἐν τοῖς ἄρνασι, καὶ ἔδωκε διὰ χειρὸς τῶν υἱῶν αὐτοῦ· καὶ ἀπέστησεν ὁδὸν τριῶν ἡμερῶν ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Ἰακώβ». Χωρίσας, φησί, τὰ ποίμνια κατὰ τὴν τοῦ Ἰακὼβ πρότασιν, ἔδωκε τοῖς υἱοῖς αὐτοῦ. «Ἰακὼβ δὲ ἐποίμανε τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέντα». Ποῖα δὴ ταῦτα; Τὰ μηδεμίαν ἔχοντα ἐν τῇ χροιᾷ διαφοράν. Τοῦτο δὲ πᾶν ἐγένετο, ἵνα καὶ ὁ δίκαιος διὰ τῶν πραγμάτων μάθῃ τοῦ Θεοῦ τὴν πολλὴν περὶ αὐτὸν κηδεμονίαν, καὶ ὁ Λάβαν ἴδῃ ὅσης ἀπολαύει τῆς ἄνωθεν ῥοπῆς ὁ Ἰακώβ.

«Ἔλαβε δέ», φησίν, «ἑαυτῷ ὁ Ἰακὼβ ῥάβδον στυρακίνην χλωρὰν καὶ καρυΐνην καὶ πλατάνου, καὶ ἐλέπισεν αὐτὰς ὁ Ἰακὼβ λεπίσματα λευκά, περισύρας τὸ χλωρόν· ἐφαίνετο δὲ ἐπὶ ταῖς ῥάβδους τὸ λευκόν, ὃ

1. Ὅπως φαίνεται ἀπὸ τὴν διήγησιν αἱ λευκαὶ καὶ ποικιλόχρωμοι αἶγες καὶ τὰ μαῦρα πρόβατα ἦσαν σπάνια. Διὰ ταῦτο ὁ Ἰακὼβ ἐπρατίμησε τὰ ὀλίγα.

δὴ εἶχεν ἐμπιστοσύνην εἰς τὴν πρὸς αὐτὸν εὐλογίαν τοῦ Θεοῦ. «Ἂς περάσουν», λέγει, «σήμερον τὰ πρόβατά σου ἀπ' ἐμπρός μου καὶ σὺ νὰ διαχωρίσῃς ἀπ' αὐτὰ κάθε μαῦρον πρόβατον καὶ κάθε λευκὴν ἢ παρδαλὴν αἶγα καὶ αὐτὰ θὰ εἶναι ἡ ἀμοιβή μου. Καὶ ἡ δικαιοσύνη μου θὰ φανῇ εἰς τὸ μέλλον, ὅτι δηλαδὴ αὐτὸς θὰ εἶναι ὁ μισθός μου ἀπό σέ. Κάθε αἶγα, ἡ ὁποία δὲν θὰ εἶναι παρδαλὴ ἢ λευκὴ καὶ κάθε πρόβατον, τὸ ὁποῖον δὲν θὰ εἶναι μαῦρον, θὰ εἶναι κλεμμένα».

2. Πρόσεχε τὴν σύνεσιν τοῦ δικαίου. Ἐπειδὴ ἐγνώριζε πόσην ἀγάπην ἀπολαμβάνει ἐκ τῶν ἄνω καὶ ἐπειδὴ ἐφαίνετο κατὰ τοὺς φυσικοὺς νόμους, ὅτι αὐτὸ ἦτο δύσκολον ἢ καὶ ἐντελῶς ἀδύνατον (διότι ἦτο πολὺ σπάνιον κάποτε τό νὰ ἔχουν αὐτά ποὺ ἐγεννῶντο διαφορετικὸν χρῶμα)[1], διὰ τοῦτο ζητεῖ ἀπ' αὐτὸν αὐτά. Ὡς ἐκ τούτου ὁ Λάβαν συνεφώνησεν ἀμέσως μὲ ὅσα ἐζήτησεν ὁ Ἰακὼβ καὶ εἶπεν· «Ἂς γίνῃ, ὅπως σὺ θέλεις. Καὶ διεχώρισεν ὁ Λάβαν ἐκείνην τὴν ἡμέραν τοὺς παρδαλοὺς καὶ τοὺς λευκοὺς τράγους καὶ ὅλας τὰς παρδαλὰς καὶ λευκὰς αἶγας καὶ κάθε λευκὸν ἀπ' αὐτά, καὶ κάθε τί τὸ μαῦρον ἀπὸ τὰ πρόβατα, καὶ τὰ παρέδωσεν εἰς τοὺς υἱοὺς τοῦ Ἰακώβ. Καὶ ἔστειλεν αὐτὰ μακρυὰ εἰς ἀπόστασιν τριῶν ἡμερῶν μεταξὺ αὐτῶν καὶ τῶν αἰγοπροβάτων, τὰ ὁποῖα ἐφύλαττεν ὁ Ἰακώβ». Καὶ ἀφοῦ ἐχώρισε, λέγει, τὰ ποίμνια συμφώνως πρὸς τὴν πρότασιν τοῦ Ἰακὼβ ἔδωσεν αὐτὰ εἰς τοὺς υἱούς του. «Ὁ δὲ Ἰακὼβ ἐποίμανε τὸ ὑπόλοιπον ποίμνιον τοῦ Λάβαν». Ποῖα λοιπὸν ἦσαν αὐτά; Ἦσαν ἐκεῖνα, τὰ ὁποῖα δὲν εἶχον καμμίαν διαφορὰν εἰς τὸ χρῶμα. Αὐτὸ πρὸ πάντων ἔγινε διὰ νὰ μάθῃ καὶ ὁ δίκαιος διὰ τῶν γεγονότων τὴν πρὸς αὐτὸν φροντίδα τοῦ Θεοῦ, ἀλλὰ καὶ ὁ Λάβαν νὰ ἴδῃ, πόσης βοηθείας ἐκ τῶν ἄνω ἐτύγχανεν ὁ Ἰακώβ.

«Καὶ ἔλαβε», λέγει, «ὁ Ἰακὼβ χλωρὰς ράβδους ἀπὸ λεύκην, ἀπὸ καρυδιὰν καὶ ἀπὸ πλάτανον καὶ ἔβγαλεν ἀπὸ αὐτὰς τὸν φλοιόν, ὥστε νὰ φαίνεται τὸ λευκὸν χρῶμα τοῦ ξύλου ἐκεῖ ὅπου ἔβγαινεν ὁ φλοιὸς καὶ ἔτσι τὸ χρῶ-

ἐλέπισε, ποικίλον. Καὶ παρέθηκε τὰς ῥάβδους, ἃς ἐλέπισεν, ἐν τοῖς ληνοῖς τῶν ποτιστηρίων τοῦ ὕδατος, ἵνα ὡς ἂν ἔλθωσι τὰ πρόβατα πιεῖν, ἐνώπιον τῶν ῥάβδων ἐλθόντων αὐτῶν εἰς τὸ πιεῖν, ἐγκισσήσωσι τὰ πρόβατα εἰς τὰς ῥάβδους. Καὶ ἐνεκίσσων τὰ πρόβατα εἰς τὰς ῥάβδους, καὶ ἔτικτον τὰ πρόβατα διάλευκα καὶ ποικίλα καὶ σποδοειδῆ ῥαντά». Ταῦτα ποιεῖ ὁ δίκαιος, οὐκ οἴκοθεν ὁρμώμενος, ἀλλὰ τῆς ἄνωθεν χάριτος ἐνηχούσης αὐτοῦ τῇ διανοίᾳ. Οὐδὲ γὰρ ἦν κατὰ φύσεως ἀκολουθίαν τὸ γινόμενον, ἀλλὰ πολὺ τὸ παράδοξον καὶ ὑπερβαῖνον τὴν φυσικὴν ἀκολουθίαν ἦν. «Καὶ τοὺς ἀμνοὺς διέστειλε, καὶ ἔστησεν ἐναντίον τῶν προβάτων κριὸν διάλευκον, καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς, καὶ διεχώρισεν ἑαυτῷ ποίμνιον καθ' ἑαυτόν, καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ πρόβατα Λάβαν». Ἐπειδὴ λοιπὸν τοσαῦτα ἦν τὰ τικτόμενα, ἅπαντα ὅσα προσέθηκε, διεχώρισεν αὐτά, φησί, καὶ ἐποίησεν ἑαυτῷ ποίμνιον κατὰ μόνας.

«Ἐγένετο δὲ ἐν τῷ καιρῷ, ἐν ᾧ ἐνεκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, ἔθηκεν Ἰακὼβ τὰς ῥάβδους ἐναντίον τῶν προβάτων, τοῦ ἐγκισσῆσαι αὐτὰ κατὰ τὰς ῥάβδους. Ἡνίκα δ' ἂν ἔτικτε τὰ πρόβατα, οὐκ ἐτίθη. Ἐγένετο δὲ τὰ ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ· καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα σφοδρῶς». Τί βούλεται ὁ διπλασιασμός; Τὴν πολλὴν περιουσίαν ἐστὶν ἐμφαίνων, καὶ ὅτι οὐχ ἁπλῶς σφόδρα ἐπλούτησεν, ἀλλὰ πολὺ σφόδρα. «Ἐγένετο γὰρ αὐτῷ», φησί, «κτήνη πολλὰ καὶ βόες καὶ παῖδες καὶ παιδίσκαι». Ἀλλ' ὅρα μοι πάλιν τὸν φθόνον τὸν ἐντεῦθεν τικτόμενον τῷ δικαίῳ. «Ἤκουσε γὰρ τὰ ῥήματα τῶν υἱῶν Λάβαν λεγόντων· εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν, καὶ ἐκ τῶν τοῦ πατρὸς ἡμῶν πεποίηκε πᾶσαν τὴν δόξαν ταύτην».

Ὅρα πῶς ἡ βασκανία εἰς ἀγνωμοσύνην αὐτοὺς ἐνήγαγε, καὶ οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν Λάβαν. «Εἶδε γάρ», φησίν, «Ἰακὼβ τὸ πρόσωπον

μα τῆς ράβδου ἦτο ποικίλον. Καὶ ἔβαλεν αὐτὰς τὰς ἡμιαποφλοιωμένας ράβδους εἰς τὸ μέρος, ὅπου ἐποτίζοντο τὰ πρόβατα, οὕτως ὥστε, ὅταν ἔλθουν νὰ ποτισθοῦν, ἐνῷ θὰ βλέπουν τὰς ράβδους, συγχρόνως καὶ νὰ συλλαμβάνουν. Καὶ τὰ πρόβατα συνελάμβανον, ἐνῷ ἔβλεπον τὰς ράβδους, καὶ ἐγέννων πρόβατα λευκά, παρδαλά, ποικιλόχρωμα καὶ στακτιά». Ὅλα αὐτὰ τὰ κάμνει ὁ δίκαιος ὄχι ἀπὸ ἰδικήν του πρωτοβουλίαν, ἀλλὰ ὁδηγούμενος ἀπὸ τὴν οὐράνιον χάριν. Διότι αὐτὸ ποὺ συνέβαινε, δὲν ἦτο σύμφωνον μέ τοὺς φυσικοὺς νόμους, ἀλλὰ πολὺ παράξενον καὶ ὑπερφυσικόν. «Καὶ διεχώρισεν ὁ Ἰακὼβ τὰ ἀρνία καὶ ἔβαλεν ἐνώπιον τῶν προβάτων λευκὸν κριὸν καὶ ἔτσι τὰ περισσότερα πρόβατα ἐγεννῶντο παρδαλά. Τὰ πρόβατα αὐτὰ τὰ διεχώρισε καὶ δὲν τὰ ἀνέμειξε μὲ τὰ πρόβατα τοῦ Λάβαν». Ἐπειδὴ λοιπὸν ἦσαν τόσα πολλὰ αὐτά, τὰ ὁποῖα ἐγεννῶντο, λέγει, ὅλα αὐτά τά διεχώρισε καὶ ἔκανε ἰδικόν του χωριστὸν ποίμνιον.

«Καὶ τὴν ἐποχὴν κατὰ τὴν ὁποίαν ἐγονιμοποιοῦντο τὰ πρόβατα, ὁ Ἰακὼβ ἔβαζε τὰς ράβδους ἐμπρὸς εἰς τὰ πρόβατα, ἐκεῖ ὅπου ἐποτίζοντο, ὥστε νὰ γονιμοποιοῦνται βλέποντα πρὸς αὐτάς. Ὅταν τὰ πρόβατα ἐγέννων καὶ ἔπρεπε νὰ συλλάβουν καὶ πάλιν, δὲν ἔβαζε τὰς ράβδους. Ἔτσι τὰ μὲν ἀσθενικὰ πρόβατα ἦσαν τοῦ Λάβαν, τὰ δὲ εὔρωστα τοῦ Ἰακώβ. Ἔτσι ὁ Ἰακὼβ ἐπλούτισεν ὑπερβολικά». Τί θέλει νὰ εἰπῇ μὲ τὸ ὑπερβολικά; Θέλει νὰ μᾶς φανερώσῃ τὴν μεγάλην περιουσίαν τοῦ Ἰακὼβ καὶ ὅτι δὲν ἐπλούτισεν ἁπλῶς, ἀλλ' εἰς ὑπερβολικὸν βαθμόν. Διότι λέγει· «Καὶ ἀπέκτησε πολλὰ ποίμνια, καὶ βοοειδῆ ζῶα, καὶ δούλους καὶ δούλας». Πρόσεξε ὅμως πάλιν τὸν φθόνον, ὁ ὁποῖος ἐγεννήθη διὰ τὸν δίκαιον ἀπ' ἐδῶ. «Διότι ἤκουσε τοὺς υἱοὺς τοῦ Λάβαν νὰ λέγουν· Ὁ Ἰακὼβ ἐπῆρεν ὅλα τὰ ὑπάρχοντα τοῦ πατρὸς ἡμῶν καὶ ἐξ αὐτῶν ἀπέκτησεν ὅλον αὐτὸν τὸν πλοῦτον».

Πρόσεχε πῶς ὁ φθόνος ὡδήγησεν αὐτοὺς εἰς τὴν ἀγνωμοσύνην, καὶ ὄχι μόνον αὐτούς, ἀλλὰ καὶ τὸν ἴδιον τὸν Λάβαν. Διότι λέγει· «Εἶδεν ὁ Ἰακὼβ τὸ πρόσωπον τοῦ

Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτόν, ὡς χθὲς καὶ τρίτην ἡμέραν». Τὰ γὰρ ῥήματα τῶν παίδων διεσάλευσεν αὐτοῦ τὴν διάνοιαν, καὶ ἐπιλαθέσθαι πεποίηκεν ὧν πρῴην διαλεγόμενος τῷ Ἰακὼβ ἐφθέγξατο, εἰπών, «Εὐλόγησέ με ὁ Θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ»· καὶ ὁ εὐχαριστήσας τῷ Δεσπότῃ, ὅτι διὰ τὴν τοῦ δικαίου παρουσίαν αὐξηθῆναι αὐτοῦ τὴν περιουσίαν πεποίηκε, νῦν παρατραπεὶς τὴν διάνοιαν ὑπὸ τῶν παίδων, καὶ εἰς βασκανίαν ἐξαφθείς, ἴσως ἐπειδὴ ἑώρα ἐν πολλῇ περιουσίᾳ τὸν δίκαιον τυγχάνοντα, οὐχ ὁμοίως αὐτῷ προσφέρεσθαι ἐβούλετο. «Εἶδε γάρ», φησίν, «Ἰακὼβ τὸ πρόσωπον Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν ὡς χθὲς καὶ τρίτην ἡμέραν».

Εἶδες τοῦ μὲν δικαίου τὴν πολλὴν ἐπιείκειαν, ἐκείνων δὲ τὴν ἀγνωμοσύνην· καὶ ὅπως οὐ φέροντες κατέχειν τὴν βασκανίαν, καὶ τοῦ πατρὸς τὴν γνώμην διεσάλευσαν. Ὅρα λοιπὸν τοῦ Θεοῦ τὴν ἄφατον κηδεμονίαν, καὶ ὅσῃ συγκαταβάσει κέχρηται, ἐπειδὰν ἴδῃ τὰ παρ' ἑαυτῶν εἰσφέροντας ἡμᾶς. Ὁρῶν γὰρ τὸν δίκαιον ὑπ' αὐτῶν βασκαινόμενον, φησὶ πρὸς τὸν Ἰακώβ· «Ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου, καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ». Ἀρκέσθητι, φησί, τῇ ἐπὶ τῆς ξένης διαγωγῇ. Ἅπερ ὑπεσχόμην σοι πρῴην λέγων, «Ἀποστρέψω σε εἰς τὴν γῆν σου», ταῦτα νῦν εἰς ἔργον ἀγαγεῖν βούλομαι. Ἐπάνιθι τοίνυν μηδὲν δεδοικώς· «Ἐγὼ γὰρ ἔσομαι μετὰ σοῦ. Ἵνα γὰρ μὴ ὀκνηρότερος γένηται ὁ δίκαιος περὶ τὴν ἀποδημίαν, ἀλλὰ μετὰ τοῦ θαρρεῖν ἅψηται τῆς ἐπανόδου, διὰ τοῦτό φησιν· «Ἐγὼ ἔσομαι μετὰ σοῦ»· ὁ μέχρι τοῦ παρόντος τὰ κατὰ σὲ οἰκονομήσας, καὶ αὐξηθῆναί σου τὸ σπέρμα ποιήσας, ἐγὼ καὶ εἰς τὸ ἑξῆς «Ἔσομαι μετὰ σοῦ».

Ταῦτα ἀκούσας ὁ δίκαιος παρὰ τοῦ Θεοῦ, οὐκ ἠμέλλησε, ἀλλ' ἤδη πρὸς τοῦτο παρεσκευάζετο. «Ἀποστείλας γάρ», φησίν, «ἐκάλεσε Ῥαχὴλ καὶ Λείαν εἰς

Λάβαν καὶ αὐτὸ δὲν ἦτο ἤρεμον, ὅπως ἦτο χθὲς καὶ προχθές». Διότι οἱ λόγοι τῶν υἱῶν του ἔκαμαν αὐτὸν νὰ ἀλλάξῃ ἀπόφασιν καὶ νὰ λησμονήσῃ αὐτά, τὰ ὁποῖα εἶπε πρὸς τὸν Ἰακώβ, ὅταν συνωμιλοῦσε μὲ αὐτόν, «Ὁ Θεὸς μὲ εὐλόγησε μὲ τὸν ἐρχομόν σου». Καὶ αὐτὸς ποὺ ηὐχαρίστησε τὸν Κύριον, διότι ηὔξησε τὴν περιουσίαν του ἐξ αἰτίας τῆς παρουσίας τοῦ δικαίου, αὐτὸς τώρα κατελήφθη ἀπὸ φθόνον καὶ ἤλλαξε γνώμην ἐξ αἰτίας τῶν υἱῶν του, ἐπειδὴ ἴσως ἔβλεπε τὸν δίκαιον νὰ ἔχῃ πολλὴν περιουσίαν, καὶ δὲν ἤθελε νὰ συμπεριφέρεται πρὸς αὐτὸν μὲ τὸν ἴδιον τρόπον. Διότι λέγει· «Ὁ Ἰακὼβ εἶδε τὸ πρόσωπον τοῦ Λάβαν καὶ ἰδοὺ αὐτὸ δὲν ἦτο φιλικὸν πρὸς αὐτόν, ὅπως χθὲς καὶ προχθές».

Εἶδες καὶ τὴν πολλὴν καλωσύνην τοῦ δικαίου, καὶ τὴν ἀχαριστίαν ἐκείνων καὶ ὅ,τι ἐπειδὴ δὲν ἠμπόρεσαν νὰ ὑποφέρουν τὸν φθόνον, ἤλλαξαν καὶ τὴν γνώμην τοῦ πατρός των. Πρόσεχε λοιπὸν καὶ τὴν ἀπερίγραπτον πρόνοιαν τοῦ Θεοῦ καὶ πόσον συγκαταβατικὸς εἶναι, ὅταν προσφέρωμεν ὅ,τι ἐξαρτᾶται ἀπὸ ἡμᾶς. Διότι, ὅταν εἶδεν ὅτι ὁ δίκαιος ἐφθονεῖτο ἀπ' αὐτούς, λέγει πρὸς τὸν Ἰακώβ· «Νὰ ἐπιστρέψῃς εἰς τὸν τόπον τοῦ πατρός σου καὶ εἰς τοὺς συγγενεῖς σου καὶ ἐγὼ θὰ εἶμαι μαζί σου». Εἶναι ἀρκετή, λέγει, ἡ παραμονή σου εἰς τὸν ξένον τόπον. Αὐτὰ τὰ ὁποῖα σοῦ ὑπεσχέθην προηγουμένως μὲ τὸ νὰ εἰπῶ, «Θὰ σὲ ἐπαναφέρω εἰς τὴν χώραν σου», αὐτὰ θέλω νὰ πραγματοποιήσω τώρα. Νὰ ἐπανέλθῃς ἐκεῖ λοιπὸν τώρα, χωρὶς νὰ φοβᾶσαι τίποτε, «Διότι ἐγὼ θὰ εἶμαι μαζί σου». Διὰ νὰ μὴ ἔχῃ δηλαδὴ ὁ δίκαιος ἐνδοιασμούς, ὅσον ἀφορᾷ τὴν ἐπιστροφήν, ἀλλὰ διὰ νὰ ἐπιχειρήσῃ τὴν ἐπάνοδον μὲ θάρρος, διὰ τοῦτο λέγει· «Ἐγὼ θὰ εἶμαι μαζί σου». Ἐγὼ ὁ ὁποῖος μέχρι τώρα ἐρρύθμιζα τὰ πάντα διὰ σὲ καὶ ἐγὼ ποὺ ἔκαμα νὰ αὐξηθοῦν οἱ ἀπόγονοί σου, ἐγὼ καὶ εἰς τὸ μέλλον «Θὰ εἶμαι μαζί σου».

Ὅταν ἤκουσεν ὁ δίκαιος αὐτὰ ποὺ τοῦ εἶπεν ὁ Θεός, δὲν ἔδειξεν ἀδιαφορίαν, ἀλλ' ἤρχισεν ἀμέσως νὰ ἑτοιμάζεται διὰ τὴν ἐπιστροφήν. Διότι λέγει, «Ἔστειλε κάποιον

τὸ πεδίον, οὗ τὰ ποίμνια ἐποίμαινεν, καὶ εἶπεν αὐταῖς». Προθεῖναι βούλεται ταῖς γυναιξὶ τὴν περὶ τῆς ἀποδημίας διάσκεψιν, καὶ γνωρίσαι τό τε τοῦ Θεοῦ πρόσταγμα, τήν τε τοῦ πατρὸς περὶ αὐτὸν βασκανίαν. «Εἶπε γάρ», φησίν, «αὐταῖς· ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ὅτι οὐκ ἔστι πρός με ὡς χθὲς καὶ τρίτην ἡμέραν. Ὁ δὲ Θεὸς τοῦ πατρός μου ἦν μετ' ἐμοῦ. Αὐταὶ δὲ οἴδατε ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδούλευκα τῷ πατρὶ ὑμῶν. Ὁ δὲ πατὴρ ὑμῶν παρεκρούσατό με, καὶ ἤλλαξε τὸν μισθόν μου τῶν δέκα ἀμνῶν, καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ Θεὸς κακοποιῆσαί με. Ἐὰν γὰρ οὕτως εἴπῃ, τὰ ποικίλα ἔσται σοι μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα ποικίλα. Ἐὰν δὲ εἴπῃ· τὰ λευκὰ ἔσται σοι μισθός· καὶ τέξεται πάντα τὰ πρόβατα λευκά· καὶ ἀφείλετο ὁ Θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν, καὶ ἔδωκέ μοι αὐτά.

3. Ὅρα πῶς ἀμφότερα αὐτὰς διδάσκει, καὶ τοῦ πατρὸς τὴν ἀγνωμοσύνην τὴν περὶ αὐτόν, καὶ τὴν οἰκείαν εὔνοιαν, ἣν περὶ τὴν δουλείαν ἐπεδείξατο. Οἴδατε γάρ, φησίν, ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδούλευκα τῷ πατρὶ ὑμῶν. Καὶ τὴν παρὰ τοῦ Θεοῦ περὶ αὐτὸν ἐναργῆ κηδεμονίαν κατάδηλον ποιεῖ, δεικνὺς ὅτι ἡ ἄνωθεν συμμαχία ἦν, ἡ τὸ πᾶν ἐργαζομένη, καὶ τὴν περιουσίαν τοῦ Λάβαν εἰς αὐτὸν μεθιστῶσα. «Ἀφείλετο γάρ», φησίν, «ὁ Θεὸς τὰ κτήνη τοῦ πατρὸς ὑμῶν, καὶ ἔδωκέ μοι αὐτά. Ἐγένετο δὲ ἡνίκα ἐνεκίσσων τὰ πρόβατα, καὶ εἶδον τοῖς ὀφθαλμοῖς μου ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἦσαν ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί. Καὶ εἶπέ μοι ἄγγελος τοῦ Θεοῦ καθ' ὕπνον· Ἰακώβ. Ἐγὼ δὲ εἶπον· τί ἐστι; Καὶ εἶπεν· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ

καὶ ἐκάλεσε τὴν Ραχὴλ καὶ τὴν Λείαν νὰ ἔλθουν εἰς τὸ μέρος, ὅπου ἔβοσκε τὰ ποίμνια, καὶ εἶπεν εἰς αὐτάς. Θέλει νὰ ἀναγγείλῃ εἰς τὰς γυναῖκας τὴν σκέψιν του διὰ τὴν ἐπάνοδον εἰς τὸν τόπον του καὶ νὰ τὰς πληροφορήσῃ καὶ τὴν διαταγὴν τοῦ Θεοῦ καὶ τὸν φθόνον τοῦ πατρὸς των πρὸς αὐτόν. Διότι λέγει, «Εἶπεν εἰς αὐτάς· Βλέπω τὸ πρόσωπον τοῦ πατρὸς σας, ὅτι δέν εἶναι φιλικὸν πρὸς ἐμὲ ὅπως χθὲς καὶ προχθές. Ὁ Θεὸς ὅμως τοῦ πατρός μου εἶναι μαζί μου. Σεῖς δὲ αἱ ἴδιαι γνωρίζετε, ὅτι ἐγὼ ἐδούλευσα εἰς τὸν πατέρα σας μὲ ὅλην μου τὴν δύναμιν. Ὁ πατήρ σας ὅμως μὲ ἐξηπάτησε καὶ ἤλλαξε τοὺς μισθούς μου τῶν δέκα ἀμνῶν, ἀλλὰ ὁ Θεὸς δὲν ἄφησεν αὐτὸν νὰ μέ κακοποιήσῃ. Διότι, ἐὰν ἔλεγεν αὐτό, Τὰ ποικιλόχρωμα δηλαδὴ θὰ εἶναι ὁ μισθός σου, τότε ὅλα τὰ πρόβατα θὰ ἐγέννων ποικιλόχρωμα. Καὶ ἂν ἔλεγε, Τὰ λευκόχρωμα θὰ εἶναι ὁ μισθός σου, τότε καὶ τὰ πρόβατα ὅλα θὰ ἐγέννων λευκόχρωμα. Ἔτσι ὁ Θεὸς ἀφήρεσεν ὅλα τὰ ζῶα ἀπὸ τὸν πατέρα σας καὶ τὰ ἔδωσεν εἰς ἐμέ».

3. Πρόσεχε πῶς διδάσκει εἰς αὐτὰς καὶ τὰ δύο, καὶ τὴν ἀχαριστίαν δηλαδὴ τοῦ πατρὸς των ἀπέναντί του, καὶ τὴν ἰδικήν του καλὴν συμπεριφορὰν τὴν ὁποίαν ἐπέδειξεν ἐν ὅσῳ ἐδούλευεν εἰς αὐτόν. Διότι λέγει· «Γνωρίζετε, ὅτι ἐδούλευσα εἰς τὸν πατέρα σας μὲ ὅλην μου τὴν δύναμιν». Καὶ καθιστᾷ ὁλοφάνερον τὴν πρὸς αὐτὸν συνεχῆ πρόνοιαν τοῦ Θεοῦ δεικνύων, ὅτι ἡ ἐκ τῶν ἄνω βοήθεια ἦτο αὐτή, ἡ ὁποία ἔκαμνε τὸ κάθε τι καὶ αὐτή, ἡ ὁποία μετεβίβασε τὴν περιουσίαν τοῦ Λάβαν εἰς αὐτόν. Διότι λέγει· «Ὁ Θεὸς ἀφήρεσε τὰ ζῶα τοῦ πατρὸς σας καὶ τὰ ἔδωσεν εἰς ἐμέ. Καὶ συνέβη, ὥστε, ὅταν ἐγονιμοποιοῦντο τὰ πρόβατα, νὰ ἴδω μὲ τοὺς ὀφθαλμούς μου εἰς τὸν ὕπνον μου καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἤρχοντο εἰς ἕνωσιν μὲ τὰ πρόβατα καὶ τὰς αἶγας καὶ αὐτοὶ ἦσαν λευκοί, παρδαλοί, στακτοὶ καὶ ποικιλόχρωμοι. Καὶ μοῦ εἶπεν ὁ ἄγγελος τοῦ Θεοῦ εἰς τὸν ὕπνον μου· Ἰακώβ. Ἐγὼ δὲ εἶπον· Τί συμβαίνει; Καὶ ἐκεῖνος εἶπεν· Σήκωσε τοὺς ὀφθαλμούς σου καὶ ἴδε, ὅτι οἱ τράγοι καὶ οἱ κριοὶ ἔρχονται εἰς ἕνω-

πρόβατα καὶ τὰς αἶγας, διαλεύκους, ποικίλους καὶ σποδοειδεῖς ῥαντούς. Ἑώρακα γὰρ ὅσα σοι Λάβαν ποιεῖ». Ὁρᾷς ὅτι ἡ ἄνωθεν ἐνέργεια ἦν ἡ τὸ πᾶν ἐργαζομένη, καὶ τὸν δίκαιον τῶν καμάτων ἀμειβομένη; Ἐπειδὴ γὰρ ἐκεῖνος ἀγνώμων περὶ αὐτὸν ἐγίνετο, ὁ φιλότιμος Δεσπότης μετὰ δαψιλείας ἀμείβεται τὸν δίκαιον· Ἑώρακα γάρ, φησίν, ὅσα σοι Λάβαν ποιεῖ. Ἐντεῦθεν μανθάνομεν, ὅτι ἐπειδὰν ἀδικούμενοι παρ' οὑτινοσοῦν ἐπιεικῶς καὶ πρᾴως ἐνέγκωμεν, μείζονος καὶ δαψιλεστέρας ἀπολαύομεν τῆς ἄνωθεν συμμαχίας.

***Μὴ** τοίνυν ἀντιτείνωμεν πρὸς τοὺς ἐπηρεάζειν βουλομένους, ἀλλὰ φέρωμεν γενναίως, εἰδότες ὡς ὁ τῶν ἁπάντων Δεσπότης οὐ περιόψεται ἡμᾶς, μόνον ἐὰν ἡμεῖς τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξώμεθα. «Ἐμοὶ γάρ», φησίν, «ἐκδίκησις· ἐγὼ ἀνταποδώσω, λέγει Κύριος». Διὰ τοῦτο καὶ ὁ Ἰακὼβ ἔλεγεν· οὐκ ἔδωκεν αὐτῷ ὁ Θεὸς κακοποιῆσαί με. Ἐπειδὴ γὰρ αὐτὸς ἀποστερῆσαι, φησί, με ἐβουλήθη τῶν ὑπὲρ τῶν καμάτων μισθῶν, ὁ Δεσπότης, μετὰ τοσαύτης περιουσίας τὴν εἰς ἡμᾶς κηδεμονίαν ἐπεδείξατο, ὡς πᾶσαν αὐτοῦ τὴν οὐσίαν μεταστῆσαι εἰς ἡμᾶς. **Καὶ** εἰδὼς ὡς ἐγὼ μὲν μετ' εὐνοίας τὴν δουλείαν ἐποιησάμην, ἐκεῖνος δὲ οὐ προσηκόντως μοι προσηνέχθη, τοσαύτην ποιήσατο ἡμῶν τὴν πρόνοιαν. **Καὶ** ὅτι οὐχ ἁπλῶς ταῦτα λέγω, οὐδὲ εἰκῇ καὶ μάτην κατηγορεῖν αὐτοῦ βουλόμενος, καὶ τὸν Θεὸν ἔχω μάρτυρα τοῖς παρὰ τοῦ πατρὸς ὑμῶν εἰς ἐμὲ γινομένοις. «Ἑώρακα γάρ», φησίν, «ὅσα σοι Λάβαν ποιεῖ»· ὅτι οὐ τοῦ μισθοῦ σε μόνον ἀπεστέρησεν, ἀλλ' ὅτι καὶ οὐχ ὁμοίως νῦν πρὸς σὲ διάκειται, ὡς καὶ πρότερον· ἀλλὰ διέφθαρται τὴν γνώμην.*

*«Ἐγώ εἰμι ὁ Θεός σου, ὁ ὀφθείς σε ἐν τόπῳ Θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην». **Εἰς** ὑπόμνησιν αὐτὸν ἀγαγεῖν βούλεται, ὧν αὐτῷ τότε ὑπέσχετο, εἰπών·*

---

2. Ρωμ. 12, 19.

σίν μὲ τὰ πρόβατα καὶ τὰς αἶγας καὶ αὐτοὶ εἶναι λευκοί, παρδαλοί, στακτοὶ καὶ ποικιλόχρωμοι. Διότι εἶδον αὐτά, τὰ ὁποῖα κάμνει εἰς σὲ ὁ Λάβαν». Βλέπεις ὅτι ἡ ἐκ τῶν οὐρανῶν ἐνέργεια ἦτο αὐτὴ ποὺ ἔκαμνε τὸ πᾶν καὶ ἡ ὁποία ἔδιδε τὴν ἀμοιβὴν τῶν κόπων εἰς τὸν δίκαιον; Ἐπειδὴ δηλαδὴ ἐκεῖνος ἦτο ἀχάριστος πρὸς αὐτόν, ὁ φιλότιμος Κύριος ἀμείβει τὸν δίκαιον μὲ πλουσίας ἀμοιβάς. Διότι λέγει· «Εἶδα, ὅσα σοῦ κάμνει ὁ Λάβαν». Ἀπ' ἐδῶ διδασκόμεθα ὅτι, ὅταν ἀδικούμεθα ἀπὸ ὁποιονδήποτε καὶ ὑποφέρωμεν μὲ καλωσύνην καὶ πραότητα, τότε ἀπολαμβάνομεν μεγαλυτέραν καὶ πλουσιωτέραν τὴν ἐκ τῶν ἄνω βοήθειαν.

Ἂς μὴ ἀντιτείνωμεν λοιπὸν πρὸς αὐτοὺς ποὺ θέλουν νὰ μᾶς βλάπτουν, ἀλλὰ νὰ ὑποφέρωμεν γενναίως, ἔχοντες ὑπ' ὄψιν ὅτι ὁ Κύριος τοῦ παντὸς δὲν θὰ μᾶς παραβλέψῃ, ἀρκεῖ μόνον ἡμεῖς νὰ ἐπιδείξωμεν τὴν ἰδικήν μας εὐγνωμοσύνην. Διότι λέγει· «Εἰς ἐμὲ ἀνήκει ἡ ἐκδίκησις, ἐγὼ θὰ ἀνταποδώσω, λέγει ὁ Κύριος»[2]. Διὰ τοῦτο καὶ ὁ Ἰακὼβ ἔλεγε· «Δὲν ἄφησεν ὁ Θεὸς αὐτὸν νὰ μὲ κακοποιήσῃ». Ἐπειδὴ δηλαδή, λέγει, ἠθέλησεν αὐτὸς νὰ μὴ μοῦ δώσῃ τὴν ἀμοιβὴν διὰ τοὺς κόπους, ὁ Κύριος ἔδειξε μὲ πολλὴν ἀγάπην τὴν πρὸς ἡμᾶς φροντίδα του, ὥστε νὰ μεταβιβάσῃ εἰς ἡμᾶς ὁλόκληρον τὴν περιουσίαν του. Καὶ ἐπειδὴ ἐγνώριζεν, ὅτι ἐγὼ ἐδούλευον εἰς αὐτὸν μὲ καλὴν διάθεσιν, ἐνῷ ἐκεῖνος δὲν μοῦ συμπεριεφέρθη, ὅπως ἔπρεπε, διὰ τοῦτο ἐφρόντισε τόσον πολὺ δι' ἡμᾶς. Καὶ ὅτι δὲν λέγω αὐτὰ ἀσκόπως καὶ ὅτι δὲν θέλω νὰ κατηγορῶ αὐτὸν χωρὶς λόγον καὶ ματαίως, ἔχω ὡς μάρτυρα τὸν Θεόν, δι' ὅσα ἔκαμεν ὁ πατήρ σας πρὸς ἐμέ. Διότι, λέγει, «Εἶδον, ὅσα σοῦ κάμνει ὁ Λάβαν». Ὅτι ὄχι μόνον δὲν σοῦ ἔδωσε τὸν μισθόν σου, ἀλλὰ καὶ ὅτι δὲν συμπεριφέρεται πρὸς σέ, ὅπως καὶ προηγουμένως, ἀλλ' ἔχει διαφθαρῇ ἡ διάνοιά του.

«Ἐγὼ εἶμαι ὁ Θεός, ὁ ὁποῖος ἐφανερώθη εἰς σὲ εἰς τὸν θεϊκὸν ἐκεῖνον τόπον, ὅπου μοῦ ἔστησες στήλην καὶ τὴν ἔχρισες μὲ ἔλαιον». Θέλει νὰ ὑπενθυμίσῃ εἰς αὐτόν,

Εἰς πλῆθός σε αὐξηθῆναι ποιήσω, καὶ ὅτι Διαφυλάξω σε εἰς τὴν γῆν σου. Ἐγὼ οὖν ὁ τότε ὀφθείς σοι καὶ τὰς ὑποσχέσεις πρὸς σὲ ποιησάμενος, ἐγὼ καὶ νῦν, ἐπειδὴ καιρὸς ἥκει, τὰ τότε παρ' ἐμοῦ σοι ἐπαγγελθέντα εἰς ἔργον ἄγω, καὶ ἐπανελθεῖν σε κελεύω ἄνευ ἀγωνίας. «Μετὰ σοῦ γὰρ ἔσομαι. Ἐγώ εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τῷ τόπῳ, οὗ ἤλειψάς μοι στήλην, καὶ ηὔξω μοι εὐχήν». Ὑπομιμνήσκει αὐτὸν τῆς εὐχῆς καὶ τῆς ἐπαγγελίας, ἧς ἐποιήσατο. Τίς δὲ ἦν ἡ εὐχή; Ὅτι «Ὧν ἄν μοι δῷς, ἀποδεκατώσω αὐτά σοι». Ἐπειδὴ γὰρ τότε μηδὲν ὅλως ἐπιφερόμενος, ἀλλὰ καθάπερ φυγὰς τὴν ὁδοιπορίαν ποιούμενος ταῦτα ηὔξατο, διὰ τοῦτό φησιν· ἡνίκα σοι ὤφθην, ηὔξω εὐχήν, λέγων, «Ὧν ἄν μοι δῷς, δεκάτην ἀποδεκατώσω σοι»· διὰ τῆς εὐχῆς καὶ τῆς ἐπαγγελίας τὴν δύναμιν τὴν ἐμὴν προμηνύων, καὶ τοῖς τῆς πίστεως ὀφθαλμοῖς προορῶν τὴν μέλλουσαν εὐπορίαν ἔσεσθαί σοι· νῦν οὖν ὅτε εἰς ἔργον τὰ παρ' ἐμοῦ λεχθέντα δεῖ ἐλθεῖν, καὶ καιρὸς ἥκει καλῶν τὴν εὐχὴν τὴν σὴν πληρωθῆναι. «Ἐπάνιθι νῦν οὖν», φησίν, «ἀνάστηθι, καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης, καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ». Ἐγώ σοι πανταχοῦ συνέσομαι, καὶ ἐγώ σοι τὴν ὁδοιπορίαν εὐμαρῆ καταστήσω, καὶ οὐδεμίαν παρ' οὐδενὸς ὑποστήσῃ βλάβην, τῆς ἐμῆς δεξιᾶς ἀντὶ σκέπης πανταχοῦ γινομένης σοι.

Ταῦτα ἀκούσασαι αἱ περὶ τὴν Ραχὴλ εἶπαν αὐτῷ· μή ἐστιν ἡμῖν μερίς, ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν; Οὐχ ὡς ἀλλότριαι λελογίσμεθα αὐτῷ; Πέπρακε γὰρ ἡμᾶς, καὶ κατέφαγε καταβρώσει τὸ ἀργύριον ἡμῶν. Καὶ πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλετο ὁ Θεὸς τοῦ πατρὸς ἡμῶν, σοὶ ἔδωκε. Νῦν ὅσα εἴρηκέ σοι ὁ Θεός σου, ποίει». Ὅρα καὶ ταύ-

3. Γέν. 28, 22.
4. Εἰς τὴν μετάφρασιν τῶν Ο΄ λέγει· «Ἔδωσεν εἰς ἡμᾶς καὶ τὰ τέκνα μας».

ὅσα εἶχεν ὑποσχεθῇ εἰς αὐτὸν τότε, μὲ τὸ νὰ εἰπῇ, θὰ αὐξήσω τοὺς ἀπογόνους σου καὶ ὅτι θὰ σὲ διαφυλάξω καὶ θὰ σὲ ὁδηγήσω εἰς τὴν χώραν σου. Ἐγὼ λοιπὸν ποὺ ἐφανερώθην τότε εἰς σὲ καὶ ποὺ ἔδωσα πρὸς σὲ τὰς ὑποσχέσεις, ἐγὼ καὶ τώρα, ἐπειδὴ ἔχει ἔλθει ὁ καιρός, πραγματοποιῶ ἐκείνας τὰς ὑποσχέσεις καὶ σὲ διατάσσω νὰ ἐπιστρέψῃς εἰς τὴν πατρίδα σου χωρὶς φόβον. «Διότι θὰ εἶμαι μαζί σου. Ἐγὼ εἶμαι ὁ Θεός, ὁ ὁποῖος ἐφανερώθη εἰς σὲ εἰς τὸν θεϊκὸν ἐκεῖνον τόπον, ὅπου ἔστησες στήλην καὶ ἔχρισες αὐτὴν μὲ ἔλαιον καὶ ἔκαμες εἰς ἐμὲ κάποιο τάμα». Ὑπενθυμίζει εἰς αὐτὸν τὸ τάμα καὶ τὴν ὑπόσχεσιν ποὺ εἶχε δώσει. Ποῖον λοιπὸν ἦτο αὐτὸ τὸ τάμα; Ὅτι «Ἀπὸ ὅσα θὰ μοῦ δώσῃς, θὰ δώσω εἰς σὲ τὸ ἓν δέκατον»[3]. Ἐπειδὴ δηλαδὴ τότε δὲν εἶχε τίποτε, ἀλλὰ ὡδοιποροῦσεν ὡσὰν νὰ ἐδιώκετο, καὶ ἐπειδὴ εἶχε κάνει ἐκεῖνο τὸ τάμα, διὰ τοῦτο λέγει· Ὅταν ἐνεφανίσθην εἰς σὲ ἔκαμες κάποιον τάμα καὶ ἔλεγες, «Ἀπ' ὅσα θὰ μοῦ δώσῃς, θὰ δώσω εἰς σὲ τὸ ἓν δέκατον» καὶ ἐφανέρωνες μὲ τὸ τάμα καὶ μὲ τὴν ὑπόσχεσιν τὴν ἰδικήν μου δύναμιν, ἀφοῦ καὶ μὲ τοὺς ὀφθαλμοὺς τῆς πίστεως ἔβλεπες ἐκ τῶν προτέρων τὸν πλοῦτον, τὸν ὁποῖον θὰ ἀποκτοῦσες. Τώρα λοιπὸν ποὺ πρέπει νὰ πραγματοποιηθοῦν, ὅσα σοῦ εἶπα, ἦλθεν ὁ καιρός, ὁ ὁποῖος σὲ καλεῖ νὰ ἐκπληρώσῃς τὸ τάμα σου. «Νὰ σηκωθῇς τώρα λοιπόν», λέγει, «καὶ νὰ φύγῃς ἀπὸ τὴν χώραν αὐτὴν καὶ νὰ ὑπάγῃς εἰς τὸν τόπον, ὅπου ἐγεννήθης, καὶ ἐγὼ θὰ εἶμαι μαζί σου». Ἐγὼ θὰ εἶμαι μαζί σου παντοῦ καὶ ἐγὼ θὰ κάμω εὐχάριστον τὸ ταξίδιόν σου καὶ δὲν θὰ πάθῃς κανένα κακὸν ἀπὸ κανένα, ἀφοῦ ἡ δεξιά μου θὰ εἶναι παντοῦ ἡ σκέπη σου.

«Ὅταν ἤκουσαν αὐτὰ ἡ Ραχὴλ καὶ αἱ ἄλλαι εἶπον εἰς αὐτόν· Μήπως ἔχομεν ἡμεῖς κανένα μερίδιον ἢ κληρονομίαν εἰς τὸν πατρικόν μας οἶκον; Δὲν ἐθεωρήθημεν ἀπ' αὐτὸν ὡς ξέναι; Διότι ἐπώλησεν ἡμᾶς καὶ ἔφαγεν ἀδίκως τὰ ἰδικά μας χρήματα. Καὶ ὅλον τὸν πλοῦτον καὶ τὴν δόξαν, τὰ ὁποῖα ἀφήρεσεν ὁ Θεὸς ἀπὸ τὸν πατέρα μας, ἔδωσεν εἰς σέ[4]. Τώρα λοιπὸν νὰ κάμῃς ὅσα σοῦ εἶπεν

τὰς ἑπομένας τῇ τοῦ Θεοῦ γνώμῃ, καὶ λογισμὸν ἀναντίρρητον εἰσαγούσας. Μὴ γάρ, φησίν, ἔτι τι κοινὸν ἡμῖν πρὸς τὸν πατέρα ἡμῶν; Ἅπαξ γὰρ ἀπέδοτο ἡμᾶς. Τὸν μέντοι πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλετο ὁ Θεὸς τοῦ πατρὸς ἡμῶν, καὶ ἔδωκέ σοι, ἡμεῖς ἕξομεν, καὶ τὰ τέκνα ἡμῶν. Μὴ μέλλε οὖν, μηδὲ διαναβάλλου, ἀλλὰ ποίει τὰ παρὰ τοῦ Θεοῦ σοι ἐπιταχθέντα. Νῦν οὖν ὅσα εἴρηκέ σοι ὁ Θεός σου, ποίει. Ταῦτα ἀκούσας ὁ Ἰακώβ, «ἀναστὰς ἔλαβε τὰς γυναῖκας αὐτοῦ καὶ τὰ παιδία, καὶ ἀνεβίβασεν αὐτὰς ἐπὶ κεμήλους, καὶ ἀπήγαγε πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὴν ἀποσκευήν, ἣν περιεποιήσατο ἐν τῇ Μεσοποταμίᾳ, καὶ πάντα τὰ αὐτοῦ, ἀπελθεῖν πρὸς Ἰσαάκ, τὸν πατέρα αὐτοῦ».

4. Σκόπει μοι τοῦ δικαίου τῆς ψυχῆς τὴν ἀνδρείαν, καὶ ὅπως πάντα φόβον καὶ ἀγωνίαν παρωσάμενος ἐπείθετο τῷ τοῦ Δεσπότου ἐπιτάγματι. Ἐπειδὴ γὰρ εἶδε τοῦ Λάβαν οὐχ ὑγιῆ τὴν γνώμην, οὐκ ἔτι καθάπερ πρότερον πυθέσθαι αὐτὸν κατεδέξατο, ἀλλὰ τὸ προσταχθὲν παρὰ τοῦ Δεσπότου ἐπλήρου, καὶ λαβὼν τὰς γυναῖκας καὶ τὰ παιδία ἥπτετο τῆς ὁδοῦ. «Λάβαν δέ», φησίν, «ᾤχετο κεῖραι τὰ πρόβατα αὐτοῦ. Ἔκλεψε δὲ Ραχὴλ τὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς. Οὐχ ἁπλῶς οὐδὲ τοῦτο πρόσκειται, ἀλλ' ἵνα γνῶμεν, πῶς ἔτι τῆς πατρικῆς εἴχοντο συνηθείας, καὶ πολλὴν τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐπεδείκνυντο. Ἐννόησον γάρ, ὅσην αὕτη σπουδὴν ἐποιήσατο, ὡς μηδὲν ἕτερον ὑφελέσθαι τῶν τοῦ πατρός, ἀλλὰ τὰ εἴδωλα μόνα, καὶ τοῦτο ἐποίει καὶ τὸν ἄνδρα λανθάνουσα· οὐδὲ γὰρ ἂν ἐκεῖνος συνεχώρησε ταῦτα γενέσθαι· «Ἔκρυψε δέ», φησίν, «Ἰακὼβ Λάβαν τὸν Σύρον, τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ, ὅτι ἀποδιδράσκει. Καὶ ἀπέδρα αὐτός, καὶ πάντα τὰ αὐτοῦ, καὶ διέβη τὸν ποταμὸν καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ.

Θέα μοι τὴν πολλὴν τοῦ Θεοῦ καὶ ἐνταῦθα πρόνοιαν, ὅπως, μέχρις ὅτε πόρρωθεν γέγονεν ὁ δίκαιος, οὐ

ὁ Θεός». Πρόσεχε πῶς καὶ αὐταὶ ὑπακούουν εἰς τὴν ἐντολὴν τοῦ Θεοῦ καὶ παρουσιάζουν συλλογισμὸν ἀναντίρρητον. Μήπως δηλαδή, λέγει, ἔχομεν τίποτε κοινὸν μὲ τὸν πατέρα μας; Διότι ἐπώλησεν ἡμᾶς μίαν φοράν. Τὸν πλοῦτον δὲ καὶ τὴν δόξαν, τὴν ὁποίαν ὁ Θεὸς ἀφήρεσεν ἀπὸ τὸν πατέρα μας, ἔδωσεν εἰς σὲ καὶ θὰ τὰ ἔχωμεν ἡμεῖς καὶ τὰ τέκνα μας. Μὴ ἀργοπορῇς λοιπόν, οὔτε νὰ ἀναβάλλῃς, ἀλλὰ νὰ κάνῃς αὐτά, τὰ ὁποῖα σοῦ διέταξεν ὁ Θεός. «Τώρα λοιπὸν νὰ κάνῃς ὅσα σοῦ εἶπεν ὁ Θεός». Ὅταν ἤκουσεν αὐτὰ ὁ Ἰακώβ, «Ἐσηκώθη καὶ ἔλαβε τὰς γυναῖκας καὶ τὰ τέκνα του καὶ τοὺς ἔβαλεν ἐπάνω εἰς τὰς καμήλους καὶ ἐπῆρεν ὅλα τὰ ὑπάρχοντά του καὶ τὰ πράγματά του, τὰ ὁποῖα ἀπέκτησεν εἰς τὴν Μεσοποταμίαν, καὶ κάθε τί τὸ ἰδικόν του, διὰ νὰ ἐπιστρέψῃ εἰς τὸν πατέρα του Ἰσαάκ».

4. Πρόσεχε τὴν γενναίαν ψυχὴν τοῦ δικαίου, καὶ πῶς, ἀφοῦ ἀπέβαλε κάθε φόβον καὶ ἀγωνίαν, ὑπήκουσεν εἰς τὸ πρόσταγμα τοῦ Κυρίου. Ὅταν λοιπὸν εἶδεν, ὅτι ἡ ἀπόφασις τοῦ Λάβαν δὲν ἦτο σωστή, δὲν κατεδέχθη νὰ ἐρωτήσῃ αὐτόν, ὅπως καὶ προηγουμένως, ἀλλ' ὑπήκουσεν εἰς τὴν προσταγὴν τοῦ Κυρίου καὶ ἀφοῦ ἔλαβε τὰς γυναῖκας καὶ τὰ τέκνα του ἐπῆρε τὸν δρόμον τῆς ἐπιστροφῆς. «Ὁ Λάβαν», λέγει, «εἶχε μεταβῆ διὰ νὰ κουρεύσῃ τὰ πρόβατά του καὶ ἡ Ραχὴλ ἔκλεψε τὰ εἴδωλα τοῦ πατρός της». Δὲν ὑπάρχει τυχαῖα αὐτὸ εἰς τὴν Γραφήν, ἀλλὰ διὰ νὰ μάθωμεν ὅτι ἠκολούθουν ἀκόμη τὰ πατρικὰ ἔθιμα καὶ ὅτι ἐλάτρευον ὑπερβολικῶς τὰ εἴδωλα. Νὰ καταλάβῃς δηλαδὴ πόσον ἐφρόντισεν, ὥστε νὰ μὴ ἀφαιρέσῃ τίποτε ἄλλο ἀπὸ τὸν πατέρα της ἐκτὸς ἀπὸ τὰ εἴδωλα, καὶ ἔκαμνεν αὐτὸ χωρὶς νὰ τὸ γνωρίζῃ ὁ ἄνδρας της, διότι ἐκεῖνος δὲν θὰ ἐπέτρεπε νὰ γίνῃ αὐτό. «Ἀπέκρυψε δέ», λέγει, «ὁ Ἰακὼβ ἀπὸ τὸν Σύρον Λάβαν, ὅτι ἀναχωρεῖ διὰ τὴν πατρίδα του. Καὶ ἔφυγεν αὐτὸς μὲ ὅλα τὰ ὑπάρχοντά του καὶ διέβη τὸν ποταμὸν καὶ ἔσπευσε πρὸς τὸ ὄρος Γαλαάδ».

Πρόσεχε καὶ ἐδῶ τὴν μεγάλην φροντίδα τοῦ Θεοῦ, πῶς δηλαδὴ δὲν ἄφησεν εἰς τὸν Λάβαν νὰ μάθῃ τὴν ανα-

συνεχώρησε τῷ Λάβαν εἰς γνῶσιν ἐλθεῖν τὴν ἀναχώρησιν τοῦ Ἰακώβ. Τριῶν γὰρ ἡμερῶν, φησί, παρρελθουσῶν τῷ Λάβαν ἐγνώσθη. «Καὶ παραλαβὼν πάντας τοὺς ἀδελφοὺς αὐτοῦ μεθ' ἑαυτοῦ, ἐδίωξεν ὀπίσω αὐτοῦ ὁδὸν ἡμερῶν ἑπτά· καὶ κατέλαβεν αὐτὸν ἐν τῷ ὄρει Γαλαάδ». Σκόπει πάλιν τὴν ἄφατον τοῦ Θεοῦ κηδεμονίαν. Ὁ γὰρ εἰπών, «Ἀπόστρεφε εἰς τὴν γῆν σου, καὶ ἔσομαι μετὰ σοῦ», οὗτος καὶ νῦν τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν. Ἐπειδὴ γὰρ εἶδε τὸν Λάβαν μετὰ πολλῆς ἀγανακτήσεως καταδιώκοντα τὸν δίκαιον, καὶ δίκην, ὡς εἰπεῖν, εἰσπράξασθαι βουλόμενον τῆς ἀναχωρήσεως ἐπιφαίνεται τῷ Λάβαν καθ' ὕπνον τὴν νύκτα. «Ἦλθε δέ», φησίν, «ὁ Θεὸς πρὸς Λάβαν τὸν Σύρον τὴν νύκτα, καὶ εἶπεν αὐτῷ». Ὅρα Θεοῦ συγκατάβασιν, καὶ ὅπως διὰ τὴν περὶ τὸν δίκαιον κηδεμονίαν καὶ τῷ Λάβαν διαλέγεται, ἵνα κατασείσας αὐτοῦ τὴν διάνοιαν ἀποστήσῃ τῆς κατὰ τοῦ Ἰακὼβ ὁρμῆς. «Φύλαξαι σεαυτόν, μήποτε λαλήσῃς μετὰ τοῦ Ἰακὼβ πονηρά». Πολλὴ τοῦ Δεσπότου ἡ ἀγαθότης. Ἐπειδὴ ἑώρα αὐτὸν πρὸς μάχην ἐπειγόμενον, καὶ κατεξαναστῆναι τοῦ δικαίου βουλόμενον, μονονουχὶ διὰ ῥήματος καθέλκει αὐτοῦ τὸν λογισμόν, καί φησι· «Φύλαξαι σεαυτόν, μήποτε λαλήσῃς μετὰ Ἰακὼβ πονηρόν»· μηδὲ μέχρι ῥημάτων, φησίν, ἐπιχειρήσῃς λυπῆσαι τὸν Ἰακώβ, ἀλλὰ φύλαξαι σεαυτόν, ἐπίσχες σου τὴν κακὴν ταύτην ὁρμήν, κατάστειλαι τὸν θυμόν, ἀναχαίτισόν σου θυμουμένην τὴν διάνοιαν, καὶ μηδὲ μέχρι ῥήματος λυπῆσαι αὐτὸν ἀνάσχῃ.

Καὶ σκόπει μοι Θεοῦ φιλανθρωπίαν. Οὐ προσέταξε τῷ Λάβαν εἰς τὰ οἰκεῖα ὑποστρέψαι, ἀλλὰ μόνον παρεκελεύσατο μηδὲν φορτικόν, μηδὲ ἐπαχθὲς διαλεχθῆναι τῷ δικαίῳ. Τίνος ἕνεκεν καὶ διὰ τί; Ἵνα μάθῃ καὶ διὰ τῶν ἔργων αὐτῶν ὁ δίκαιος καὶ διὰ τῶν πραγμάτων, ὅσης ἀξιοῦται παρὰ τοῦ Θεοῦ τῆς κηδεμονίας. Εἰ γὰρ ὑπέστρεψεν ὁ Λάβαν, πόθεν ἂν τοῦτο ἔγνω ὁ Ἰακώβ, ἢ αἱ τούτου γυναῖκες; Καὶ διὰ τοῦτο

χώρησιν τοῦ Ἰακὼβ μέχρις ὅτου νὰ ἔφευγε μακριά. Διότι λέγει, ὅτι μετὰ ἀπὸ τρεῖς ἡμέρας ἀνηγγέλθη εἰς τὸν Λάβαν ἡ ἀναχώρησις τοῦ Ἰακώβ. «Καὶ ἀφοῦ παρέλαβε τοὺς ἀδελφούς του μαζί του, κατεδίωξεν αὐτὸν ἐπὶ ἑπτὰ ἡμέρας καὶ ἐπρόφθασεν αὐτόν εἰς τό ὄρος Γαλαάδ». Πρόσεχε πάλιν τὴν ἀνέκφραστον φροντίδα τοῦ Θεοῦ. Διότι αὐτὸς ποὺ εἶπε, «Νὰ ἐπιστρέψῃς εἰς τὴν πατρίδα σου καὶ ἐγὼ θὰ εἶμαι μαζί σου», αὐτὸς δείχνει καὶ τώρα τὴν φροντίδα του. Ἐπειδὴ δηλαδὴ εἶδεν, ὅτι ὁ Λάβαν κατεδίωκε τὸν δίκαιον μὲ πολλὴν ἀγανάκτησιν καὶ ὅτι ἤθελε, κατὰ κάποιον τρόπον, νὰ τὸν τιμωρήσῃ ἐξ αἰτίας τῆς ἀναχωρήσεως, διά τοῦτο παρουσιάζεται εἰς τὸν Λάβαν, ἐνῷ ἐκοιμᾶτο τὴν νύκτα. «Καὶ ἦλθε», λέγει, «ὁ Θεός καὶ παρουσιάσθη εἰς τόν Λάβαν τόν Σύρον κατὰ τὴν νύκτα καὶ εἶπεν εἰς αὐτόν». Βλέπε τὴν συγκατάβασιν τοῦ Θεοῦ καὶ πῶς ἐξ αἰτίας τῆς πρὸς τὸν δίκαιον φροντίδος συζητεῖ καὶ μὲ τὸν Λάβαν, οὕτως ὥστε, ἀφοῦ καθησυχάσῃ αὐτόν, νὰ τὸν συγκρατήσῃ ἀπὸ τὴν ἐναντίον τοῦ Ἰακὼβ ἐπίθεσιν. «Πρόσεχε καὶ μὴ ὁμιλήσῃς πρὸς τὸν Ἰακὼβ μὲ ἀπειλητικὸν τρόπον». Πολλὴ εἶναι ἡ καλωσύνη τοῦ Κυρίου. Ἐπειδὴ ἔβλεπεν ὅτι αὐτός ἐβιάζετο διὰ νὰ πολεμήσῃ τὸν δίκαιον καὶ νὰ κτυπηθῇ μαζί του, συγκρατεῖ μὲ τοὺς λόγους τὴν ἀπόφασίν του καὶ τοῦ λέγει· «Πρόσεξε καὶ μὴ ὁμιλήσῃς πρὸς τόν Ἰακὼβ μὲ ἀπειλητικὸν τρόπον». Οὔτε μὲ λόγους, λέγει, νὰ ἐπιχειρήσῃς νὰ στενοχωρήσῃς τὸν Ἰακώβ, ἀλλὰ νὰ προσέξῃς, νὰ συγκρατήσῃς νὰ κακήν σου διάθεσιν, νὰ καταστείλῃς τόν θυμόν σου, νὰ ἀναχαιτίσῃς τὴν ὠργισμένην σου σκέψιν, καὶ οὔτε μὲ λόγον νὰ τολμήσῃς νὰ λυπήσῃς αὐτόν.

Καὶ πρόσεχε σὲ παρακαλῶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Δὲν διέταξε τόν Λάβαν νὰ ἐπιστρέψῃ εἰς τὸν τόπον του, ἀλλὰ τὸν προέτρεψε μόνον νὰ μὴ εἰπῇ τίποτε τὸ βαρύ, τίποτε τὸ δυσάρεστον εἰς τὸν δίκαιον. Διὰ ποῖον λόγον καὶ διατί; Διὰ νὰ μάθῃ ὁ δίκαιος καὶ διὰ τῶν ἔργων αὐτῶν καὶ διὰ τῶν πραγμάτων πόσης φροντίδος ἄξιος γίνεται ἀπὸ τὸν Θεόν. Διότι, ἐὰν ὁ Λάβαν ἐπέστρεφεν

συγχωρεῖ αὐτὸν ἀπελθεῖν, καὶ διὰ τῆς οἰκείας γλώττης ὁμολογῆσαι τὰ παρὰ τοῦ Θεοῦ πρὸς αὐτὸν ῥηθέντα, ἵνα καὶ ὁ δίκαιος πλείονα τὴν προθυμίαν κτήσηται περὶ τὴν ἀποδημίαν, καὶ θάρσος προσλάβῃ, καὶ αἱ τούτου γυναῖκες μαθοῦσαι ὅσης ἀξιοῦται ὁ Ἰακὼβ παρὰ τοῦ τῶν ὅλων Θεοῦ τῆς κηδεμονίας, ἀποσείσωνται τὴν πατρικὴν πλάνην καὶ ζηλώσωσι τὸν δίκαιον καὶ θεογνωσίας ἐντεῦθεν ἀρκοῦσαν διδασκαλίαν δέξωνται. Οὐδὲ γὰρ οὕτως ἦν τὰ παρὰ τοῦ Ἰακὼβ ἀξιόπιστα, ὡς τὰ παρὰ τοῦ Λάβαν λεγόμενα, τοῦ ἔτι περὶ τὰ εἴδωλα ἐπτοημένου. Αἱ γὰρ παρὰ τῶν ἀπίστων μαρτυρίαι καὶ τῶν ἐχθρῶν τῆς εὐσεβείας ἀεὶ πολὺ τὸ ἀξιόπιστον ἔχουσι. Καὶ τοῦτο γὰρ τῆς εὐμηχάνου τοῦ Θεοῦ σοφίας, ὅταν καὶ τοὺς ἐχθροὺς τῆς ἀληθείας αὐτοὺς μάρτυρας ποιῇ γενέσθαι τῆς ἀληθείας, καὶ διὰ τῆς οἰκείας γλώττης τὰ αὐτὰ συναγωνίζωνται.

«Κατέλαβε δὲ Λάβαν τὸν Ἰακώβ. Ἰακὼβ δὲ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐν τῷ ὄρει· Λάβαν δὲ ἔστησε τοὺς ἀδελφοὺς αὐτοῦ ἐν τῷ ὄρει Γαλαάδ. Καὶ εἶπε Λάβαν τῷ Ἰακώβ· τί τοῦτο ἐποίσας;». Ὅρα πῶς τὸ παρὰ τοῦ Θεοῦ πρόσταγμα τὴν πολλὴν αὐτοῦ φλεγμονὴν κατέστειλε, καὶ τὸν θυμὸν ἐχαλίνωσε. Διὰ τοῦτο μετὰ πολλῆς ἡμερότητος τοὺς πρὸς αὐτὸν ποιεῖται λόγους, μονονουχὶ ἀπολογούμενος, καὶ πατρικὴν φιλοστοργίαν περὶ αὐτὸν ἐπιδεικνύμενος. Ὅταν γὰρ τῆς ἄνωθεν ἀπολαύωμεν προνοίας, οὐ μόνον τῶν ἀνθρώπων τῶν πονηρῶν διαφυγεῖν δυνάμεθα τὰς ἐπιβουλάς, ἀλλὰ καὶ θηρίοις ἀνημέροις ἐὰν περιπέσωμεν, οὐδὲν ὑποστησόμεθα δεινόν. Ὁ γὰρ τῶν ἁπάντων Δεσπότης τῆς οἰκείας δυνάμεως τὴν περιουσίαν ἐπιδεικνύμενος, καὶ τῶν θηρίων μεταβάλλει τὴν φύσιν, καὶ εἰς προβάτων ἡμερότητα αὐτὰ μεθίστησιν, οὐχὶ τῆς θηριωδίας αὐτὰ μεθιστάς, ἀλλ' ἐν αὐτῇ τῇ φύσει καταλιμπάνων, τὰ τῶν προβάτων ἐπιδείκνυσθαι παρασκευάζει. Καὶ οὐκ ἐπὶ τῶν θηρίων μόνον τοῦτο ἴδοι τις ἄν,

εἰς τὸν τόπον του, ἀπὸ ποῦ θὰ ἐμάθαινεν αὐτὸ ὁ Ἰακὼβ καὶ αἱ γυναῖκες αὐτοῦ; Καὶ διὰ τοῦτο ἐπιτρέπει εἰς αὐτὸν νὰ προχωρήσῃ καὶ μὲ τὴν ἰδικήν του γλῶσσαν νὰ ὁμολογήσῃ εἰς αὐτὸν αὐτὰ ποὺ εἶπεν ὁ Θεὸς πρὸς αὐτόν, διὰ νὰ γίνῃ καὶ ὁ δίκαιος περισσότερον πρόθυμος διὰ τὴν ἀποδημίαν καὶ νὰ ἐνθαρρυνθῇ. Ἐξ ἄλλου καὶ αἱ γυναῖκες αὐτοῦ νὰ μάθουν, πόσης φροντίδος ἀξιώνεται ὁ Ἰακὼβ ἀπὸ τὸν Θεὸν τοῦ παντὸς καὶ νὰ ἀποδιώξουν τὴν πατρικὴν πλάνην καὶ νὰ μιμηθοῦν τὸν δίκαιον καὶ νὰ λάβουν ἀπὸ αὐτὸν ἀρκετὴν διδασκαλίαν διὰ τὸ θέλημα τοῦ Θεοῦ. Καθ' ὅσον οἱ λόγοι τοῦ Ἰακὼβ δὲν ἦσαν τόσον ἀξιόπιστοι, ὅσον οἱ λόγοι τοῦ Λάβαν, ὁ ὁποῖος ἐλάτρευεν ἀκόμη τὰ εἴδωλα. Διότι αἱ ὁμολογίαι τῶν ἀπίστων καὶ τῶν ἐχθρῶν τῆς εὐσεβείας ἔχουν πάντοτε πολλὴν ἀξιοπιστίαν. Καὶ τοῦτο λοιπὸν εἶναι ἀποτέλεσμα τῆς ἐφευρετικῆς σοφίας τοῦ Θεοῦ, ὅταν κάνῃ δηλαδὴ καὶ τοὺς ἐχθροὺς τῆς ἀληθείας νὰ γίνουν μάρτυρες αὐτῆς καὶ ὑποστηρίζουν μὲ τὴν ἰδικήν των γλῶσσαν τὰ ἴδια.

«Καὶ ὁ Λάβαν κατέφθασε τὸν Ἰακώβ. Ὁ Ἰακὼβ εἶχε στήσει τὴν σκηνήν του εἰς τὸ ὄρος. Καὶ ὁ Λάβαν κατεσκήνωσε μὲ τοὺς ἀδελφούς του εἰς τὸ ἴδιον ὄρος Γαλαάδ. Καὶ εἶπεν ὁ Λάβαν εἰς τὸν Ἰακώβ. Τί εἶναι αὐτὸ ποὺ ἔκαμες;». Πρόσεχε πῶς ἡ ἐντολὴ τοῦ Θεοῦ κατέστειλε τὸν θυμόν του καὶ ἐχαλιναγώγησε τὴν ὀργήν του. Διὰ τοῦτο ὁμιλεῖ πρὸς αὐτὸν μὲ πολλὴν ἡμερότητα, ὡσὰν νὰ ἀπολογῆται καὶ νὰ ἐπιδεικνύῃ πρὸς αὐτὸν πατρικὴν στοργήν. Διότι ὅταν ἀπολαμβάνωμεν τὴν ἐκ τοῦ οὐρανοῦ φροντίδα, ὄχι μόνον τὰς ἐπιβουλὰς τῶν κακῶν ἀνθρώπων δυνάμεθα νὰ ἀποφύγωμεν, ἀλλὰ καὶ εἰς ἀνήμερα θηρία νὰ πέσωμεν δὲν θὰ πάθωμεν τίποτε τὸ κακόν. Διότι ὁ Κύριος τοῦ παντὸς ἐπιδεικνύων τὴν ὑπερβολικήν του δύναμιν καὶ τὴν φύσιν τῶν θηρίων μετατρέπει καὶ τὰ μεταβάλλει εἰς ἥμερα πρόβατα χωρὶς νὰ τὰ ἀπομακρύνῃ ἀπὸ τὴν θηριωδίαν των, ἀλλ' ἐνῷ ἀφήνει αὐτὰ εἰς τὴν φύσιν των, τὰ κάμνει νὰ συμπεριφέρωνται ὡς πρόβατα. Καὶ εἶναι δυνατὸν νὰ ἴδῃ κανεὶς αὐτὸ ὄχι μόνον εἰς τὰ ἄγρια

ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν στοιχείων. Ὅταν γὰρ αὐτὸς βούληται, καὶ τὰ στοιχεῖα αὐτὰ τῆς οἰκείας ἐνεργείας ἐπιλανθάνεται, καὶ οὐδὲ πῦρ τὰ πυρὸς ἐπιδείκνυται. Καὶ τοῦτό τις καταμάθοι ἐπί τε τῶν τριῶν παίδων, ἐπί τε τοῦ Δανιήλ. Ὁ μὲν ὑπὸ λεόντων περιστατούμενος, ὡς ὑπὸ προβάτων κυκλούμενος, οὐδὲν ἔπασχεν ἀηδές, τῆς ἄνωθεν ῥοπῆς τὴν ἐκείνων ἀγριότητα ἀναχαιτιζούσης. Ὅτι γὰρ θῆρες ὄντες ἔμενον τὰ τῆς θηριωδίας μὴ ἐπιδεικνύμενοι, δι' αὐτῶν τῶν πραγμάτων ἔγνωσαν τῶν ἀλόγων θηρίων οἱ ἀγριώτεροι.

5. Καὶ τοῦτο δὲ ἐγίνετο πρὸς μείζονα κατηγορίαν ἐκείνων, ὅτι οἱ λόγῳ τετιμημένοι τὰ ἄλογα θηρία ὑπερηκόντισαν τῇ ὠμότητι. Καὶ ἐμάνθανον διὰ τῶν πραγμάτων, ὅπως διὰ τὴν τοῦ Δεσπότου πρόνοιαν τὸν μὲν δίκαιον καὶ τὰ θηρία ᾐδέσθη, καὶ οὐκ ἐτόλμησαν ἐφάψασθαι τοῦ σώματος· αὐτοὶ δὲ τὰ τῶν θηρίων αὐτῷ χεῖρον διέθηκαν. Καὶ ἵνα μὴ νομίσωσι φαντασίαν τινὰ γεγενῆσθαι, διὰ τῶν μετὰ ταῦτα βληθέντων εἰς τὸν λάκκον ἐπεγίνωσκον, ὅτι ἐπὶ μὲν τοῦ δικαίου τῶν προβάτων ἐμιμοῦντο τὴν ἡμερότητα, καὶ τῆς φύσεως ἐπελανθάνοντο· ἐπὶ δὲ τῶν μετὰ ταῦτα βληθέντων τὰ τῆς θηριωδίας ἐπεδείκνυντο. Οὕτω καὶ ἐπὶ τῆς καμίνου τοῦ πυρὸς γέγονε. Τοὺς μὲν ἔνδον ὄντας καὶ ἐν μέσῳ τῷ πυρὶ τυγχάνοντας ᾐδεῖτο τὸ στοιχεῖον, καὶ οὐκ ἠνέργει τὰ τοῦ πυρός· ἀλλὰ καθάπερ πεδηθείσης τῆς ἐνεργείας, οὕτως ἀβλαβῆ τῶν παίδων τούτων διεφύλαττε τὰ σώματα, καὶ οὐδὲ αὐτῶν τῶν τριχῶν ἐφάψασθαι ἐτόλμησε, καθάπερ ὑπὸ προστάγματός τινος τὸ στοιχεῖον τὴν οἰκείαν ἐνέργειαν ἐπιδείξασθαι κωλυόμενον· τοὺς δὲ ἔξω τῆς καμίνου διάγοντας κατηνάλωσε, δι' ἀμφοτέρων πολλὴν τῆς τοῦ Θεοῦ δυνάμεως τὴν περιουσίαν ἐμφαῖνον, καὶ δι' ὧν τοὺς ἔ-

θηρία, ἀλλὰ καὶ εἰς τὰ στοιχεῖα τῆς φύσεως. Διότι, ὅταν θέλῃ αὐτός, καὶ τὰ στοιχεῖα ἀκόμη χάνουν τὴν ἰδιότητά των καὶ οὔτε ἡ φωτιὰ διατηρεῖ τὴν ἐνέργειάν της. Καὶ τοῦτο ἠμπορεῖ νὰ τὸ μάθῃ κανεὶς καὶ ἀπό τοὺς τρεῖς παῖδας καὶ ἀπὸ τὸν Δανιήλ. Ὁ μὲν Δανιὴλ ἂν καὶ ἦτο περικυκλωμένος ἀπὸ λέοντας, ὠσὰν νὰ ἦτο περικυκλωμένος ἀπὸ πρόβατα, δὲν ἔπαθε τίποτε τὸ κακόν, ἀφοῦ ἡ ἄνωθεν δύναμις ἀνεχαίτιζε τὴν ἀγριότητά των. Διότι τὸ ὅτι ἦσαν καὶ παρέμεναν νὰ εἶναι θηρία, χωρὶς ὅμως νὰ ἐπιδεικνύουν τὴν θηριωδίαν των, τὸ ἀντελήφθησαν ἐξ αὐτῶν τῶν γεγονότων αὐτοὶ ποὺ ἦσαν ἀγριώτεροι καὶ ἀπὸ τὰ ἄλογα θηρία.

5. Καὶ αὐτὸ ἔγινε διὰ νὰ τύχουν μεγαλυτέρας ἐνοχῆς ἐκεῖνοι, διότι αὐτοὶ ποὺ ἔχουν τιμηθῆ μὲ τὴν λογικὴν ὑπερέβησαν εἰς σκληρότητα καὶ τὰ ἄγρια θηρία. Καὶ ἐδιδάσκοντο μὲ ὅσα συνέβησαν, πῶς τὰ θηρία ἐσεβάσθησαν τὸν δίκαιον λόγῳ τῆς προνοίας τοῦ Θεοῦ καὶ δὲν ἐτόλμησαν νὰ τοῦ ἀγγίσουν τό σῶμα, ἐνῷ αὐτοὶ συμπεριεφέρθησαν χειρότερα ἀπὸ τὰ θηρία. Καὶ διά νὰ μὴ νομίσουν, ὅτι εἶχε συμβῆ κάτι τὸ φανταστικόν, ἀπὸ ἐκείνους ποὺ εἶχον ριφθῆ ἐν συνεχείᾳ εἰς τὸν λάκκον, ἀντελαμβάνοντο, ὅτι διὰ μὲν τὸν δίκαιον ἐμιμοῦντο τὴν ἡμερότητα τῶν προβάτων καὶ ἔχανον τὴν φύσιν των, ἐνῷ πρὸς αὐτοὺς ποὺ ἐρρίφθησαν κατόπιν ἔδειχναν τὰς ἀγρίας διαθέσεις των. Τὸ ἴδιο συνέβη καὶ εἰς τὴν κάμινον τοῦ πυρός. Ἐκείνους μὲν ποὺ εὑρίσκοντο μέσα καὶ μάλιστα εἰς τὸ κέντρον τῆς φωτιᾶς, τοὺς ἐσέβετο αὐτὸ τὸ φυσικὸν στοιχεῖον καὶ δὲν ἐνεργοῦσεν ὅπως ἡ φωτιά, ἀλλ' ὠσὰν νὰ εἶχε δεσμευθῆ ἡ ἐνέργεια αὐτῆς, ἄφηνε χωρὶς κακώσεις τὰ σώματα αὐτῶν καὶ οὔτε τὰς τρίχας των ἐτόλμησε νὰ ἀγγίσῃ, σὰν νὰ ἠμποδίζετο νὰ ἐπιδείξῃ τὴν δύναμίν της ἀπό κάποιο πρόσταγμα, ἐκείνους ὅμως ποὺ εὑρίσκοντο ἔξω ἀπὸ τὴν κάμινον τοὺς κατέστρεψε, ἀποδεικνύουσα καὶ μὲ τὰ δύο τὸ μεγάλο μέγεθος τῆς δυνάμεως τοῦ Θεοῦ, καὶ μὲ τὸ ὅτι δηλαδὴ διεφύλαττεν ἀβλαβεῖς αὐτοὺς ποὺ

σω τυγχάνοντας ἀβλαβεῖς διεφύλαττε, καὶ δι' ὧν τούτους διέφθειρεν.

Οὕτως ὅταν τῆς ἄνωθεν ἀπολαύωμεν ῥοπῆς, οὐ μόνον τῶν πρὸς ἡμᾶς πολεμίως ἐχόντων διαφεύγομεν τὰς ἐπιβουλάς, ἀλλὰ κἂν αὐτοῖς τοῖς θηρίοις περιπέσωμεν, οὐδὲν πεισόμεθα δεινόν. Ἡ γὰρ τοῦ Θεοῦ χεὶρ ἡ πάντων δυνατωτέρα, αὕτη πολλὴν ἡμῖν πανταχόθεν περιτίθησι τὴν ἀσφάλειαν, καὶ ἀχειρώτους ἐργάζεται, ὅπερ καὶ ἐπὶ τοῦ δικαίου τούτου γέγονεν. Ὁ γὰρ μετὰ τοσαύτης ὁρμῆς καταλαβεῖν βουλόμενος τὸν Ἰακώβ, καὶ δίκην ἀπαιτῆσαι τῆς πάντων ἀναχωρήσεως, οὐ μόνον οὐδὲν πρὸς αὐτὸν τραχὺ οὐδὲ ἐπαχθὲς φθέγγεται, ἀλλὰ καθάπερ πατὴρ διαλεγόμενος πρὸς παῖδα, οὕτω μετὰ πολλῆς τῆς ἐπιεικείας πρὸς αὐτὸν ποιεῖται τὰ ῥήματα, καί φησι· «Τί ἐποίησας τοῦτο; τί κρυφῇ ἀπέδρας»; Ὅρα πόση ἡ μεταβολή· ὅρα πῶς ὁ καθάπερ θηρίον μεμηνώς, προβάτων μιμεῖται ἡμερότητα. «Ἵνα τί κρυφῇ ἀπέδρας, καὶ ἐκλοποφόρησάς με, καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρᾳ»; Τίνος ἕνεκεν, φησί, τοῦτο πεποίηκας; τί σοι ἔδοξε; διὰ τί οὕτω λανθανόντως ἐποιήσω τὴν ἀποδημίαν; Εἰ γὰρ ἀνήγγειλάς μοι, μετὰ πολλῆς τῆς πομπῆς καὶ τῆς εὐφροσύνης ἐξαπέστειλα ἄν σε. Καὶ γὰρ εἰ τοῦτο ἔγνων, φησί, μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθάρας προέπεμψα ἄν σε.

Οὐκ ἠξιώθην φιλῆσαι τὰς θυγατέρας μου· νῦν δὲ ἀφθόνως ἔπραξας». Ὁρᾷς πῶς λοιπὸν ἑαυτὸν ἐλέγχει, καὶ διὰ τῆς οἰκείας γλώττης ὁμολογεῖ, ὅτι αὐτὸς μὲν κακῶς παρεσκευάζετο διαθεῖναι τὸν δίκαιον, ἡ δὲ τοῦ Θεοῦ πρόνοια τῆς ὁρμῆς αὐτὸν ἐνέκοψεν. «Ἰσχύει», φησίν, «ἡ χείρ μου κακοποιῆσαί σε· ὁ δὲ Θεὸς τοῦ πατρός σου ἐχθὲς εἶπε πρός με λέγων· φύλαξαι σεαυτόν, μήποτε λαλήσῃς πρὸς Ἰακὼβ πονηρά». Ἐννόει μοι πόσης τῷ δικαίῳ παρακλήσεως γέγονε ταυτὶ τὰ

ἦσαν μέσα εἰς αὐτὴν καὶ μὲ τὸ ὅτι κατέστρεψε τοὺς ἐκτὸς τῆς καμίνου.

Ἔτσι, ὅταν ἀπολαμβάνωμεν τὴν ἄνωθεν βοήθειαν, δὲν ἀποφεύγομεν μόνον τὰς μηχανορραφίας αὐτῶν ποὺ διάκεινται ἐχθρικὰ πρὸς ἡμᾶς, ἀλλὰ καὶ δὲν θὰ πάθωμεν τίποτε τὸ κακόν, καὶ ἂν ἀκόμη πέσωμεν εἰς αὐτὰ τὰ θηρία. Διότι τὸ χέρι τοῦ Θεοῦ εἶναι τὸ ἰσχυρότερον ἀπὸ κάθε τι, αὐτό μᾶς περιβάλλει ἀπὸ παντοῦ μὲ μεγάλην ἀσφάλειαν καὶ μᾶς καθιστᾷ ἀκαταβλήτους, πρᾶγμα βεβαίως ποὺ συνέβη καὶ μὲ τὸν δίκαιον αὐτόν. Καθ' ὅσον αὐτὸς ποὺ ἤθελε μὲ τόσην ὁρμὴν νὰ συλλάβῃ τὸν Ἰακὼβ καὶ νὰ ζητήσῃ νὰ τὸν τιμωρήσῃ ἐξ αἰτίας τῆς ἀναχωρήσεως ὅλων, ὄχι μόνον δὲν λέγει τίποτε τὸ βαρὺ καὶ δυσάρεστον πρὸς αὐτόν, ἀλλ' ὅπως ἀκριβῶς συνομιλεῖ ὁ πατέρας πρὸς τὸ παιδί, κατὰ τὸν ἴδιον τρόπον καὶ αὐτὸς ὁμιλεῖ πρὸς ἐκεῖνον μὲ πολλὴν ἠπιότητα καὶ τοῦ λέγει· «Διατί ἔκανες αὐτό; Διατί ἔφυγες κρυφά;». Πρόσεχε πόσον μεγάλη εἶναι ἡ ἀλλαγή. Πρόσεχε πῶς μιμεῖται τὴν ἡμερότητα τῶν προβάτων αὐτός, ὁ ὁποῖος εἶχεν ὀργισθῇ ὅπως ἀκριβῶς τὸ θηρίον. «Διατί ἔφυγες κρυφὰ καὶ μοῦ ἔκλεψες καὶ ἐπῆρες μαζί σου τὰς θυγατέρας μου ὡς αἰχμαλώτους πολέμου;». Διατί, λέγει, ἔκανες αὐτό; Τί σοῦ ἐφάνη; Διατί ἀνεχώρησες ἔτσι κρυφά; Διότι, ἐὰν μοῦ εἶχες προαναγγείλει αὐτό, θὰ σὲ προέπεμπα μὲ πολλὴν συνοδείαν καὶ μὲ πολλὴν χαράν. Καθ' ὅσον, ἐὰν ἐγνώριζον αὐτό, λέγει, θὰ σὲ προέπεμπα μὲ μουσικὰ ὄργανα, μὲ τύμπανα καὶ μὲ κιθάρας.

«Δὲν μὲ ἠξίωσες νὰ φιλήσω τὰς θυγατέρας μου. Ἔκανες τώρα αὐτὸ χωρὶς νὰ συλλογισθῇς». Βλέπεις πῶς πλέον ἐλέγχει τὸν ἑαυτόν του καὶ μόνος του ὁμολογεῖ, ὅτι αὐτὸς μὲν προετοιμάζετο νὰ συμπεριφερθῇ κακῶς πρὸς τὸν δίκαιον, ἀλλ' ἡ πρόνοια τοῦ Θεοῦ ἀνέκοψε τὴν ὁρμήν του: «Ἔχω τὴν δύναμιν», λέγει, «νὰ σὲ κακοποιήσω». Ἀλλ' ὁ Θεὸς τοῦ πατρός σου ὡμίλησεν εἰς ἐμένα χθὲς καὶ μοῦ εἶπε· πρόσεχε καὶ μὴ ὁμιλήσῃς σκληρὰ πρὸς τὸν Ἰακώβ». Σκέψου, παρακαλῶ, πόσην παρηγορίαν ἐπροξένησαν εἰς τὸν δίκαιον αὐτοὶ οἱ λόγοι, καὶ ἀναλο-

ῥήματα, καὶ σκόπει πῶς οὗτος καὶ τὰ βουλευθέντα αὐτῷ ἐξέφηνε, καὶ ἐπὶ ποίοις τὴν κατάληψιν ποιήσασθαι ἐβούλετο, καὶ ὅτι ὁ τοῦ Θεοῦ φόβος αὐτὸν ἐπέσχεν εἰς ἔργον ἀγαγεῖν τὰ κακῶς αὐτῷ βουλευθέντα.

«Ὁ Θεὸς τοῦ πατρός σου», φησίν. Ὅρα πῶς καὶ αὐτὸς ὁ Λάβαν οὐ μικρὰν ἐντεῦθεν ὠφέλειαν ἐκαρποῦτο, μεγίστην τῆς τοῦ Θεοῦ δυνάμεως ἀπόδειξιν λαμβάνων ἐκ τῶν πρὸς αὐτὸν λεχθέντων. Ἀλλ' ἐπειδὴ καὶ σύ, φησί, τοῦτο ἐβουλεύσω, καὶ ὁ Θεός ἐστιν ὁ τοσαύτην σου ποιούμενος κηδεμονίαν, «Νῦν οὖν πεπόρευσαι· ἐπιθυμίᾳ γὰρ ἐπεθύμησας ἀπελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου. Ἵνα τί ἔκλεψας τοὺς θεούς μου»; Ἔστω, φησί· τοῦτό σοι δεδογμένον ἦν, καὶ ἔκρινας ἐπανελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου· ἵνα τί τοὺς θεούς μου ἔκλεψας; Ὢ ἀνοίας ὑπερβολή· καὶ τοιοῦτοί εἰσιν οἱ θεοί σου, ὡς καὶ κλαπῆναι; Οὐκ αἰσχύνῃ λέγων, «Ἵνα τί ἔκλεψας τοὺς θεούς μου»;

Ὅρα πόση ἦν ἡ ὑπερβολὴ τῆς πλάνης, ὡς τοὺς λόγῳ τετιμημένους ξύλα καὶ λίθους θεραπεύειν. Καὶ οἱ μὲν θεοὶ οἱ σοί, ὦ Λάβαν, οὐδὲ κλέπτεσθαι μέλλοντες ἑαυτοῖς ἀμῦναι ἴσχυσαν. (Πῶς γὰρ οἱ ἀπὸ λίθου ὄντες συγκείμενοι;), ὁ δὲ τοῦ δικαίου Θεός, καὶ ἀγνοοῦντος τοῦ δικαίου, τὴν σὴν ὁρμὴν ἐπέσχε. Καὶ οὐκ ἐννοεῖς τὸ μέγεθος τῆς πλάνης, ἀλλὰ καὶ τῷ δικαίῳ κλοπὴν ἐγκαλεῖς; Τίνος γὰρ ἕνεκεν ὁ δίκαιος ἐκείνους ὑφελέσθαι ἂν κατεδέξατο, οὓς ἐβδελύττετο, μᾶλλον δὲ οὓς ᾔδει λίθους ὄντας ἀναισθήτους; Ἀλλὰ ταῦτα ἀκούσας ὁ Ἰακὼβ μετὰ πολλῆς ἐπιεικείας, πρῶτον μὲν ἀπολογεῖται πρὸς τὰ προλαβόντα ἐγκλήματα, καὶ τότε περὶ τῶν θεῶν προτρέπεται ποιήσασθαι τὴν ἔρευναν· «Εἶπα γάρ», φησί, «μήποτε ἀφέλῃ τὰς θυγατέρας σου ἀπ' ἐμοῦ, καὶ πάντα τὰ ἐμά». Ἐ-

γίσου πῶς ἐκεῖνος ἐφανέρωσεν εἰς αὐτὸν αὐτά, τὰ ὁποῖα ἐσκέπτετο νὰ τοῦ κάνῃ καὶ διὰ ποῖον λόγον ἤθελε νὰ τὸν συλλάβῃ καὶ ὅτι ὁ φόβος τοῦ Θεοῦ ἠμπόδισεν αὐτὸν νὰ πραγματοποιήσῃ αὐτὰ ποὺ ἐσκέπτετο ἐναντίον του.

«Ὁ δὲ Θεὸς τοῦ πατρός σου», λέγει. Πρόσεχε πῶς καὶ ὁ ἴδιος ὁ Λάβαν εἶχε μεγάλην ὠφέλειαν μὲ αὐτὰ τὰ γεγονότα, ἀφοῦ ἔλαβε μεγάλην ἀπόδειξιν τῆς δυνάμεως τοῦ Θεοῦ ἀπ' αὐτὰ ποὺ ἐλέχθησαν πρὸς αὐτόν. Ἀλλ' ἐπειδὴ καὶ σύ, λέγει, ἀπεφάσισες αὐτό, καὶ ὁ Θεὸς εἶναι αὐτός, ποὺ σὲ ἐφρόντισε τόσον πολύ, «Τώρα λοιπὸν ἔχεις φύγει, διότι ἐπεθύμησες πολὺ νὰ γυρίσῃς εἰς τὸν οἶκον τοῦ πατρός σου. Διατί ὅμως ἔκλεψες τὰ ἀγάλματα τῶν θεῶν μου;». «Ἂς εἶναι, λέγει· ἐσὺ ἀποφάσισες αὐτό καὶ ἔκρινες, ὅτι πρέπει νὰ ἐπιστρέψῃς εἰς τὸν οἶκον τοῦ πατρός σου· διατί ὅμως ἔκλεψες τὰ ἀγάλματα τῶν θεῶν μου; Πώ πὼ ὑπερβολικὸν μέγεθος ἀνοησίας· μὰ τέτοιοι εἶναι οἱ θεοί σου, ὥστε νὰ εἶναι δυνατὸν καὶ νὰ κλαποῦν; Δὲν ἐντρέπεσαι νὰ λέγῃς, «Διατί ἔκλεψες τὰ ἀγάλματα τῶν θεῶν μου;».

Πρόσεχε πόσον ἦτο τὸ μέγεθος τῆς πλάνης, ὥστε αὐτοὶ ποὺ εἶχον τιμηθῆ μὲ τὴν λογικήν, νὰ λατρεύουν ξύλα καὶ λίθους. Καὶ οἱ μὲν θεοί σου, Λάβαν, δὲν ἠμπόρεσαν νὰ ὑπερασπισθοῦν τοὺς ἑαυτούς των, οὔτε ὅταν ἐπρόκειτο νὰ κλαποῦν. «Καθ' ὅσον πῶς ἦτο δυνατὸν νὰ ἀμυνθοῦν αὐτοὶ ποὺ εἶναι κατασκευασμένοι ἀπὸ λίθον;), ὁ Θεὸς ὅμως τοῦ δικαίου ἀνεχαίτισε τὴν ἰδικήν σου ὁρμήν, καὶ χωρὶς αὐτὸς νὰ τὸ γνωρίζῃ. Καὶ ὄχι μόνον δὲν καταλαβαίνεις τὸ μέγεθος τῆς πλάνης, ἀλλὰ καὶ κατηγορεῖς τὸν δίκαιον διὰ κλοπήν; Διότι διὰ ποῖον λόγον θὰ κατεδέχετο ὁ δίκαιος νὰ κλέψῃ τοὺς θεοὺς ποὺ ἀπεστρέφετο, ἢ καλύτερον αὐτοὺς ποὺ ἐγνώριζεν ὅτι ἦσαν ἀναίσθητοι λίθοι; Ἀλλ' ὁ Ἰακὼβ ἀφοῦ ἤκουσεν αὐτὰ μὲ πολλὴν συγκατάβασιν, κατ' ἀρχὰς ἀπολογεῖται διὰ τὰς προηγουμένας κατηγορίας καὶ ἔπειτα προτρέπει νὰ ἐρευνήσῃ διὰ τοὺς θεούς. «Διότι ἐσκέφθην», λέγει, «μήπως θὰ μοῦ ἔπαιρνες τὰς θυγατέρας σου καὶ ὅλα τὰ ὑπάρχοντά μου».

πειδή, φησίν, ἑώρων σε οὐχ ὑγιῶς πρός με διακείμενον, ἐναγώνιος γέγονα, μήποτε ἐπιχειρήσῃς ἀφελέσθαι τὰς θυγατέρας σου καὶ τὰ ὑπάρχοντά μου, καὶ ἀποστερῆσαί με τῶν ἐμῶν, καθάπερ ἤδη πεποίηκας. Αὕτη τοίνυν ἡ αἰτία καὶ ὁ φόβος παρεσκεύασέ με λανθανόντως τὴν ἀποδημίαν ποιήσασθαι. «Παρ' ᾧ οὖν ἂν εὕροις τοὺς θεούς σου, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν». Ὁρᾷς ὅτι ἠγνόει ὁ Ἰακὼβ τὴν παρὰ τῆς Ραχὴλ κλοπὴν γεγενημένην.

Ὅρα γὰρ μεθ' ὅσης σφοδρότητος τὸ ἐπιτίμιον ὁρίζει τῷ τὴν κλοπὴν ἐργασαμένῳ. «Παρ' ᾧ ἄν», φησίν, «εὑρεθῶσιν, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν». Οὐκ ἐπειδὴ μόνον, φησίν, ὑφείλετο, ἀλλ' ὅτι διὰ τῆς κλοπῆς δεῖγμα ἐναργὲς ὁ τοιοῦτος ἐκφέρει τῆς οἰκείας πλάνης. «Ἐπίγνωθι εἴ τί ἐστι τῶν σῶν παρ' ἐμοί, καὶ λάβε». Ἐρεύνησον, φησίν, εἴ τι τῶν μὴ προσηκόντων ἀφειλόμην. Οὐδὲν ἕτερόν μοι ἔχεις ἐγκαλέσαι, ἢ ὅτι λάθρᾳ τὴν ἀποδημίαν ἐποιησάμην· καὶ τοῦτο οὐχ ἑκὼν πέπονθα, ἀλλ' ὑφορώμενος τὴν ἀδικίαν, καὶ δεδοικὼς μὴ βουληθῇς καὶ τὰς θυγατέρας σου ἀφελέσθαι, τοῦτο μαθών, καὶ τὴν ἄλλην μου περιουσίαν. «Καὶ οὐκ ἐπέγνω», φησί, «παρ' αὐτῷ οὐδέν. Οὐκ ᾔδει δὲ Ἰακὼβ ὅτι Ραχὴλ ἡ γυνὴ αὐτοῦ ἔκλεψεν αὐτούς. Εἰσελθὼν δὲ Λάβαν ἠρεύνησε τὸν οἶκον τῆς Λείας, καὶ οὐχ εὗρεν. Εἰσῆλθε δὲ καὶ εἰς τὸν οἶκον Ραχήλ. Ραχὴλ δὲ ἔλαβε τὰ εἴδωλα, καὶ ἐνέβαλεν αὐτὰ εἰς τὰ σάγματα τῶν καμήλων, καὶ ἐπεκάθισεν αὐτοῖς, καὶ εἶπε τῷ πατρὶ αὐτῆς· μὴ βαρέως φέρε, κύριέ μου· οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ' ἐθισμὸν τῶν γυναικῶν μοί ἐστιν. Ἠρεύνησε δὲ Λάβαν ἐν ὅλῳ τῷ οἴκῳ αὐτῆς, καὶ οὐχ εὗρε».

6. Πολλὴ τῆς Ραχὴλ ἡ σύνεσις, δι' ἧς τὸν Λάβαν παρακρούσασθαι ἴσχυσεν. Ἀκουέτωσαν οἱ ἔτι τῇ πλάνῃ προστετηκότες, καὶ τῶν εἰδώλων τὴν θεραπεί-

Ἐπειδή, λέγει, σὲ ἔβλεπον νὰ μὴ ἔχῃς καλὰς διαθέσεις πρὸς ἐμένα, κατελήφθην ἀπὸ ἀγωνίαν, μήπως καὶ ἐπιχειρήσῃς νὰ μοῦ ἀφαιρέσῃς τὰς θυγατέρας σου καὶ τὰ ὑπάρχοντά μου καὶ μοῦ στερήσῃς τὰ ἰδικά μου, ὅπως ἤδη ἔχεις κάνει. Αὐτὴ λοιπὸν ἡ αἰτία καὶ ὁ φόβος μὲ ἔκαναν νὰ φύγω κρυφά. «Εἰς ὅποιον ὅμως θὰ εὕρῃς τοὺς θεούς σου, δὲν θὰ ζήσῃ, ἀλλὰ θὰ φονευθῇ ἐνώπιον τῶν ἀδελφῶν μας». Βλέπεις ὅτι ὁ Ἰακὼβ ἠγνόει, ὅτι ἡ κλοπὴ εἶχε γίνει ἀπὸ τὴν Ραχήλ.

Πρόσεχε λοιπὸν μὲ πόσην σφοδρότητα ὁρίζει τὴν τιμωρίαν δι' αὐτὸν ποὺ ἐνήργησε τὴν κλοπήν. «Εἰς ὅποιον εὑρεθοῦν», λέγει, «δὲν θὰ ζήσῃ, ἀλλὰ θὰ φονευθῇ ἐνώπιον τῶν ἀδελφῶν μας». Ὄχι μόνον, λέγει, ἐπειδὴ ἔκλεψεν, ἀλλὰ καὶ διότι διὰ τῆς κλοπῆς αὐτὸς ἀποδεικνύει ἐμφανέστατα τὴν πλάνην του. «Νὰ ἐλέγξῃς, τί ἐκ τῶν ἰδικῶν σου εὑρίσκεται εἰς τὰ ἰδικά μου καὶ νὰ τὸ πάρῃς». Ἐρεύνησε, λέγει, ἐὰν ἐπῆρα κάτι ποὺ δὲν ἔπρεπε. Διὰ τίποτε ἄλλο δὲν ἠμπορεῖς νὰ μὲ κατηγορήσῃς, παρὰ μόνον διὰ τὸ ὅτι ἔφυγα κρυφά. Καὶ αὐτὸ δὲν τὸ ἔκανα μὲ τὴν θέλησίν μου, ἀλλ' ἐπειδὴ ἔβλεπον τὴν ἀδικίαν καὶ ἐπειδὴ ἐφοβήθην μήπως θελήσῃς νὰ μοῦ ἀφαιρέσῃς καὶ τὰς θυγατέρας σου, ὅταν μάθῃς αὐτό, καὶ τὴν ὑπόλοιπον περιουσίαν μου. «Καὶ δὲν ἀνεκάλυψε τίποτε εἰς αὐτόν», λέγει. Δὲν ἐγνώριζε δὲ ὁ Ἰακώβ, ὅτι ἡ Ραχὴλ ἡ γυναῖκα του ἔκλεψεν αὐτούς. Εἰσῆλθε δὲ ὁ Λάβαν εἰς τὴν σκηνὴν τῆς Λείας καὶ ἐρεύνησε αὐτὴν καὶ δὲν ηὗρε τίποτε. Εἰσῆλθε καὶ εἰς τὴν σκηνὴν τῆς Ραχήλ. Ἡ Ραχὴλ ὅμως ἐπῆρε καὶ ἔκρυψε τὰ εἴδωλα εἰς τὰ σάγματα τῶν καμήλων καὶ ἐκάθισεν ἐπάνω εἰς αὐτὰ καὶ εἶπεν εἰς τὸν πατέρα της. Μὴ δυσφορῇς, κύριέ μου. Δὲν ἠμπορῶ νὰ σηκωθῶ ἔμπροσθέν σου, διότι συμβαίνει νὰ ἔχω τὰ συνηθισμένα εἰς τὰς γυναῖκας φαινόμενα. Καὶ ἐρεύνησεν ὁ Λάβαν ὅλην τὴν σκηνὴν αὐτῆς καὶ δὲν ηὗρεν αὐτά.

6. Μεγάλη εἶναι ἡ σύνεσις τῆς Ραχήλ, μὲ τὴν ὁποίαν ἠμπόρεσε νὰ ἐξαπατήσῃ τὸν Λάβαν. Ἂς ἀκούσουν αὐτό, ὅσοι ἐπιμένουν ἀκόμη εἰς τὴν πλάνην καὶ φροντίζουν πο-

αν περὶ πολλοῦ ποιούμενοι. Ἔθηκεν αὐτούς, φησίν, ὑπὸ τὰ σάγματα τῶν καμήλων, καὶ ἐπεκάθισεν αὐτοῖς. Τί τούτων καταγελαστότερον; Οἱ λόγῳ τετιμημένοι, καὶ τοσαύτης ἀξιωθέντες προεδρίας παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, λίθους ἀναισθήτους θεραπεύειν καταδέχονται, καὶ οὐκ ἐγκαλύπτονται, οὐδὲ λαμβάνουσι ἔννοιάν τινα τῆς τοσαύτης ἀτοπίας, ἀλλὰ καθάπερ βοσκήματα, οὕτω τῇ συνηθείᾳ ἐπάγονται; Διὰ τοῦτο καὶ Παῦλος ἔλεγε γράφων, «Οἴδατε, ὅτι, ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε ἐπαγόμενοι». Καὶ καλῶς εἶπε, «Τὰ ἄφωνα». Οἱ φωνὴν ἔχοντες καὶ ἀκοῆς καὶ λόγου μετέχοντες, πρὸς τὰ μηδεμίαν αἴσθησιν ἔχοντα, ὡς ἄλογα ἀπάγεσθε. Καὶ ποίας ἂν οἱ τοιοῦτοι συγγνώμης τύχοιεν;

Ἀλλ' ἴδωμεν ὅπως ὁ δίκαιος λοιπὸν θαρρήσας ἔκ τε τῶν παρὰ τοῦ Λάβαν ὁμολογηθέντων, καὶ ἐξ ὧν οὐδεμίαν εὔλογον αἰτίαν εὗρε τῆς κατ' αὐτοῦ μέμψεως, τί φησιν; «Ὠργίσθη δὲ Ἰακὼβ καὶ ἐμαχέσατο τῷ Λάβαν καὶ εἶπεν». Ὅρα πῶς καὶ διὰ τῆς μάχης τῆς οἰκείας ψυχῆς ἐκκαλύπτει τὴν ἀρετήν. «Τί τὸ ἀδίκημά μου», φησίν; «ἢ τί τὸ ἁμάρτημά μου, ὅτι κατεδίωξας ὀπίσω μου;». Τίνος ἕνεκεν, φησί, μετὰ τοσαύτης ὁρμῆς κατεδίωξάς με; ποῖον ἀδίκημα ἐγκαλεῖν ἔχων; ποῖον ἁμάρτημα; Καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τοσαύτην ὕβριν ἡμῖν ἐπήγαγες, ὥστε καὶ ἐρευνῆσαι πάντα τὰ ἐν τῷ οἴκῳ μου. «Τί εὗρες ἀπὸ πάντων σκευῶν τοῦ οἴκου σου; Θὲς ὧδε ἐναντίον τῶν ἀδελφῶν σου καὶ τῶν ἀδελφῶν μου καὶ ἐλεγξάτωσαν ἀνὰ μέσον τῶν δύο ἡμῶν». Τοσαύτην, φησίν, ἔρευναν ποιησάμενος, ἆρα ἠδυνήθης τι εὑρεῖν τῶν μὴ προσηκόντων μοι, ἢ τῶν σοι διαφερόντων; Εἰ εὗρες, ἐν τῷ μέσῳ παράγαγε, ἵνα οἱ συνόντες μοι καὶ οἱ μετὰ σοῦ παραγενόμενοι τὴν διάκρισιν ποιήσωνται.

---

5. Α' Κορ. 12, 2.

λύ διὰ τὴν λατρείαν τῶν εἰδώλων. «Ἔκρυψεν αὐτούς», λέγει, «κάτω ἀπὸ τὰ σάγματα τῶν καμήλων καὶ ἐκάθισεν ἐπάνω εἰς αὐτούς. Τί πιὸ γελοῖον ἀπὸ αὐτὰ ὑπάρχει; Αὐτοὶ οἱ ὁποῖοι ἔχουν τιμηθῆ μὲ τὴν λογικὴν καὶ ἔχουν ἀξιωθῆ τόσον μεγάλης ὑπολήψεως ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ, αὐτοὶ καταδέχονται νὰ λατρεύουν ἄψυχους λίθους καὶ δὲν ἀποκρύπτουν τὴν συνήθειάν των, οὔτε ἐννοοῦν τὸ τόσον μεγάλο ἀτόπημα, ἀλλ' ὅπως ἀκριβῶς τὰ ζῶα ἔτσι ὁδηγοῦνται ἀπὸ τὴν συνήθειαν; Διὰ τοῦτο καὶ ὁ Παῦλος γράφοντας ἔλεγε, «Γνωρίζετε ὅτι, ὅταν ἤσασθε εἰδωλολάτρες, παρεσύρεσθε πρὸς τὰ ἄφωνα εἴδωλα, ὡσὰν νὰ εἴχατε ἀπαχθῆ»[5]. Καὶ καλὰ εἶπε, «Τὰ ἄφωνα». Σεῖς ποὺ ἔχετε φωνὴν καὶ ἀκοὴν καὶ λογικόν, παρασύρεσθε, ὡσὰν νὰ μὴ ἔχετε λογικόν, πρὸς αὐτὰ ποὺ δὲν ἔχουν καμμίαν αἴσθησιν, τὰ εἴδωλα. Καὶ ποίας συγγνώμης θὰ ἦτο δυνατὸν νὰ τύχουν αὐτοὶ οἱ ἄνθρωποι;

Ἀλλ' ἂς ἴδωμεν, τί εἶπεν ὁ δίκαιος, ὅταν ἐν τῷ μεταξὺ ἔλαβε θάρρος καὶ ἀπ' αὐτὰ ποὺ ὡμολόγησεν ὁ Λάβαν καὶ ἀπὸ τὸ ὅτι δὲν ηὗρε καμμίαν λογικὴν αἰτίαν τῆς ἐναντίον του κατηγορίας; «Ὠργίσθη δὲ ὁ Ἰακὼβ καὶ ἐπέπληξε τὸν Λάβαν καὶ εἶπε». Πρόσεχε πῶς ἀποκαλύπτει ἀκόμη καὶ μὲ τὴν διαμάχην τὴν ἀρετὴν τῆς ψυχῆς του. «Ποῖον εἶναι τὸ ἀδίκημά μου;», λέγει, «Ἢ ποῖον εἶναι τὸ σφάλμα μου, διὰ τὸ ὁποῖον μὲ κατεδίωξες ἐρχόμενος ὀπίσω μου;». Διατί, λέγει, μὲ κατεδίωξες μὲ τόσον πάθος; Διὰ ποῖον ἀδίκημα μὲ κατηγορεῖς; Διὰ ποῖον σφάλμα; Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ μᾶς προσέβαλες τόσον πολύ, ὥστε καὶ ὁλόκληρον τὴν σκηνήν μου νὰ ἐρευνήσῃς. «Τί ηὗρες ἀπ' ὅλα τὰ σκεύη τῆς οἰκίας σου; Βάλε αὐτὸ ἐδῶ ἀνάμεσα εἰς τοὺς συγγενεῖς μου καὶ τοὺς συγγενεῖς σου καὶ ἂς κρίνουν αὐτοὶ ἡμᾶς τοὺς δύο». Ἀφοῦ ἐρεύνησες τόσον, λέγει, ἆρά γε ἠμπόρεσες νὰ εὕρῃς κάτι ποὺ δὲν εἶναι ἰδικόν μου ἢ ποὺ λείπει ἀπὸ τὰ ἰδικά σου ὑπάρχοντα; Ἐὰν ηὗρες, παρουσίασε αὐτὸ ἐνώπιον ἡμῶν, ὥστε νὰ ἔλθουν οἱ ἰδικοί μου καὶ οἱ ἰδικοί σου καὶ νὰ τὸ ξεχωρίσουν.

Ἐπειδὴ εἶδεν ἀνεύθυνον ἑαυτὸν ἐν ἅπασι γεγενημένον, πολλὴν λοιπὸν παρρησίαν προσλαβὼν ἀπαριθμεῖται τὴν εὔνοιαν, ἣν περὶ αὐτὸν ἐν παντὶ τῷ χρόνῳ ἐπεδείξατο, καί φησι· «Ταῦτά μοι εἴκοσιν ἔτη». Μετὰ τὸν κάματον τῶν τοσούτων ἐτῶν τούτων, ἤμην ἄξιος ταύτης τῆς ὕβρεως; «Ταῦτά μοι εἴκοσιν ἔτη». Σήμερον εἴκοσιν ἐτῶν ἀριθμὸν ἔχω ἐν τῷ οἴκῳ τῷ σῷ. «Τὰ πρόβατά σου καὶ αἱ αἶγες σου οὐκ ἠτεκνώθησαν· κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον· θηριάλωτον οὐκ ἐνήνοχά σοι. Ἐγὼ ἀπετίννυον παρ' ἐμαυτοῦ, κλέμματα ἡμέρας καὶ κλέμματα νυκτός. Ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι, καὶ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου». Ἐπελάθου, φησί, τῶν καμάτων τῶν ἐμῶν. ὧν ἐπεδειξάμην ποιμαίνων τὰ πρόβατά σου καὶ τὰς αἶγας; Μὴ ἔχεις ἐγκαλέσαι ὅτι ποτὲ τὰ πρόβατα, ἢ αἱ αἶγες ἠτεκνώθησαν;

Ὅρα πόσην δείκνυσι τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν γεγενημένην εἰς τὸν οἶκον τοῦ Λάβαν διὰ τὴν αὐτοῦ παρουσίαν. Τοῦτο γάρ ἐστιν ὅπερ καὶ ἄνω ἔλεγεν, «Εὐλόγησέ σε ὁ Θεὸς ἐπὶ τῷ ποδί μου». Τοῦτο γὰρ οὐδεὶς ἂν παρὰ ποιμένος ἀπαιτήσειεν. Οὐδὲ γὰρ τῆς ποιμαντικῆς τοῦτο ἔργον· φύσεως γάρ ἐστι. Διὰ τοῦτο πρὸ πάντων τοῦτο προτίθησι, καὶ πολλὴν δείκνυσι τὴν ἄνωθεν γεγενημένην πρόνοιαν περὶ τὰ ποίμνια. «Κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον». Μὴ δύνασαι εἰπεῖν ὅτι ποτὲ κατέφαγον κριὸν ἐκ τῶν προβάτων σου, ὃ πολλοῖς τῶν ποιμένων ποιεῖν ἔθος; «Θηριάλωτον οὐκ ἐνήνοχά σοι». Οὔτε αὐτός, φησί, ποτὲ κατέφαγον, οὔτε θηρίον ἴσχυσέ ποτε ἀφελέσθαι. Μὴ ἐνήνοχά σοι θηριάλωτον; Ἢ οὐχὶ καθ' ἑκάστην ἡμέραν τοὺς τὰ ποίμνια ἐγχειριζομένους ὁρᾷς θηριάλωτα τοῖς δεσπόταις προσάγοντας; Ἀλλὰ σὺ οὐδὲν τοιοῦτον ἐγκαλέσαι δυνήσῃ, ἢ δεῖξαι γεγενημένον ἐν

Ὅταν εἶδεν, ὅτι δὲν εἶχε καμμίαν εὐθύνην δι' ὅλα αὐτὰ πού εἶχαν γίνει, ἀφοῦ ἐπῆρε πλέον θάρρος, ἀπαριθμεῖ τὴν εὔνοιαν τὴν ὁποίαν ἔδειξε πάντοτε εἰς αὐτόν, καὶ λέγει· «Ἤμουν μαζί σου εἴκοσι ἔτη. Μετὰ ἀπὸ τὸν κόπον τόσων πολλῶν χρόνων ἤμουν ἄξιος τέτοιας προσβολῆς; «Ἤμουν μαζί σου εἴκοσι ἔτη». Σήμερον ἔχω εἴκοσι ἔτη εἰς τὸν οἶκον σου. «Τὰ πρόβατά σου καὶ αἱ αἶγες σου δὲν ἔμειναν στεῖρα. Κριοὺς ἀπὸ τὰ πρόβατά σου δὲν ἔφαγον. Δὲν σοῦ ἔφερα πρόβατον κατασπαραγμένον ἀπὸ θηρίον. Ἐγὼ συνεπλήρωνον ἐκ τῶν ἰδικῶν μου ὅσα ἐκλέπτοντο τὴν ἡμέραν ἢ τὴν νύχτα. Τὴν ἡμέραν ἐκαιγόμουν ἀπὸ τὴν ζέστην καὶ τὴν νύκτα ὑπέφερον ἀπὸ τὸ κρύο καὶ ἔτσι ὁ ὕπνος ἔφευγεν ἀπ' τοὺς ὀφθαλμούς μου». Ἐλησμόνησες, λέγει, τοὺς κόπους μου, τοὺς ὁποίους ὑπέφερα μὲ τὸ νὰ βόσκω τὰ πρόβατα καὶ τὰς αἶγας σου; Μήπως μπορεῖς νὰ μὲ κατηγορήσῃς, ὅτι τὰ πρόβατά σου ἢ αἱ αἶγες σου ἔμειναν χωρὶς νὰ γεννήσουν;

Πρόσεχε πόσην εὔνοιαν δείχνει ὅτι ἔλαβεν ὁ οἶκος τοῦ Λάβαν ἐξ αἰτίας τῆς εἰς αὐτὸν παρουσίας τοῦ Ἰακώβ. Καθ' ὅσον αὐτὸ σημαίνει ἐκεῖνο πού ἔλεγεν ἀνωτέρω, «Μὲ τὸν ἐρχομόν μου ὁ Θεὸς σοῦ ἔδωκε τὴν εὐλογίαν του». Διότι αὐτὸ κανεὶς δὲν θὰ ἦτο δυνατὸν νὰ τὸ ἀπαιτήσῃ ἀπὸ βοσκόν, ἀφοῦ οὔτε τῆς ποιμαντικῆς εἶναι ἔργον, ἀλλὰ τῆς φύσεως. Διὰ τοῦτο πρὶν ἀπ' ὅλα προβάλλει αὐτὸ καὶ δείχνει ὅτι ἐλήφθη ἄνωθεν μεγάλη πρόνοια διὰ τὰ πρόβατα. «Κριοὺς ἀπὸ τὰ πρόβατά σου δὲν ἔφαγα». Μήπως ἠμπορεῖς νὰ εἴπῃς, ὅτι ἔφαγα κάποτε κάποιον κριὸν ἀπὸ τὰ πρόβατά σου, πρᾶγμα τὸ ὁποῖον συνηθίζουν νὰ κάμνουν πολλοὶ ἀπὸ τοὺς βοσκούς; «Δὲν σοῦ ἔφερα πρόβατον κατασπαραγμένον ἀπὸ θηρίον». Οὔτε ὁ ἴδιος, λέγει, ἔφαγα ποτὲ κάποιον κριόν, οὔτε κανένα θηρίον ἠμπόρεσε ποτὲ νὰ ἀφαιρέσῃ κάτι ἀπ' αὐτά. Μήπως σοῦ ἔφερα κατασπαραγμένον ἀπὸ θηρίον; Ἢ μήπως δὲν βλέπεις καθημερινῶς τοὺς ποιμένας νὰ φέρουν εἰς τοὺς κυρίους των ζῶα κατασπαραγμένα ἀπὸ θηρία; Ἀλλὰ σὺ δὲν θὰ ἠμπορέσῃς νὰ μὲ κατηγορήσῃς διὰ τίποτε τέτοιο, ἢ νὰ

τοῖς εἴκοσιν ἔτεσι. Καὶ τί λέγω θηριάλωτον; Ἀλλ' οὐδὲ εἰ ἐκλάπη ποτέ, οἷα συμβαίνειν εἰκός, εἰς τὴν σὴν γνῶσιν τοῦτο ἐλθεῖν πεποίηκα, ἀλλ' ἐγὼ καὶ κλέμματα κλεπτόμενα ἀπετίννυον, τά τε ἐν ἡμέρᾳ, τά τε ἐν νυκτὶ γινόμενα. Καὶ διηνεκῶς καὶ τὸν τοῦ καύματος καύσωνα ἔφερον γενναίως, καὶ τὸν κρυμὸν τὸν ἀπὸ τῆς νυκτός, ὑπὲρ τοῦ ἀβλαβῆ σοι τὰ ποίμνια διασώσασθαι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ ὕπνος διὰ τὴν πολλὴν φροντίδα ἀφίστατο ἀπ' ἐμοῦ.

Εἶδες ποιμένος ἀγρυπνίαν; Εἶδες σπουδὴν ἐπιτεταμένην; Ποίαν ἂν ἔχοιεν ἀπολογίαν οἱ τὰ λογικὰ ποίμνια ἐγκεχειρισμένοι, καὶ πολλὴν τὴν ῥαθυμίαν ἐπιδεικνύμενοι, καὶ καθ' ἑκάστην ἡμέραν, κατὰ τὸν προφήτην, τὰ μὲν κατασφάττοντες, τὰ δὲ ὁρῶντες θηριόβρωτα γινόμενα, τὰ δέ ὑφ' ἑτέρων συλώμενα, καὶ οὐδεμίαν κηδεμονίαν αὐτῶν ποιεῖσθαι βουλόμενοι; καίτοι γε ἐνταῦθα ἐλάττων ὁ πόνος, καὶ εὔκολος ἡ ἐπιμέλεια; Ψυχὴ γάρ ἐστιν ἡ παιδευομένη· ἐκεῖ δὲ πολὺς καὶ τῷ σώματι καὶ τῇ ψυχῇ ὁ πόνος.

7. Ὅρα γάρ, τί φησιν. «Ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι, καὶ τῷ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος ἀπ' ἐμοῦ». Τίς ἂν τοῦτο νῦν δυνηθείη εἰπεῖν, ὅτι διὰ τὴν σωτηρίαν τῶν ὑπ' αὐτοῦ ποιμαινομένων κινδύνους ἀνεδέξατο καὶ ταλαιπωρίας; Τῶν μὲν νῦν οὐδεὶς ἂν τοῦτο εἰπεῖν τολμήσειε. Παύλῳ δὲ μόνῳ ἔξεστι ταῦτα μετὰ παρρησίας λέγειν, καὶ τούτων μείζονα, τῷ διδασκάλῳ τῆς οἰκουμένης. Καὶ ποῦ, φησί, Παῦλος ταῦτα ὑπέμεινεν; Ἄκουε αὐτοῦ λέγοντος· «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;». Ὢ ποιμένος φιλοστοργία. Τὰ ἑτέρων, φησί, πτώματα ἐμοὶ ἐπιτείνει τὰς ἀλγηδόνας· τὰ ἑτέρων σκάνδαλα ἐμοὶ

6. Πρβλ. Ἰεζ. 34, 3-6.
7. Β΄ Κορ. 11, 29.

ἀποδείξης, ὅτι ἔγινε κατὰ τὴν διάρκειαν τῶν εἴκοσι ἐτῶν. Καὶ τί λέγω κατασπαραγμένον ἀπὸ θηρίον; Ἀλλὰ οὔτε ἐὰν ἐκλάπη κάτι κάποτε, πρᾶγμα τὸ ὁποῖον φυσικόν εἶναι νὰ συμβαίνῃ, ἄφησα αὐτὸ νὰ ὑποπέσῃ εἰς τὴν ἀντίληψίν σου, ἀλλὰ ἐγὼ συνεπλήρωνον, ὅσα ἐκλέπτοντο καὶ τὴν ἡμέραν καὶ τὴν νύκτα. Καὶ ὑπέφερον διαρκῶς χωρὶς νὰ γογγύζω καὶ τὸν καύσωνα ἀπὸ τὴν ὑπερβολικὴν ζέστην καὶ τὸ ψῦχος τῆς νύκτας, ὥστε νὰ κρατήσω τὰ ποίμνιά σου σῶα καὶ ἀβλαβῆ. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ ὁ ὕπνος ἀκόμη ἔφευγεν ἀπὸ ἐμὲ λόγῳ τῆς ὑπερβολικῆς φροντίδος.

Εἶδες πόσον ἀγρυπνεῖ ὁ ποιμήν; Εἶδες πόσον πολὺ φροντίζει; Ποίαν ἀπολογίαν θὰ δώσουν ἐκεῖνοι, εἰς τούς ὁποίους ἔχει ἀνατεθῆ ἡ φροντὶς τῶν λογικῶν προβάτων καὶ δείχνουν πολλὴν ἀμέλειαν, καί, ἐνῶ κάθε ἡμέραν, κατὰ τὸν προφήτην[6], ἄλλα μὲν τὰ σφάζουν, ἄλλα τὰ βλέπουν νὰ τὰ κατασπαράζουν τὰ θηρία, καὶ ἄλλα νὰ κλέπτωνται ἀπὸ ἄλλους, ὅμως δὲν θέλουν νὰ φροντίζουν καθόλου δι' αὐτά; Καὶ μάλιστα ἂν καὶ ὁ κόπος ἐδῶ εἶναι ὀλιγώτερος καὶ εὔκολη ἡ φροντίς; Διότι αὐτὴ πού παιδεύεται εἶναι ἡ ψυχή, ἐνῶ εἰς ἐκείνην τὴν περίπτωσιν ἀπαιτεῖται κόπος πολὺς καὶ σωματικὸς καὶ ψυχικός.

7. Διότι πρόσεχε τί λέγει. «Τὴν ἡμέραν ἐκαιγόμουν ἀπὸ τὴν ζέστην καὶ τὴν νύκτα ὑπέφερον ἀπὸ τὸ ψῦχος καὶ ἔτσι ὁ ὕπνος ἔφευγεν ἀπὸ τούς ὀφθαλμούς μου». Ποῖος λοιπόν τώρα θὰ ἠμποροῦσε νὰ εἰπῇ αὐτό, ὅτι δηλαδὴ διὰ τὴν σωτηρίαν αὐτῶν πού ποιμαίνει, ἀνέλαβε κινδύνους καὶ ταλαιπωρίας; Ἀπὸ τούς σημερινούς κανεὶς δὲν θὰ ἐτολμοῦσε νὰ εἰπῇ αὐτό. Μόνον ὁ Παῦλος, ὁ διδάσκαλος τῆς οἰκουμένης, ἠμπορεῖ νὰ λέγῃ αὐτὰ μὲ θάρρος καὶ ἀκόμα περισσότερα. Καὶ ποῦ λέγει ἡ Γραφὴ ὅτι ὁ Παῦλος ὑπέμεινεν αὐτά; Ἄκουε τὸν ἴδιον πού λέγει· «Ποῖος ἀσθενεῖ καὶ δὲν ἀσθενῶ; Ποῖος σκανδαλίζεται καὶ δὲν φλέγομαι ἐγώ;»[7]. Πώ, πὼ μέγεθος φιλοστοργίας ποιμένος. Τὰ παραπτώματα τῶν ἄλλων, λέγει, μοῦ μεγαλώνουν τούς πόνους. Τὰ σκάνδαλα τῶν ἄλλων εἰς ἐμένα

τὴν κάμινον τῆς ὀδύνης ἀνάπτει. Τοῦτον ἅπαντες ζηλούτωσαν οἱ τὴν τῶν λογικῶν προβάτων ἐγκεχειρισμένοι προστασίαν, καὶ μὴ χείρους γενέσθωσαν τοῦ περὶ τὴν τῶν ἀλόγων πρόνοιαν τοσαύτην ἀγρυπνίαν ἐπιδειξαμένου, καὶ ἐπὶ τοσοῦτον ἐτῶν ἀριθμόν. Ἐκεῖ μὲν γὰρ κἂν ῥαθυμία τις γένηται, οὐδὲν τὸ βλάβος· ἐνταῦθα δὲ κἂν ἓν πρόβατον λογικὸν ἀπόληται, ἢ θηριάλωτον γένηται, πολλὴ ἡ ζημία, μεγίστη ἡ βλάβη, ἄφατος ἡ κόλασις. Εἰ γὰρ ὁ Δεσπότης ὁ ἡμέτερος τὸ αἷμα τὸ ἴδιον ἐκχέαι ὑπὲρ αὐτοῦ οὐ παρῃτήσατο, ποίας ἂν εἴη ὁ τοιοῦτος συγγνώμης ἄξιος, ὁ τὸν οὕτω τιμηθέντα παρὰ τοῦ Δεσπότου παρορᾶν ἀνεχόμενος, καὶ μὴ τὰ παρ' ἑαυτοῦ πάντα πληρῶν εἰς τὴν τοῦ προβάτου ἐπιμέλειαν; Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανέλθωμεν.

«Ταῦτά μοι», φησίν, «εἴκοσιν ἔτη εἰμὶ ἐν τῇ οἰκίᾳ σου. Ἐδούλευσά σοι δεκατέσσαρα ἔτη ἀντὶ τῶν δύο θυγατέρων σου, καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου, καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀμνάδας. Εἰ μὴ ὁ Θεὸς τοῦ πατρός μου Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαὰκ ἦν μετ' ἐμοῦ, νῦν ἄν με κενὸν ἐξαπέστειλας. Τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου εἶδεν ὁ Θεός, καὶ ἤλεγξέ σε χθές». Ὅρα πῶς τὰ παρὰ τοῦ Λάβαν ὁμολογηθέντα παρεθάρρυνε τὸν δίκαιον, καὶ μετὰ παρρησίας τὸν ἔλεγχον ποιεῖται. Οἶδας, φησίν, ὅπως τῶν εἴκοσιν ἐτῶν τὸν ἀριθμὸν ἐδούλευσά σοι, ὑπὲρ τῶν θυγατέρων σου τὰ δεκατέσσαρα ἔτη, ἐν δὲ τοῖς προβάτοις τὰ ὑπόλοιπα· καὶ ὅμως ἀποστερῆσαί με καταδέξω τὸν μισθόν, καὶ οὐδὲν ὑπὲρ τούτου ἐνεκάλεσα. Τοῦτο δέ, ἐξ ὧν αὐτὸς ὡμολόγησας, οἶδα, ὅτι εἰ μὴ ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ ἦν μοι βοηθός, νῦν ἄν με κενὸν ἐξαπέστειλας, ἔρημον, καὶ πάντα ἂν ἀφείλω ἀπ' ἐμοῦ, καὶ τὴν ἀδικίαν, ἣν προέθου, εἰς ἔργον ἂν ἤγαγες.

Ἀλλ' ὁ Θεὸς ὁ εἰδὼς «Τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου». Τί ἐστι, «Τὴν ταπείνω-

ἀνάπτουν τὴν κάμινον τῆς λύπης. Αὐτὸν ἄς ἔχουν ὡς ὑπόδειγμα ὅλοι ὅσοι ἔχουν ἀναλάβει τὴν προστασίαν τῶν λογικῶν προβάτων καὶ νὰ μὴ γίνωνται χειρότεροι ἀπ' αὐτόν, ὁ ὁποῖος διὰ τὴν φροντίδα τῶν ἀλόγων ἀγρύπνησε τόσον πολὺ καὶ μάλιστα ἐπὶ τόσα πολλὰ ἔτη. Διότι εἰς τὰ ἄλογα ζῶα καὶ νὰ συμβῇ κάποια ἀπερισκεψία, δὲν θὰ εἶναι μεγάλη ἡ ζημία. Ἐδῶ ὅμως ἐὰν χαθῇ ἔστω καὶ ἕνα λογικὸν πρόβατον, ἢ κατασπαραχθῇ ἀπὸ θηρίον, θὰ εἶναι μεγάλη ἡ ζημία, πολὺ μεγαλύτερη ἡ βλάβη, ἀνυπολόγιστη ἡ τιμωρία. Διότι ἐὰν ὁ Κύριος ἡμῶν δὲν ἠρνήθη νὰ χύσῃ τὸ αἷμα του ὑπὲρ αὐτοῦ, ποίας συγγνώμης θὰ ἠμπορέσῃ νὰ τύχῃ αὐτός, ὁ ὁποῖος ἀνέχεται νὰ παραβλέπῃ αὐτόν, ποὺ ἐτιμήθη τόσον ἀπὸ τὸν Κύριον καὶ δὲν κάνει ὅ,τι ἐξαρτᾶται ἀπ' αὐτὸν διὰ τὴν φροντίδα τοῦ προβάτου; Ἀλλ' ἄς ἐπιστρέψωμεν εἰς τὴν συνέχειαν τοῦ λόγου.

«Ἐδῶ καὶ εἴκοσι ἔτη μένω εἰς τὸν οἶκον σου. Σὲ ἐδούλευσα δέκα τέσσερα ἔτη διὰ τὰς δύο θυγατέρας σου καὶ ἕξι ἔτη διὰ τὰ πρόβατά σου καὶ ὑπελόγισες τὸν μισθόν μου, ἀφοῦ τὸν ἄλλαξες πολλὲς φορές, δέκα πρόβατα. Ἐὰν δὲν ἦτο μαζί μου ὁ Θεὸς τοῦ πατρός μου Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ἰσαάκ, τώρα θὰ μ' ἔδιωχνες μὲ ἄδεια χέρια. Τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου εἶδεν ὁ Θεὸς καὶ σὲ ἤλεγξε χθές». Πρόσεχε, πῶς αὐτὰ ποὺ ὡμολόγησεν ὁ Λάβαν ἐνεθάρρυναν τὸν δίκαιον καὶ τὸν ἐλέγχει φανερά. Γνωρίζεις, λέγει, ὅτι σοῦ ἐδούλευσα ἐπὶ εἴκοσιν ἔτη, δεκατέσσερα διὰ τὰς θυγατέρας σου καὶ τὰ ὑπόλοιπα διὰ τὰ πρόβατα καὶ ὅτι παρ' ὅλα αὐτὰ κατεδέχθης νὰ μοῦ στερήσῃς τὸν μισθόν μου καὶ δὲν σὲ κατηγόρησα δι' αὐτὸ καθόλου. Καὶ γνωρίζω αὐτὸ ἀπ' ὅσα σὺ ὁ ἴδιος ὡμολόγησες, ὅτι δηλαδή, ἐὰν δὲν ἦτο συμπαραστάτης μου ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαάκ, τώρα θὰ μ' ἔδιωχνες μὲ ἄδεια χέρια, ἔρημον, καὶ θὰ ἀφαιροῦσες τὸ πάντα ἀπὸ ἐμένα καὶ τὴν ἀδικίαν, τὴν ὁποίαν εἶχες κατὰ νοῦν, θὰ τὴν ἐπραγματοποιοῦσες.

Ἀλλ' ὁ Θεὸς ὁ γνωρίζων «Τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου». Τά σημαίνει «Τὴν ταπείνωσίν

σίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου»; Ἐπειδὴ ᾔδει ὁ Θεός, ὅπως μὲν ἐγὼ μετὰ πολλῆς τῆς εὐνοίας τὴν δουλείαν ἐποιησάμην, καὶ τὸν κόπον ὅσον ὑπέμεινα ποιμαίνων τὰ πρόβατα, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ φροντίζων διετέλουν, πρὸς ἐκεῖνα ἰδὼν ὁ φιλάνθρωπος Δεσπότης χθὲς ἤλεγξέ σε, ἐπέσχε τῆς κατ' ἐμοῦ ἀδικίας καὶ τῆς ἀλογίστου ὁρμῆς. Ἱκανῶς ἐν τάξει ἀπολογίας καθίκετο τοῦ Λάβαν, καὶ μετὰ τὸ ἐλέγξαι τὴν εἰς αὐτὸν ἀδικίαν, καὶ τὰς παρ' αὐτοῦ εἰς αὐτὸν εὐεργεσίας ἀπηριθμήσατο. Διὸ αἰδεσθεὶς ἐκεῖνος τὰ παρ' αὐτοῦ εἰρημένα, λοιπὸν καὶ εἰς δειλίαν καθίσταται, καὶ συνθήκας ἀπαιτῆσαι βούλεται παρὰ τοῦ δικαίου.

Ὅρα Θεοῦ κηδεμονίαν. Ὁ οὕτω παρεσκευασμένος, καὶ μετὰ τοσαύτης ὁρμῆς τὴν καταδίωξιν ποιησάμενος, εἰς τοσαύτην κατέστη δειλίαν, ὡς τὰς παρ' αὐτοῦ συνθήκας ἐπιζητεῖν. «Ἀποκριθεὶς γὰρ Λάβαν», φησίν, «εἶπε τῷ Ἰακώβ· αἱ θυγατέρες σου, θυγατέρες μου, καὶ οἱ υἱοί σου, υἱοί μου, καὶ τὰ κτήνη σου, κτήνη μου, καὶ πάντα ὅσα σὺ ὁρᾷς, ἐμά ἐστι καὶ τῶν θυγατέρων μου· τί ποιήσω ταύταις σήμερον, ἢ τοῖς τέκνοις αὐτῶν τοῖς τεχθεῖσιν;». Οἶδα ὅτι καὶ αἱ θυγατέρες, φησίν, ἐμαί εἰσι, καὶ πάντα ὅσα σοί ἐστιν, ἐκ τῆς ὑπάρξεως τῆς ἐμῆς προσεγένετό σοι· Τί οὖν ποιήσω ταύταις σήμερον, ἢ τοῖς ὑπ' αὐτῶν τεχθεῖσι; Νῦν δεῦρο, διαθώμεθα διαθήκην ἐγώ τε καὶ σύ, καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ τε καὶ σοῦ». Συνθήκας, φησί, ποιησώμεθα, «Καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ», εἰς ἔλεγχον, εἰς ἀπόδειξιν. «Εἶπε δὲ αὐτῷ»· εἴ τις παραβῆναι τὰ νῦν παρ' ἡμῶν προταθέντα ἐπιχειρήσειεν· «Ἰδοὺ οὐδεὶς μεθ' ἡμῶν· ὁ δὲ Θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ».

8. Σκόπει, πῶς κατὰ μικρὸν ὁ Λάβαν καὶ εἰς θεογνωσίαν ἐνάγεται. Ὁ γὰρ τὴν κλοπὴν πρὸ τούτου τῶν θεῶν αὐτοῦ ἐπιφέρων τῷ δικαίῳ, καὶ τοσαύτην ἔρευναν ποιησάμενος, νῦν φησιν· ἐπειδὴ οὐδείς ἐστι

μου καὶ τὸν κόπον τῶν χειρῶν μου»; Ἐπειδὴ ἐγνώριζεν ὁ Θεός, ὅτι ἔκαμα μὲ πολλὴν ὄρεξιν τὴν δουλειάν μου, καὶ πόσον κόπον ὑπέμεινα βόσκων τὰ πρόβατα, καὶ ὅτι ἐφρόντιζα καὶ κατὰ τὴν ἡμέραν καὶ κατὰ τὴν νύκτα, αὐτὰ ἀφοῦ εἶδεν ὁ φιλάνθρωπος Κύριος σὲ ἤλεγξε χθὲς καὶ σὲ συνεκράτησεν ἀπὸ τὴν ἐναντίον μου ἀδικίαν καὶ τὸ παράλογον πάθος. Μὲ τὴν ἀπολογίαν του ἔθιξεν ἀρκετὰ τὸν Λάβαν καὶ ἀφοῦ ἤλεγξε τὴν πρὸς αὐτὸν ἀδικίαν, ἀπηρίθμησε καὶ τὰς εὐεργεσίας, τὰς ὁποίας ἔκαμεν εἰς αὐτόν. Διὰ τοῦτο ἐκεῖνος ἐντραπεὶς δι' ὅσα τοῦ εἶπεν, δειλιάζει καὶ θέλει νὰ ζητήσῃ ἀπὸ τὸν δίκαιον συμφωνίαν.

Πρόσεχε τὴν πρόνοιαν τοῦ Θεοῦ. Αὐτὸς ὁ ὁποῖος εἶχε προετοιμασθῇ τόσον πολὺ καὶ τὸν κατεδίωξε μὲ τόσην ὁρμήν, αὐτὸς τόσον πολὺ ἐφοβήθη, ὥστε νὰ ζητῇ ἀπ' αὐτὸν τὴν τήρησιν τῶν συμφωνιῶν. Πράγματι «ὁ Λάβαν ἀποκριθείς», λέγει, «εἶπεν εἰς τὸν Ἰακώβ· Αἱ θυγατέρες σου εἶναι θυγατέρες μου καὶ οἱ υἱοί σου υἱοί μου καὶ τὰ κτήνη σου κτήνη μου καὶ ὅλα, ὅσα σὺ βλέπεις, εἶναι ἰδικά μου καὶ τῶν θυγατέρων μου. Γνωρίζω, λέγει, ὅτι καὶ αἱ θυγατέρες σου εἶναι ἰδικαί μου καὶ ὅλα ὅσα σοῦ ἀνήκουν τὰ ἀπέκτησες ἀπὸ τὰ ἰδικά μου ὑπάρχοντα. «Τί κακὸν λοιπὸν ἠμπορῶ νὰ κάμω σήμερον εἰς αὐτὰς καὶ εἰς τὰ παιδιά, τὰ ὁποῖα αὐταὶ ἐγέννησαν; Ἔλα λοιπὸν καὶ ἂς κάμωμεν συμφωνίαν ἐγὼ καὶ ἐσύ, ἡ ὁποία θὰ εἶναι μία μαρτυρία φιλίας μεταξύ μας». Συμφωνίας, λέγει, ἂς κάμωμεν. «Καὶ ἂς εἶναι ὡς μαρτυρία μεταξύ μας», σημεῖον ἐλέγχου καὶ ἀποδείξεως τῆς φιλίας μας. «Εἶπε δὲ πρὸς αὐτόν»· ἐὰν κανεὶς ἐπιχειρήσῃ τώρα νὰ παραβῇ τὴν μεταξύ μας συμφωνίαν, «Ἰδοὺ κανεὶς δὲν ὑπάρχει πλησίον μας. Ὁ Θεὸς ὅμως εἶναι ἐνώπιόν μας μάρτυς».

8. Πρόσεχε πῶς ὁ Λάβαν ὁδηγεῖται ὀλίγον κατ' ὀλίγον καὶ εἰς τὴν γνῶσιν τοῦ Θεοῦ. Διότι αὐτὸς ποὺ προηγουμένως ἀπέδιδε τὴν κλοπὴν τῶν θεῶν του εἰς τὸν δίκαιον καὶ ἔκανε τόσην ἔρευναν, τώρα λέγει· Ἐπειδὴ δὲν εὑρίσκεται κανεὶς ἀνάμεσά μας ποὺ θὰ ἠμπορῇ, ἐὰν γίνῃ

μεταξὺ ἡμῶν ὁ δυνάμενος, εἴ τι μετὰ ταῦτα γένοιτο, μαρτυρῆσαι τοῖς νῦν παρ' ἡμῶν γινομένοις, «ὁ Θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ». 'Εκεῖνος πάρεστιν, ὁ τὰ πάντα ὁρῶν, ὃν οὐδὲν λαθεῖν δύναται, ὁ τὴν ἑκάστου γνώμην ἐπιστάμενος. «Λαβὼν δέ», φησίν, «'Ιακὼβ ἔστησε στήλην, καὶ ἐποίησε βουνόν, καὶ ἔφαγον ἐπὶ τοῦ βουνοῦ. Εἶτα εἶπεν αὐτῷ Λάβαν· ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ». Τί ἐστιν, «῾Ο βουνὸς οὗτος»; 'Αντὶ τοῦ, τὰ ῥήματα τὰ ἐνταῦθα γινόμενα ἐν τῷ βουνῷ τούτῳ ὑπόμνησις ἡμῖν ἔσται διηνεκῶς. «Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, βουνὸς μαρτυρίου». Εἶτά φησιν· «'Επίδοι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ».

Σκόπει πῶς πάλιν τὴν παρὰ τοῦ Θεοῦ δίκην ἐπικαλεῖται ὁ Λάβαν. «'Επίδοι γάρ», φησίν, «ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ὅτι ἀποστησόμεθα ἕτερος τοῦ ἑτέρου». Νῦν, φησί, χωρισθησόμεθα, καὶ σὺ μὲν ἀπελεύσῃ εἰς τὴν οἰκείαν γῆν, ἐγὼ δὲ ἐπανελεύσομαι εἰς τὸν οἶκον τὸν ἐμόν. «Εἰ ταπεινώσεις τὰς θυγατέρας μου, εἰ λάβοις γυναῖκας πρὸς ταῖς θυγατράσι μου, ὅρα, οὐδεὶς μεθ' ἡμῶν ἐστιν ὁ ὁρῶν· Θεὸς μάρτυς». Σκόπει πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις τὸν Θεὸν καλεῖ μάρτυρα. Καὶ γὰρ ἡ πρόνοια ἡ περὶ τὸν 'Ιακὼβ γεγενημένη ἐπαίδευσεν αὐτόν, ὅση τοῦ Δεσπότου ἡ δύναμις, καὶ ὡς οὐχ οἷόν τέ τι λαθεῖν τὸν ἀκοίμητον ὀφθαλμόν. Διὰ τοῦτό φησι· κἂν διαχωρισθῶμεν, κἂν μηδεὶς ἕτερος ὁ μαρτυρῆσαι δυνάμενος, αὐτὸς ἔσται μάρτυς ὁ πανταχοῦ παρών· δι' ἑκάστου τῶν ῥημάτων ἐνέφηνεν, ὅτι τῆς πανταχοῦ γῆς ἐστι Δεσπότης. Καὶ εἶπεν 'Ιακώβ· «ἰδοὺ ἡ στήλη αὕτη μαρτυρεῖ.

Εἶτα πάλιν ὁ Λάβαν φησίν· ἐάν τε γὰρ ἐγὼ μὴ διαβῶ πρὸς σέ, μήτε σὺ διαβῇς πρὸς ἐμὲ τὸν βουνὸν τοῦτον καὶ τὴν στήλην ταύτην ἐπὶ κακίᾳ, ὁ Θεὸς 'Α-

κάτι μεταξύ μας, νὰ μαρτυρήση αὐτὰ ποὺ γίνονται τώρα, «ὁ Θεὸς ἂς εἶναι μάρτυς μεταξὺ ἐμοῦ καὶ σοῦ». Ἐκεῖνος εἶναι παρών, αὐτὸς ποὺ βλέπει τὰ πάντα, ἀπὸ τὸν ὁποῖον οὐδὲν εἶναι δυνατὸν νὰ διαφύγῃ, αὐτὸς ποὺ γνωρίζει καλῶς τὴν σκέψιν τοῦ καθενός. «Ἀφοῦ δὲ ἔλαβε», λέγει, «ὁ Ἰακὼβ ἕνα λίθον, τὸν ἔστησεν ὡς στήλην καὶ ἔκαμαν σωρὸν καὶ ἔφαγον ὁ Ἰακὼβ καὶ ὁ Λάβαν ἐπάνω εἰς τὸν σωρόν. Ἔπειτα εἶπεν εἰς αὐτὸν ὁ Λάβαν· Ὁ σωρὸς αὐτὸς εἶναι μάρτυς τῆς μεταξύ μας συμφωνίας». Τί σημαίνει, «Ὁ σωρὸς αὐτός»; Εἶπεν αὐτὸ ἀντὶ νὰ εἴπῃ, ὅσα ἐλέχθησαν ἐπάνω εἰς τὸν σωρὸν αὐτὸν θὰ εἶναι διαρκὴς εἰς ἡμᾶς ὑπενθύμισις. «Καὶ ὠνόμασε τὸν τόπον ὁ Λάβαν σωρὸν μαρτυρίας». Ἔπειτα εἶπεν· «Ἂς ἐπιβλέψῃ ὁ Θεὸς μεταξὺ ἐμοῦ καὶ σοῦ».

Πρόσεξε, πῶς πάλιν ὁ Λάβαν ζητεῖ τὴν δικαιοσύνην τοῦ Θεοῦ. Διότι λέγει· «Ἂς ἐπιβλέψῃ ὁ Θεὸς μεταξὺ ἐμοῦ καὶ σοῦ, διότι θὰ χωρίσωμεν ὁ ἕνας ἀπὸ τὸν ἄλλον»· Τώρα, λέγει, θὰ χωρισθῶμεν καὶ σὺ μὲν θὰ ὑπάγῃς εἰς τὴν πατρίδα σου, ἐγὼ δὲ θὰ ἐπανέλθω εἰς τὸν οἶκόν μου. «Ἐὰν ταλαιπωρήσῃς τὰς θυγατέρας μου, ἢ ἐὰν λάβῃς ἄλλας γυναῖκας ἐκτὸς τῶν θυγατέρων μου, πρόσεχε, κανεὶς δὲν ὑπάρχει μεταξύ μας ὡς μάρτυς. Ὁ Θεὸς εἶναι ὁ μάρτυς». Πρόσεχε πῶς καὶ μίαν καὶ δύο καὶ πολλὰς φορὰς καλεῖ μάρτυρα τὸν Θεόν. Καθ' ὅσον ἡ περὶ τὸν Ἰακὼβ πρόνοια τοῦ Θεοῦ ἐδίδαξεν εἰς αὐτόν, πόση εἶναι ἡ δύναμις τοῦ Κυρίου καὶ ὅτι δὲν ἦτο δυνατὸν νὰ διαφύγῃ τίποτε ἀπὸ τὸν ἄγρυπνον ὀφθαλμόν του. Διὰ τοῦτο λέγει· «Καὶ ἂν χωρισθῶμεν, καὶ ἂν κανεὶς ἄλλος δὲν θὰ ἠμπορῇ νὰ μαρτυρήσῃ, αὐτὸς θὰ εἶναι μάρτυς ὁ πανταχοῦ παρών. Μὲ κάθε μίαν ἀπὸ τὰς λέξεις αὐτὰς κατέστησε φανερόν, ὅτι ὁ Κύριος εἶναι ὁ ἐξουσιαστὴς ὁλοκλήρου τῆς γῆς. Καὶ εἶπεν ὁ Ἰακώβ· «Ἰδοὺ ἡ στήλη αὐτὴ εἶναι μάρτυς τῆς συμφωνίας».

«Ἔπειτα πάλιν ὁ Λάβαν εἶπεν· Ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ναχὼρ θὰ εἶναι κριτὴς μεταξύ μας, ἐὰν ἐγὼ δὲν διαβῶ πρὸς τὸ μέρος σου καὶ σὺ δὲν περάσῃς

6ραάμ, καὶ ὁ Θεὸς Ναχὼρ κρίνοι ἀνὰ μέσον ἡμῶν». Θέα πῶς μετὰ τοῦ πατρὸς καὶ τὸν πάππον τὸν ἑαυτοῦ συνῆψεν, ἀδελφὸν μὲν τοῦ πατριάρχου τυγχάνοντα, ἑαυτοῦ δὲ πάππον. «Ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ναχὼρ κρίνοι ἀνὰ μέσον ἡμῶν. Καὶ ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ, καὶ ἔθυσε θυσίαν ἐν τῷ ὄρει, καὶ ἐκάλεσε τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει». «Ἔθυσε θυσίαν ἐν τῷ ὄρει»· ηὐχαρίστησε, φησί, τῷ Θεῷ ἐπὶ τοῖς γεγονόσι· «Καὶ ἔφαγον, καὶ ἔπιον, καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει. Ἀναστὰς δὲ Λάβαν τῷ πρωῒ κατεφίλησε τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ εὐλόγησεν αὐτούς. Καὶ ἀποστραφεὶς Λάβαν ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ».

Εἶδες, ἀγαπητέ, πόση τοῦ Θεοῦ ἡ σοφία, ὅπως κατὰ ταὐτὸν καὶ τὴν περὶ τὸν δίκαιον πρόνοιαν ἐπεδείξατο, κἀκεῖνον ἀπέστησε τῆς κατ' αὐτοῦ ἀδικίας, καὶ δι' ὧν αὐτῷ παρεγγύησε μὴ λαλῆσαι πονηρὰ κατὰ τοῦ Ἰακώβ, εἰς τὴν τῆς θεογνωσίας ὁδὸν κατὰ μικρὸν αὐτὸν ἐνήγαγε, καὶ ὁ καθάπερ θηρίον ἐπιτρέχων, καὶ φθάσαι βουλόμενος καὶ ἀνελεῖν, ἀπολογησάμενος καὶ καταφιλήσας καὶ τὰς θυγατέρας καὶ τοὺς υἱοὺς αὐτῶν, οὕτως οἴκαδε ὑπέστρεψε; Τάχα εἰς πολὺ μῆκος τὸν λόγον ἐξετείναμεν, ἀλλὰ τῆς ἱστορίας εἰς τὴν ἀνάγκην ἡμᾶς ταύτην καταστησάσης. Διόπερ ἐνταῦθα στήσαντες τὸν λόγον, ἐκεῖνο παρακαλέσωμεν ὑμῶν τὴν ἀγάπην, ὥστε πάντα ποιεῖν καὶ πραγματεύεσθαι, ἵνα τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα. Ἐὰν γὰρ ἐκεῖνον ἔχωμεν εὐμενῆ, πάντα ἡμῖν ῥᾴδια ἔσται καὶ εὔκολα, καὶ οὐδὲν ἡμᾶς τῶν ἐν τῷ παρόντι βίῳ λυπῆσαι δυνήσεται, κἂν λυπηρὸν εἶναι δοκῇ. Τοσαύτη γὰρ τῆς αὐτοῦ δυνάμεως ἡ ὑπερβολή, ὡς καὶ αὐτὰ τὰ λυπηρὰ εἰς τὸ ἐναντίον περιτρέπειν, ὅταν βούληται. Οὕτω καὶ Παῦλος ἐν θλίψεσιν ὢν ἔχαιρε καὶ ἠγάλλε-

τὸν σωρὸν αὐτὸν πρὸς τὸ μέρος μου μὲ ἐχθρικὰς διαθέσεις». Πρόσεχε πῶς μαζὶ μὲ τὸν πατέρα του καὶ τὸν πάππον του προσέθεσεν, ὁ ὁποῖος ἦτο ἀδελφὸς μὲν τοῦ πατριάρχου, ἀλλὰ καὶ ἰδικός του πάππος. «Ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ναχὼρ ἂς εἶναι κριτὴς μεταξύ μας. Καὶ ὡρκίσθη ὁ Ἰακὼβ ἐνώπιον τοῦ Θεοῦ, τὸν ὁποῖον ἐσέβετο ὁ πατήρ του Ἰσαὰκ καὶ προσέφερε θυσίαν εἰς τὸ ὄρος καὶ ἐκάλεσε τοὺς ἰδικούς του καὶ ἔφαγον καὶ ἔπιον καὶ ἐκοιμήθησαν εἰς τὸ ὄρος ἐκεῖνο». «Προσέφερε θυσίαν εἰς τὸ ὄρος». Εὐχαρίστησε, λέγει, τὸν Θεὸν δι' ὅσα συνέβησαν. «Καὶ ἔφαγον καὶ ἔπιον καὶ ἐκοιμήθησαν εἰς τὸ ὄρος ἐκεῖνο. Καὶ τὸ πρωὶ ὁ Λάβαν ἐσηκώθη καὶ ἐφίλησε μὲ ἀγάπην τοὺς υἱούς του καὶ τὰς θυγατέρας του καὶ τοὺς εὐλόγησε. Καὶ ἐπιστρέψας ὁ Λάβαν ἐπανῆλθεν εἰς τὸν οἶκόν του».

Εἶδες, ἀγαπητέ, πόση εἶναι ἡ σοφία τοῦ Θεοῦ· πῶς μὲ αὐτὸ τὸ γεγονὸς ἔδειξε καὶ τὴν πρόνοιαν τοῦ Θεοῦ διὰ τὸν δίκαιον καὶ ἐκεῖνον ἀπεμάκρυνεν ἀπὸ τὴν πρὸς αὐτὸν ἀδικίαν· καὶ δι' ὅσων παρήγγειλεν εἰς αὐτὸν νὰ μὴ ὁμιλήσῃ ἄσχημα εἰς τὸν Ἰακώβ, ὡδήγησεν αὐτὸν σιγὰ-σιγὰ εἰς τὴν ὁδὸν τῆς θεογνωσίας. Καὶ ἔτσι ἐκεῖνος ποὺ ἔτρεχεν ὡς θηρίον καὶ ἤθελε νὰ τὸν φθάσῃ καὶ νὰ τὸν φονεύσῃ, ἀφοῦ ἐδικαιολογήθη καὶ ἀφοῦ κατεφίλησε καὶ τὰς θυγατέρας του καὶ τοὺς υἱούς των, ἔτσι ἐπέστρεψεν εἰς τὸν οἶκον του; Ἴσως ὅμως νὰ ἐπεκτείναμεν πολὺ τὸν λόγον, ἀλλὰ μᾶς τὸ ὑπεχρέωσεν ἡ διήγησις αὐτῆς τῆς ἱστορίας. Διὰ τοῦτο ἀκριβῶς, ἀφοῦ διακόψωμεν ἐδῶ τὸν λόγον, ἐκεῖνο μόνον θὰ παρακαλέσω τὴν ἀγάπην σας, ὥστε ὅλα νὰ κάνετε καὶ ἔτσι νὰ συμπεριφέρεσθε διὰ νὰ ἀποσπάσωμεν τὴν ἄνωθεν εὔνοιαν. Διότι ἐὰν ἔχωμεν μὲ τὸ μέρος μας τὸν Θεόν, ὅλα θὰ εἶναι εἰς ἡμᾶς εὔκολα καὶ ὄχι δύσκολα καὶ δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς λυπήσῃ τίποτε εἰς τὸν παρόντα βίον, ὅσον καὶ ἂν φαίνεται λυπηρόν. Διότι τόσον εἶναι τὸ μέγεθος τῆς δυνάμεώς του, ὥστε, ὅταν θέλῃ, καὶ τὰ δυσάρεστα ἀκόμη τὰ μετατρέπει εἰς εὐχάριστα. Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ Παῦλος ἂν καὶ εὑρίσκε-

το τῇ προσδοκίᾳ τῶν ἀποκειμένων ἀμοιβῶν πτερούμενος. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, «Ἐν θλίψει ἐπλάτυνάς μοι», διδάσκων ἡμᾶς, ὅτι ἐν αὐτῇ τῇ θλίψει τυγχάνοντα ἀδείας καὶ ἀνέσεως αὐτὸν ἀπολαύειν παρεσκεύαζεν ὁ Θεός.

Τοιοῦτον τοίνυν ἔχοντες Δεσπότην, οὕτω δυνατόν, οὕτως εὐμήχανον καὶ σοφόν, οὕτω φιλάνθρωπον, τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ τῆς ἀρετῆς πολὺν ποιώμεθα λόγον, ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

8. Ψαλμ. 4, 2.

το είς θλίψεις ἔχαιρε καὶ ἠγάλλετο, διότι μὲ τὴν προσδοκίαν τῶν μελλοντικῶν ἀγαθῶν τὸ ἠθικόν του ἀνεπτερώνετο. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν· «Είς τὸν καιρὸν τῆς θλίψεως μοῦ ἔδωσες χαράν»[8], θέλων νὰ διδάξῃ εἰς ἡμᾶς ὅτι, ἂν καὶ εὑρίσκετο μέσα εἰς τὴν θλῖψιν, ὅμως ὁ Θεὸς τὸν προετοίμαζε νὰ ἀπολαύσῃ τὴν ἀφοβίαν καὶ τὴν ἄνεσιν.

Ἀφοῦ λοιπὸν ἔχομεν τέτοιον Κύριον, τόσον δυνατόν, τόσον ἐφευρετικὸν καὶ σοφόν, τόσον φιλάνθρωπον, ἃς προσφέρωμεν ὅ,τι ἐξαρτᾶται ἀπὸ ἡμᾶς καὶ νὰ ἐργαζώμεθα τὴν ἀρετήν, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα καὶ τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ ἐξουσία, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΗ΄
(Γέν. 32, 1 - 33, 17)

«Καὶ ἀναβλέψας Ἰακὼβ εἶδε παρεμβολὴν Θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ Θεοῦ. Εἶπε δὲ Ἰακώβ, ἡνίκα εἶδεν αὐτούς· παρεμβολὴ Θεοῦ αὕτη· καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, παρεμβολαί».

1. Οἶδα, ὅτι κεκμήκατε χθές, εἰς πολὺ μῆκος τοῦ λόγου προελθόντος ἡμῖν· ἀλλὰ καὶ θαρσεῖτε· ὁ κόπος ὑμῶν οὐκ ἔστι κενός· ἐν Κυρίῳ γάρ ἐστι γινόμενος, δι' ὃν καὶ ὁ πρὸς βραχὺ πόνος μεγάλων μισθῶν πρόξενος γίνεται. Εἰ γὰρ καὶ τὸ σῶμα κέκμηκεν, ἀλλ' ἡ ψυχὴ πλέον ἐρρώννυτο. Διὸ καὶ αὐτὸς ὁρῶν ὑμῶν ἀκμάζοντα τὸν πόθον, καὶ τὴν ἐπιθυμίαν διεγηγερμένην, βουλόμενος συστεῖλαι τὴν διδασκαλίαν, οὐκ ἠβουλήθην πρὸ τοῦ τέλους εἰς σιγὴν καταλῦσαι τὸν λόγον, εἰδὼς ὡς ταύτῃ μᾶλλον ὑμῖν χαριοῦμαι. Τὸ γὰρ πλῆθος τῶν εἰρημένων μάλιστα ἐδείκνυ τῆς ὑμετέρας φιληκοΐας τὴν πολλὴν σπουδὴν καὶ τὸν ἀκόρεστον πόθον· διὰ τοῦτο καὶ αὐτὸς μετὰ πλείονος προθυμίας τῆς πρὸς ὑμᾶς ἅπτομαι διδασκαλίας, ὁρῶν ὑμῶν καθ' ἑκάστην ἡμέραν τὴν ὄρεξιν ἐπιτεινομένην. Φέρε οὖν καὶ σήμερον τὰ ἑξῆς τῶν χθὲς εἰρημένων κατὰ δύναμιν ἐπελθόντες, τὴν συνήθη ἑστίασιν παραθῶμεν ὑμῶν τῇ ἀγάπῃ, καὶ ἴδωμεν, μετὰ τὴν τοῦ Λάβαν ἀναχώρησιν ὅπως ὁ δίκαιος τῆς ὁδοιπορίας ἅπτεται. Οὐδὲν γὰρ ἀργὸν τῶν ἐν τῇ θείᾳ Γραφῇ κειμένων ἐστίν,

------

1. Ἑβραϊστὶ Μαχαναΐμ = Δύο στρατόπεδα.

ΟΜΙΛΙΑ ΝΗ΄
(Γέν. 32, 1 - 33, 17)

«Καί, ἀφοῦ ἐσήκωσε τὰ μάτια του ὁ Ἰακώβ, εἶδε παρατεταγμένον ἕνα θεῖον στράτευμα ποὺ ἀπετελεῖτο ἀπὸ ἀγγέλους τοῦ Θεοῦ, οἱ ὁποῖοι ἦλθον εἰς συνάντησιν αὐτοῦ. Καὶ ὅταν εἶδεν αὐτοὺς εἶπεν ὁ Ἰακώβ· Στρατόπεδον τοῦ Θεοῦ εἶναι αὐτό. Καὶ ὠνόμασε τὸ μέρος ἐκεῖνο, παρεμβολαί»[1].

1. Γνωρίζω, ὅτι ἐκουράσθητε χθές, διότι ὁ λόγος μας ἐμάκρυνεν, ἀλλὰ νὰ ἔχετε θάρρος. Ὁ κόπος σας δὲν εἶναι μάταιος. Εἶναι κόπος ποὺ ἔγινε διὰ τὸν Κύριον, διὰ τὸν ὁποῖον καὶ ὁ μικρὸς κόπος γίνεται πρόξενος μεγάλων ἀμοιβῶν. Διότι ἂν καὶ ἐκουράσθη τὸ σῶμα, ἡ ψυχὴ ὅμως ἐδυνάμωσε περισσότερον. Διὰ τοῦτο καὶ ἐγὼ ὁ ἴδιος, ἐπειδὴ ἔβλεπα ζωηρὸν τὸν πόθον σας καὶ μεγάλην τὴν ἐπιθυμίαν σας, ἂν καὶ ἤθελα νὰ σταματήσω τὴν διδασκαλίαν, δὲν ἠθέλησα νὰ τὸ κάνω αὐτὸ πρὶν φθάσω εἰς τὸ τέλος, διότι ἐγνώριζα, ὅτι ἔτσι θὰ σᾶς ἔδιδα μεγαλυτέραν χαράν. Καθ' ὅσον τὰ πολλὰ ποὺ ἐλέχθησαν ἐδείκνυον περισσότερον τὸ μεγάλο ἐνδιαφέρον καὶ τὸν ἀκόρεστον πόθον σας νὰ μὲ ἀκούετε. Διὰ τοῦτο καὶ ἐγὼ μὲ μεγαλυτέραν προθυμίαν ἀρχίζω τὴν διδασκαλίαν, ἀφοῦ βλέπω, ὅτι κάθε ἡμέραν ἡ ὄρεξίς σας μεγαλώνει. Ἐμπρὸς λοιπὸν ἂς συνεχίσωμεν καὶ σήμερον, κατὰ δύναμιν, ὅσα ἐλέχθησαν χθὲς καὶ ἂς παραθέσωμεν εἰς τὴν ἀγάπην σας τὴν συνηθισμένην πνευματικὴν τροφὴν καὶ ἂς ἴδωμεν, πῶς ἀρχίζει ὁ δίκαιος Ἰακὼβ τὴν ὁδοιπορίαν μετὰ τὴν ἀναχώρησιν τοῦ Λάβαν. Διότι ἀπ' ὅσα ὑπάρχουν εἰς τὴν ἁγίαν Γραφὴν τίποτε δὲν εἶναι ἀνώφελον, ἀλλὰ ὅλα ὅσα ἔγιναν ἀπὸ τοὺς δικαίους μᾶς ὠφελοῦν πάρα πολύ. Ἐπειδὴ δη-

ἀλλὰ πάντα τὰ ὑπὸ τῶν δικαίων γινόμενα μεγίστης γέμει τῆς ὠφελείας. Ἐπειδὴ γὰρ τὸν τῶν ὅλων Δεσπότην εἶχον διηνεκῶς αὐτοῖς συμπαρόντα, καὶ τοὺς κατὰ τὴν ὁδοιπορίαν πόνους ἐπικουφίζοντα, πολλὴν καὶ ἀπὸ τῆς ψιλῆς αὐτῶν ὁδοιπορίας ἐστὶ τὴν ὠφέλειαν καρπώσασθαι.

Ἀπελθόντος, φησί, τοῦ Λάβαν εἰς τὸν οἶκον αὐτοῦ, «Καὶ Ἰακὼβ ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ ὁδὸν καὶ ἀναβλέψας εἶδε παρεμβολὴν Θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ Θεοῦ». Ἐπειδὴ γάρ, παυσαμένου τοῦ φόβου τοῦ Λάβαν καὶ τέλος εἰληφότος, διεδέχετο λοιπὸν ὁ φόβος τοῦ ἀδελφοῦ, διὰ τοῦτο ὁ φιλάνθρωπος Δεσπότης παραθαρρῦναι τὸν δίκαιον βουλόμενος καὶ πᾶσαν αὐτοῦ τὴν δειλίαν ἀποσκεδάσαι, παρεσκεύασεν αὐτὸν τῶν ἀγγέλων τὴν παρεμβολὴν ἰδεῖν. «Συνήντησαν γὰρ αὐτῷ», φησίν, «οἱ ἄγγελοι τοῦ Θεοῦ. Καὶ εἶπεν Ἰακώβ· παρεμβολὴ Θεοῦ αὕτη. Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, παρεμβολαί», ὥστε ἐκ τῆς προσηγορίας διηνεκῆ τὴν ὑπόμνησιν εἶναι τῆς γεγενημένης αὐτῷ ἐκεῖσε ὀπτασίας.

Εἶτα μετὰ τὴν ὀπτασίαν ταύτην, «Ἀπέστειλε», φησίν, «ἔμπροσθεν αὐτοῦ ἀγγέλους πρὸς Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐνετείλατο λέγων· οὕτως ἐρεῖτε τῷ κυρίῳ μου Ἡσαῦ. Ὅρα καὶ μετὰ τὴν ὄψιν πόσος ἔτι ὁ φόβος ἐπέκειτο τῷ δικαίῳ. Ἐδεδοίκει γὰρ τοῦ ἀδελφοῦ τὴν ὁρμήν, καὶ ἠγωνία, μὴ ἡ μνήμη τῶν πρὶν ὑπ' αὐτοῦ γεγενημένων εἰς τὴν κατ' αὐτοῦ ἔφοδον παρορμήσῃ. «Εἴπατε», φησί, «τῷ κυρίῳ μου Ἡσαῦ· οὕτω λέγει ὁ παῖς σου Ἰακώβ· μετὰ Λάβαν παρῴκησα, καὶ ἐχρόνισα ἕως τοῦ νῦν, καὶ ἐγένοντό μοι βόες καὶ ὄνοι καὶ πρόβατα καὶ παῖδες καὶ παιδίσκαι, καὶ ἀπέστειλα τῷ κυρίῳ μου, ἵνα εὕρῃ ὁ παῖς σου ἐναντίον σου χάριν».

Σκόπει πῶς δέδοικε τὸν ἀδελφόν, καὶ διὰ τοῦτο ἐξευμενίσασθαι αὐτὸν βουλόμενος, προαποστέλλει μη-

λαδὴ εἶχον διαρκῶς συμπαραστάτην των τὸν Κύριον τοῦ παντός, ὁ ὁποῖος καὶ ἀνεκούφιζε τοὺς κόπους τῆς ὁδοιπορίας των, δύναται κανεὶς νὰ ὠφεληθῇ πολὺ καὶ μόνον ἀπὸ τὴν ὁδοιπορίαν των.

Ἀφοῦ ἐπέστρεψε, λέγει, ὁ Λάβαν εἰς τὴν οἰκίαν του, «Καὶ ὁ Ἰακὼβ ἐπῆρε τὸν ἰδικόν του δρόμον, ἀφοῦ ἐσήκωσε τὰ βλέματά του, εἶδε παρατεταγμένον ἕνα θεῖον στράτευμα ποὺ ἀπετελεῖτο ἀπὸ ἀγγέλους τοῦ Θεοῦ, οἱ ὁποῖοι ἦλθον εἰς συνάντησιν αὐτοῦ». Ἐπειδὴ δηλαδὴ ἔπαυσε καὶ ἐξέλειψεν ὁ φόβος ἀπὸ τὸν Λάβαν καὶ ἤρχιζε πλέον ὁ φόβος τοῦ ἀδελφοῦ, διὰ τοῦτο ὁ φιλάνθρωπος Κύριος, ἐπιθυμῶν νὰ ἐνθαρρύνῃ τὸν δίκαιον καὶ νὰ διώξῃ ἀπὸ ἐπάνω του κάθε φόβον, ἔκαμεν αὐτὸν νὰ ἴδῃ τὸ στρατόπεδον τῶν ἀγγέλων. Διότι λέγει· «Συνήντησαν αὐτὸν οἱ ἄγγελοι τοῦ Θεοῦ. Καὶ εἶπεν ὁ Ἰακώβ· Στρατόπεδον τοῦ Θεοῦ εἶναι αὐτό. Καὶ ὠνόμασε τὸν τόπον ἐκεῖνον παρεμβολαί», ὥστε καὶ ἀπὸ τὴν ὀνομασίαν νὰ ἐνθυμῆται διαρκῶς τὴν ὀπτασίαν, τὴν ὁποίαν εἶδεν, εἰς τὸ μέρος ἐκεῖνο.

Ἔπειτα μετὰ ἀπ' αὐτὴν τὴν ὀπτασίαν, «Ἀπέστειλε», λέγει, ἔμπροσθέν του ἀγγελιαφόρους πρὸς τὸν Ἠσαῦ τὸν ἀδελφόν του καὶ εἶπεν εἰς αὐτούς· Αὐτὰ νὰ εἰπῆτε εἰς τὸν κύριόν μου τὸν Ἠσαῦ». Πρόσεχε πόσον φόβον εἶχεν ὁ δίκαιος ἀκόμη καὶ μετὰ τὴν ὀπτασίαν. Διότι ἐφοβεῖτο τὴν ὀργὴν τοῦ ἀδελφοῦ καὶ εἶχεν ἀγωνίαν, μήπως ἡ ἀνάμνησις τῶν ὑπ' αὐτοῦ πραχθέντων κατὰ τὸ παρελθὸν τὸν παρακινήσῃ εἰς τὴν κατ' αὐτοῦ ἐπίθεσιν. «Εἴπατε», λέγει, «εἰς τὸν κύριόν μου τὸν Ἠσαῦ· Ὁ δοῦλος σου ὁ Ἰακὼβ λέγει τὰ ἑξῆς· Μέχρι τώρα παρέμεινα πλησίον τοῦ Λάβαν καὶ ἐκεῖ ἐπέρασαν τὰ χρόνια. Καὶ ἀπέκτησα βοοειδῆ καὶ ὄνους καὶ πρόβατα καὶ δούλους καὶ δούλας. Ἔστειλα ἀγγελιαφόρους νὰ ἀναγγείλουν τοῦτο εἰς τὸν κύριόν μου τὸν Ἠσαῦ, διὰ νὰ εὕρω ἐγὼ ὁ δοῦλος σου ἐνώπιόν σου χάριν».

Πρόσεχε, πόσον φοβεῖται τὸν ἀδελφόν του καὶ διὰ τοῦτο, ἐπειδὴ θέλει νὰ τὸν ἐξευμενίσῃ, στέλλει πρὸς αὐ-

νύων αὐτῷ τήν τε οἰκείαν ἐπάνοδον, τήν τε γεγενημένην αὐτῷ περιουσίαν καὶ ὅπου τὸν ἅπαντα διετέλεσε χρόνον, ἵνα μαλάξας αὐτοῦ τὸν θυμόν, ἥμερον αὐτὸν καταστῆσαι δυνηθῇ· ὃ δὴ καὶ γεγένηται, τοῦ Θεοῦ κατευνάσαντος αὐτοῦ τὴν καρδίαν καὶ σβέσαντος τὴν ὀργὴν αὐτοῦ, καὶ ἥμερον αὐτὸν καταστήσαντος. Εἰ γὰρ τὸν Λάβαν τὸν μετὰ τοσαύτης ὁρμῆς καταδιώξαντα, ἐν τοσούτῳ φόβῳ γενέσθαι παρεσκεύασε δι' ὧν πρὸς αὐτὸν εἶπε, πολλῷ μᾶλλον τὸν ἀδελφὸν ἡμερώτερον ἂν γενέσθαι παρεσκεύασε περὶ τὸν δίκαιον. «'Ανέστρεψαν δέ», φησί, «λέγοντες· ἀπήλθομεν πρὸς τὸν ἀδελφόν σου, καὶ ἔρχεται εἰς συνάντησίν σου καὶ τετρακόσιοι ἄνδρες μετ' αὐτοῦ».

Ὅρα πῶς καὶ αὐτὸ τοῦτο ἐπέτεινε τῷ δικαίῳ τὸν φόβον. Οὐδὲ γὰρ ᾔδει τὸν σκοπὸν τοῦ ἀδελφοῦ μετὰ ἀκριβείας, ἀλλὰ μαθὼν τὸ πλῆθος τῶν συνόντων αὐτῷ ἐδεδοίκει, ὑφορώμενος μὴ ὡς πρὸς πόλεμον παρασκευασάμενος, οὕτω τὴν ὑπάντησιν ποιήσασθαι βούληται. «'Εφοβήθη γάρ», φησίν, «'Ιακώβ, καὶ διηπορεῖτο». Ὁ φόβος αὐτοῦ τὴν διάνοιαν διετάρασσε, καὶ οὐκ ᾔδει τὸ τί πράξει, ἀλλ' ἐν ἀπορίᾳ ἐγεγόνει· διὸ ὡς περὶ τοῦ παντὸς δεδοικὼς καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχων, «Διαιρεῖ εἰς δύο παρεμβολὰς πάντα τὸν λαὸν τὸν μετ' αὐτοῦ. Εἶπε γάρ», φησίν· «ἐὰν ἔλθῃ εἰς παρεμβολὴν μίαν καὶ κόψῃ αὐτήν, ἡ δευτέρα ἔσται εἰς τὸ σώζεσθαι». Ταῦτα μὲν ὁ φόβος ὑπηγόρευσε καὶ ἡ πολλὴ δειλία.

Ὁρῶν δὲ ἑαυτὸν ὡς ἐν δικτύοις ἀπειλημμένον, ἐπὶ τὸν ἄμαχον Δεσπότην καταφεύγει καὶ τὰς ὑποσχέσεις τὰς εἰς αὐτὸν γεγενημένας ἀπαιτεῖ παρὰ τοῦ τῶν ὅλων Θεοῦ, μονονουχὶ λέγων πρὸς αὐτόν· νῦν ἥκει καιρός, ἐν ᾧ καὶ διὰ τὴν τῶν προγόνων ἀρετὴν καὶ διὰ τὴν παρὰ σοῦ γεγενημένην ὑπόσχεσιν δίκαιος ἂν εἴην ἁπάσης ἀπολαῦσαι συμμαχίας. «Εἶπε» γάρ, φησίν, «'Ιακώβ· ὁ Θεὸς τοῦ πατρός μου 'Αβραὰμ καὶ ὁ Θεὸς τοῦ πατρός μου 'Ισαάκ, σύ», φησίν, «ὁ Θεός,

τόν ἀγγελιαφόρους νὰ ἀναγγείλουν καὶ τὴν ἐπιστροφήν του καὶ τὴν περιουσίαν ποὺ ἀπέκτησε καὶ ποῦ ἐπέρασεν ὅλον αὐτὸν τὸν καιρόν, ὥστε, ἀφοῦ κατευνάση τὸν θυμόν του, νὰ ἠμπορέσῃ νὰ τὸν ἡμερώσῃ, πρᾶγμα τὸ ὁποῖον καὶ ἔγινεν, ἀφοῦ ὁ Θεὸς ἐμαλάκωσε τὴν καρδίαν του καὶ ἔσβησε τὴν ὀργήν του καὶ ἔκαμεν αὐτὸν ἥμερον. Διότι ἐὰν τόν Λάβαν, ὁ ὁποῖος μὲ τόσην ὁρμὴν τόν κατεδίωξε, τὸν ἔκαμε νὰ φοβηθῇ τόσον πολύ, μὲ ὅσα τοῦ εἶπε, πολὺ περισσότερον θὰ ἔκαμνε τὸν ἀδελφὸν νὰ φανῇ ἡμερώτερος πρὸς τὸν δίκαιον. «Καὶ ἐπέστρεψαν», λέγει, «οἱ ἀγγελιαφόροι καὶ εἶπον· Μετέβημεν εἰς τὸν ἀδελφόν σου, ὁ ὁποῖος καὶ ἔρχεται πρὸς συνάντησίν σου μαζὶ μὲ τετρακοσίους ἄνδρας».

«Πρόσεχε πῶς καὶ αὐτὴ ἡ εἴδησις ἐπέτεινε τὸν φόβον τοῦ δικαίου. Διότι δὲν ἐγνώριζεν ἀκριβῶς τὸν σκοπὸν τοῦ ἀδελφοῦ, ἀλλὰ ὅταν ἔμαθε τό πλῆθος τῶν ἀκολούθων του, ἐφοβεῖτο ὑποπτευόμενος, μήπως, ἀφοῦ παρεσκευάσθη διὰ μάχην, θέλῃ ἔτσι νὰ γίνῃ ἡ συνάντησις. Διότι λέγει «ἐφοβήθη ὁ Ἰακὼβ καὶ εὑρίσκετο εἰς ἀμηχανίαν». Ὁ φόβος ἐτάρασσε τὴν ψυχήν του καὶ δὲν ἐγνώριζε τί νὰ κάνει, ἀλλ' εὑρίσκετο εἰς ἀμηχανίαν. Διὰ τοῦτο φοβούμενος διὰ τὸ κάθε τι καὶ ὡσὰν νὰ ἦτο ὁ θάνατος πρὸ ὀφθαλμῶν, «Διαιρεῖ εἰς δύο στρατόπεδα ὅλους, ὅσους εἶχε μαζί του». Διότι λέγει, «ἐσκέφθη· ἐὰν ἔλθῃ ἐναντίον τοῦ ἑνὸς στρατοπέδου καὶ καταστρέψῃ αὐτό, τὸ δεύτερον θὰ ἠμπορέσῃ νὰ σωθῇ». Αὐτὰ μὲν τὰ ὑπηγόρευσεν ὁ φόβος καὶ ἡ πολλὴ δειλία.

Ὅταν ὅμως εἶδε τὸν ἑαυτόν του νὰ ἔχῃ συλληφθῇ ὡσὰν εἰς δίκτυα, καταφεύγει εἰς τὸν ἀκαταμάχητον Κύριον καὶ ἀπαιτεῖ ἀπὸ τὸν Θεὸν τῶν πάντων τὰς ὑποσχέσεις, τὰς ὁποίας εἶχε δώσει εἰς αὐτόν, ὡσὰν νὰ ἔλεγε πρὸς αὐτόν· τώρα ἦλθεν ὁ καιρός, κατὰ τὸν ὁποῖον καὶ διὰ τὴν ἀρετὴν τῶν προγόνων μου καὶ διὰ τὴν ὑπόσχεσιν, τὴν ὁποίαν μοῦ ἔδωσες, θὰ ἦτο δίκαιον νὰ λάβω τὴν βοήθειάν σου. Διότι λέγει, «Εἶπεν ὁ Ἰακὼβ· Ὁ Θεὸς τοῦ πατρός μου Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ πατρός μου Ἰσαάκ,

ὁ εἰπών μοι· ἀπότρεχε εἰς τὴν γῆν τῆς γενέσεώς σου»· ὁ ἀναστήσας με, φησίν, ἀπὸ τῆς ξένης καὶ προστάξας ἐπανελθεῖν πρὸς τὸν πατέρα τὸν ἴδιον καὶ εἰς τὴν γῆν τῆς γενέσεως· «Ἱνακούσθω μοι ἀπὸ πάσης δικαιοσύνης καὶ ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου». Ἀρκείσθω, φησί, πρὸς τὴν ἐπὶ τοῦ παρόντος καιροῦ συμμαχίαν. Ὁ γὰρ μέχρι τοῦ παρόντος τοσαύτην ἐπιδειξάμενος περὶ ἐμὲ κηδεμονίαν, δυνατὸς εἶ καὶ νῦν ἐξαρπάσαι με τῶν ἐπικειμένων μοι κινδύνων.

Οὐδὲ γὰρ ἀγνοῶ, ὅτι «Ἐν τῇ ῥάβδῳ μου ταύτῃ διῆλθον τὸν Ἰορδάνην τοῦτον». Νυνὶ δὲ διὰ τὴν σὴν περὶ ἐμὲ πρόνοιαν, ὁ τὴν βακτηρίαν μόνην ἐπιφερόμενος, ἡνίκα εἰς τὴν ἀλλοτρίαν ἀπῄειν, νῦν μετὰ δύο παρεμβολῶν παραγέγονα. Σὺ οὖν, Δέσποτα, ὁ ταύτην μοι τὴν εὐπορίαν χαρισάμενος, ὁ εἰς τοσοῦτόν με αὐξηθῆναι παρασκευάσας, σὺ νῦν «Ἐξελοῦ με ἐκ χειρὸς τοῦ ἀδελφοῦ σου Ἡσαῦ, ὅτι φοβοῦμαι ἐγὼ αὐτόν, μήποτε πατάξῃ με, καὶ μητέρα ἐπὶ τέκνοις. Σὺ εἶπας· εὖ σε ποιήσω καὶ θήσω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τῆς θαλάσσης, ἣ οὐκ ἀριθμηθήσεται ὑπὸ τοῦ πλήθους».

2. Ὅρα τοῦ δικαίου τὸ φιλόθεον καὶ τὴν πολλὴν εὐγνωμοσύνην, πῶς οὐδὲν ἕτερον ἀξιοῖ τὸν Δεσπότην, ἢ τὰς οἰκείας ὑποσχέσεις πληρῶσαι. Καὶ ἐπὶ τοῖς προλαβοῦσιν εὐχαριστίαν ἐπιδειξάμενος καὶ ὁμολογήσας, ὅτι γυμνὸν ὄντα καὶ ἀπερριμμένον εἰς τοσαύτην περιουσίαν κατέστησεν, ἱκετεύει τοῦ κινδύνου αὐτὸν ἐξαρπάσαι. «Εἶπας γάρ», φησίν, «ὅτι θήσω τὸ σπέρμα ὡς τὴν ἄμμον τῆς θαλάσσης, ἣ οὐκ ἐξαριθμηθήσεται». Ποιησάμενος δὲ τὴν πρὸς τὸν Δεσπότην παράκλησιν, καὶ τὴν ἱκετηρίαν τῆς προσευχῆς ἀνενέγκας τῷ Δεσπότῃ, καὶ τὰ παρ' ἑαυτοῦ προστίθησι. Καὶ λαβών, φησί, δῶρα, ἐξ ὧν ἐπεφέρετο, ἀπέστειλε τῷ

σὺ ὁ Θεός, ὁ ὁποῖος μοῦ εἶπες· γύρισε γρήγορα εἰς τὴν γῆν, ὅπου ἐγεννήθης»· σὺ ὁ ὁποῖος, λέγει, μ' ἐσήκωσες ἀπὸ τὴν ξένην χώραν καὶ μὲ διέταξες νὰ ἐπανέλθω εἰς τὸν πατέρα μου καὶ εἰς τὴν γῆν, ὅπου ἐγεννήθην «Εἶμαι πολὺ εὐχαριστημένος ἀπὸ ὅλας τὰς εὐεργεσίας καὶ διὰ τὴν ἀξιοπιστίαν σου, τὴν ὁποίαν ἔδειξες εἰς τὸν υἱόν σου». Ἂς εἶναι ἀρκετή, λέγει, ἡ μέχρι τοῦ παρόντος βοήθεια. Διότι αὐτὸς ποὺ ἔδειξε μέχρι τώρα τόσην φροντίδα, εἶναι ἱκανὸς καὶ εἰς αὐτὴν τὴν στιγμὴν νὰ μὲ βγάλῃ ἀπὸ τοὺς κινδύνους, οἱ ὁποῖοι μὲ ἀπειλοῦν.

Διότι δὲν ἀγνοῶ καθόλου, ὅτι «Μὲ τὴν ράβδον μου αὐτὴν διέβην τὸν Ἰορδάνην», τώρα ὅμως χάριν τῆς πρὸς ἐμὲ φροντίδος σου ἐγώ, ὁ ὁποῖος εἶχον μόνον τὴν ράβδον μου, ὅταν ἔφευγον διὰ τὴν ξένην χώραν, τώρα ἔρχομαι μὲ δύο στρατόπεδα. Σὺ λοιπόν, Κύριε, ποὺ μοῦ ἐχάρισες αὐτὸν τὸν πλοῦτον, ποὺ μοῦ ἔκαμες τόσον νὰ προοδεύσω, σὺ τώρα «Γλύτωσέ με ἀπὸ τὰς χεῖρας τοῦ ἀδελφοῦ μου τοῦ Ἡσαῦ, διότι φοβοῦμαι αὐτόν, μήπως πατάξῃ καὶ ἐμὲ καὶ τὰς μητέρας καὶ τὰ τέκνα μου. Σὺ μοῦ ὑπεσχέθης· Θὰ σὲ εὐλογήσω καὶ θὰ αὐξήσω τοὺς ἀπογόνους σου ὡσὰν τὴν ἄμμον τῆς θαλάσσης, ἡ ὁποία λόγῳ τοῦ πλήθους δὲν εἶναι δυνατὸν νὰ ἀπαριθμηθῇ».

2. Πρόσεχε τὴν εὐσέβειαν τοῦ δικαίου καὶ τὴν μεγάλην εὐγνωμοσύνην, πῶς, δηλαδή, δὲν ἔχει καμμίαν ἄλλην ἀξίωσιν ἀπὸ τὸν Κύριον, παρὰ νὰ ἐκπληρώσῃ τὰς ὑποσχέσεις του. Καὶ δι' ὅσα εἶχε κάμει προηγουμένως, ἀφοῦ ηὐχαρίστησεν αὐτὸν καὶ ἀφοῦ ὡμολόγησεν, ὅτι, ἂν καὶ ἦτο γυμνὸς καὶ περιφρονημένος, τὸν ἔκαμε μὲ τόσην περιουσίαν, παρακαλεῖ αὐτὸν νὰ τὸν γλυτώσῃ ἀπὸ τὸν κίνδυνον. Διότι λέγει, «Εἶπες ὅτι θὰ αὐξήσω τοὺς ἀπογόνους σου ὡσὰν τὴν ἄμμον τῆς θαλάσσης, ἡ ὁποία λόγῳ τοῦ πλήθους της δὲν εἶναι δυνατὸν νὰ ἀπαριθμηθῇ». Ἀφοῦ παρεκάλεσε δὲ τὸν Κύριον καὶ προσευχήθη πρὸς αὐτόν, προσθέτει καὶ ὅσα ἄλλα ἐξηρτῶντο ἀπ' αὐτόν. Καί, ἀφοῦ ἔλαβε, λέγει, δῶρα ἀπ' αὐτὰ ποὺ ἔφερε μαζί του, ἀπέστειλεν αὐτὰ εἰς τὸν ἀδελφόν του, ἀφοῦ διῄρεσε

ἀδελφῷ, διελὼν τὰ ἀποσταλέντα, καὶ ἐντολὰς δεδωκώς, ὥστε καὶ διὰ τῶν λόγων ἐξευμενίσασθαι, καὶ μηνῦσαι τὴν ἑαυτοῦ παρουσίαν. «Εἴπατε γάρ», φησίν, «ὅτι ἰδοὺ ὁ παῖς σου παραγίνεται ὀπίσω ἡμῶν»· ὥστε πρότερον ἐξευμενίσασθαι, καὶ τότε τὴν κατὰ πρόσωπον αὐτοῦ γενέσθαι συντυχίαν. «Μετὰ τοῦτο γάρ», φησίν, «ὄψομαι τὸ πρόσωπον αὐτοῦ· ἴσως γάρ, φησί, προσδέξεται τὸ πρόσωπόν μου. Καὶ προεπορεύετο τὰ δῶρα κατὰ πρόσωπον αὐτοῦ».

'Αλλ' ὅρα μοι ἐνταῦθα πάλιν τοῦ Θεοῦ τὴν ἄφατον φιλανθρωπίαν, καὶ ὅπως ἀεὶ καταλλήλως τὴν οἰκείαν πρόνοιαν ἐνδείκνυται. 'Επὶ μὲν γὰρ τοῦ Λάβαν, ἐπειδὴ ὁ δίκαιος οὐδὲν τοιοῦτον ὑπώπτευεν, οὐδὲ ᾔδει ὅτι πάντως αὐτὸν καταλήψεται ὁ Λάβαν μετὰ πολλῆς τῆς ὁρμῆς ἐπὶ τὸ ἀμύνασθαι τὸν δίκαιον τῆς λάθρᾳ γενομένης ἀναχωρήσεως ἕνεκα, τῷ Λάβαν ἐπιφανεὶς καταστέλλει αὐτοῦ τὴν ὁρμὴν καὶ ἐντέλλεται μηδὲν τῷ 'Ιακὼβ μηδὲ ἐν ῥήμασι λυπηρὸν ἀποκρίνασθαι· «Μὴ λαλήσῃς γάρ», φησί, «μετὰ 'Ιακὼβ πονηρόν»· καὶ τοῦτο ᾠκονόμει διὰ τῆς ἐκείνου γλώττης γνώριμον γενέσθαι τῷ δικαίῳ, ἵνα μαθὼν τὴν περὶ αὐτὸν γεγενημένην οἰκονομίαν θαρσαλεώτερον καταστῇ. Νυνὶ δέ, ἐπειδὴ ὁ ἀδελφὸς μὲν ὑπὸ τοῦ μήκους τοῦ χρόνου λωφήσας ἦν, καὶ τὸν θυμὸν καὶ τὴν ἀγανάκτησιν παύσας τὴν κατὰ τοῦ 'Ιακώβ, οὗτος δὲ ἐναγώνιος ἦν, δεδοικὼς καὶ τρέμων τοῦ ἀδελφοῦ τὴν συντυχίαν, ὁ ἀγαθὸς Δεσπότης οὐκ ἔτι τῷ 'Ησαῦ ἐντέλλεται, οὐδὲ γὰρ ἐβουλεύετό τι κατὰ τοῦ ἀδελφοῦ, ἀλλὰ τὸν δίκαιον παραμυθεῖται.

Μετὰ γὰρ τὸ ἀποστεῖλαι, φησί, τοὺς τὰ δῶρα ἀποκομίζοντας, καθευδήσας, φησί, καὶ «'Αναστὰς ἐν τῇ νυκτὶ ἐκείνῃ, διήγαγε τὰς δύο γυναῖκας καὶ τὰ παιδία τὴν διάβασιν τοῦ 'Ιαβώχ· καὶ ἔλαβεν αὐτούς, καὶ διέβη τὸν χειμάρρουν. 'Υπελείφθη δὲ 'Ιακὼβ μόνος, καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ». Μεγάλη ἡ τοῦ Δεσπότου φιλανθρωπία. 'Επειδὴ γὰρ ἔμελλε τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιήσασθαι, ἵνα μάθῃ

τὰ ἀποσταλέντα καὶ ἔδωσεν ἐντολὰς νὰ τὸν ἐξευμενίσουν καὶ μὲ τοὺς λόγους καὶ νὰ ἀναγγείλουν τὴν παρουσίαν του. Διότι λέγει· «Εἴπατε, ὅτι ἰδοὺ ὁ δοῦλος σου ἔρχεται ὀπίσω μας», ὥστε νὰ ἐξευμενίσῃ πρῶτον αὐτὸν καὶ ἔπειτα νὰ γίνῃ ἡ προσωπικὴ συνάντησις. «Μετὰ ἀπ' αὐτά», λέγει, «θὰ ἴδω τό πρόσωπόν του. Διότι ἴσως τότε, λέγει, δεχθῇ τὴν παρουσίαν μου. Καὶ ἐπορεύοντο τὰ δῶρα πρὶν ἀπ' αὐτόν».

Ἀλλὰ πρόσεχε σὲ παρακαλῶ ἐδῶ πάλιν τὴν ἀπερίγραπτον φιλανθρωπίαν τοῦ Θεοῦ καὶ πῶς πάντοτε δεικνύει τὴν φροντίδα του εἰς τὴν κατάλληλον στιγμήν. Διότι ὅσον ἀφορᾷ τὸν Λάβαν, ἐπειδὴ ὁ δίκαιος δὲν εἶχε καμμίαν τέτοιαν ὑποψίαν, οὔτε ἐγνώριζεν, ὅτι ὁπωσδήποτε θὰ προλάβῃ αὐτὸν ὁ Λάβαν μὲ πολλὴν τὴν ὁρμήν, διὰ νὰ προστατεύσῃ τὸν δίκαιον, ἀφοῦ ἡ ἀναχώρησίς του ἔγινε κρυφίως, παρουσιάσθη εἰς τὸν Λάβαν καὶ ἀνεχαίτισε τὴν ὁρμήν του καὶ δίνει εἰς αὐτὸν ἐντολὴν νὰ μὴ λυπήσῃ τὸν Ἰακὼβ οὔτε μὲ τοὺς λόγους. Διότι λέγει «Νὰ μὴ εἰπῇς τίποτε τὸ πονηρὸν κατὰ τοῦ Ἰακώβ». Καὶ αὐτὸ τό ἔκαμε κατ' οἰκονομίαν ὥστε μὲ τὴν ὁμιλίαν ἐκείνου νὰ γνωρίσῃ ὁ δίκαιος καὶ νὰ λάβῃ περισσότερον θάρρος, ὅταν μάθῃ τὴν πρὸς χάριν του φροντίδα τοῦ Θεοῦ. Τώρα δὲ ἐπειδὴ ὁ ἀδελφὸς κατεπραΰνθη καὶ ἔπαυσεν ὁ θυμός του καὶ ἡ ἀγανάκτησίς του ἐναντίον τοῦ Ἰακώβ, ἐνῷ αὐτὸς ἦτο πλήρης ἀγωνίας, ἐπειδὴ ἐφοβεῖτο καὶ ἔτρεμε τὴν συνάντησιν μὲ τὸν ἀδελφόν του, ὁ ἀγαθὸς Κύριος δὲν δίνει καμμίαν ἐντολὴν εἰς τὸν Ἡσαῦ, ἀφοῦ δὲν ἐσκέπτετο κάτι ἐναντίον τοῦ ἀδελφοῦ του, ἀλλὰ παρηγορεῖ τὸν δίκαιον.

Μετὰ λοιπόν, λέγει, τὴν ἀποστολὴν ἐκείνων πού μετέφερον τὰ δῶρα ἐκοιμήθη καί, «Ἀφοῦ ἐσηκώθη ἐκείνην τὴν νύκτα ἐπῆρε τὰς δύο γυναῖκας του καὶ τὰ παιδιά του, διέβη τὸν Ἰαβὼχ καὶ ἐπέρασεν αὐτοὺς εἰς τὴν ἄλλην ὄχθην. Ἔμεινε δὲ μόνος ὁ Ἰακὼβ καὶ κάποιος ἄνθρωπος ἐπάλαιεν ἐναντίον του». Μεγάλη ἡ φιλανθρωπία τοῦ Κυρίου. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ συναντηθῇ μὲ τὸν ἀδελφόν του, διὰ νὰ μάθῃ, ὅτι πράγματι δὲν θὰ πάθῃ τίπο-

διὰ τῶν πραγμάτων, ὅτι οὐδὲν ἀηδὲς ὑποστήσεται, ἐν σχήματι ἀνθρώπου παλαίειν μετὰ τοῦ δικαίου καταδέχεται. Εἶτα ὁρῶν ἑαυτὸν ἡττώμενον ὁ Ἰακώβ, «Ἐκράτησε», φησί, «τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ». Ὅλον δὲ τοῦτο συγκαταβάσεως ἕνεκεν ἐγίγνετο, ἵνα τὴν δειλίαν ἐξέληται τῆς τοῦ δικαίου ψυχῆς καὶ πείσῃ ἐκτὸς πάσης ἀγωνίας τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιήσασθαι. Κρατήσαντος γάρ, φησί, τοῦ Ἰακὼβ τὸ πλάτος τοῦ μηροῦ, «ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ». Εἶτα ἵνα μάθῃ ὁ Ἰακὼβ τὴν δύναμιν τοῦ πρὸς αὐτὸν παλαίειν νομιζομένου, φησὶ πρὸς αὐτόν· «ἀπόστειλόν με· ἀνέβη γὰρ ὁ ὄρθρος». Αἰσθόμενος τοίνυν ὁ δίκαιος τὸ μέγεθος τῆς δυνάμεως τοῦ ταῦτα εἰρηκότος, φησί· «Οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς». Μεγάλων ἠξιώθην, φησί, καὶ ὑπὲρ τὴν ἀξίαν τὴν ἐμαυτοῦ. Οὐ πρότερον τοίνυν σε ἐάσω, μέχρις ἂν τῆς εὐλογίας ἀπολαύσω τῆς παρὰ σοῦ.

Εἶτά φησι, «τί τὸ ὄνομά σού ἐστιν;». Ὅρα πάλιν συγκατάβασιν. Εἰ γὰρ μὴ ἠρώτησεν, οὐκ ᾔδει τοῦ δικαίου τὴν προσηγορίαν; Ἤδει πάντως, ἀλλὰ βούλεται αὐτὸν πιστώσασθαι διὰ τῆς ἐρωτήσεως, καὶ διδάξαι, τίς ἐστιν ὁ πρὸς αὐτὸν διαλεγόμενος. Καὶ ἐπειδὴ εἶπεν, «Ἰακώβ», φησίν, «οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ». Εἶδες πῶς ἔδειξε τὴν αἰτίαν ἅπασαν, δι' ἣν τὴν τοσαύτην συγκατάβασιν ἐπεδείξατο, καὶ ὁμοῦ διδάσκει τὸν δίκαιον διὰ τῆς ἐπιτεθείσης αὐτῷ προσηγορίας, τίς ἐστιν, ὃν εἶδε καὶ κατασχεῖν κατηξιώθη. Οὐκ ἔτι γὰρ κληθήσεται, φησίν, Ἰακὼβ τὸ ὄνομά σου, ἀλλ' Ἰσραήλ. Ἰσραὴλ δὲ ἑρμηνεύεται, ὁρῶν Θεόν. Ἐπειδή, ὡς ἰδεῖν ἀνθρώπῳ δυνατόν, ἰδεῖν κατηξιώθης Θεόν, διὰ τοῦτο καὶ τὴν προσηγορίαν σοι ταύτην ἐπιτίθημι, ἵνα πᾶσι τοῖς ἑξῆς κατάδηλον γένηται, οἵας ἠξιώθης ὀπτασίας. Καὶ ἐπήγαγεν, «Ὅτι

τε τὸ κακόν, καταδέχεται ὑπὸ μορφὴν ἀνθρώπου νὰ παλαίσῃ μὲ τὸν δίκαιον. Ἔπειτα ὅταν ὁ Ἰακὼβ εἶδεν, ὅτι ἐνικᾶτο, λέγει ἡ Γραφή, «Ἐκράτησε τὸ πλατὺ ἄνω μέρος τοῦ μηροῦ τοῦ Ἰακώβ». Ὅλον δὲ αὐτὸ ἐγίνετο ἀπὸ συγκατάβασιν, διὰ νὰ ἀφαιρέσῃ τὸν φόβον ἀπὸ τὴν ψυχὴν τοῦ δικαίου καὶ διὰ νὰ τὸν πείσῃ νὰ συναντηθῇ μὲ τὸν ἀδελφόν του χωρὶς καμμίαν ἀγωνίαν. Διότι λέγει, ὅταν ἐκράτησε τὸ πλατὺ ἄνω μέρος τοῦ μηροῦ τοῦ Ἰακὼβ «ἐνάρκωσε τὸ πλατὺ ἄνω μέρος τοῦ μηροῦ τοῦ Ἰακὼβ καθὼς ἐπάλαιε μ' αὐτόν». Ἔπειτα, διὰ νὰ μάθῃ ὁ Ἰακὼβ τὴν δύναμιν αὐτοῦ ποὺ ἐνόμιζεν ὅτι ἐπάλαιε μαζί του, λέγει πρὸς αὐτόν· «Ἄφησέ με τώρα νὰ φύγω, διότι ἐξημέρωσεν». Ἐπειδὴ λοιπὸν ἀντελήφθη ὁ δίκαιος τὸ μέγεθος τῆς δυνάμεως αὐτοῦ ποὺ ἔλεγεν αὐτά, λέγει «Δὲν θὰ σὲ ἀφήσω νὰ φύγῃς, ἐὰν δὲν μ' εὐλογήσῃς». Ἠξιώθην μεγάλης τιμῆς, λέγει, καὶ μάλιστα ὑπεράνω τῆς ἀξίας μου. Δὲν θὰ σ' ἀφήσω λοιπὸν προηγουμένως, ἐὰν δὲν πάρω τὴν εὐλογίαν σου.

Ἔπειτα λέγει· «ποῖον εἶναι τὸ ὄνομά σου;». Πρόσεχε πάλιν τὴν συγκατάβασιν τοῦ Θεοῦ. Ἐὰν δηλαδὴ δὲν ἐρωτοῦσε, δὲν θὰ ἐγνώριζε τὸ ὄνομα τοῦ δικαίου; Θὰ τὸ ἐγνώριζεν ὁπωσδήποτε, ἀλλὰ ἤθελε μὲ τὴν ἐρώτησιν νὰ τοῦ δώσῃ καιρὸν καὶ νὰ διδάξῃ εἰς αὐτόν, ποῖος εἶναι ὁ συνομιλητής του. Καὶ ὅταν εἶπεν, «Ἰακώβ», λέγει, «δὲν θὰ ὀνομάζεσαι πλέον Ἰακώβ, ἀλλὰ τὸ ὄνομά σου θὰ εἶναι Ἰσραήλ, διότι ἐφάνης ἰσχυρὸς ἔναντι τοῦ Θεοῦ. Εἰς τὸ ἑξῆς θὰ εἶσαι ἰσχυρὸς καὶ ἀπέναντι τῶν ἀνθρώπων». Εἶδες πῶς ἐφανέρωσεν ὅλην τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἔδειξεν αὐτὴν τὴν συγκατάβασιν καὶ διδάσκει συγχρόνως εἰς τὸν δίκαιον διὰ τοῦ ὀνόματος, τὸ ὁποῖον ἔδωσεν εἰς αὐτόν, ποῖος εἶναι αὐτός, τὸν ὁποῖον εἶδε καὶ ἠξιώθη νὰ ἐγγίσῃ. Διότι λέγει· «Εἰς τὸ ἑξῆς δὲν θὰ ὀνομάζεσαι Ἰακώβ, ἀλλὰ Ἰσραήλ». Ἰσραὴλ δὲ σημαίνει, ὁ βλέπων τὸν Θεόν. Ἐπειδὴ ἠξιώθης νὰ ἴδῃς τὸν Θεόν, ὅσον εἶναι δυνατὸν εἰς ἄνθρωπον νὰ ἰδῇ, διὰ τοῦτο σοῦ προσθέτω καὶ αὐτὸ τὸ ὄνομα, διὰ νὰ γίνῃ φανερὸν εἰς τὸ ἑξῆς εἰς ὅλους, ποῖον ὅραμα ἠξιώθης νὰ ἴδῃς. Καὶ προσέθεσεν·

ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ». Μηδὲ λοιπὸν δέδιθι, μηδὲ βλάβην τινὰ προσδοκήσῃ παρά τινος ὑπομένειν. Ὁ γὰρ τοσαύτην ἰσχὺν προσλαβών, ὡς καὶ μετὰ Θεοῦ δυνηθῆναι παλαῖσέ σε, πολλῷ μᾶλλον τῶν ἀνθρώπων περιέσῃ, καὶ ἀχείρωτος ἅπασι γενήσῃ.»

3. Ταῦτα ἀκούων ὁ δίκαιος καὶ καταπλαγεὶς τοῦ πρὸς αὐτὸν διαλεγομένου τὸ μέγεθος, φησίν· «Ἀνάγγειλόν μοι τὸ ὄνομά σου. Καὶ εἶπεν· ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου; Καὶ εὐλόγησεν αὐτόν». Ἔσω, φησί, τῶν οἰκείων ὅρων μένε, καὶ μὴ ὑπέρβαινέ σου τὰ μέτρα. Εὐλογίας βούλει ἀπολαῦσαι τῆς παρ' ἐμοῦ; Ἰδού, ταύτην σοι δωροῦμαι. «Εὐλόγησε γάρ», φησίν, «αὐτόν. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, εἶδος Θεοῦ. Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον καὶ ἐσώθη μου ἡ ψυχή». Ὁρᾷς πόσον αὐτῷ θάρσος γέγονεν ἀπὸ τῆς ὀπτασίας τῆς γεγενημένης; Ἐσώθη γάρ μοι, φησίν, ἡ ψυχή, ἡ σχεδὸν ἀποτεθνηκυῖα ὑπὸ τοῦ δέους. Ἐπειδὴ ἰδεῖν κατηξιώθην πρόσωπον πρὸς πρόσωπον τὸν Θεόν, «Ἐσώθη μου ἡ ψυχή. Ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ».

Εἶδες πῶς τῇ ἀσθενείᾳ τῇ ἀνθρωπίνῃ συγκαταβαίνων ὁ Δεσπότης πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξασθαι; Καὶ μὴ ξενισθῇς, ἀγαπητέ, πρὸς τὸ τῆς συγκαταβάσεως μέγεθος, ἀλλ' ἐννόησον, ὅτι καὶ ἐπὶ τοῦ πατριάρχου, ἡνίκα παρὰ τὴν δρῦν ἐκαθέζετο. Ἐν ἀνθρώπου σχήματι μετὰ τῶν ἀγγέλων ἐπεξενώθη τῷ δικαίῳ, προμηνύων ἡμῖν ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὅτι μέλλει ἀνθρωπίνην μορφὴν λαμβάνων, οὕτω πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ἐκ τῆς τοῦ διαβόλου τυραννίδος ἐλευθεροῦν, καὶ πρὸς τὴν σωτηρίαν ἐπανάγειν. Ἀλλὰ τότε μέν, ἐπειδὴ ἀρχὴ καὶ προοίμια ἦν, ἐν σχήματι φαντασίας ἑκάστῳ αὐτῶν ἐφαίνετο, καθάπερ καὶ αὐτὸς

«Διότι ἐφάνης ἰσχυρὸς ἔναντι τοῦ Θεοῦ καὶ εἰς τὸ ἑξῆς θὰ εἶσαι ἰσχυρὸς καὶ ἀπέναντι τῶν ἀνθρώπων». Μὴ λοιπὸν φοβῆσαι, οὔτε νὰ περιμένῃς, ὅτι θὰ πάθῃς ἀπὸ κάποιον κάτι κακό. Διότι ἐσὺ ποὺ ἔλαβες τόσην δύναμιν, ὥστε νὰ ἠμπορέσῃς νὰ παλαίσῃς μὲ τὸν Θεόν, πολὺ περισσότερον θὰ ὑπερισχύσῃς τῶν ἀνθρώπων καὶ θὰ γίνῃς εἰς ὅλα ἀκατανίκητος.»

3. Ἀφοῦ ὁ δίκαιος ἤκουσεν αὐτὰ καὶ ἔνοιωσεν ἔκπληξιν διὰ τὴν δύναμιν τοῦ συνομιλητοῦ του, λέγει· «Εἰπέ μου τὸ ὄνομά σου. Καὶ ἐκεῖνος εἶπε. Διατί ἐρωτᾷς τὸ ὄνομά μου; Καὶ εὐλόγησεν αὐτόν». Νὰ μένῃς, λέγει, ἐντὸς τῶν φυσικῶν σου ὁρίων καὶ νὰ μὴ ὑπερβαίνῃς τὰ μέτρα σου. Θέλεις νὰ λάβῃς τὴν εὐλογίαν μου; Ἰδοὺ σοῦ χαρίζω αὐτήν. Διότι λέγει «Εὐλόγησεν αὐτόν. Καὶ ὁ Ἰακὼβ ὠνόμασε τὸν τόπον ἐκεῖνον πρόσωπον Θεοῦ. Διότι εἶδον τὸν Θεὸν πρόσωπον πρὸς πρόσωπον καὶ ἐσώθη ἡ ζωή μου». Βλέπεις πόσον θάρρος ἀπέκτησεν ἀπὸ τὸ ὅραμα ποὺ εἶδε; Διότι λέγει, «Ἐσώθη ἡ ψυχή μου», ἡ ὁποία σχεδὸν εἶχεν ἀποθάνει ἀπὸ τὸν φόβον. Ἐπειδὴ ἠξιώθην νὰ ἴδω τὸν Θεὸν πρόσωπον πρὸς πρόσωπον, «Ἐσώθη ἡ ζωή μου. Ἀνέτειλε δὲ ἐπ' αὐτοῦ ὁ ἥλιος, ὅταν ἀπῆλθε τὸ θεῖον ὅραμα».

Εἶδες πῶς συγκαταβαίνει ὁ Κύριος εἰς τὴν ἀνθρωπίνην ἀδυναμίαν καὶ κάνει τὸ κάθε τι καὶ εὑρίσκει κάθε τρόπον, ὥστε νὰ δείξῃ τὴν φιλανθρωπίαν του; Καὶ νὰ μὴ παραξενευθῇς, ἀγαπητέ, ἀπὸ τὸ μέγεθος τῆς συγκαταβάσεως, ἀλλὰ νὰ καταλάβῃς, ὅτι συνέβη καὶ εἰς τὸν πατριάρχην, ὅταν ἐκάθητο κάτω ἀπὸ τὴν δρῦν. Μὲ τὴν μορφὴν ἀνθρώπου ἐφιλοξενήθη μετὰ τῶν ἀγγέλων, ἀπὸ τὸν δίκαιον, προαναγγέλλων εἰς ἡμᾶς ἀκόμη ἀπὸ παλαιά, ὅτι πρόκειται νὰ λάβῃ ἀνθρωπίνην μορφὴν καὶ νὰ ἐλευθερώσῃ ἔτσι τὴν ἀνθρωπίνην φύσιν ἀπὸ τὴν τυραννίδα τοῦ διαβόλου καὶ νὰ τὴν ὁδηγήσῃ εἰς τὴν σωτηρίαν. Ἀλλὰ τότε, ἐπειδὴ ἦτο ἡ ἀρχὴ καὶ τὸ προοίμιον τῆς θείας ἀποκαλύψεως παρουσιάζετο εἰς τὸν καθένα κατὰ τὸ σχῆμα ποὺ εἶχεν εἰς τὴν φαντασίαν του, ὅπως ἀκριβῶς καὶ ὁ ἴδιος

διὰ τοῦ προφήτου φησίν, «Ἐγὼ ὁράσεις ἐπλήθυνα καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην», ὅτε δὲ κατηξίωσε τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν, καὶ τὴν ἀπαρχὴν τὴν ἡμετέραν ἀναδέξασθαι, οὐ φαντασίᾳ, οὐδὲ δοκήσει τὴν σάρκα ὑπέδυ, ἀλλ' ἀληθείᾳ. Καὶ διὰ τοῦτο διὰ πάντων τῶν ἡμετέρων ἐλθεῖν κατεδέξατο καὶ ἐκ γυναικὸς τεχθῆναι, καὶ βρέφος γενέσθαι, καὶ σπαργανωθῆναι, καὶ γαλακτοτροφηθῆναι καὶ πάντα τὰ ἄλλα ὑποστῆναι, ἵνα πιστώσηται τῆς οἰκονομίας τὴν ἀλήθειαν, καὶ ἀπορράψῃ τῶν αἱρετικῶν τὰ στόματα.

Διὰ τοῦτο καὶ καθεύδει ἐπὶ τοῦ πλοίου, καὶ ὁδοιπορεῖ, καὶ κοπιᾷ, καὶ πάντα τὰ ἀνθρώπινα ὑπομένει, ἵνα διὰ τῶν πραγμάτων πάντας πληροφορῆσαι δυνηθῇ. Διὰ τοῦτο καὶ δικαστηρίῳ παρίσταται, καὶ σταυροῦται, καὶ θάνατον ὑπομένει τὸν ἐπονείδιστον, καὶ ἐν μνημείῳ τίθεται, ἵνα τὰ τῆς οἰκονομίας διὰ πάντων κατάδηλα γένηται. Εἰ γὰρ μὴ κατὰ ἀλήθειαν τὴν σάρκα τὴν ἡμετέραν ἀνέλαβεν, οὐδὲ ἐσταυρώθη, οὐδὲ ἀπέθανεν, οὐδὲ ἐτάφη, οὐδὲ ἀνέστη. Εἰ δὲ μὴ ἀνέστη, πᾶς ὁ τῆς οἰκονομίας λόγος ἀνατέτραπται. Ὁρᾷς εἰς ὅσην ἀτοπίαν ἐκπίπτουσιν οἱ μὴ βουλόμενοι τῷ τῆς θείας Γραφῆς κατακολουθεῖν κανόνι, ἀλλὰ τοῖς οἰκείοις λογισμοῖς ἅπαντα ἐπιτρέποντες;

Ἀλλ' ὥσπερ ἐνταῦθα ἀλήθειά ἐστι προφανής, οὕτως ἐπὶ τοῦ δικαίου τούτου φαντασία τις ἦν, δι' ἧς ἐχρῆν πληροφορηθῆναι τὸν δίκαιον, ὅσης ἀπολαύει τῆς παρ' αὐτοῦ προνοίας, καὶ ὅτι ἀχείρωτος ἔσται πᾶσι τοῖς ἐπιβουλεύειν ἐπιχειροῦσιν. Εἶτα ἵνα μηδένα τῶν εἰς τὸ ἑξῆς λάθῃ ἡ γεγενημένη αὐτῷ ὀπτασία, «Ἐπέσκαζε», φησί, «τῷ μηρῷ αὐτοῦ. Ἕνεκα τούτου οὐ μὴ φάγωσιν υἱοὶ Ἰσραὴλ τὸ νεῦρον, ὃ ἐνάρκησεν, ὅ ἐστιν ἐπὶ τοῦ πλάτους τοῦ μηροῦ, ἕως τῆς ἡμέρας ταύτης, ὅτι ἥψατο τοῦ πλάτους τοῦ μηροῦ Ἰακώβ, ὃ καὶ ἐνάρκησεν».

------

2. Ὠσηὲ 12, 10.

λέγει διὰ τοῦ προφήτου, «Ἐγὼ ἐπλήθυνα τὰ ὁράματα καὶ ὡμοιώθην μὲ τὴν μορφὴν τῶν προφητῶν»[2], ὅταν ὅμως κατεδέχθη νὰ λάβῃ καὶ τὴν μορφὴν δούλου καὶ νὰ δεχθῇ τὴν ἰδικήν μας φύσιν, δὲν ἐνεδύθη τὴν ἀνθρωπίνην σάρκα φαινομενικῶς, ἀλλὰ πραγματικῶς. Καὶ διὰ τοῦτο κατεδέχθη νὰ γεννηθῇ ὅπως ἡμεῖς, καὶ νὰ γεννηθῇ ἀπὸ γυναῖκα καὶ νὰ γίνῃ βρέφος καὶ νὰ σπαργανωθῇ καὶ νὰ τραφῇ μὲ γάλα καὶ νὰ ὑποστῇ ὅλα τὰ ὑπόλοιπα, διὰ νὰ δείξῃ τὴν ἀλήθειαν τῆς οἰκονομίας καὶ νὰ κλείσῃ τελείως τὰ στόματα τῶν αἱρετικῶν.

Διὰ τὸν λόγον αὐτὸν καὶ κοιμᾶται ἐπάνω εἰς τὸ πλοῖον καὶ πεζοπορεῖ καὶ κοπιάζει καὶ ὑπομένει κάθε τι τὸ ἀνθρώπινον, διὰ νὰ ἠμπορέσῃ νὰ πληροφορήσῃ τοὺς πάντας καὶ μὲ τὴν πρᾶξιν. Διὰ τὸν λόγον αὐτὸν καὶ παρίσταται εἰς τὸ δικαστήριον καὶ σταυρώνεται καὶ ὑπομένει τὸν πιὸ προσβλητικὸν θάνατον καὶ θάπτεται εἰς μνημεῖον, ὥστε δι' ὅλων αὐτῶν νὰ ἀποδείξῃ τὴν ἀλήθειαν τῆς θείας οἰκονομίας. Διότι, ἐὰν δὲν ἔλαβε πραγματικῶς τὴν ἰδικήν μας σάρκα, τότε οὔτε ἐσταυρώθη, οὔτε ἀπέθανεν, οὔτε ἐτάφη, οὔτε ἀνέστη. Καὶ ἐὰν δὲν ἀνέστη, ὁλόκληρος ὁ λόγος τῆς θείας οἰκονομίας ἀνατρέπεται. Βλέπεις εἰς πόσον ἄτοπον συμπέρασμα φθάνουν, ὅσοι δὲν θέλουν νὰ ἀκολουθήσουν τὸν κανόνα τῆς ἁγίας Γραφῆς, ἀλλὰ ἐπιτρέπουν τὰ πάντα εἰς τὰς σκέψεις των;

Ἀλλ' ὅπως ἐδῶ ἡ ἀλήθεια εἶναι ὁλοφάνερη, ἔτσι καὶ εἰς τὴν περίπτωσιν τοῦ δικαίου αὐτοῦ ἦτο κάποια ὀπτασία, μὲ τὴν ὁποίαν ἔπρεπε νὰ πληροφορηθῇ ὁ δίκαιος, πόσην φροντίδα ἀπολαμβάνει ἀπὸ τὸν Θεὸν καὶ ὅτι θὰ εἶναι ἀκατανίκητος εἰς ὅλους αὐτούς, οἱ ὁποῖοι σκέπτονται κακὰ κατ' αὐτοῦ. Ἔπειτα διὰ νὰ μὴ διαφύγῃ ἀπὸ κανένα ἀπὸ τοὺς μεταγενεστέρους τὸ ὅραμά του, λέγει· «Ἐχώλαινεν εἰς τὸν μηρόν του. Διὰ τοῦτο οἱ υἱοὶ τοῦ Ἰσραὴλ μέχρι σήμερον δὲν τρώγουν τὸ ναρκωθὲν μέρος τοῦ ζώου, τὸ ὁποῖον εὑρίσκεται εἰς τὸ πλατὺ μέρος τοῦ μηροῦ, διότι ὁ Θεὸς ἤγγισε τὸ πλατὺ μέρος τοῦ μηροῦ τοῦ Ἰακώβ, τὸ ὁποῖον καὶ ἐναρκώθη».

'Επειδὴ γὰρ ὁ μὲν δίκαιος ἔμελλε πληρώσας τῆς ζωῆς αὐτοῦ τοὺς χρόνους μεθίστασθαι τοῦ βίου, ἐχρῆν δὲ τὴν παρὰ τοῦ Θεοῦ γεγενημένην εἰς αὐτὸν κηδεμονίαν, καὶ τὴν τοσαύτην συγκατάβασιν παντὶ τῷ γένει τῶν ἀνθρώπων γνώριμον γενέσθαι, διὰ τοῦτό φησιν· «Οὐ μὴ φάγωσιν υἱοὶ 'Ισραὴλ τὸ νεῦρον τοῦ πλάτους τοῦ μηροῦ, ὃ ἐνάρκησεν». Εἰδὼς αὐτῶν τὴν πολλὴν ἀγνωμοσύνην, καὶ ὅπως ἐπιλανθάνονται τῶν παρὰ τοῦ Θεοῦ εὐεργεσιῶν, διὰ τοῦτο σοφιζόμενος διηνεκῆ αὐτοὺς ἔχειν τὴν μνήμην τῶν παρ' αὐτοῦ γεγενημένων εὐργεσιῶν, τὰ ὑπομνήματα φυλάττεσθαι αὐτοὺς ἐμηχανήσατο διὰ τῶν τοιούτων παρατηρήσεων· καὶ τοῦτο διὰ πάσης τῆς Γραφῆς ἐστιν εὑρεῖν. Αὕτη γὰρ μάλιστά ἐστιν ἡ αἰτία τῶν πλειόνων παρατηρήσεων, τὸ βούλεσθαι αὐτὸν ἀδιαλείπτως τὰς ἑξῆς γενεὰς μελετᾶν τοῦ Θεοῦ τὰς εὐεργεσίας, καὶ μὴ λήθην τούτων ποιησαμένους ἐπὶ τὴν οἰκείαν πλάνην πάλιν ἀνατρέχειν· μάλιστα γὰρ τοῦτο ἔθος τῷ τῶν 'Ιουδαίων γένει. Οἳ γὰρ καὶ παρ' αὐτὰς τὰς εὐεργεσίας πολλάκις τὴν οἰκείαν ἀγνωμοσύνην ἐπιδεικνύμενοι, πολλῷ μᾶλλον, εἰ μὴ τοῦτο ἐγίνετο, πάντα ἂν τὰ παρὰ τοῦ Θεοῦ εἰς αὐτοὺς γεγενημένα ἐξέβαλον τῆς οἰκείας διανοίας. 'Αλλ' ἴδωμεν λοιπόν, πῶς τὰ τῆς συντυχίας γίνεται τῷ 'Ιακὼβ πρὸς τὸν ἀδελφόν.

'Επειδὴ γὰρ ἀρκοῦσαν ἔλαβε παράκλησιν ἐκ τῶν γεγενημένων, καὶ ὑπόσχεσιν ἐδέξατο, ὅτι ἰσχυρὸς ἔσται, καὶ μετὰ ἀνθρώπων δυνατός, «'Αναβλέψας», φησίν, «εἶδε, καὶ ἰδοὺ 'Ησαῦ ὁ ἀδελφὸς αὐτοῦ καὶ τετρακόσιοι ἄνδρες μετ' αὐτοῦ. Καὶ διεῖλεν 'Ιακὼβ τὰ παιδία ἐπὶ Λείαν καὶ Ραχὴλ καὶ τὰς δύο παιδίσκας. Καὶ ἔθετο τὰς δύο παιδίσκας καὶ τοὺς υἱοὺς αὐτῶν ἐν πρώτοις, καὶ Λείαν καὶ τὰ παιδία αὐτῆς ὀπίσω, καὶ Ραχὴλ καὶ τὸν 'Ιωσὴφ ἐν ἐσχάτοις. Αὐτὸς δὲ προῆλθεν ἔμπροσθεν αὐτῶν, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἑπτάκις, ἕως ἤγγικε τῷ ἀδελφῷ αὐτοῦ». Ὅρα

Ἐπειδὴ λοιπὸν ὁ δίκαιος ἐπρόκειτο νὰ ἀποθάνῃ, ἀφοῦ ἐπέρασαν τὰ ἔτη τῆς ζωῆς του, καὶ ἔπρεπε νὰ γίνῃ γνωστὴ εἰς ὅλους τοὺς ἀνθρώπους ἡ πρὸς αὐτὸν ἐπιδειχθεῖσα φροντίδα καὶ ἡ μεγάλη συγκατάβασις τοῦ Θεοῦ, διὰ τοῦτο λέγει· «Οἱ υἱοὶ τοῦ Ἰσραὴλ νὰ μὴ φάγουν τὸ ναρκωθὲν μέρος, τὸ ὁποῖον εὑρίσκεται εἰς τὸ πλάτος τοῦ μηροῦ καὶ ποὺ ἐναρκώθη». Ἐπειδὴ ἐγνώριζε τὴν ὑπερβολικὴν ἀγνωμοσύνην των καὶ ὅτι λησμονοῦν τὰς εὐεργεσίας τοῦ Θεοῦ, διὰ τοῦτο διὰ νὰ ἐνθυμοῦνται ἐπ' ἄπειρον τὰς παρ' αὐτοῦ εὐεργεσίας, ἐπενόησε μὲ τοιαύτας παρατηρήσεις νὰ διατηρήσουν εἰς τὴν μνήμην των τὰ γεγονότα. Καὶ αὐτὸ εἶναι δυνατὸν νὰ εὕρωμεν εἰς ὁλόκληρον τὴν Γραφήν. Διότι ἡ κατ' ἐξοχὴν αἰτία τῶν περισσοτέρων παρατηρήσεων εἶναι αὐτή, τὸ νὰ θέλῃ δηλαδὴ αὐτὸς αἱ ἐρχόμεναι γενεαὶ νὰ μελετοῦν συνεχῶς τὰς εὐεργεσίας τοῦ Θεοῦ καὶ νὰ μὴ λησμονοῦν αὐτὰ καὶ ἐπιστρέφουν καὶ πάλιν εἰς τὴν πλάνην των. Διότι αὐτὸ συνήθως συνέβαινεν εἰς τὸ Ἰουδαϊκὸν ἔθνος. Καθ' ὅσον αὐτοὶ ποὺ ἐπιδεικνύουν τὴν ἀγνωμοσύνην των πολλὲς φορὲς καὶ παρὰ τὰς εὐεργεσίας αὐτάς, πολὺ περισσότερον, ἐὰν δὲν ἐγίνετο αὐτό, θὰ ἐλησμονοῦσαν ὅλα ὅσα ἔκαμεν εἰς αὐτοὺς ὁ Θεός. Ἀλλ' ἄς ἴδωμεν πλέον, πῶς ἔγινεν ἡ συνάντησις τοῦ Ἰακὼβ μὲ τὸν ἀδελφόν του.

Ἀφοῦ δηλαδὴ ἔλαβεν ἀρκετὴν παρηγορίαν ἀπ' ὅσα ἔγιναν καὶ ἔλαβεν ὑπόσχεσιν, ὅτι θὰ εἶναι ἰσχυρὸς καὶ δυνατὸς μεταξὺ τῶν ἀνθρώπων, λέγει ἡ Γραφή· «Ἀφοῦ ἐσήκωσε τὰ βλέματά του, εἶδε καὶ ἰδοὺ ἤρχετο ὁ ἀδελφός του ὁ Ἡσαῦ καὶ μαζί του τετρακόσιοι ἄνδρες. Καὶ ἐμοίρασεν ὁ Ἰακὼβ τὰ παιδιά του εἰς τρεῖς ὁμάδας, μίαν μὲ τὴν Λείαν, μίαν μὲ τὴν Ραχὴλ καὶ μίαν μὲ τὰς δύο δούλας. Καὶ ἔβαλεν εἰς τὴν πρώτην σειρὰν τὰς δύο δούλας καὶ τοὺς υἱούς των καὶ ὀπίσω αὐτῆς τὴν Λείαν καὶ τοὺς υἱούς της καὶ τελευταίους τὴν Ραχὴλ καὶ τὸν Ἰωσήφ. Ὁ ἴδιος ἐπροχώρησεν ἔμπροσθεν αὐτῶν καὶ ἕως ὅτου φθάσῃ πλησίον τοῦ ἀδελφοῦ του, προσεκύνησε μέχρις ἐδάφους ἑπτὰ φοράς». Πρόσεχε πῶς, ἀφοῦ τοὺς ἐχώρι-

πῶς τὴν διαίρεσιν ποιησάμενος, αὐτὸς πρὸ πάντων τὴν συντυχίαν ποιεῖται. «Καὶ προσεκύνησε», φησίν, «ἐπὶ τὴν γῆν ἑπτάκις, ἕως οὗ ἤγγισε τῷ ἀδελφῷ αὐτοῦ»· ἐφελκόμενος καὶ διὰ τοῦ σχήματος καὶ διὰ τῆς προσκυνήσεως τὸν ἀδελφὸν εἰς τὴν περὶ αὐτὸν εὔνοιαν· ὃ δὴ καὶ γέγονε. «Προσδραμὼν γάρ», φησίν, «Ἠσαῦ, καὶ περιλαβὼν αὐτὸν ἐφίλησε, καὶ προσέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ· καὶ ἔκλαυσαν ἀμφότεροι».

4. Ὅρα Θεοῦ οἰκονομίαν· ὅπερ γὰρ χθὲς ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι ὅταν βούληται ὁ τῶν ὅλων Δεσπότης τὴν περὶ ἡμᾶς κηδεμονίαν ἐπιδείξασθαι, καὶ τοὺς ἀνημέρως πρὸς ἡμᾶς διακειμένους προβάτων ἡμερωτέρους ἐργάζεται. Σκόπει τοίνυν, ὅσην μεταβολὴν ἐπιδείκνυται ὁ Ἠσαῦ. «Προσέδραμε γάρ», φησίν, «εἰς συνάντησιν αὐτοῦ, καὶ περιλαβὼν ἐφίλησε· καὶ ἔκλαυσαν ἀμφότεροι». Μόλις ποτὲ ὁ δίκαιος ἀνέπνευσε, καὶ τὸν φόβον ἀπεσείσατο, καὶ τῆς δειλίας ἐλευθερωθείς, θαρσαλεώτερος γέγονεν. «Ἀναβλέψας δέ», φησίν, «Ἠσαῦ εἶδε τὰς γυναῖκας καὶ τὰ παιδία, καὶ εἶπε· τί ταῦτά σοί ἐστιν;». Ὁρῶν γὰρ τοῦ ἀδελφοῦ τὴν περιουσίαν, ἐξενίζετο καὶ ἐθαύμαζε· διὸ καὶ ἐρωτᾶν ἐβούλετο. Τί οὖν ὁ δίκαιος; «Τὰ παιδία», φησίν, «οἷς ἠλέησεν ὁ Θεὸς τὸν παῖδά σου». Ὅρα πόση τῆς ἐπιεικείας ἡ ἰσχύς, καὶ ὅπως διὰ τῆς τῶν ῥημάτων ταπεινοφροσύνης ἐκείνου τὸν θυμὸν κατεπράϋνε. «Καὶ «προσήγγισαν», φησίν, «αἱ παιδίσκαι καὶ τὰ τέκνα, καὶ προσεκύνησαν ἡ Λεία καὶ ἡ Ραχήλ. Καὶ εἶπε· τί ταῦτά σοί ἐστι, πᾶσαι αἱ παρεμβολαὶ αὗται, αἷς ἀπήντηκα; Ὁ δὲ εἶπεν· ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναντίον σου».

Θέα μοι, πῶς τῇ ὑπερβολῇ τῆς ταπεινοφροσύνης κατεδουλώσατο τὸν ἀδελφόν, καὶ ὃν ἐνόμιζεν ἀγρίως πρὸς αὐτὸν διακεῖσθαι, οὕτως εὗρεν ἥμερον, ὡς βούλεσθαι πρὸς θεραπείαν αὐτοῦ πάντα τὰ παρ' ἑαυτοῦ ἐπιδείξασθαι. «Εἶπε γάρ», φησίν, «ἔστι μοι πολλά,

σεν, ὁ ἴδιος πρὶν ἀπ' ὅλους σπεύδει εἰς τὴν συνάντησιν. «Καὶ προσεκύνησε», λέγει, «μέχρις ἐδάφους ἑπτὰ φορὰς μέχρις ὅτου νὰ συναντήσῃ τὸν ἀδελφόν του», διὰ νὰ ἀποσπάσῃ καὶ μὲ τὰ σχήματα καὶ μὲ τὴν προσκύνησιν τὴν εὔνοιαν τοῦ ἀδελφοῦ του, πρᾶγμα τὸ ὁποῖον καὶ ἔγινε. Διότι λέγει· «Ἔτρεξεν ὁ Ἡσαῦ καὶ ἐνηγκαλίσθη καὶ ἐφίλησεν αὐτὸν καὶ ἔπεσεν εἰς τὸν ὦμον του καὶ ἔκλαυσαν καὶ οἱ δύο».

4. Πρόσεχε τὴν οἰκονομίαν τοῦ Θεοῦ· διότι ἐκεῖνο τὸ ὁποῖον ἔλεγον χθὲς θὰ τὸ εἰπῶ καὶ σήμερον. Ὅτι δηλαδὴ ὅταν ἐπιθυμῇ ὁ Κύριος τῶν πάντων νὰ φανερώσῃ εἰς ἡμᾶς τὴν φροντίδα του, ἀκόμη καὶ αὐτοὺς ποὺ ἔχουν ἀγρίας διαθέσεις πρὸς ἡμᾶς τοὺς κάνει περισσότερον ἡμέρους καὶ ἀπὸ τὰ πρόβατα. Σκέψου λοιπὸν πόσον μεταβάλλεται ὁ Ἡσαῦ. Διότι λέγει· «Ἔτρεξε νὰ τὸν συναντήσῃ καὶ ἀφοῦ τὸν ἐνηγκαλίσθη τὸν ἐφίλησε καὶ ἔκλαυσαν καὶ οἱ δύο». Μόλις τότε ὁ δίκαιος ἀνέπνευσε καὶ ἀπηλλάγη ἀπὸ τὸν φόβον καί, ἀφοῦ ἔφυγεν ἡ δειλία, ἔγινε περισσότερον θαρραλέος. «Καὶ ὅταν ἐσήκωσεν ὁ Ἡσαῦ τὰ βλέμματά του», λέγει, «εἶδε τὰς γυναῖκας καὶ τὰ παιδιὰ καὶ εἶπε. Τί σοῦ εἶναι αὐτά;». Ἐπειδὴ ἔβλεπε τὴν περιουσίαν τοῦ ἀδελφοῦ παρεξενεύετο καὶ ἐθαύμαζε. Διὰ τοῦτο καὶ ἤθελε νὰ τὸν ἐρωτήσῃ. Τί ἔκαμε λοιπὸν ὁ δίκαιος; «Αὐτὰ εἶναι τὰ παιδιά», λέγει, «μὲ τὰ ὁποῖα εὐλόγησεν ὁ Θεὸς τὸν δοῦλόν σου». Πρόσεχε πόση εἶναι ἡ δύναμις τῆς πραότητος καὶ πῶς κατεπράϋνε τὸν θυμὸν ἐκείνου μὲ ταπεινοὺς λόγους. «Καὶ ἐπλησίασαν», λέγει, «τὸν Ἡσαῦ αἱ δοῦλαι καὶ τὰ τέκνα καὶ προσεκύνησαν αὐτὸν καὶ μαζὶ καὶ ἡ Λεία καὶ ἡ Ραχήλ. Καὶ εἶπε· Τί εἶναι ὅλα αὐτά; ὅλα αὐτὰ τὰ κοπάδια, τὰ ὁποῖα συνήντησα; Αὐτὸς δὲ εἶπε· Διὰ νὰ εὕρω χάριν ἐνώπιόν σου ἐγὼ ὁ δοῦλός σου».

Πρόσεχε, παρακαλῶ, πῶς μὲ τὴν ὑπερβολικὴν ταπεινοφροσύνην ὑπέταξε τὸν ἀδελφὸν καὶ αὐτὸν ποὺ ἐνόμιζεν, ὅτι εἶχε τόσον ἐθρικὰς διαθέσεις, τὸν ηὗρε τόσον ἥμερον, ὥστε νὰ θέλῃ νὰ θέσῃ εἰς τὴν διάθεσιν αὐτοῦ ὅλα τὰ ἰδικά του διὰ νὰ τὸν ἐξυπηρετήσῃ. Διότι λέγει·

ἀδελφέ, ἔστω σοι τὰ σά». Ἀλλ' οὐδὲ οὕτως ἠνέσχετο ὁ Ἰακώβ, ἀλλὰ δεικνὺς ὅσην ποιεῖται σπουδὴν τοῦ εὐμενῆ αὐτὸν ἔχειν, φησίν· «Εἰ εὕρηκα χάριν ἐναντίον σου, δέξαι τὰ δῶρα ἐκ τῶν χειρῶν μου. Ἕνεκεν γὰρ τούτου εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον Θεοῦ. «Δέξαι», φησί, «τὰ παρ' ἐμοῦ σοι δῶρα προσαγόμενα». Μετὰ τοσαύτης γὰρ περιχαρείας εἶδόν σου τὸ πρόσωπον, μεθ' ὅσης ἄν τις ἴδοι Θεοῦ πρόσωπον. Τοῦτο θεραπείας πολλῆς ἕνεκα ἐρρέθη παρὰ τοῦ δικαίου, ὥστε αὐτὸν καταμαλάξαι, καὶ πρὸς τὴν ἀδελφικὴν εὔνοιαν ἀγαγεῖν. «Καὶ εὐδοκήσεις με», ἀντὶ τοῦ, 'τὸ ἀρέσκον μοι ποιήσεις'. «Λάβε τοίνυν τὰς εὐλογίας, ἃς ἐνήνοχά σοι, ὅτι ἠλέησέ με ὁ Θεός, καὶ ἔστι μοι πάντα». Μὴ παραιτήσῃ, φησί, λαβεῖν. Ταῦτα γὰρ πάντα παρὰ τοῦ Θεοῦ μοι δεδώρηται καὶ αὐτός μοι τούτων ἁπάντων χορηγὸς γεγένηται. Διὰ τούτων ἠρέμα κἀκεῖνον ἐδίδασκεν, ὅσης ἀξιοῦται τῆς παρὰ τοῦ Θεοῦ προνοίας καὶ παρεσκεύαζε πολλὴν τὴν περὶ αὐτὸν αἰδῶ ἐπιδείκνυσθαι. «Καὶ παρεβιάσατο αὐτόν, καὶ ἔλαβεν».

Ὅρα λοιπὸν τὴν μεταβολήν. «Καὶ εἶπε Ἡσαῦ· ἀπάραντες πορευσώμεθα ἐπ' εὐθεῖαν», ἀντὶ τοῦ, 'λοιπὸν κοινῇ ποιησώμεθα τὴν ὁδοιπορίαν'. Ὁ δὲ αἰτεῖ, πρόφασιν εὔλογον εὑρηκώς· «Ὁ κύριός μου», φησί, «γινώσκει, ὅτι τὰ παιδία ἁπαλώτερα καὶ τὰ πρόβατα καὶ αἱ βόες λοχεύονται· ἐὰν οὖν καταδιώξω αὐτὰ ἡμέραν μίαν, ἀποθανοῦνται». Οὐ δύναμαι, φησί, συντομώτερον ποιήσασθαι τὴν ἀποδημίαν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν ἀναγκάζομαι ὁδοιπορεῖν διά τε τὰ παιδία καὶ τὰ ποίμνια, ὥστε μὴ διαφθαρῆναι τῷ πλείστῳ καμάτῳ. Πορεύου οὖν, φησίν, αὐτός, ἐγὼ δὲ κατὰ μέρος ὑποτεμνόμενος τῶν παιδίων τὸν κάματον καὶ τῶν ποιμνίων, οὕτω καταλήψομαί σε εἰς τὴν Σηείρ. Ταῦτα ἀκούσας ὁ ἀδελφός, «Εἰ βούλει», φησί, καταλείπω

«Εἶπεν ὁ Ἠσαῦ. Ἔχω πολλὰ ἐγώ, ἀδελφέ. κράτησε σὺ τὰ ἰδικά σου». Ὅμως δὲν ἠρκέσθη εἰς αὐτὰ ὁ Ἰακώβ, ἀλλὰ ἀποδεικνύων πόσον ἐφρόντιζε, διὰ νὰ ἔχῃ αὐτὸν εὐνοϊκόν, λέγει· «Ἐὰν εὗρον χάριν ἐνώπιόν σου, δέξου τὰ δῶρα μου ἐκ τῶν χειρῶν μου. Διότι διὰ τοῦτο εἶδον τὸ πρόσωπόν σου, ὅπως βλέπει κανεὶς τὸ πρόσωπον τοῦ Θεοῦ. «Δέξου», λέγει, «τὰ δῶρα ποὺ προσφέρω». Διότι μὲ τόσην χαρὰν εἶδον τὸ πρόσωπόν σου, μὲ ὅσην θὰ ἔβλεπε κανεὶς τὸ πρόσωπον τοῦ Θεοῦ. Τοῦτο ἐλέχθη ἀπὸ τὸν δίκαιον ἀπὸ μεγάλην ταπεινοφροσύνην, διὰ νὰ μαλακώσῃ αὐτὸν καὶ νὰ τὸν ὁδηγήσῃ εἰς τὴν ἀδελφικὴν ἀγάπην. «Καὶ θὰ ἔχῃς τὴν καλωσύνην», λέγει, ἀντὶ τοῦ, 'θὰ μοῦ κάνῃς τὴν χάριν'. «Λάβε λοιπὸν τὰ δῶρα μου τὰ ὁποῖα σοῦ ἔφερα, διότι ὁ Θεὸς μὲ ἠλέησε καὶ ἔχω τὰ πάντα μὲ ἀφθονίαν». Μὴ ἀρνηθῇς, λέγει, νὰ πάρῃς αὐτά. Διότι αὐτὰ ὅλα μοῦ ἐδωρήθησαν ἀπὸ τὸν Θεόν· αὐτὸς εἶναι ἐκεῖνος ποὺ μοῦ ἐχάρισεν ὅλα αὐτά. Μὲ τοὺς λόγους αὐτοὺς ἡσύχαζε καὶ ἐδίδασκεν ἐκεῖνον, πόσης φροντίδος ἠξιώθη ἀπὸ τὸν Θεὸν καὶ τὸν προητοίμαζε νὰ δείξῃ εἰς αὐτὸν πολὺν σεβασμόν. «Καὶ ἐπίεσεν αὐτὸν καὶ ἐδέχθη τὰ δῶρα».

Πρόσεχε λοιπὸν τὴν μεταβολήν. «Καὶ εἶπεν ὁ Ἠσαῦ. Ἂς σηκωθῶμεν καὶ ἂς πορευθῶμεν εἰς τὴν εὐθεῖαν ὁδόν», ἀντὶ νὰ εἰπῇ 'Λοιπὸν ἂς κάμωμεν ἀπὸ κοινοῦ τὴν ὁδοιπορίαν'. Ὁ Ἰακὼβ ὅμως, ἀφοῦ ηὗρεν κάποιαν εὔλογον δικαιολογίαν, παρακαλεῖ· «Ὁ κύριός μου», λέγει, «γνωρίζει, ὅτι τὰ τέκνα μου εἶναι μικρὰ καὶ τρυφερὰ καὶ ὅτι τὰ πρόβατα καὶ τὰ βόδια μόλις ἔχουν γεννήσει. Ἐὰν λοιπὸν ἐξαναγκάσω αὐτὰ νὰ βαδίσουν ἐπὶ μίαν ἡμέραν, θὰ ἀποθάνουν». Δὲν ἠμπορῶ, λέγει, νὰ συντομεύσω τὴν πορείαν, ἀλλ' ἀναγκάζομαι νὰ βραδυπορῶ καὶ νὰ προχωρῶ ἀργὰ καὶ κατὰ μικρὰ διαστήματα καὶ διὰ τὰ παιδιά μου καὶ διὰ τὰ ποίμνια, ὥστε νὰ μὴ πάθουν κανένα κακὸν ἀπὸ τὴν πολλὴν κούρασιν. Πήγαινε λοιπὸν ἐσύ, λέγει, ἐγὼ δὲ φροντίζων νὰ ὀλιγοστεύω τὴν κούρασιν τῶν παιδιῶν καὶ τῶν ποιμνίων, θὰ σὲ συναντήσω εἰς τὴν Σηείρ». Ὅταν ἤκουσεν αὐτὰ ὁ ἀδελφός του, λέγει· «Ἐὰν θέλῃς ἀφήνω με-

τινὰς τῶν σὺν ἐμοὶ μετὰ σοῦ», πολλῆς τιμῆς καὶ θεραπείας καὶ τοῦτο δεῖγμα ποιούμενος. Ὁ δὲ οὐδὲ τοῦτο καταδέχεται· «Ἀρκεῖ μοι», φησίν, «ὅτι ὅλως εὗρον χάριν ἐναντίον σου». Τοῦτό μοι ἦν περισπούδαστον, τὸ εὐμενῆ σε εὑρεῖν. Ἐπεὶ οὖν τούτου ἐπέτυχον, οὐδενὸς ἑτέρου δέομαι. «Καὶ ἀπάρας», φησίν, «Ἰακὼϐ ἐποίησεν ἑαυτῷ σκηνὰς καὶ τοῖς κτήνεσιν αὐτοῦ· διὰ τοῦτο ἐκάλεσε τὸν τόπον, «Σκηναί».

5. Ταῦτα δὲ ἀκούοντες μιμώμεθα τὸν δίκαιον τοῦτον, καὶ τοσαύτην ἐπιδεικνυώμεθα ταπεινοφροσύνην· καὶ ἐπειδὰν ὦσί τινες πρὸς ἡμᾶς ἀηδῶς διακείμενοι, μὴ ἐπὶ πλέον ἐξάπτωμεν τὸν θυμόν, ἀλλὰ τῇ πολλῇ ἐπιεικείᾳ καὶ τῇ ταπεινοφροσύνῃ, τῇ διὰ ῥημάτων, τῇ διὰ πραγμάτων καταστέλλωμεν αὐτῶν τὴν ἔχθραν, καὶ ἰατρεύωμεν αὐτῶν τὴν ψυχὴν κεκακωμένην. Ὅρα γὰρ τὴν σοφίαν τούτου τοῦ δικαίου, ὅπως τῇ πολλῇ εὐτονίᾳ τῶν ῥημάτων οὕτω τὸν Ἡσαῦ κατεμάλαξεν, ὡς καὶ πρὸς θεραπείαν αὐτοῦ ἐπείγεσθαι, καὶ πάντα πρὸς τὴν τούτου τιμὴν ϐούλεσθαι ποιεῖν. Τοῦτο ἀληθῶς μεγίστης ἐστὶν ἀρετῆς, οὐχ ὅταν τοὺς γνησίως πρὸς ἡμᾶς διακειμένους ἀγαπᾶν σπουδάζωμεν, καὶ θεραπεύωμεν παντὶ τῷ τρόπῳ, ἀλλὰ καὶ ὅταν τοὺς ἐπηρεάζειν ἡμῖν ϐουλομένους διὰ τῆς πολλῆς προσηνείας ἐπισπώμεθα. Οὐδὲν γὰρ ἐπιεικείας σφοδρότερον. Ὥσπερ γὰρ τὴν πυρὰν σφοδρῶς πολλάκις ἐκκαιομένην ὕδωρ ἐπιϐληθὲν κατέσϐεσεν, οὕτω καὶ τὸν θυμὸν καμίνου σφοδρότερον ἐξαπτόμενον λόγος μετ' ἐπιεικείας προϊὼν κατασϐέννυσι· καὶ διπλοῦν ἡμῖν τὸ κέρδος γίνεται, ὑπὲρ ὧν τε αὐτοὶ τὴν ἐπιείκειαν ἐπιδεικνύμεθα, καὶ ὑπὲρ ὧν τοῦ ἀδελφοῦ τὸν θυμὸν καταπαύσαντες, τὸν λογισμὸν αὐτοῦ ταραχῆς ἐλευθεροῦμεν.

Τί γάρ, εἰπέ μοι; Οὐχὶ μέμφῃ καὶ κατηγορεῖς τοῦ ἀδελφοῦ θυμουμένου, καὶ ἐχθρῶς πρὸς σὲ διακειμέ-

ρικούς ἀπὸ τοὺς ὑπηρέτας μου μαζί σου», θέλων νὰ δείξῃ καὶ μὲ αὐτό τὴν μεγάλην του τιμὴν καὶ τὴν ἐξυπηρέτησιν πρός αὐτόν. Ὁ Ἰακὼβ ὅμως οὔτε τοῦτο καταδέχεται· «Μοῦ ἀρκεῖ», λέγει, «ὅτι εὗρον χάριν ἐνώπιόν σου». Αὐτὸ ἦτο ἡ κατ' ἐξοχὴν φροντίδα μου, τὸ νὰ σ' εὕρω δηλαδὴ εὐνοϊκόν πρός ἐμένα. Ἐπειδὴ λοιπὸν ἐπέτυχον αὐτὸ δὲν ἔχω καμμίαν ἄλλην ἀνάγκην. «Καὶ ἀπῆλθεν», λέγει, «ὁ Ἰακὼβ καὶ κατεσκεύασε σκηνὰς διά τόν ἴδιον καὶ διὰ τὰ ζῶα του. Καὶ διὰ τοῦτο ὠνόμασε τὸν τόπον αὐτόν, «Σκηναί».

5. Ἀκούοντες αὐτὰ ἂς μιμούμεθα καὶ ἡμεῖς τὸν δίκαιον αὐτὸν καὶ ἂς δεικνύωμεν τόσην μεγάλην ταπεινοφροσύνην. Καὶ ἂν ὑπάρχουν μερικοί, οἱ ὁποῖοι διάκεινται πρός ἡμᾶς μὲ δυσαρέσκειαν, νὰ μὴ ἐξάπτωμεν περισσότερον τόν θυμόν των, ἀλλὰ μὲ πολλὴν καλωσύνην καὶ μὲ ταπεινοφροσύνην καὶ εἰς τοὺς λόγους καὶ εἰς τὰς πράξεις νὰ καταστέλλωμεν τὴν ἔχθραν αὐτῶν καὶ νὰ θεραπεύωμεν τὴν καταταραγμένην ψυχήν των. Διότι πρόσεχε τὴν σοφίαν αὐτοῦ τοῦ δικαίου, πῶς μὲ τὴν μεγάλην δύναμιν τῶν λόγων του κατεπράϋνε τόσον πολὺ τὸν Ἡσαῦ, ὥστε αὐτὸς καὶ νὰ σπεύδῃ νὰ τὸν ὑπηρετήσῃ καὶ νὰ θέλῃ νὰ κάνῃ τὰ πάντα πρός τιμήν του. Αὐτὸ εἶναι πράγματι δεῖγμα τῆς μεγάλης ἀρετῆς, ὅταν φροντίζωμεν νὰ ἀγαπῶμεν ὄχι αὐτοὺς πού διάκεινται καλῶς πρὸς ἡμᾶς καὶ νὰ τούς καλοπιάνωμεν μὲ κάθε τρόπον, ἀλλὰ καὶ ὅταν παίρνωμεν μέ τὸ μέρος μας μέ τόν καλὸν τρόπον μας, ὅσους ἐπιθυμοῦν νὰ μᾶς βλάψουν. Καθ' ὅτι δὲν ὑπάρχει μεγαλύτερον πρᾶγμα ἀπό τὴν καλωσύνην. Διότι, ὅπως ἀκριβῶς πολλὲς φορές τό νερό σβήνει τελείως τὴν φωτιάν, ἡ ὁποία κατακαίει τὰ πάντα, ἔτσι καὶ ὁ λόγος πού συνοδεύεται ἀπό καλωσύνην κατασιγάζει καὶ τὸν θυμόν, ὁ ὁποῖος ἀνάπτει δυνατώτερα καὶ ἀπό τὸ καμίνι. Καὶ ἡ ὠφέλεια εἶναι διπλῆ δι' ἡμᾶς, καὶ διότι δεικνύομεν τὴν καλωσύνην καὶ διότι, ἀφοῦ καταπαύσωμεν τόν θυμὸν τοῦ ἀδελφοῦ, ἐλευθερώνομεν τὴν σκέψιν του ἀπό τὴν ταραχήν.

Τί λοιπόν, εἰπέ μου, δὲν μέμφεσαι καὶ δὲν κατηγορεῖς τὸν ἀδελφόν, ὁ ὁποῖος θυμώνει καὶ διάκειται πρὸς

νου; Τίνος οὖν ἕνεκεν οὐχὶ διὰ τῶν ἐναντίων αὐτὸς ἔρχεσθαι σπουδάζεις, ἀλλὰ θυμοῦσθαι καὶ αὐτὸς ἐπὶ πλεῖον βούλει; Μὴ γὰρ δυνατὸν πῦρ πυρὶ σβέννυσθαι; Οὐκ ἔχει φύσιν τὸ γεγνημένον. Οὕτως οὐδὲ θυμὸν ἑτέρῳ θυμῷ καταπραΰνεσθαι δυνατὸν ἂν γένοιτό ποτε. Ὅπερ γάρ ἐστι τῷ πυρὶ τῷ ὕδωρ, τοῦτο τῷ θυμῷ ἐπιείκεια καὶ πραΰτης. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς μαθηταῖς, «Ἐὰν τοὺς ἀγαπῶντας ὑμᾶς ἀγαπᾶτε, τίνα μισθὸν ἔχετε;». Εἶτα ἐντρέψαι βουλόμενος τῇ ἐπαγωγῇ, καὶ καθικέσθαι τῶν ῥᾳθυμεῖν βουλομένων, φησίν· «Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν;». Ὅντινα γὰρ ἂν λάβῃς τῶν ῥᾳθύμων, οὐχὶ τοῦτο διαπράττεται; καὶ αὐτοὶ οἱ τελῶναι οὐχὶ τοῦτο διὰ σπουδῆς ἔχουσι; Τί γὰρ τελώνου χεῖρον; Καὶ ὅμως τοῦτο παντὶ τρόπῳ εὑρήσεις παρ' αὐτοῖς πληρούμενον, καὶ οὐχ οἷόν τε τὸν ἀγαπώμενον μὴ καὶ ἀγαπᾶν. Ἐγὼ δέ, ἐπειδὴ καὶ ὑψηλοτέρους ὑμᾶς εἶναι βούλομαι, καὶ ἔχειν τι τούτων πλέον, οὐ τοῦτο παραινῶ, ἀλλὰ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν. Ὅπερ ὁ μακάριος οὗτος πρὸ τοῦ νόμου, πρὸ τῆς διδασκαλίας τῆς παρ' ἑτέρων, οἴκοθεν κινούμενος, διὰ τῆς ὑπερβαλλούσης ἐπιεικείας πρότερον μὲν τοῦ Λάβαν περιγέγονε, νυνὶ δὲ καὶ τοῦ ἀδελφοῦ. Εἰ γὰρ καὶ τῆς ἄνωθεν συμμαχίας ἀπήλαυσεν, ἀλλ' ὅμως καὶ τὰ παρ' ἑαυτοῦ προαπεδείκνυτο.

Οὕτω δὴ καὶ ἡμεῖς πείσωμεν ἑαυτούς, ὅτι κἂν μυριάκις σπουδάζωμεν, οὐδὲν οὐδέποτε κατορθῶσαι δυνησόμεθα, εἰ μὴ καὶ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύσαιμεν. Ὥσπερ γάρ, εἰ μὴ τῆς ἐκεῖθεν συμμαχίας ἀπολαύσωμεν, οὐδὲν ἰσχύομέν ποτε τῶν δεόντων κατορθῶσαι, οὕτω πάλιν εἰ μὴ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, οὐ δυνησόμεθα τῆς ἄνωθεν ἀξιοῦσθαι ῥοπῆς. Διὸ σπου-

3. Ματθ. 5, 46.
4. Ματθ. 5, 46.

σὲ ἐχθρικῶς; Διατί δηλαδὴ δὲν προσπαθεῖς νὰ κάνῃς τὸ ἴδιο καὶ εἰς τὴν ἀντίθετον περίπτωσιν, ἀλλὰ θέλεις νὰ θυμώνῃς καὶ ὁ ἴδιος περισσότερον; Μήπως τὸ δυνατόν πῦρ σβήνεται διὰ τοῦ πυρός; Αὐτό εἶναι ἀντίθετον πρὸς τοὺς φυσικοὺς νόμους. Καθ' ὅσον δὲν εἶναι δυνατὸν ποτὲ νὰ καταπραϋνθῇ ὁ θυμὸς μὲ ἄλλον θυμόν. Ὅ,τι δηλαδὴ εἶναι τὸ νερὸ διὰ τὴν φωτιάν, τὸ ἴδιον εἶναι διὰ τὸν θυμὸν ἡ καλωσύνη καὶ ἡ πραότης. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν εἰς τοὺς μαθητάς του· «Ἐὰν ἀγαπᾶτε, ὅσους σᾶς γαποῦν, ποῖος θὰ εἶναι ὁ μισθός σας;»[3]. Ἔπειτα ἐπιθυμῶν νὰ προτρέψῃ παραδειγματικῶς καὶ νὰ διεγείρῃ ἐκείνους ποὺ θέλουν νὰ ἀδιαφοροῦν, λέγει· «Δὲν κάνουν τό ἴδιον καὶ οἱ τελῶναι;»[4]. Ὁποιον καὶ ἂν πάρῃς ἀπὸ τοὺς ἀμελεῖς τὸ ἴδιον δὲν κάμνει; Καὶ αὐτοὶ οἱ τελῶναι δὲν προσπαθοῦν διὰ τὸ ἴδιον πρᾶγμα; Ποῖος δὲ εἶναι χειρότερος ἀπὸ τὸν τελώνην; Καὶ ὅμως αὐτὸ θὰ εὕρῃς νὰ κάνουν αὐτοὶ μὲ κάθε τρόπον καὶ δὲν εἶναι δυνατὸν καὶ αὐτοὶ νὰ μὴ ἀγαποῦν αὐτόν ποὺ τούς ἀγαπᾷ. Ἐγὼ δὲ ἐπειδὴ θέλω νὰ εἶσθε ἀνώτεροι σεῖς καὶ νὰ ἔχετε κάτι περισσότερον ἀπ' αὐτούς, δὲν συμβουλεύω τοῦτο, ἀλλὰ νὰ ἀγαπᾶτε καὶ τούς ἐχθρούς σας. Πρᾶγμα τὸ ὁποῖον ἔκανεν ὁ μακάριος αὐτός, ποὺ πρὶν ἀπὸ τὸν νόμον καὶ πρὶν ἀπὸ τὴν διδασκαλίαν τῶν ἄλλων κινούμενος ἀπὸ τὴν ἰδικήν του διάθεσιν μὲ τὴν ὑπερβολικὴν καλωσύνην του προηγουμένως ἐνίκησε τὸν Λάβαν καὶ τώρα τὸν ἀδελφόν του. Διότι ἂν καὶ ἀπήλαυσε τὴν ἄνωθεν βοήθειαν, ὅμως ἔκαμνεν ὅσα ἐξηρτῶντο ἀπ' αὐτόν.

Ἔτσι λοιπὸν καὶ ἡμεῖς ἂς πείσωμεν τοὺς ἑαυτούς μας, ὅτι καὶ ἂν ἀκόμη καταβάλλωμεν ἀμετρήτους προσπαθείας, δὲν θὰ ἠμπορέσωμεν καμμίαν φορὰν νὰ κατορθώσωμεν τίποτε, ἐὰν δὲν ἔχωμεν καὶ τὴν οὐράνιον βοήθειαν. Διότι ὅπως ἀκριβῶς, ἐὰν δὲν ἔχωμεν τὴν βοήθειαν τοῦ Θεοῦ, δὲν ἠμποροῦμεν νὰ κατορθώσωμεν τίποτε ἀπ' ὅσα πρέπει, κατὰ τὸν ἴδιον τρόπον δὲν θὰ ἠμπορέσωμεν νὰ γίνωμεν ἄξιοι τῆς οὐρανίου βοηθείας, ἐὰν δὲν προσφέρωμεν ὅ,τι ἐξαρτᾶται ἀπὸ ἡμᾶς. Δι' αὐτὸ πρέπει νὰ φροντί-

δάζωμεν καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρειν, καὶ τὴν ἄνωθεν κηδεμονίαν ἐφέλκεσθαι, ἵνα καὶ ἐκ τῆς ἡμετέρας σπουδῆς, καὶ ἐκ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὰ τῆς ἀρετῆς ἡμῖν καθ' ἑκάστην ἡμέραν ἐπιτείνηται, καὶ πολλῆς ἀπολαύσωμεν τῆς ἄνωθεν χάριτος, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

ζωμεν νὰ προσφέρωμεν καὶ τὴν ἰδικήν μας συμβολὴν καὶ νὰ κερδίζωμεν καὶ τὴν οὐράνιον εὐλογίαν, ὥστε καὶ μὲ τὴν ἰδικήν μας φροντίδα καὶ μὲ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ ἡ ἀρετή μας νὰ προοδεύῃ καὶ νὰ ἀπολαύσωμεν πλουσίαν τὴν θείαν χάριν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΘ΄

(Γέν. 33, 18 - 35, 8)

«Καὶ ἦλθεν Ἰακὼβ εἰς Σαλὴμ πόλιν Σηκίμων, καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ παρὰ Ἐμὼρ τοῦ πατρὸς Συχὲμ ἑκατὸν ἀμνῶν, καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν Θεὸν τοῦ Ἰσραήλ».

1. Εἴδετε χθὲς καὶ τοῦ κοινοῦ τῶν ἁπάντων Δεσπότου τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, καὶ τῶν μαθητῶν τὴν φιλοσοφίαν, καὶ τῶν Ἰουδαίων τὴν ἀγνωμοσύνην. Εἴδετε μεθ' ὅσης ἀνεξικακίας ἐπεστόμισεν αὐτῶν τὴν ἀναίσχυντον τόλμαν, τὴν ὑπὲρ τῶν μαθητῶν ἀπολογίαν ποιούμενος, καὶ δεικνὺς ὅτι αὐτοὶ οἱ τὸν νόμον ἐκδικεῖν ἐθέλοντες, ἀγνοοῦσι τοῦ νόμου τὸ βούλημα, καὶ ὅτι τῆς ἀληθείας φανείσης ἔτι τῇ σκιᾷ παρακαθῆσθαι ἤθελον. Εἴδετε πῶς ἄνωθεν καὶ ἐξ ἀρχῆς τὰς παρατηρήσεις νομικὰς ἀνελεῖν ἐσπούδαζε, διδάσκων αὐτούς, ὅτι τοῦ ἡλίου τῆς δικαιοσύνης φανέντος οὐκ ἔτι δυνατὸν τὸ λυχνιαῖον ἐνεργεῖν φῶς· ἡ γὰρ αὐγὴ τοῦ φωτὸς τοῦ ἡλιακοῦ προσβάλλουσα ἀποκρύπτει τούτου τὴν χρείαν. Ἐμάθετε, πῶς δυνατὸν ἀεὶ ἑορτάζειν καὶ ἀπηλλάχθαι τῆς τῶν καιρῶν παρατηρήσεως. Διὰ γὰρ τοῦτο παρεγένετο ὁ Δεσπότης ὁ ἡμέτερος, ἵνα ἡμᾶς ἐλευθερώσῃ τῆς τῶν καιρῶν ἀνάγκης, καὶ παρασκευάσῃ ὑψηλότερα πέτεσθαι, καὶ ἐν οὐρανῷ λοιπὸν ἔχειν τὸ πολίτευμα καὶ ἀνθρώπους ὄντας τὴν τῶν ἀγγέλων μιμεῖσθαι πολιτείαν καὶ καταγελᾶν πάντων τῶν ἀνθρωπίνων πραγμάτων. Φέρε δὴ σήμερον, εἰ δοκεῖ, ἐπὶ τὴν ἀκολουθίαν τῶν πρῴην ἡμῖν εἰρημένων ἐκ τῶν τοῦ

ΟΜΙΛΙΑ ΝΘ΄
(Γέν. 33, 18 - 35, 8)

«Καὶ ἦλθεν ὁ Ἰακὼβ εἰς τὴν Σαλὴμ τὴν πόλιν τῶν Σηκίμων καὶ ἠγόρασε τὸ τμῆμα τοῦ ἀγροῦ τοῦ Ἐμώρ, τοῦ πατρὸς τοῦ Συχέμ, ἀντὶ ἑκατὸν ἀμνῶν καὶ ἔκτισεν ἐκεῖ θυσιαστήριον καὶ προσηυχήθη πρὸς τὸν Θεὸν τοῦ Ἰσραήλ».

1. Εἴδατε χθὲς καὶ τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ κοινοῦ Κυρίου τῶν ὅλων καὶ τὴν φιλοσοφίαν τῶν μαθητῶν καὶ τὴν ἀχαριστίαν τῶν Ἰουδαίων. Εἴδατε μὲ πόσην ἀνεξικακίαν ἐσταμάτησε τὴν ἀναίσχυντον τόλμην των, ἀφοῦ ἀπελογήθη ὑπὲρ τῶν μαθητῶν καὶ ἀφοῦ ἀπέδειξεν, ὅτι αὐτοί, οἱ ὁποῖοι θέλουν νὰ λάβουν ἐκδίκησιν διὰ τὴν καταπάτησιν τοῦ νόμου, ἀγνοοῦν τὴν θέλησιν τοῦ νόμου καὶ ὅτι, ἂν καὶ ἐφάνη ἡ ἀλήθεια, αὐτοὶ ἤθελον νὰ παραμένουν ὑπὸ τὴν σκιάν. Εἴδατε πῶς ἐξ ἀρχῆς ἀκόμη ἐφρόντιζε νὰ ἀφαιρέσῃ τὰς ἐκ τοῦ νόμου παρατηρήσεις μὲ τὸ νὰ διδάσκῃ εἰς αὐτοὺς ὅτι, ἀφοῦ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, δὲν εἶναι δυνατὸν νὰ φωτίζῃ τὸ φῶς τοῦ λύχνου, διότι μὲ τὴν ἀνατολὴν τοῦ ἡλιακοῦ φωτὸς παύει νὰ εἶναι ἀναγκαία ἡ χρησιμοποίησις αὐτοῦ. Ἐμάθατε πῶς εἶναι δυνατὸν πάντοτε νὰ ἑορτάζωμεν καὶ πῶς ἔχομεν ἀπαλλαγὴ ἀπὸ τὰς χρονικὰς διακρίσεις. Ἄλλωστε δι' αὐτὸ ἦλθεν ἐδῶ εἰς τὸν κόσμον ὁ Κύριός μας, διὰ νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ τὴν ἀνάγκην τῶν χρονικῶν διακρίσεων καὶ νὰ μᾶς προετοιμάσῃ νὰ πετῶμεν ὑψηλότερον καὶ ἡ πολιτεία μας νὰ εὑρίσκεται εἰς τὸν οὐρανόν, καί, ἂν καὶ εἴμεθα ἄνθρωποι, νὰ μιμούμεθα τὴν ζωὴν τῶν ἀγγέλων καὶ νὰ περιφρονῶμεν ὅλα τὰ ἀνθρώπινα πράγματα. Ἐμπρὸς λοιπὸν σήμερον, ἐὰν νομίζετε καλόν, ἀφοῦ συνεχίσωμεν ὅσα εἴπομεν προηγουμένως ἀπὸ τοὺς λόγους τοῦ μακαρίου

μακαρίου Μωϋσέως ῥημάτων ἐπανελθόντες, ἐκεῖθεν ὑμῖν παραθῶμεν ἑστίασιν.

Ἴστε γὰρ ὅτι ἐπανελθόντος ἐκ Μεσοποταμίας τοῦ Ἰακώβ, καὶ τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιησαμένου, καὶ μετὰ τοῦτο διαχωρισθέντος, καὶ ἐκείνου μὲν εἰς τὴν Σηεὶρ ὁρμήσαντος, τοῦ δὲ Ἰακὼβ τὰς σκηνὰς πηξαμένου καὶ τὸν τόπον ἀπὸ τοῦ συμβάντος ὀνομάσαντος «σκηνάς», ἐνταῦθα τὸν λόγον κατελύσαμεν· διὸ χρὴ τὰ ἑξῆς ἐπελθόντας κατὰ δύναμιν τὴν ἡμετέραν τὴν διδασκαλίαν ὑμῖν παραθεῖναι τὴν πνευματικήν. Ἐν ἀδείᾳ γὰρ λοιπὸν γεγονὼς ὁ δίκαιος, καὶ ἐλευθερωθεὶς πάσης ἀγωνίας, «Ἦλθε», φησίν, «εἰς πόλιν Σηκίμων, καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ παρὰ Ἐμὼρ τοῦ πατρὸς Συχὲμ ἑκατὸν ἀμνῶν· καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν Θεὸν τοῦ Ἰσραήλ». Μὴ ἁπλῶς παρατρέχωμεν τὰ ἐν ταῖς θείαις Γραφαῖς κείμενα. Εἰ γὰρ οἱ τὰ ψήγματα τοῦ χρυσίου ἐκ τῆς γῆς ἀνορύττοντες, πάντα πόνον ὑπομένουσι, καὶ πάντων ἀνέχονται τῶν δυσχερῶν, ὥστε δυνηθῆναι τῆς γῆς χωρίσαι τὸ χρυσίον, πολλῷ μᾶλλον ἡμᾶς δίκαιον ἂν εἴη τὰ λόγια τοῦ Πνεύματος διερευνᾶσθαι, καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπωσαμένους, οὕτως ἐντεῦθεν ἐξιέναι.

Ἐννόει μοι τοίνυν τοῦ θαυμαστοῦ τούτου ἀνδρὸς τὴν φιλοσοφίαν, ὅπως τοσαύτης ἀπολαύων τῆς ἄνωθεν ῥοπῆς, καὶ ὁρῶν ἑαυτοῦ τὴν περιουσίαν αὐξομένην, τὴν τῶν θρεμμάτων λέγω, καὶ τοσούτων παίδων χορὸν αὐτῷ περιεστῶτα, οὐ περὶ οἰκοδομὰς λαμπρὰς ἑαυτὸν ἐξέδωκεν, οὐδὲ ἀγροὺς καὶ κώμας ὠνήσασθαι ἐσπούδασε δυναμένους ἀρκέσαι πρὸς τὴν διανομὴν τῶν παίδων. Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα οἱ νῦν ἡμῖν προβάλλονται, καὶ ἕνα πολλάκις τις ἐσχηκὼς υἱὸν μυρία τὰ τάλαντα χρυσίου συλλέγειν σπουδάζει, καὶ ἀγροὺς ὠνήσασθαι καὶ οἰκοδομὰς περιφανεῖς κατασκευάζειν. Καὶ εἴθε ἐκ δικαίων πόνων, καὶ ἄνευ ἀδι-

Μωυσέως, ἀπὸ ἐκεῖ νὰ σᾶς παραθέσωμεν τὴν πνευματικὴν τράπεζαν.

Γνωρίζετε λοιπὸν ὅτι, ἀφοῦ ἐπανῆλθεν ὁ Ἰακὼβ ἀπὸ τὴν Μεσοποταμίαν καὶ συνηντήθη μὲ τὸν ἀδελφόν του καὶ μετὰ ἀπ' αὐτό, ἀφοῦ ἐχωρίσθησαν καὶ ἐκεῖνος ἀνεχώρησε πρὸς τὴν Σηείρ, ἐνῷ ὁ Ἰακὼβ ἔστησε τὰς σκηνάς του καὶ ὠνόμασεν ἐκείνην τὴν τοποθεσίαν ἀπὸ τὸ γεγονὸς αὐτὸ «Σκηναί», ἐδῶ ἐσταματήσαμεν τὸν λόγον· διὰ τοῦτο πρέπει, ἀφοῦ διηγηθῶμεν τὰ ὑπόλοιπα, ὅσον ἐπιτρέπουν αὐτὸ αἱ δυνάμεις μας, νὰ σᾶς παραθέσωμεν τὴν πνευματικὴν διδασκαλίαν. Ἀφοῦ λοιπὸν ὁ δίκαιος ἔπαυσε νὰ φοβῆται καὶ ἀφοῦ ἔφυγε κάθε ἀγωνία, «Ἦλθεν εἰς τὴν πόλιν τῶν Σηκίμων», λέγει, «καὶ ἠγόρασε τὸ τμῆμα τοῦ ἀγροῦ τοῦ Ἑμώρ, τοῦ πατρὸς τοῦ Συχέμ, ἀντὶ ἑκατὸν ἀμνῶν καὶ ἔκτισεν ἐκεῖ θυσιαστήριον καὶ προσηυχήθη πρὸς τὸν Θεὸν τοῦ Ἰσραήλ». Ἂς μὴ προσπερνῶμεν ἁπλῶς χωρὶς νὰ ἐξετάζωμεν αὐτὰ ποὺ εὑρίσκονται εἰς τὰς θείας Γραφάς. Διότι ἐὰν ἐκεῖνοι, οἱ ὁποῖοι βγάζουν τὰ ψήγματα χρυσοῦ ἀπὸ τὴν γῆν, ὑπομένουν κάθε κόπον καὶ ὑποφέρουν κάθε δυσκολίαν ὥστε νὰ ἠμπορέσουν νὰ διαχωρίσουν τὸ χῶμα ἀπὸ τὸν χρυσόν, πολὺ περισσότερον θὰ ἔπρεπεν ἡμεῖς νὰ ἐρευνῶμεν τοὺς λόγους τοῦ ἁγίου Πνεύματος καί, ἀφοῦ λάβωμεν ἀπ' αὐτοὺς τὴν ὠφέλειαν, ἔτσι νὰ φεύγωμεν ἀπὸ ἐδῶ.

Σκέψου λοιπόν, σὲ παρακαλῶ, τὴν φιλοσοφίαν τοῦ θαυμαστοῦ αὐτοῦ ἀνδρός, ὁ ὁποῖος, ἂν καὶ ἀπελάμβανε τόσην οὐράνιον εὐλογίαν καὶ ἔβλεπεν, ὅτι ἡ περιουσία του αὐξάνει, ἐννοῶ τὰ ζῶα του, καὶ νὰ περιτριγυρίζεται ἀπὸ τόσον μεγάλον ἀριθμὸν τέκνων, δὲν ἠσχολήθη μὲ λαμπρὰς οἰκοδομάς, οὔτε προσεπάθησε νὰ ἀγοράσῃ ἀγροὺς καὶ κώμας, τὰ ὁποῖα θὰ ἠδύναντο νὰ ἀρκέσουν διὰ νὰ διανεμηθοῦν εἰς τὰ παιδιά. Διότι αὐτὰ καὶ τὰ παρόμοια ἰσχυρίζονται οἱ σημερινοὶ ἄνθρωποι, καὶ ἂν κάποιος ἔχῃ ἔστω καὶ ἕνα υἱὸν φροντίζει νὰ συγκεντρώσῃ ἀναρίθμητα τάλαντα χρυσοῦ καὶ νὰ ἀγοράσῃ ἀγροὺς καὶ νὰ κατασκευάσῃ λαμπρὰς οἰκοδομάς. Καὶ μακάρι νὰ ἐμάζευε δι'

κίας τούτων τὴν περιουσίαν συνέλεγεν· ἀλλὰ τὸ βαρὺ καὶ πάντων δεινότερον, ὅτι ἑτέρους ἁρπάζων, καὶ πλεονεκτῶν, καὶ πράγματα συρράπτων, οὕτω τὰς ἑτέρων οὐσίας εἰς ἑαυτὸν μεθίστησι. Καὶ ἐάν τις ἔρηται· τίνος ἕνεκεν ἡ τοσαύτη τῶν χρημάτων μανία; εὐθέως τὸν παῖδα προβάλλεται, καὶ διὰ τὴν περὶ ἐκεῖνον εὔνοιαν ταῦτά φησι διαπράττεσθαι. Καὶ οὗτος μὲν κἂν παῖδα προβαλλόμενος ταῦτα ἀφοσιοῦται, εἰκῇ καὶ μάτην, εἰσὶ δὲ οἳ μηδὲ παῖδας ἔχοντες μεμήνασι περὶ τὴν τῶν χρημάτων συλλογήν, καὶ μυριάκις ἂν ἕλοιντο τὰ ἀνήκεστα ὑπομεῖναι, ἢ ἕνα ὀβολὸν προέσθαι τινὶ τῶν δεομένων.

Ἀλλ' ὁ δίκαιος οὗτος οὐδὲν τοιοῦτον ἐβουλεύσατο, οὐδὲ ἐνενόησεν, ἀλλὰ καὶ ἡνίκα ἔδει βραχὺν ἀγρὸν ὠνήσασθαι, ἑκατὸν ἀμνοὺς δούς, οὕτω τοῦ ἀγροῦ τὴν μερίδα ὠνήσατο παρὰ Ἐμὼρ τοῦ πατρὸς Συχέμ. Καὶ ὅρα τοῦ ἀνδρὸς τὸ φιλόθεον καὶ τίνος ἕνεκεν ἀγρὸν λαβεῖν ἐσπούδασε. «Καὶ ἔστησεν ἐκεῖ», φησί, «θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν Θεὸν τοῦ Ἰσραήλ»· καὶ τοῦ ἀγροῦ τὴν μερίδα δι' οὐδὲν ἕτερον ὠνήσατο, ἢ ἵνα τὰς εὐχαριστίας ἀνενέγκῃ τῷ κοινῷ πάντων Δεσπότῃ. Τοῦτον ἅπαντας ἐχρῆν ζηλοῦν τοὺς ἐν χάριτι τὸν πρὸ τοῦ νόμου, καὶ μὴ οὕτω μαίνεσθαι περὶ τὴν τῶν χρημάτων συλλογήν. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, καὶ ἑαυτῷ τοσαῦτα φορτία ἀκανθῶν συνάγεις, καὶ τοῖς παιδίοις τοῖς σοῖς ὕλην κακίας καὶ ὑπόθεσιν καταλιμπάνων οὐκ αἰσθάνῃ; Οὐκ οἶδας, ὅτι σοῦ μᾶλλον κήδεται τοῦ σοῦ παιδός, σὺ δὲ ὡς πλείονα τὴν περὶ αὐτὸν ἐπιδεικνύμενος πρόνοιαν, ἀφορμὰς αὐτῷ καταλιπεῖν σπουδάζεις τὰς δυναμένας ὑποβρύχιον αὐτοῦ τὴν ψυχὴν ἐργάσασθαι; Ἢ οὐκ οἶσθα, ὅτι ἡ νεότης καὶ καθ' ἑαυτὴν μὲν εὐόλισθόν ἐστι πρᾶγμα καὶ ὀξύρ-

αὐτοὺς τὴν περιουσίαν ἀπὸ δικαίους κόπους καὶ χωρὶς ἀδικίαν· ἀλλὰ τὸ βαρὺ καὶ τὸ φοβερώτερον ἀπὸ ὅλα εἶναι, ὅτι ἁρπάζει τὴν περιουσίαν ἄλλων, καὶ μὲ τὰς πλεονεξίας καὶ τὰς δολοπλοκίας του κάμνει ἰδικάς του τὰς περιουσίας τῶν ἄλλων. Καὶ ἐὰν κάποιος εἰπῇ· Διατί ἡ τόση μανία διὰ χρήματα; τότε ἀμέσως προβάλλει τὸν υἱόν του ὡς δικαιολογίαν καὶ λέγει, ὅτι τὰ κάμνει αὐτὰ ἀπὸ ἀγάπην δι' αὐτόν. Καὶ αὐτὸς μὲν ποὺ ἀφοσιοῦται εἰς αὐτά, ἔστω καὶ ἂν ἀκόμη προβάλλῃ τὸν υἱόν του ὡς δικαιολογίαν, ἀνώφελα καὶ μάταια τὸ κάμνει αὐτό, ὑπάρχουν ὅμως καὶ αὐτοί, οἱ ὁποῖοι, ἂν καὶ δὲν ἔχουυν τέκνα, ὅμως ἔχουν μανίαν διὰ τὴν συλλογὴν τῶν χρημάτων καὶ θὰ προετοίμων χιλίας φορὰς νὰ πάθουν τὰ πιὸ ἀνυπόφορα πράγματα, παρὰ νὰ παραχωρήσουν ἕνα ὀβολὸν εἰς κάποιον ποὺ ἔχει ἀνάγκην.

Ὅμως ὁ δίκαιος αὐτὸς δὲν ἐπεθύμισε τίποτε τέτοιο, οὔτε ἐσκέφθη, ἀλλὰ καὶ ὅταν ἐχρειάσθη νὰ ἀγοράσῃ μικρὸν ἀγρὸν ἐπῆρε τὸ τμῆμα τοῦ ἀγροῦ ἀπὸ τὸν Ἐμώρ, τὸν πατέρα τοῦ Συχέμ, ἀφοῦ ἔδωσεν ἑκατὸν ἀμνούς. Καὶ πρόσεχε τὴν εὐσέβειαν τοῦ ἀνδρὸς καὶ διατί ἐφρόντισε νὰ ἀγοράσῃ ἀγρόν. «Καὶ ἔκτησεν ἐκεῖ», λέγει, «θυσιαστήριον καὶ προσηυχήθη εἰς τὸν Θεὸν τοῦ Ἰσραήλ». Καὶ τὸ τμῆμα τοῦ ἀγροῦ διὰ κανένα ἄλλον λόγον δὲν τὸ ἠγόρασε, παρὰ διὰ νὰ προσφέρῃ εὐχαριστηρίους θυσίας εἰς τὸν κοινὸν Κύριον ὅλων. Αὐτὸν τὸν δίκαιον, ὁ ὁποῖος ἔζησε πρὸ τοῦ νόμου, θὰ ἔπρεπεν ὅλοι, ὅσοι ζοῦν εἰς τὸν καιρὸν τῆς χάριτος, νὰ μιμοῦνται καὶ νὰ μὴ τοὺς καταλαμβάνῃ τόση μανία διὰ τὴν συγκέντρωσιν χρημάτων. Διότι εἰπέ μου διὰ ποῖον λόγον καὶ διὰ τὸν ἑαυτόν σου συγκεντρώνεις τόσα φορτία ἀκανθῶν καὶ δὲν σκέπτεσαι, ὅτι καὶ εἰς τὰ παιδιά σου ἀφήνεις ὕλην καὶ ἀφορμὴν κακίας; Δὲν γνωρίζεις, ὅτι αὐτὸς φροντίζει περισσότερον διὰ τὸ παιδί σου, ἐνῷ σὺ ὡσὰν νὰ φροντίζῃς περισσότερον δι' αὐτόν, προσπαθεῖς νὰ ἀφήσῃς εἰς αὐτὸν ἀφορμάς, αἱ ὁποῖαι εἶναι δυνατὸν νὰ καταποντίσουν τὴν ψυχήν του; Ἢ δὲν γνωρίζεις, ὅτι αὐτὴ καθ' ἑαυτὴν ἡ νεότης εἶναι κάτι ποὺ κατ' ἐξοχὴν πίπτει καὶ ρέπει πρὸς τὴν κακίαν;

ροπον πρὸς κακίαν; Ὅταν δὲ καὶ χρημάτων περιουσίαν προσλάβῃ, πολλῷ μᾶλλον ἐπιρρεπέστερον τὸ κακὸν γίνεται. Κάθάπερ γὰρ πῦρ ὕλην προσλαβόν, σφοδροτέραν ἀνάπτει τὴν φλόγα, οὕτω καὶ ἡ νεότης καθάπερ πυρὰν τὴν ὕλην τῶν χρημάτων δεξαμένη, τοσαύτην ἀνάπτει τὴν κάμινον, ὡς ὁλόκληρον ἐμπρῆσαι τοῦ νέου τὴν ψυχήν. Πότε γὰρ ὁ τοιοῦτος δυνήσεται σωφροσύνης ἐπιμελήσασθαι, καὶ ἀκολασίαν φυγεῖν, καὶ τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους ἀναδέξασθαι, ἤ τι ἕτερον πνευματικόν;

2. Ἢ οὐκ ἀκούεις τοῦ Χριστοῦ, ὅτι «Ἡ μέριμνα τοῦ αἰῶνος τούτου καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λογισμὸν καὶ ἄκαρπος γίνεται», ἃς καὶ ἀκάνθας ὠνόμασεν; Εἰπὼν γὰρ τὸ ἓν μὲν τοῦ σπόρου εἰς τὰς ἀκάνθας ἐμπεπτωκέναι, εἶτα ἑρμηνεύων τοῖς μαθηταῖς τίνες εἰσὶν αἱ ἄκανθαι, φησίν· «Ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λογισμόν, καὶ ἄκαρπος γίνεται». Καὶ καλῶς ἀκάνθαις παρείκασε τὴν μέριμναν τοῦ αἰῶνος τούτου. Καθάπερ γὰρ αἱ ἄκανθαι οὐκ ἐῶσι προκύψαι τὸν σπόρον, ἀλλὰ τῇ πυκνότητι συμπνίγουσι τὸ καταβληθέν, οὕτω καὶ αἱ μέριμναι αἱ βιωτικαὶ τὸν σπόρον τὸν πνευματικόν, ἐπειδὰν εἰς τὴν ψυχὴν καταβληθῇ, οὐκ ἀφιᾶσι καρπὸν ἐνεγκεῖν, ἀλλὰ συγκαίουσαι καὶ συμπνίγουσαι, καθάπερ αἱ ἄκανθαι, οὐκ ἐῶσι προκύψαι τὸν σπόρον τὸν πνευματικόν. «Καὶ ἡ ἀπάτη», φησί, «τοῦ πλούτου». Καλῶς εἶπεν ἀπάτην τοῦ πλούτου· καὶ γὰρ ὄντως ἀπάτη ἐστί. Τί γὰρ ὄφελος τῶν τοσούτων ταλάντων, καὶ τῆς τοσαύτης τῶν χρημάτων περιβολῆς;

Ναί, φησί· πολλὴν τὴν εὐφροσύνην παρέχει τὸ κεκτῆσθαι. Ποίαν εὐφροσύνην; Καὶ τί λέγω εὐφροσύνην; Οὐχὶ τοῦτο μάλιστα τὰς ἀκαίρους ἀθυμίας, τὰς πολλὰς ἀηδίας τίκτεσθαι παρασκευάζει; Καὶ οὔπω λέγω τὴν διὰ ταῦτα κόλασιν ἐπηρτημένην, ἀλλ' ἁπλῶς

2. Ματθ. 13, 22.

Ὅταν δὲ λάβῃ καὶ περιουσίαν χρημάτων, τότε πολὺ περισσότερον κλίνει πρὸς τὴν κακίαν. Ὅπως ἀκριβῶς δηλαδὴ ἡ φωτιὰ ἀνάπτει περισσότερον, ὅταν ρίπτει κανεὶς ξύλα, ἔτσι καὶ ἡ νεότης ὡσὰν φωτιά, ἡ ὁποία ἐδέχθη τὴν ὕλην τῶν χρημάτων, ἀνάπτει τόσον τὴν κάμινον τῶν παθῶν, ὥστε νὰ κατακαύσῃ ὁλόκληρον τὴν ψυχὴν τοῦ νέου. Πότε λοιπὸν θὰ ἠμπορέσῃ ὁ νέος αὐτὸς νὰ φροντίσῃ διὰ τὴν σωφροσύνην του καὶ νὰ ἀποφύγῃ τὴν ἀκολασίαν καὶ νὰ ἀρχίσῃ ἀγῶνα διὰ τὴν ἀρετὴν ἢ δι' ὁποιονδήποτε ἄλλο πνευματικὸν ζήτημα;

2. Ἢ δὲν ἀκούεις τὸν Χριστόν, ὁ ὁποῖος λέγει, ὅτι «Ἡ μέριμνα τοῦ αἰῶνος αὐτοῦ καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγουν τὸν λογισμὸν καὶ ἔτσι ὁ ἄνθρωπος γίνεται ἄκαρπος»[2], πράγματα τὰ ὁποῖα ὠνόμασεν ἀκάνθας; Διότι ὅταν εἶπεν, ὅτι τὸ ἓν μέρος τοῦ σπόρου ἔπεσεν εἰς τὰς ἀκάνθας, ἔπειτα ἑρμηνεύων εἰς τοὺς μαθητάς του, ποῖαι εἶναι αἱ ἄκανθαι, λέγει· «Ἡ μέριμνα τοῦ αἰῶνος αὐτοῦ καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγουν τὸν λογισμὸν μὲ ἀποτέλεσμα νὰ γίνεται ἄκαρπος». Καὶ πολὺ ὀρθῶς παρωμοίασε μὲ ἀκάνθας τὴν μέριμναν τοῦ αἰῶνος αὐτοῦ. Διότι ὅπως ἀκριβῶς αἱ ἄκανθαι δὲν ἀφήνουν τὸν σπόρον νὰ βλαστήσῃ, ἀλλὰ μὲ τὴν πυκνότητά τους τὸν καταπνίγουν, κατὰ τὸν ἴδιον τρόπον καὶ αἱ βιωτικαὶ μέριμναι τὸν πνευματικὸν σπόρον, ὅταν ριφθῇ εἰς τὴν ψυχήν, δὲν ἀφήνουν νὰ καρποφορήσῃ, ἀλλὰ τὸν κατακαίουν καὶ τὸν συμπνίγουν, ὅπως ἀκριβῶς αἱ ἄκανθαι, καὶ δὲν ἀφήνουν νὰ βλαστήσῃ ὁ πνευματικὸς σπόρος. «Καὶ ἡ ἀπάτη», λέγει, «τοῦ πλούτου». Καλῶς εἶπεν ἀπάτην τοῦ πλούτου, ἀφοῦ πράγματι εἶναι ἀπάτη. Διότι ποία εἶναι ἡ ὠφέλεια τῶν τόσων ταλάντων καὶ τοῦ τόσον μεγάλου ποσοῦ τῶν χρημάτων;

Ναί, λέγει, ἡ ἀπόκτησις χρημάτων σοῦ προξενεῖ μεγάλην εὐχαρίστησιν. Ποίαν εὐχαρίστησιν; Καὶ διατί ὀνομάζω αὐτὴν εὐχαρίστησιν; Αὐτὸ δὲν εἶναι ἡ κατ' ἐξοχὴν αἰτία νὰ γεννᾶται ἡ ἐνοχλητικὴ λύπη καὶ αἱ πολλαὶ δυσαρέσκειαι; Καὶ δὲν λέγω ἀκόμη καὶ διὰ τὴν κόλασιν, ἡ ὁποία συνοδεύει αὐτά, ἀλλὰ ἁπλῶς μόνον διὰ τὸν πα-

τὰ ἐν τῷ παρόντι βίῳ, ὅτι οὐδὲ ἡδονὴν τὸ πρᾶγμα ἔχειν δύναται, ἀλλὰ καθημερινὰς ταραχὰς καὶ ἀηδίας. Καὶ οὐχ οὕτω τὴν θάλατταν ἔστιν ἰδεῖν πρὸς τὰ κύματα κορυφουμένην, ὡς τὴν τοιαύτην ψυχὴν ὑπὸ τῶν λογισμῶν καὶ τῶν παθῶν πολιορκουμένην, καὶ πρὸς ἅπαντας καὶ οἰκείους καὶ ἀλλοτρίους ἀηδῶς διακειμένην. Καὶ ἐάν ποτε κἂν μέρος τι τούτων ὑφέληταί τις (πολλὰ γὰρ τὰ συμπίπτοντα, καὶ πολλοὶ οἱ ἐφεδρεύοντς, καὶ οἰκετῶν κακουργίαι, καὶ δυναστευόντων ἐπήρειαι), τότε δή, τότε εὑρήσεις τοὺς τοιούτους ἀβίωτον τὸν βίον ἡγουμένους. Ποίων οὖν οὐκ ἂν εἶεν θρήνων οἱ τοιοῦτοι ἄξιοι, οἱ καθ' ἑαυτῶν ἅπαντα πράττειν σπουδάζοντες, καὶ ἐπὶ λύμῃ τῆς ἑαυτῶν ψυχῆς ταῦτα συλλέγειν βουλόμενοι; 'Αλλ', εἰ δοκεῖ, τούτους καταλιπόντες ἐπὶ τὴν κατὰ τὸν δίκαιον ἱστορίαν ἐπανέλθωμεν, καὶ ἴδωμεν τῶν ἑξῆς τὴν ἀκολουθίαν.

«Ἔστησε», φησί, «θυσιαστήριον ἐν τῇ μερίδι τοῦ ἀγροῦ, καὶ ἐπεκαλέσατο τὸν Θεὸν 'Ισραήλ», καὶ λοιπὸν ἐν Σηκίμοις τὴν οἴκησιν ἐβουλεύσατο ποιήσασθαι. 'Αλλ' ὅρα πάλιν ὅπως ὁ δίκαιος καὶ ἐνταῦθα τὴν οἰκείαν ἐπιείκειαν ἐπιδείκνυται. Τί γάρ; «'Εξῆλθε», φησί, «Δεῖνα ἡ θυγάτηρ Λείας, ἰδεῖν τὰς θυγατέρας τῶν ἐγχωρίων. Καὶ ἰδὼν αὐτὴν Συχὲμ ὁ υἱὸς 'Εμὼρ ἐκοιμήθη μετ' αὐτῆς, καὶ ἠγάπησε, φησί, τὴν παρθένον, καὶ ἐλάλησεν αὐτῇ κατὰ τὴν διάνοιαν τῆς παρθένου». Εἶδες, ὅσον ἐστὶν ἡ νεότης κακόν, ἐπειδὰν μὴ ἔχῃ χαλινόν, τὸν εὐσεβῆ λογισμόν; Εἶδες γάρ, φησί, τὴν κόρην, καὶ ὅλος ὑπὸ τῆς ὄψεως ἔρωτος γεγονώς, τὴν ἐπιθυμίαν εἰς ἔργον ἐξήγαγε, «Καὶ ἐλάλησεν αὐτῇ κατὰ τὴν διάνοιαν τῆς παρθένου». Τί ἐστι, «Κατὰ τὴν διάνοιαν τῆς παρθένου»; 'Επειδὴ νέα ἦν ἡ κόρη, ἐκεῖνα, φησίν, αὐτῇ διελέχθη, ἃ ἦν ἱκανὰ ἐπι-

ρόντα βίον, ὅτι οὔτε εὐχαρίστησιν ἠμπορεῖ νὰ προξενήσῃ τὸ πρᾶγμα τοῦτο, ἀλλὰ καθημερινὰς ταραχὰς καὶ δυσαρεσκείας. Καὶ δὲν εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς τὴν θάλασσαν τόσον ταραγμένην, ὅσον τὴν τέτοιου εἴδους ψυχήν, ἡ ὁποία πολιορκεῖται ἀπὸ τὰς σκέψεις καὶ τὰ πάθη καὶ ἡ ὁποία συμπεριφέρεται μὲ ἀπέχθειαν καὶ πρὸς τοὺς συγγενεῖς καὶ πρὸς τοὺς ξένους. Καὶ ἐὰν κάποτε ἀφαιρέσῃ κάποιος μέρος ἀπ' αὐτὰ τὰ χρήματα, (διότι πολλὰ συμβαίνουν καὶ πολλοὶ εἶναι αὐτοὶ ποὺ καραδοκοῦν, καὶ αἱ πονηρίαι τῶν ὑπηρετῶν καὶ τῶν κυρίων αἱ πονηραὶ ἐνέργειαι), τότε λοιπόν, τότε θὰ εὕρῃς, ὅτι οἱ ἄνθρωποι αὐτοὶ θεωροῦν τὴν ζωήν των ἀνυπόφορον. Ποίων θρήνων λοιπὸν δὲν θὰ ἦσαν ἄξιοι αὐτοὶ οἱ ἄνθρωποι, οἱ ὁποῖοι φροντίζουν νὰ τὰ κάνουν ὅλα ἐρχόμενοι ἀντιμέτωποι μὲ τοὺς ἑαυτούς των καὶ οἱ ὁποῖοι θέλουν νὰ συλλέγουν αὐτὰ τὰ χρήματα ἀκόμη καὶ μὲ βλάβην τῆς ψυχῆς των; Ἀλλά, ἐὰν νομίζετε καλόν, ἀφοῦ ἐγκαταλείψωμεν αὐτούς, ἂς ἐπανέλθωμεν εἰς τὴν ἱστορίαν τοῦ δικαίου καὶ ἂς ἴδωμεν τὴν συνέχειαν τῶν ὑπολοίπων.

«Ἔκτησε», λέγει, «θυσιαστήριον εἰς τὸ τμῆμα τοῦ ἀγροῦ καὶ προσηυχήθη εἰς τὸν Θεὸν τοῦ Ἰσραήλ» καὶ ἀπεφάσισε νὰ κατοικήσῃ εἰς τὸ ἑξῆς εἰς τὴν πόλιν τῶν Σηκίμων. Ἀλλὰ πρόσεχε πάλιν, πῶς ὁ δίκαιος καὶ ἐδῶ ἐπιδεικνύει τὴν καλωσύνην του. Τί λέγει λοιπόν; «Ἐξῆλθεν ἐκ τοῦ οἴκου», λέγει, «ἡ Δεῖνα ἡ κόρη τῆς Λείας, διὰ νὰ ἰδῇ τὰς γυναῖκας τῶν ἐντοπίων. Καὶ ὅταν εἶδεν αὐτὴν ὁ Συχέμ, ὁ υἱὸς τοῦ Ἐμώρ, ἐκοιμήθη μαζί της καὶ ἠγάπησε τὴν παρθένον καὶ ὡμίλησεν εἰς αὐτὴν κατ' εὐθεῖαν εἰς τὴν καρδίαν της». Εἶδες πόσον κακὸν πρᾶγμα εἶναι ἡ νεότης, ὅταν δὲν ἔχῃ ὡς χαλινὸν τὸν εὐσεβῆ λογισμόν; Διότι λέγει, εἶδε τὴν κόρην καὶ κατελήφθη ἐξ ὁλοκλήρου ὑπὸ ἔρωτος καὶ ἀμέσως ἔκαμε τὴν ἐπιθυμίαν πρᾶξιν. «Καὶ ὡμίλησε κατ' εὐθεῖαν εἰς τὴν καρδίαν τῆς παρθένου». Τί σημαίνει, «Εἰς τὴν καρδίαν τῆς παρθένου»; Ἐπειδὴ ἡ κόρη ἦτο μικρὴ συνεζήτησε μὲ αὐτὴν αὐτά, τὰ ὁποῖα ἦσαν ἀρκετὰ νὰ τὴν παρασύρουν καὶ νὰ τὴν κατα-

σπάσασθαι καὶ ἑλεῖν αὐτήν. Καί φησι πρὸς τὸν πατέρα· «Λάβε μοι τὴν παιδίσκην ταύτην εἰς γυναῖκα». Ἤκουσε δὲ ὁ Ἰακὼβ τὸ γεγονός, καὶ τέως πρᾴως ἔφερεν ἀναμένων τῶν ἀδελφῶν αὐτῆς τὴν παρουσίαν. Ἦσαν γὰρ ἐν τοῖς ποιμνίοις.

«Καὶ παρεσιώπησε», φησίν, «Ἰακὼβ ἕως τοῦ ἐλθεῖν αὐτούς». Παραγενομένου δὲ τοῦ Ἐμὼρ πρὸς τὸν Ἰακώβ, ἦλθον καὶ οἱ ἀδελφοὶ τῆς Δείνας· καὶ ἀκούσαντες τὰ γεγενημένα εἰς τὴν ἀδελφὴν αὐτῶν κατενύγησαν. Τί ἐστι, «Κατενύγησαν»; Ἐλυπήθησαν, οὐκ ἀνεκτὸν αὐτοῖς ὤφθη, ἀλλὰ καὶ πάνυ χαλεπὸν καὶ λύπης αὐτοῖς ὑπόθεσις γέγονε. «Λυπηρὸν γάρ», φησίν, «ἦν αὐτοῖς σφόδρα, ὅτι ἄσχημον ἐποίησεν ἐν Ἰσραὴλ Συχέμ, κοιμηθεὶς μετὰ τῆς θυγατρὸς Ἰακώβ». Ὁρᾷς τῶν παίδων τὴν σωφροσύνην; Μεγίστην ὕβριν τὸ πρᾶγμα ἐλογίσαντο. Εἶδες πῶς μὲν ὁ δίκαιος τοὺς ἑαυτοῦ παῖδας ἐπαίδευσεν εἰς τὴν ἀρετήν; πῶς δὲ ὁ Ἐμὼρ υἱὸς εἰς ἔργον ἀγαγὼν αὐτοῦ τὴν ἐπιθυμίαν, τῷ πατρὶ καὶ πάσῃ τῇ πόλει ὀλέθρου ὑπόθεσις γίνεται; Ἀλλὰ πρότερον ἀκούσωμεν τὰ παρὰ τοῦ Ἐμὼρ πρὸς αὐτοὺς λεγόμενα, καὶ μετὰ ταῦτα εἴσεσθε τῶν ἀδελφῶν τῆς Δείνας τὴν πανουργίαν, καὶ ὅπως ἐκδικῆσαι τὰ εἰς τὴν ἀδελφὴν γεγενημένα σπουδὴν ἐποιήσαντο.

«Καὶ ἐλάλησε», φησίν, «αὐτοῖς Ἐμὼρ λέγων· Συχὲμ ὁ υἱός μου προείλετο τῇ ψυχῇ τὴν θυγατέρα ὑμῶν». Ὅρα, πῶς ἤδη τὸν μέλλοντα καταλήψεσθαι αὐτὸν ὄλεθρον μηνύει. «Προείλετο», φησί, «τῇ ψυχῇ», ἀντὶ τοῦ, 'τὴν ψυχὴν αὐτοῦ ἐξέδωκεν ὑπὲρ τῆς θυγατρὸς ὑμῶν'. Ἐκεῖνος μὲν ἔλεγε, τὴν ἐπιθυμίαν αὐτοῦ τὴν ἐπὶ τὴν κόρην δηλῶν, μετὰ βραχὺ δὲ ἐμάνθανεν, ὅτι τῆς ἀπωλείας καὶ ἑαυτοῦ καὶ πάντων τῶν αὐτόθι τοῦτο ἔσται ὑπόθεσις. Ἐπεὶ οὖν, φησίν, οὕτως ἐκκαίεται τῆς κόρης, «Δότε αὐτὴν αὐτῷ γυναῖκα, καὶ ἐπιγαμβρεύσατε ἡμῖν. Τὰς θυγατέρας ὑμῶν

κτήση. Καὶ λέγει ὁ Συχὲμ εἰς τὸν πατέρα του· «Φρόντισε νὰ λάβω ὡς γυναῖκα τὴν κόρην αὐτήν». Ἔμαθεν ὁ Ἰακὼβ τὸ γεγονὸς καὶ ἀρχικῶς ἐδέχθη αὐτὸ μὲ πραότητα περιμένων νὰ ἔλθουν οἱ ἀδελφοί της. Διότι αὐτοὶ εὑρίσκοντο εἰς τὰ ποίμνια.

«Καὶ ἐσιώπησεν ὁ Ἰακώβ», λέγει, «μέχρις ὅτου ἔλθουν οἱ υἱοί του». Καὶ ὅταν ἦλθεν ὁ Ἐμὼρ πρὸς τὸν Ἰακώβ, ἐπέστρεψαν καὶ οἱ ἀδελφοὶ τῆς Δείνας. Μόλις ἤκουσαν, ὅσα συνέβησαν εἰς τὴν ἀδελφήν των, ἐπληγώθησαν. Τί σημαίνει, «κατενύγησαν»; Ἐλυπήθησαν, δὲν ἐφάνη εἰς αὐτοὺς ἀνεκτόν, ἀλλὰ πολὺ βαρὺ καὶ ἔγινεν εἰς αὐτοὺς αἰτία στενοχωρίας. Διότι λέγει· «Ἐφάνη εἰς αὐτοὺς πολὺ βαρύ, διότι ὁ Συχὲμ προσέβαλε τοὺς Ἰσραηλίτας, ἀφοῦ ἐκοιμήθη μὲ τὴν κόρην τοῦ Ἰακώβ». Βλέπεις τὴν σύνεσιν τῶν παιδιῶν; Ἐθεώρησαν τὴν ὑπόθεσιν πολὺ μεγάλην προσβολήν. Εἶδες πῶς διεπαιδαγώγησεν ὁ δίκαιος τοὺς υἱούς του εἰς τὸν ἐνάρετον βίον; Καὶ πῶς ὁ υἱὸς τοῦ Ἐμὼρ μὲ τὸ νὰ πραγματοποιήσῃ τὴν ἐπιθυμίαν του γίνεται αἰτία καταστροφῆς εἰς τὸν πατέρα του καὶ εἰς ὁλόκληρον τὴν πόλιν; Ἀλλ' ἂς ἀκούσωμεν πρῶτον αὐτά, τὰ ὁποῖα λέγει ὁ Ἐμὼρ πρὸς αὐτοὺς καὶ μετὰ ἀπ' αὐτὰ θὰ γνωρίσετε τὴν κακίαν τῶν ἀδελφῶν τῆς Δείνας καὶ πῶς ἔσπευσαν νὰ ἐκδικηθοῦν ἐκεῖνα, τὰ ὁποῖα ἔγιναν εἰς τὴν ἀδελφήν των.

«Καὶ ὡμίλησεν εἰς αὐτοὺς ὁ Ἐμώρ», λέγει, «καὶ εἶπεν· Ὁ υἱός μου ὁ Συχὲμ προσεκολλήθη εἰς τὴν ψυχὴν τῆς θυγατρός σας». Πρόσεχε πῶς προαναγγέλλει τὴν καταστροφήν, ἡ ὁποία ἐπρόκειτο νὰ τὸν εὕρῃ. «Προσεκολλήθη», λέγει, «εἰς τὴν ψυχήν», ἀντὶ τοῦ, 'ἔδωσε τὴν ψυχήν του εἰς τὴν θυγατέρα σας'. Ἐκεῖνος μὲν ἐφανέρωνε τὴν ἐπιθυμίαν του διὰ τὴν κόρην, ἀλλὰ μετὰ ἀπ' ὀλίγον ἐμάθαινεν, ὅτι θὰ γίνῃ αἰτία τῆς καταστροφῆς καὶ τοῦ ἑαυτοῦ του καὶ ὅλων τῶν ἰδικῶν του. Ἐπειδὴ λοιπόν, λέγει, φλέγεται ἀπὸ τόσην ἐπιθυμίαν διὰ τὴν κόρην σας, «Δώσατε αὐτὴν ὡς γυναῖκα εἰς αὐτὸν καὶ ἂς γίνουν γάμοι μεταξύ μας. Τὰς θυγατέρας σας δώσατε εἰς ἡμᾶς καὶ τὰς

δότε ἡμῖν· καὶ τὰς θυγατέρας ἡμῶν λάβετε τοῖς υἱοῖς ὑμῶν, καὶ ἐν ἡμῖν κατοικεῖτε. Καὶ ἰδοὺ ἡ γῆ πλατεῖα ἐναντίον ὑμῶν, κατοικεῖτε καὶ ἐμπορεύεσθε ἐπ' αὐτῆς, καὶ κτήσασθε ἐν αὐτῇ». Ὅρα τὸν πατέρα διὰ τὴν περὶ τὸν παῖδα φιλοστοργίαν, ὅσην ποιεῖται πρὸς τοὺς ξένους τὴν φιλοφροσύνην καὶ ὅπως αὐτοὺς ἐφελκύσασθαι βούλεται, πάσης αὐτοῖς τῆς χώρας τὴν ἐξουσίαν διδούς. Καὶ ταῦτα μὲν ὁ πατήρ· ὁ δὲ παῖς θεασάμενος τοῦ πατρὸς τὴν περὶ αὐτὸν κηδεμονίαν, καὶ ὅπως πάντα ποιεῖν ἕτοιμος ἦν, ὥστε αὐτῷ εἰς ἔργον ἀγαγεῖν τὸ σπουδασθέν, προστίθησι καὶ παρ' ἑαυτοῦ καί φησι τῷ Ἰακὼβ καὶ πρὸς τοὺς ἀδελφοὺς τῆς κόρης· «Εὕροιμι χάριν ἐναντίον ὑμῶν, καὶ ὃ ἐὰν εἴπητε, δώσομεν. Πληθύνατε τὴν φερνὴν καὶ δώσω καθ' ὅ τι ἂν εἴπητέ μοι, καὶ δώσετέ μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα». Εἶδες καὶ τὸν πατέρα διὰ τὴν περὶ τὸν παῖδα κηδεμονίαν πολλὴν τὴν παράκλησιν ποιούμενον, καὶ τὸν νέον ἑτοίμως ἅπαντα προϊέμενον ὑπὲρ τοῦ τῆς κόρης ἐπιτυχεῖν;

3. Τοῦτο γάρ, τοῦτο τὸ ὀλέθριον πάθος πάντα πείθει τὸν ἁλόντα καταδέξασθαι, μέχρις ἂν αὐτὸν εἰς αὐτὸν ἀγάγῃ τοῦ ᾅδου τὸν πυθμένα. Καὶ θέα μοι· ὁ μὲν πρεσβύτης Ἰακὼβ ταῦτα ἀκούων σιγᾷ, καὶ τὴν οἰκείαν ἐπιείκειαν μιμούμενος οὐδὲν φθέγγεται, ἀλλὰ πράως φέρει τὴν εἰς τὴν θυγατέρα γεγενημένην ἐπήρειαν. «Οἱ δὲ υἱοὶ Ἰακὼβ εἶπαν», φησί, «τῷ Συχὲμ καὶ Ἐμὼρ τῷ πατρὶ αὐτοῦ μετὰ δόλου, καὶ ἐλάλησαν αὐτοῖς, ὅτι ἐμόλυναν τὴν ἀδελφὴν αὐτῶν». Σκόπει μοι διὰ τὴν τοῦ ἑνὸς λαγνείαν, πῶς ἅπαντες οἱ τὴν πόλιν οἰκοῦντες συναπολαύουσι τῶν κακῶν. Καθάπερ γὰρ πυρᾶς ἀναφθείσης καὶ οἱ πλησίον οἰκοῦντες τοῦ κινδύνου μετέχουσι, τοῦ πυρὸς ἅπαντα ἐπινεμομένου, τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν ἡ τοῦ νέου ἀκολασία οὐ μόνον τὸν πατέρα, ἀλλὰ καὶ πάντας τοὺς τῆς πόλεως ἄρδην ἠφάνισε.

Τί οὖν οἱ παῖδες τοῦ Ἰακώβ; Μετὰ δόλου πρὸς αὐ-

ἰδικάς μας θυγατέρας νὰ πάρετε διὰ τοὺς υἱούς σας καὶ νὰ κατοικῆτε πλησίον μας. Ἰδοὺ ἡ χώρα εἶναι ἔμπροσθέν σας εὐρύχωρας, κατοικήσατε αὐτὴν καὶ νὰ μετακινῆσθε ἐλευθέρως εἰς αὐτὴν καὶ νὰ κάμετε κτήματα εἰς αὐτήν». Πρόσεχε πόσην φιλοφροσύνην δείχνει ὁ πατὴρ πρὸς τοὺς ξένους ἐξ αἰτίας τῆς ἀγάπης πρὸς τὸν υἱόν του καὶ πῶς θέλει νὰ τοὺς προσελκύσῃ, ἀφοῦ δίδει εἰς αὐτοὺς τὴν ἐξουσίαν ὁλοκλήρου τῆς χώρας. Καὶ αὐτὰ μὲν εἶπεν ὁ πατήρ, ὁ δὲ υἱός, ὅταν εἶδε τὴν φροντίδα τοῦ πατρός του δι' αὐτὸν καὶ ὅτι ἦτο ἕτοιμος νὰ κάνῃ τὰ πάντα, διὰ νὰ πραγματοποιήσῃ αὐτὸ τὸ ὁποῖον ἐπεθύμει, προσθέτει καὶ μόνος του καὶ λέγει εἰς τὸν Ἰακὼβ καὶ εἰς τοὺς ἀδελφοὺς τῆς κόρης· «Ἂς εὕρω χάριν ἐνώπιόν σας καὶ θὰ σᾶς δώσωμεν ὅ,τι ζητήσετε. Αὐξήσατε τὴν προῖκαν καὶ θὰ σᾶς δώσω ὅ,τι μοῦ εἰπῆτε, ἀρκεῖ νὰ μοῦ δώσετε τὴν κόρην αὐτὴν ὡς σύζυγον». Εἶδες, ὅτι καὶ ὁ πατὴρ παρακαλεῖ θερμῶς λόγῳ τῆς ἀγάπης, τὴν ὁποίαν ἔχει διὰ τὸν υἱὸν καὶ ὅτι ὁ νέος εἶναι ἕτοιμος νὰ ὑπομείνῃ τὰ πάντα διὰ νὰ πάρῃ τὴν κόρην;

3. Καθότι αὐτὸ τὸ ὀλέθριον πάθος πείθει αὐτὸν πού ἐκυριεύθη ἀπ' αὐτὸ νὰ κάνῃ τὰ πάντα, μέχρις ὅτου ὁδηγήσῃ αὐτὸν εἰς τὸν ἴδιον τὸν πυθμένα τοῦ ᾅδου. Καὶ πρόσεχε παρακαλῶ· ὁ μὲν γέρων Ἰακώβ, ἐνῷ ἀκούει αὐτά, σιωπᾷ καὶ ἀκολουθῶν τὴν συνήθη καλωσύνην του δὲν λέγει τίποτε, ἀλλὰ ὑποφέρει μὲ πραότητα αὐτό, τὸ ὁποῖον ἔπαθεν ἡ κόρη του. «Οἱ δὲ υἱοὶ τοῦ Ἰακώβ», λέγει, «ἀπήντησαν μὲ δόλον εἰς τὸν Συχὲμ καὶ τὸν Ἑμὼρ τὸν πατέρα του καὶ εἶπαν εἰς αὐτούς, ὅτι ἐμόλυναν τὴν ἀδελφήν των». Σκέψου πῶς ἐξ αἰτίας τῆς φιληδονίας τοῦ ἑνὸς ὑποφέρουν τὰ κακὰ ὅλοι αὐτοί, οἱ ὁποῖοι κατοικοῦν τὴν πόλιν. Ὅπως ἀκριβῶς δηλαδή, ὅταν ἀναφθῇ φωτιά, κινδυνεύουν μαζὶ καὶ οἱ γείτονες, ἀφοῦ ἡ φωτιὰ κατατρώγει τὰ πάντα, κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ τώρα, ἡ ἀκολασία τοῦ νέου ὄχι μόνον τὸν πατέρα, ἀλλὰ καὶ ὅλους τοὺς κατοίκους τῆς πόλεως μαζὶ ἐξηφάνισε.

Τί εἶπον λοιπὸν οἱ υἱοὶ τοῦ Ἰακώβ; Ἀποκρίνονται

τοὺς ἀποκρίνονται. Ἄξιον ἀκοῦσαι, ἵνα μάθητε, ὅπως ὑπερήλγησαν τῆς ἀδελφῆς. «Εἶπαν γάρ», φησί, «Συμεὼν καὶ Λευὶ ἀδελφοὶ Δείνας, υἱοὶ δὲ Λείας· οὐ δυνησόμεθα ποιῆσαι τὸ ῥῆμα τοῦτο, δοῦναι τὴν ἀδελφὴν ἡμῶν ἀνθρώπῳ, ὃς ἔχει ἀκροβυστίαν. Ἐὰν οὖν περιτέμνησθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν, δώσομεν τὰς θυγατέρας ἡμῶν ὑμῖν, καὶ ἀπὸ τῶν θυγατέρων ὑμῶν ληψόμεθα, καὶ ἐσόμεθα ὡς γένος ἕν». Τὰ μὲν τῆς προτάσεως εὔλογα καὶ ἀκόλουθα, ἀλλὰ μετὰ δόλου, φησί, διελέχθησαν. «Καὶ ἐὰν μὴ βούλησθε», φησί, «τοῦτο ποιῆσαι, λαβόντες τὴν θυγατέρα ἡμῶν ἀπελευσόμεθα». Ταῦτα μὲν οἱ περὶ τὸν Συμεῶνα καὶ τὸν Λευὶ τὸν κατὰ πάντων φόνον μελετῶντες προέτειναν. Ἐκεῖνοι δὲ πρὸς τὸν σπουδαζόμενον ὁρῶντες, καὶ τὴν κόρην λαβεῖν ἐπιθυμοῦντες κατεδέξαντο τὰ εἰρημένα, καὶ ἠρέσθησαν τοῖς προταθεῖσιν. «Ἤρεσε γάρ», φησίν, «ὁ λόγος ἐναντίον αὐτῶν, καὶ οὐκ ἠμέλλησε τοῦ πληρῶσαι τὰ ῥηθέντα ὁ νεανίσκος. Ἐνέκειτο γὰρ τῇ θυγατρὶ Ἰακώβ». Ὅλος, φησίν, ἦν τῇ ἐπιθυμίᾳ τῆς κόρης ἐκδεδομένος.

«Καὶ ἐλθόντες αὐτός τε καὶ ὁ πατὴρ πρὸς τὴν πύλην», φησί, «διελέχθησαν πᾶσι τοῖς τὴν πόλιν οἰκοῦσι», καὶ συνεβουλεύσαντο τὴν περιτομὴν καταδέξασθαι κατὰ τὴν ἐκείνων πρότασιν, καὶ δέξασθαι αὐτοὺς πρὸς τὴν συνοίκησιν. Καὶ ἐπλήρουν ἐκεῖνοι παραχρῆμα τὰ παρὰ τοῦ Ἐμὼρ καὶ Συχὲμ λεχθέντα· καὶ πάντες ἀθρόον τὸ σημεῖον τῆς περιτομῆς ἐπὶ τὸ σῶμα ἐδέχοντο. Ἀλλὰ τοῦτο μαθόντες οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευὶ εἰς ἔργον ἀγαγεῖν ἐπείγονται τὰ ἤδη βουλευθέντα αὐτοῖς· «Καὶ λαβόντες ἕκαστος τὴν μάχαιραν αὐτοῦ εἰσῆλθον εἰς τὴν πόλιν ἀσφαλῶς». Τί ἐστιν, «Εἰς τὴν πόλιν ἀσφαλῶς»; Καίτοι δύο μόνοι ὄντες, πρὸς τοσοῦτον πλῆθος παρεττάτοντο· ἀλλὰ πολλὴν αὐτοῖς τὴν ἀσφάλειαν προεξένει τὸ πάντας ἐκείνους καθάπερ τραυματίας κεῖσθαι. Ἵνα γὰρ τοῦτο ἡμῖν δῆλον ποιήσῃ ἡ θεία Γραφή, φησίν· «Ἐγέ-

πρὸς αὐτὸν μὲ δόλον. Ἀξίζει νὰ ἀκούσετε, διὰ νὰ μάθετε, πόσον πολὺ ἐπόνεσαν διὰ τὴν ἀδελφήν των. Διότι λέγει· «Εἶπον ὁ Συμεὼν καὶ ὁ Λευὶ οἱ ἀδελφοὶ τῆς Δείνας, υἱοὶ δὲ τῆς Λείας· Δὲν θὰ ἠμπορέσωμεν νὰ κάμωμεν αὐτὸ ποὺ λέγετε, τὸ νὰ δώσωμεν δηλαδὴ τὴν ἀδελφήν μας εἰς ἄνθρωπον, ὁ ὁποῖος εἶναι ἀπερίτμητος. Ἐὰν λοιπὸν δεχθῆτε τὴν περιτομήν, θὰ δώσωμεν τὰς θυγατέρας μας εἰς σᾶς καὶ ἡμεῖς θὰ πάρωμεν τὰς θυγατέρας σας καὶ θὰ εἴμεθα ἔτσι ὡσὰν ἕνας λαός». Καὶ ἡ μὲν πρότασις ἦτο εὔλογος καὶ συνεπής, ἀλλὰ ὅπως ἡ Γραφὴ λέγει, ἔκαμαν τὴν συζήτησιν μέ δόλον. «Καὶ ἐὰν δέν θέλετε νὰ κάνετε αὐτό», λέγει, «θὰ πάρωμεν τὴν κόρην μας καὶ θὰ φύγωμεν». Αὐτὰ μὲν εἶπον οἱ περὶ τὸν Συμεὼν καὶ τόν Λευὶ σκεπτόμενοι τὸν φόνον ὅλων. Ἐκεῖνοι δέ, ἀποβλέποντες εἰς τὸν σκοπόν των καὶ ἐπιθυμοῦντες νὰ πάρουν τὴν κόρην, ἐδέχθησαν ὅσα τοὺς εἶπαν καὶ ἱκανοποιήθησαν μὲ τὰς προτάσεις. Διότι λέγει· «Ἤρεσεν αὐτοὺς ἡ πρότασις αὐτῶν καὶ ὁ νεανίας δὲν ἤργησε νὰ ἐκπληρώσῃ τὰ συμφωνηθέντα, διότι ἠγάπα μὲ πάθος τὴν θυγατέρα τοῦ Ἰακώβ». Ὁλόκληρος, λέγει, ἐπεθύμει σφοδρῶς τὴν κόρην.

«Καὶ ἀφοῦ ἦλθον», λέγει, «ὁ ἴδιος καὶ ὁ πατήρ του εἰς τὴν πύλην τῆς πόλεως, συνεζήτησαν μὲ ὅλους τοὺς κατοίκους αὐτῆς» καὶ συνεβούλευσαν αὐτοὺς νὰ δεχθοῦν τὴν περιτομὴν σύμφωνα μὲ τὴν πρότασιν ἐκείνων καὶ νὰ δεχθοῦν τὴν συγκατοίκησιν. Καὶ ἐκεῖνοι ἔκαμναν ἀμέσως αὐτά, τὰ ὁποῖα εἶχον εἴπει ὁ Ἐμὼρ καὶ ὁ Συχέμ. Ἀλλ' ὅταν ἔμαθον αὐτὸ οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευί, σπεύδουν νὰ πραγματοποιήσουν αὐτά, τὰ ὁποῖα ἤδη εἶχον ἀποφασίσει. «Καὶ ἀφοῦ ἔλαβον ὁ καθεὶς τὴν μάχαιράν του εἰσῆλθον εἰς τὴν πόλιν ἀσφαλῶς». Τί σημαίνει, «Εἰς τὴν πόλιν ἀσφαλῶς»; Ἂν καὶ ἦσαν μόνον δύο, ἀντιπαρετάχθησαν εἰς τόσον μεγάλο πλῆθος. Πολλὴν ὅμως ἀσφάλειαν παρεῖχεν εἰς αὐτούς, τὸ ὅτι ὅλοι ἐκεῖνοι ἦσαν κατάκοιτοι ὡσὰν τραυματίαι. Καὶ διὰ νὰ μᾶς κάνῃ τοῦτο σαφὲς ἡ ἁγία Γραφή, λέγει· «Κατὰ τὴν τρίτην ἡμέραν, ὅταν οἱ περιτμηθέντες εἶχον πολὺν πόνον». Αὐτὸ παρεῖχεν εἰς

νετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτε ἦσαν ἐν τῷ πόνῳ». Τοῦτο ἐκείνοις τὴν ἀσφάλειαν κατεσκεύαζε, καὶ τοὺς δύο ἰσχυροτέρους τῶν πολλῶν εἰργάζετο. «Καὶ ἀπέκτειναν», φησί, «πᾶν ἀρσενικόν», ἀντὶ τοῦ, πάντας τοὺς ἄνδρας τοὺς διὰ τὸ περιτετμῆσθαι κειμένους, ὡς εἰπεῖν, πρὸς τὴν σφαγὴν ἑτοίμους ὄντας· καὶ μετὰ τῶν ἄλλων καὶ τὸν νέον, τὸν εἰς τὴν ἀδελφὴν αὐτῶν ὑβρίσαντα, ἐπεξῆλθον. Καὶ οὐκ ἀρκεσθέντες τῇ τοσαύτῃ τιμωρίᾳ, καὶ τὰ πρόβατα, φησίν, αὐτῶν, καὶ πάντα τὰ κτήνη, καὶ πάντα τὰ σώματα αἰχμαλωτίσαντες, οὕτως ἐπανῆλθον, καὶ αὔτανδρον ἀνεῖλον τὴν πόλιν.

Εἶδες, ἀγαπητέ, ὅσον εἰργάσατο κακὸν ἑνὸς νέου προπέτεια; εἶδες, ὅσον ἤνεγκεν ὄλεθρον πᾶσι τοῖς τὴν πόλιν οἰκοῦσι; Ταῦτα δὴ μανθάνοντες ἀναχαιτίζωμεν τῶν ἡμετέρων παίδων τὰς ὁρμάς, καὶ πολὺν τῇ νεότητι τὸν χαλινὸν κατασκευάζωμεν, τὸν ἀπὸ τοῦ φόβου, τὸν ἀπὸ τῆς νουθεσίας· καὶ ἐπιμελώμεθα τῆς τῶν αὐτῶν σωφροσύνης, καὶ πάντα ποιῶμεν καὶ πραγματευώμεθα, ὥστε τὴν ἡλικίαν τῆς νεότητος δυνηθῆναι διαφυγεῖν τὰς ἀτόπους ἐπιθυμίας. Διὰ γὰρ τοῦτο καὶ ὁ κοινὸς ἡμῶν Δεσπότης ἰδὼν τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, τὸν γάμον ἐνομοθέτησεν, ὥστε τῆς παρανόμου ἡμᾶς μίξεως ἀπαγαγεῖν. Μὴ τοίνυν ἀμελῶμεν τῶν νέων, ἀλλ' ἰδόντες τῆς καμίνου τὴν πυράν, πρὶν ἢ εἰς ἀσέλγειαν ἐγκυλισθῆναι, σπουδάζωμεν κατὰ τὸν τοῦ Θεοῦ νόμον αὐτοὺς συνάπτειν πρὸς γάμον, ἵνα καὶ τὰ τῆς σωφροσύνης αὐτοῖς διατηρῆται, καὶ μηδεμίαν λύμην δέξωνται ἐξ ἀκολασίας, ἔχοντες ἀρκοῦσαν παραμυθίαν, καὶ δυνάμενοι τῆς σαρκὸς τὰ σκιρτήματα καταστέλλειν, καὶ κολάσεως ἐκτὸς εἶναι.

'Αλλ' ἴδωμεν ὅπως τὰ παρὰ τῶν παίδων γεγενημένα διέθηκε τὸν πρεσβύτην. «Εἶπε γάρ», φησίν, «'Ιακώβ· Συμεὼν καὶ Λευί, μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι τοῖς κατοικοῦσι τὴν γῆν». Τίνος ἕνεκεν, φησί, τοσαύτην ἐπιδείξασθε τὴν ἄμυναν; Τὰ γὰρ παρ' ὑμῶν γεγενημένα μῖσος ἐμοὶ μέγιστον προξε-

αὐτοὺς ἀσφάλειαν καὶ ἔκαμνε τοὺς δύο ἰσχυροτέρους τῶν πολλῶν. «Καὶ ἐφόνευσαν», λέγει, «κάθε ἀρσενικόν», ἀντὶ νὰ εἰπῇ ὅλους τοὺς ἄνδρας, οἱ ὁποῖοι ἦσαν κατάκοιτοι ἐξ αἰτίας τῆς περιτομῆς καὶ ἦσαν, ὅπως θὰ ἐλέγομεν, ἕτοιμοι πρὸς σφαγήν. Καὶ μαζὶ μὲ τοὺς ἄλλους ἐφόνευσαν καὶ τὸν νέον, ὁ ὁποῖος προσέβαλε τὴν ἀδελφήν των Καὶ δὲν ἤρκεσεν εἰς αὐτοὺς ἡ τόση τιμωρία, ἀλλὰ καὶ τὰ πρόβατα αὐτῶν, λέγει, καὶ ὅλα τὰ ζῶα καὶ ὅλους τοὺς ἐπιζήσαντας, ἀφοῦ ἠχμαλώτισαν, ἐπέστρεψαν ἔτσι, ἀφοῦ κατέστρεψαν ὁλόκληρον τὴν πόλιν.

Εἶδες, ἀγαπητέ, πόσον κακὸν ἔφερεν ἡ θρασύτης τοῦ ἑνὸς νέου; Εἶδες πόσον ὄλεθρον ἔφερεν εἰς ὅλους τοὺς κατοίκους τῆς πόλεως; Ἀφοῦ ἐγνωρίσαμεν λοιπὸν αὐτά, ἂς ἀναχαιτίζωμεν τὰς ὁρμὰς τῶν ἰδικῶν μας τέκνων καὶ ἂς θέτωμεν εἰς αὐτοὺς τὸν χαλινόν, ὁ ὁποῖος προέρχεται ἀπὸ τὸν φόβον καὶ ἀπὸ τὴν νουθεσίαν. Καὶ ἂς φροντίζωμεν διὰ τὴν σύνεσιν αὐτῶν καὶ ἂς κάμνωμεν καὶ ἂς μεταχειριζώμεθα τὰ πάντα, ὥστε ἡ νεαρὰ ἡλικία νὰ ἠμπορέσῃ νὰ ἀποφύγῃ τὰς ἀπρεπεῖς ἐπιθυμίας. Διὰ τοῦτο ἀκριβῶς καὶ ὁ κοινὸς Κύριος ὅλων μας, ἐπειδὴ εἶδε τὴν ἀδυναμίαν τῆς ἀνθρωπίνης φύσεως, καθιέρωσε τὸν γάμον, διὰ νὰ μᾶς ἀπομακρύνῃ ἀπὸ τὴν παράνομον συνουσίαν. Ἂς μὴ παραμελῶμεν λοιπὸν τοὺς νέους, ἀλλὰ βλέποντες τὴν κάμινον, ἡ ὁποία τοὺς κατακαίει, προτοῦ κυλίσουν εἰς τὴν ἀνηθικότητα νὰ φροντίζωμεν νὰ τοὺς συνδέωμεν μὲ τὸν γάμον, σύμφωνα μὲ τὸν νόμον τοῦ Θεοῦ, ὥστε νὰ διατηρῆται καὶ ἡ σύνεσίς των καὶ νὰ μὴ δεχθοῦν καμμίαν βλάβην ἀπὸ τὴν ἀκολασίαν, καί, ἔχοντες ἀρκετὴν παρηγορίαν, νὰ ἠμποροῦν νὰ καταστέλλουν τὰ σκιρτήματα τῆς σαρκὸς καὶ νὰ μὴ τιμωρηθοῦν.

Ἀλλ' ἂς ἴδωμεν τί ἐντύπωσιν ἔκαμαν εἰς τὸν δίκαιον αἱ πράξεις τῶν υἱῶν του. Διότι λέγει· «Εἶπεν ὁ Ἰακώβ· Συμεὼν καὶ Λευί, μὲ κατεστήσατε μισητόν, ὥστε νὰ θεωροῦμαι κακὸς εἰς ὅλους τοὺς κατοίκους τῆς χώρας». Διατί, λέγει, μὲ τέτοιον τρόπον τοὺς ἐπετέθητε; Διότι, ὅσα ἐκάματε σεῖς, θὰ μοῦ προξενήσουν πολὺ μεγάλο μῖσος ἐκ μέρους ὅλων τῶν

νήσει παρὰ πάντων τῶν κατοικούντων τὴν γῆν. Εἶτα δεικνὺς τὴν δειλίαν, ἐν ᾗ κατέστη, φησίν, «Ἐγὼ δέ εἰμι ὀλιγοστός, καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι». Μονονουχὶ λέγων· οὐκ ἴστε ὅτι ὀλίγοι ὄντες εὐκόλως τὰ αὐτὰ καὶ ἡμεῖς πεισόμεθα, ὥσπερ ὑμεῖς τούτους διαθεῖναι ἠβουλήθητε; Καὶ καθάπερ Συχὲμ τῷ πατρὶ καὶ πᾶσι τοῖς τὴν πόλιν οἰκοῦσι τούτου τοῦ ὀλέθρου γέγονεν αἴτιος, οὕτω καὶ ὑμεῖς ἐμοί. Διὰ γὰρ ὑμᾶς καὶ αὐτὸς μισητὸς ἔσομαι, καὶ οὐδὲν τὸ κωλύον ἐκτριβῆναί με διὰ τὴν ὑμετέραν τόλμαν. «Οἱ δέ», φησίν, «εἶπαν· ἀλλ' ὡσεὶ πόρνῃ χρήσονται τῇ ἀδελφῇ ἡμῶν;». Ὅρα τοὺς παῖδας, σωφροσύνης ἕνεκεν τὴν ἄμυναν ἐπιδειξαμένους· ἀπολογοῦνται γὰρ τῷ πατρί, καί φησι· κατήσχυναν ἡμᾶς, ὡς εἰπεῖν, ὡσεὶ πόρνῃ ἐχρήσαντο τῇ ἀδελφῇ ἡμῶν· καὶ διὰ τοῦτο τοῦτο ποιῆσαι κατηναγκάσθημεν, ἵνα καὶ τοῖς εἰς τὸ ἑξῆς διδασκαλία γένηται, μὴ τοιαῦτα τολμᾶν.

4. Ἀλλ' ὅρα μοι λοιπὸν ἐνταῦθα τὴν ἄφατον τοῦ Θεοῦ κηδεμονίαν τὴν περὶ τὸν δίκαιον. Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν δεδοικότα διὰ τὰ ὑπὸ τῶν παίδων γεγενημένα τὴν αὐτόθι οἴκησιν, «Εἶπε», φησίν, «ὁ Θεός· ἀναστὰς ἀνάβηθι εἰς τὸν τόπον Βαιθήλ, καὶ οἴκει ἐκεῖ». Ἐπειδὴ δέδοικας τοὺς ἐνταῦθα, ἀναχώρει, φησίν, ἐντεῦθεν, καὶ οἴκει εἰς τὴν Βαιθήλ, «Καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ τῷ ὀφθέντι σοι ἐν τῷ σε ἀποδιδράσκειν ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ σου. Καὶ εἶπεν Ἰακὼβ τῷ οἴκῳ αὐτοῦ καὶ πᾶσι τοῖς μετ' αὐτοῦ· ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν, καὶ καθαρίσθητε, καὶ ἀλλάξασθε τὰς στολὰς ὑμῶν, καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθήλ, καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ τῷ ἐπα-

κατοίκων τῆς χώρας. Ἔπειτα δείχνει τὸν τρόμον, ὁ ὁποῖος τὸν κατέλαβε, καὶ λέγει· «Ἐγὼ ἔχω πολὺ ὀλίγας δυνάμεις καὶ ἐὰν συγκεντρωθοῦν καὶ ἐπιτεθοῦν ἐναντίον μας θὰ μᾶς κατασφάξουν καὶ θὰ μᾶς συντρίψουν». Ὡσὰν νὰ ἔλεγε· Δὲν γνωρίζετε, ὅτι, ἐπειδὴ εἴμεθα ὀλίγοι, θὰ πάθωμεν εὔκολα καὶ ἡμεῖς τὰ ἴδια, ὅπως ἀκριβῶς ἠθελήσατε καὶ σεῖς νὰ φερθῆτε εἰς αὐτούς; Καὶ ὅπως ἀκριβῶς ὁ Συχὲμ ἔγινεν ὁ αἴτιος τοῦ ὀλέθρου εἰς τὸν πατέρα του καὶ εἰς ὅλους τοὺς κατοίκους τῆς πόλεως, ἔτσι καὶ σεῖς θὰ γίνετε εἰς ἐμέ. Διότι ἐξ αἰτίας σας θὰ γίνω καὶ ἐγὼ ὁ ἴδιος μισητὸς καὶ δὲν ὑπάρχει τίποτε ποὺ θὰ ἐμποδίσῃ τὴν καταστροφήν μου ἐξ αἰτίας τῆς τόλμης σας. «Καὶ αὐτοί», λέγει, «εἶπαν· Ἔπρεπε λοιπὸν νὰ μεταχειρισθοῦν τὴν ἀδελφήν μας ὡς πόρνην;». Πρόσεχε ὅτι οἱ παῖδες ἔκαμαν τὴν ἐπίθεσιν αὐτὴν ἀπὸ σωφροσύνην, διότι ἀπολογοῦνται εἰς τὸν πατέρα καὶ λέγουν· Μᾶς ἐντρόπιασαν, ὅπως θὰ ἐλέγαμεν, μετεχειρίσθησαν τὴν ἀδελφήν μας ὡς πόρνην καὶ διὰ τοῦτο ἠναγκάσθημεν νὰ κάνωμεν αὐτό, ὥστε καὶ οἱ μεταγενέστεροι νὰ διδάσκωνται νὰ μὴ τολμοῦν νὰ κάνουν τὰ ἴδια.

4. Ἀλλὰ πρόσεχε ἐδῶ λοιπόν, παρακαλῶ, τὴν ἀπεριόριστον προστασίαν τοῦ Θεοῦ εἰς τὸν δίκαιον. Ἐπειδὴ δηλαδὴ εἶδεν ὁ Θεός, ὅτι αὐτὸς ἐφοβήθη, ἐξ αἰτίας τῶν ὅσων ἔκαναν οἱ υἱοί του, νὰ κατοικήσῃ ἐδῶ, «Εἶπεν ὁ Θεός», λέγει, «Νὰ σηκωθῇς καὶ νὰ μεταβῇς εἰς τὸν τόπον Βαιθὴλ καὶ νὰ κατοικήσῃς ἐκεῖ». Ἐπειδὴ φοβεῖσαι, λέγει, τοὺς κατοίκους αὐτοῦ τοῦ μέρους, ἀναχώρησε ἀπ' ἐδῶ καὶ κατοίκησε εἰς τὴν Βαιθήλ, «Καὶ νὰ κατασκευάσῃς ἐκεῖ θυσιαστήριον εἰς τὸν Θεόν, ὁ ὁποῖος ἐφάνη εἰς ἐσέ, ὅταν ἔφευγες ἀπὸ προσώπου τοῦ Ἠσαῦ τοῦ ἀδελφοῦ σου. Καὶ εἶπεν ὁ Ἰακὼβ εἰς τὴν οἰκογένειάν του καὶ εἰς ὅλους ἐκείνους, οἱ ὁποῖοι εὑρίσκοντο μαζί του· Ἀπομακρύνατε τὰ ἀγάλματα τῶν ξένων θεῶν, τὰ ὁποῖα ἔχετε μαζί σας, νὰ πλυθῆτε καὶ νὰ ἀλλάξετε τὴν ἐνδυμασίαν σας καὶ κατόπιν, ἀφοῦ σηκωθῶμεν νὰ μεταβῶμεν εἰς τὴν Βαιθὴλ καὶ νὰ κατασκευάσωμεν ἐκεῖ θυσιαστήριον διὰ τὸν Κύριον, ὁ

κούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ, καὶ διέσωσέ με ἐν τῇ ὁδῷ ᾗ ἐπορεύθην». Σκόπει τοῦ δικαίου πάλιν τὴν ὑπακοὴν καὶ τὸ φιλόθεον. 'Επιδὴ ἤκουσεν, «'Ανάβηθι εἰς Βαιθήλ, καὶ ποίησον θυσιαστήριον», καλέσας πάντας τοὺς αὐτοῦ εἶπεν· «"Αρατε τοὺς θεούς». Ποίους, ἄν τις εἴποι, θεούς; Οὐδαμοῦ γάρ ἐστιν ἰδεῖν θεοὺς αὐτὸν ἐσχηκότα· ἄνωθεν γὰρ καὶ ἐξ ἀρχῆς φιλόθεος ἦν ὁ δίκαιος. 'Αλλ' αἰνιττόμενος ἴσως τοὺς θεοὺς τοὺς τοῦ Λάβαν, οὓς ἡ Ραχὴλ ἦν ὑφελομένη, διὰ τοῦτό φησιν· ἐπειδὴ μέλλομεν τῷ ἀληθινῷ Θεῷ, τῷ ἀεί μοι τὴν παρ' αὐτοῦ προστασίαν νείμαντι, τὰς εὐχαριστίας ἀναφέρειν, ἐξάρατε, εἴ τινά ἐστιν ὑμῖν εἴδωλα, «Καὶ καθαρίσασθε, καὶ ἀλλάξασθε τὰς στολὰς ὑμῶν», καὶ οὕτως ἐπὶ τὴν πόλιν ὁρμήσομεν, καὶ ἔξωθεν καὶ ἔσωθεν ἑαυτοὺς καθάραντες οὕτω συνέλθετε. Μὴ μόνον τῇ τῶν ἱματίων φαιδρότητι τὴν καθαρότητα δεικνύντες, ἀλλὰ καὶ τῇ τῶν εἰδώλων ἀφαιρέσει τοὺς λογισμοὺς τῆς διανοίας ἐκκαθάραντες, οὕτως ἀνέλθωμεν ἐπὶ τὴν Βαιθήλ.

«Καὶ ἔδωκαν», φησί, «τῷ 'Ιακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους» (οὐ γὰρ ἦσαν αὐτῶν), «καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν». "Ισως γὰρ καὶ ταῦτα σύμβολά τινα ἦν τῶν εἰδώλων ἐκείνων, διὸ καὶ αὐτὰ μετὰ τῶν θεῶν προσφέρουσι τῷ 'Ιακώβ. «Καὶ ἔκρυψεν αὐτά», φησίν, «ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σηκίμοις, καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας». «"Εκρυψε», φησίν, «αὐτὰ καὶ ἀπώλεσεν», ὥστε καὶ αὐτοὺς τοὺς τῆς πλάνης δούλους τὴν πλάνην διαφυγεῖν, καὶ μηδένα ἕτερον τὴν ἐξ αὐτῶν λύμην δέξασθαι. Καὶ ταῦτα ἅπαντα διαπραξάμενος ὁ δίκαιος, «'Εξῆρε», φησίν, «ἐκ Σηκίμων», καὶ ἐποιεῖτο τὴν ὁρμὴν εἰς τὴν Βαιθήλ. 'Αλλ' ὅρα μοι πάλιν τοῦ Θεοῦ τὴν περὶ αὐτὸν κηδεμονίαν, καὶ πῶς ἡμᾶς διδάσκει ἡ Γραφὴ ἅπαντα σαφῶς. 'Εξελθόντος γάρ, φησί, τοῦ δικαίου ἐκ Σηκίμων, «'Εγένετο φόβος Θεοῦ ἐπὶ τὰς πόλεις τὰς κύ-

ὁποῖος ἤκουσε τὴν προσευχήν μου κατὰ τὴν ἡμέραν τῆς θλίψεώς μου καὶ ἦτο μαζί μου καὶ μὲ διεφύλαξεν εἰς τὴν ὁδόν, τὴν ὁποίαν ἐπορεύθην». Πρόσεχε πάλιν τὴν ὑπακοὴν καὶ τὴν εὐσέβειαν τοῦ δικαίου. Μόλις ἤκουσε, «Νὰ μεταβῇς εἰς τὴν Βαιθὴλ καὶ νὰ κατασκευάσῃς θυσιαστήριον», ἀφοῦ ἐκάλεσεν ὅλους τοὺς ἰδικούς του εἶπεν· «Ἀπομακρύνατε τὰ ἀγάλματα τῶν θεῶν». Ποίους θεούς; θὰ ἔλεγε κάποιος. Διότι πουθενὰ δὲν εἶναι δυνατὸν νὰ ἴδῃς αὐτὸν νὰ ἔχῃ εἰδωλολατρικοὺς θεούς. Καθ' ὅσον ὁ δίκαιος εὐθὺς ἐξ ἀρχῆς ἦτο εὐσεβής. Ἀλλ' ὑπῃνίσσετο ἴσως τοὺς θεοὺς τοῦ Λάβαν, τοὺς ὁποίους εἶχεν λάβει ἡ Ραχὴλ ἀπὸ τὸν Λάβαν, διὰ τοῦτο λέγει· ἐπειδὴ πρόκειται νὰ προσφέρωμεν εὐχαριστίας εἰς τὸν ἀληθινὸν Θεόν, ὁ ὁποῖος μοῦ παρεῖχε πάντοτε τὴν προστασίαν του, ἀπομακρύνατε, ἐὰν ὑπάρχουν μαζί μας μερικὰ εἴδωλα, «Καὶ νὰ καθαρισθῆτε καὶ νὰ ἀλλάξετε τὴν ἐνδυμασίαν σας» καὶ ἔτσι νὰ ἀναχωρήσωμεν ἀπὸ τὴν πόλιν καὶ νὰ συγκεντρωθῆτε, ἀφοῦ καθαρισθῆτε καὶ ἐσωτερικῶς καὶ ἐξωτερικῶς. Ὄχι μόνον μὲ τὴν λαμπρότητα τῶν ἐνδυμάτων νὰ δείξετε τὴν καθαρότητα, ἀλλὰ καὶ μὲ τὴν ἀφαίρεσιν τῶν εἰδώλων νὰ καθαρίσετε τὰς σκέψεις τοῦ νοῦ καὶ ἔτσι νὰ μεταβῶμεν εἰς τὴν Βαιθήλ.

«Καὶ ἔδωκαν», λέγει, «εἰς τὸν Ἰακὼβ τοὺς ξένους θεούς» (διότι δὲν ἦσαν ἰδικοί των), «καὶ τὰ ἐνώτια, τὰ ὁποῖα ἐκρέμοντο εἰς τὰ αὐτιά των». Ἴσως νὰ ἦσαν καὶ αὐτὰ μερικὰ σύμβολα ἐκείνων τῶν εἰδώλων, διὰ τοῦτο προσφέρουν εἰς τόν Ἰακὼβ καὶ αὐτὰ μαζὶ μὲ τοὺς θεούς. «Καὶ ἔκρυψεν ὁ Ἰακὼβ αὐτά», λέγει, «κάτω ἀπὸ τὴν δρῦν, ἡ ὁποία ἦτο πλησίον τῆς Συχὲμ καὶ ἐξηφάνισεν αὐτὰ μέχρι σήμερον». «Ἔκρυψεν αὐτά», λέγει, «καὶ τὰ ἐξηφάνισεν», ὥστε νὰ ἀποφύγουν τὴν πλάνην καὶ οἱ ἴδιοι οἱ δοῦλοι τῆς πλάνης καὶ κανεὶς ἄλλος νὰ μὴ δεχθῇ τὴν φθορὰν ἐξ αὐτῶν. Καὶ ἀφοῦ ἔκανεν ὅλα αὐτὰ ὁ δίκαιος, λέγει, «Ἀνεχώρησεν ὁ Ἰακὼβ ἀπὸ τὴν Συχὲμ» καὶ κατηυθύνθη πρὸς τὴν Βαιθήλ. Ἀλλὰ πρόσεχε πάλιν, παρακαλῶ, τὴν πρὸς αὐτὸν φροντίδα τοῦ Θεοῦ καὶ πῶς ἡ Γραφὴ διδάσκει εἰς ἡμᾶς τὰ πάντα μὲ σαφήνειαν. Διότι λέγει ὅταν

κλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ. Εἶδες πόση ἡ πρόνοια, καὶ πῶς ἐναργὴς ἡ παρ' αὐτοῦ ἀντίληψις ἐγένετο; Ἐπέπεσε γὰρ ἐπ' αὐτοὺς φόβος, καὶ οὐ κατεδίωξαν ὀπίσω αὐτῶν. Ἐπειδὴ γὰρ τοῦτο ἐδεδοίκει ὁ δίκαιος, καὶ ἔλεγεν· «Ὀλιγοστός εἰμι, καὶ ἐκτριβήσομαι», διὰ τοῦτό φησιν, φόβου αὐτοῖς ἐπιπεσόντος οὐ κατεδίωξαν ὀπίσω αὐτῶν. Ὅταν γὰρ αὐτὸς βούληται τὴν ῥοπὴν τὴν παρ' ἑαυτοῦ εἰσενεγκεῖν, καὶ τοὺς ἀσθενεῖς ἰσχυροτέρους τῶν δυνατῶν ἀπεργάζεται, τοὺς ὀλίγους τῶν πλειόνων δυνατωτέρους, καὶ οὐδὲν ἂν γένοιτο μακαριστότερον τοῦ τὴν ἄνωθεν ἐπισπασαμένου ῥοπήν.

«Καὶ ἀπῆλθε», φησίν, «Ἰακὼβ εἰς Λούζαν, ἥ ἐστιν ἐν γῇ Χαναάν, ἥ ἐστι Βαιθήλ, καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ. Καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ· ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ Θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ». Παραγενόμενος, φησίν, εἰς τὴν Βαιθήλ, ἐποίησε τὸ προσταχθέν, καὶ τὸ θυσιαστήριον οἰκοδομήσας ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ. «Ἀπέθανε δέ», φησί, «Δεβώρα ἡ τροφὸς Ῥεβέκκας, καὶ ἐτάφη κατώτερον Βαιθὴλ ὑπὸ τὴν βάλανον· καὶ ἐκάλεσν Ἰακὼβ τὸ ὄνομα αὐτῆς, βάλανος πένθους». Ὁρᾷς, πῶς ἀεὶ ἀπὸ τῶν συμβαινόντων τοὺς τόπους ὠνόμαζεν, ὥστε διηνεκῆ διασώζεσθαι τὴν μνήμην; Καὶ πῶς, ἄν τις εἴποι, ἡ τροφὸς τῆς Ῥεβέκκας συνῆν τῷ Ἰακὼβ πρόσφατον ἀπὸ τῆς Μεσοποταμίας παραγενομένῳ, καὶ μηδέπω τὴν πρὸς τὸν πατέρα συντυχίαν ποιησαμένῳ; Ἢ τάχα τοῦτο ἂν εἴποιμεν, ὅτι, ἡνίκα ἀπὸ τοῦ Λάβαν ἐπανῄει, συνανελθεῖν τῷ Ἰακὼβ ἐπεθύμησεν, ὥστε διὰ μακροῦ τοῦ χρόνου τὴν Ῥεβέκκαν θεάσασθαι· καὶ πρὶν ἢ τὰ τῆς συντυχίας γενέσθαι, ἐκεῖ τὸν βίον κατέλυσεν.

5. Ἀλλ', εἰ βούλεσθε, καὶ ἡμεῖς ἐνταῦθα στήσωμεν τὸν λόγον ἀρκεσθέντες τοῖς εἰρημένοις, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, ὥστε καὶ αὐτοὺς

ὁ δίκαιος ἐξῆλθεν ἀπὸ τὴν Συχέμ, «Ἐπέπεσε τρόμος Θεοῦ εἰς ὅλας τὰς γύρω πόλεις καὶ δὲν κατεδίωξαν τοὺς Ἰσραηλίτας». Εἶδες πόσον μεγάλη ὑπῆρξεν ἡ πρόνοια τοῦ Θεοῦ καὶ πόσον φανερὰ ἡ βοήθειά του; «Διότι ἐκυρίευσεν αὐτοὺς φόβος καὶ δὲν κατεδίωξαν αὐτούς». Ἐπειδὴ δηλαδὴ αὐτὸ ἐφοβεῖτο ὁ δίκαιος καὶ ἔλεγεν· «Ἔχω πολὺ ὀλίγας δυνάμεις καὶ θὰ μὲ συντρίψουν», διὰ τοῦτο λέγει, ἀφοῦ ἐκυρίευσεν αὐτοὺς φόβος, δὲν κατεδίωξαν αὐτούς. Διότι ὅταν αὐτὸς θέλῃ νὰ προσφέρῃ τὴν βοήθειάν του, καὶ τοὺς ἀσθενεῖς κάνει ἰσχυροτέρους ἀπὸ τοὺς δυνατούς, τοὺς ὀλίγους πιὸ δυνατοὺς ἀπὸ τοὺς περισσοτέρους καὶ δὲν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ τίποτε πιὸ μακάριον ἀπὸ αὐτόν, ποὺ ἀπολαμβάνει τὴν βοήθειαν τοῦ Θεοῦ.

«Καὶ ἔφθασε», λέγει, «ὁ Ἰακὼβ εἰς τὴν Λούζαν, ἡ ὁποία εὑρίσκεται εἰς γῆν Χαναὰν καὶ ποὺ εἶναι ἡ Βαιθήλ, καὶ μαζί του ὅλος ὁ λαός του. Καὶ ἔκτισεν ἐκεῖ θυσιαστήριον καὶ τὸν τόπον ὠνόμασε Βαιθήλ, διότι ἐκεῖ παρουσιάσθη εἰς αὐτὸν ὁ Θεός, ὅταν ἔφευγεν ἀπὸ προσώπου τοῦ Ἠσαῦ τοῦ ἀδελφοῦ του». Μόλις ἔφθασεν, λέγει, εἰς τὴν Βαιθήλ, ἐξεπλήρωσε τὴν προσταγὴν καὶ ἀφοῦ ἔκτισε τὸ θυσιαστήριον, ὠνόμασε τὸν τόπον Βαιθήλ. «Καὶ ἀπέθανε», λέγει, «ἡ Δεβώρα, ἡ τροφὸς τῆς Ρεβέκκας, καὶ ἐτάφη πιὸ κάτω ἀπ' τὴν Βαιθὴλ κάτω ἀπὸ τὴν δρῦν. Καὶ ὁ Ἰακὼβ ὠνόμασεν αὐτήν, ἡ δρῦς τοῦ πένθους». Βλέπεις πῶς πάντοτε ὠνόμαζε τοὺς τόπους ἀπὸ τὰ συμβαίνοντα, διὰ νὰ ἐνθυμῆται αὐτὰ συνεχῶς; Καὶ πῶς, θὰ ἠμποροῦσε κάποιος νὰ εἰπῇ, ἡ τροφὸς τῆς Ρεβέκκας εὑρίσκετο μαζὶ μὲ τὸν Ἰακώβ, ἀφοῦ μόλις εἶχεν ἔλθῃ ἀπὸ τὴν Μεσοποταμίαν καὶ δὲν εἶχε συναντηθῇ μὲ τὸν πατέρα; Ἢ θὰ ἠμποροῦσαμεν νὰ εἰποῦμεν αὐτό, ὅτι δηλαδή, ὅταν ὁ Ἰακὼβ ἐπέστρεφεν ἀπὸ τὸν Λάβαν ἐπεθύμησε νὰ ἔλθῃ μαζί του, ὥστε ὕστερα ἀπὸ πολὺν χρόνον νὰ ἰδῇ τὴν Ρεβέκκαν. Καὶ πρὶν πραγματοποιηθῇ αὐτὴ ἡ συνάντησις, ἀπέθανεν ἐκεῖ.

5. Ἀλλ' ἐὰν θέλετε, ἂς σταματήσωμεν καὶ ἡμεῖς ἐδῶ τὴν ὁμιλίαν μας, ἀφοῦ ἀρκεσθῶμεν εἰς τὰ ὅσα ἐλέχθησαν καί, ἀφοῦ παρακαλέσωμεν τὴν ἀγάπην σας, νὰ φρον-

πολλὴν τῆς ἀρετῆς ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ τῆς τῶν νέων σωφροσύνης ἐπιμελεῖσθαι. Ἐντεῦθεν γάρ, ὡς εἰπεῖν, ἅπαντα τίκτεται τὰ κακά. Ἡ γὰρ συνήθεια τῆς πονηρίας τῷ χρόνῳ προϊοῦσα τοσαύτην ἐργάζεται τὴν λύμην, ὡς μηδεμίαν λοιπὸν παραίνεσιν δύνασθαι περιγενέσθαι τῶν ἅπαξ ὑπὸ τῆς πονηρίας προδιδομένων, καὶ καθάπερ αἰχμαλώτων ἀγομένων, ἧπερ ἂν ὁ διάβολος κελεύῃ. Ἐκεῖνος γάρ ἐστι λοιπὸν ὁ ἐπιτάττων, καὶ τὰ ὀλέθρια ἐκεῖνα κελεύων ἐπιτάγματα, ἅπερ μεθ' ἡδονῆς πληροῦσιν οἱ νέοι, τὸ παρὸν μόνον ἡδὺ ὁρῶντες, καὶ τὴν μετὰ ταῦτα ὀδύνην οὐ λογιζόμενοι. Διὸ παρακαλῶ χεῖρα ὀρέγειν τοῖς παισὶ τοῖς ἡμετέροις, ἵνα μὴ καὶ τῶν ὑπ' ἐκείνων πραττομένων αὐτοὶ τὰς εὐθύνας ὑποστῶμεν. Ἢ οὐκ ἴστε, τί ὁ πρεσβύτης Ἠλεὶ πέπονθεν, οὐ προσηκόντως διορθούμενος τῶν παίδων τὰ ἐλαττώματα; Ὅταν γὰρ ᾖ πάθος τομῆς δεόμενον, εἰ μέλλει ὁ ἰατρὸς τοῦτο καταιονήσει θεραπεύειν, ταχέως ἀνίατον ἐργάζεται τὸ πάθος, οὐ τὴν ἁρμόττουσαν ἐπάγων ἰατρείαν. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ πρεσβύτης ἐκεῖνος ὀφείλων ἄξια τῶν πλημμελημάτων εἰσπράξασθαι τοὺς ἑαυτοῦ παῖδας, πολλῇ τῇ ἐπιεικείᾳ χρησάμενος τῆς τιμωρίας αὐτοῖς καὶ αὐτὸς ἐκοινώνησε.

Φοβηθέντες οὖν, παρακαλῶ, τὸ ὑπόδειγμα, καὶ οἱ παῖδας ἔχοντες προνοῶμεν τῆς τούτων ἀνατροφῆς, καὶ ἁπλῶς ἕκαστος τῶν συνοικούντων τὴν ἐπιμέλειαν ποιείσθω, καὶ κέρδος μέγιστον κρινέτω τὴν τοῦ πλησίον ὠφέλειαν, ἵνα τὰ πρὸς ἀρετὴν ἕκαστος πεπαιδευμένος, καὶ τῆς κακίας τὴν πεῖραν διαφυγεῖν δυνηθῇ, καὶ τὴν ἀρετὴν ἑλόμενος πολλὴν ἐπισπάσηται τὴν ἄνωθεν ῥοπήν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τίζετε καὶ σεῖς πολὺ διὰ τὴν ἀρετὴν καὶ νὰ φροντίζετε καὶ διὰ τὴν σύνεσιν τῶν νέων. Διότι ἀπ' ἐδῶ, θὰ ἐλέγομεν, γεννῶνται ὅλα τὰ κακά. Ἡ συνήθεια δηλαδὴ τῆς κακίας καθὼς περνᾷ ὁ καιρὸς προξενεῖ τόσον μεγάλην ζημίαν, ὥστε νὰ μὴ ἠμπορῇ καμμία συμβουλὴ νὰ ὠφελῇ ἐκείνους, οἱ ὁποῖοι ἔστω καὶ μίαν φορὰν παρεδόθησαν εἰς τὴν κακίαν, καὶ ὁδηγοῦνται ὡς αἰχμάλωτοι ὅπου τοὺς διατάσσει ὁ διάβολος. Καθ' ὅτι ἐκεῖνος εἶναι ποὺ διατάσσει καὶ δίδει τὰ καταστρεπτικὰ ἐκεῖνα προστάγματα, τὰ ὁποῖα ἐκπληροῦν μὲ εὐχαρίστησιν οἱ νέοι, προσέχοντες μόνον τὴν παροῦσαν εὐχαρίστησιν καὶ χωρὶς νὰ λογαριάζουν τὴν ἐπακολουθοῦσαν λύπην. Διὰ τοῦτο παρακαλῶ νὰ βοηθῶμεν τὰ τέκνα μας, οὕτως ὥστε νὰ μὴ ἀποδοθῇ εἰς ἡμᾶς ἡ εὐθύνη καὶ δι' ἐκεῖνα τὰ ὁποῖα πράττουν αὐτά. Ἢ δὲν γνωρίζετε τί ἔπαθεν ὁ γέρων Ἠλεί, ἐπειδὴ δὲν διώρθωνεν, ὅπως ἔπρεπε, τὰ παραπτώματα τῶν παιδιῶν του; Διότι ὅταν ὑπάρχῃ κάποιο πάθος, τὸ ὁποῖον ἔχει ἀνάγκην ἐγχειρίσεως, ἐὰν ὁ ἰατρὸς θελήσῃ νὰ τὸ θεραπεύσῃ μὲ πλύσιν, ἀμέσως τὸ κάμνει ἀθεράπευτον, ἀφοῦ δὲν ἐφαρμόζει τὴν πρέπουσαν θεραπείαν. Κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ἐκεῖνος ὁ γέρων, ἂν καὶ ὤφειλε νὰ τιμωρήσῃ τὰ παιδιά του σύμφωνα μὲ τὰ σφάλματά των, ἐπειδὴ μετεχειρίσθη πολλὴν ἐπιείκειαν, καὶ ἐκεῖνος ἐτιμωρήθη μαζί των.

Φοβηθέντες λοιπόν, παρακαλῶ, ἀπ' αὐτὸ τὸ παράδειγμα καὶ ἡμεῖς, οἱ ὁποῖοι ἔχομεν τέκνα, ἂς φροντίζωμεν διὰ τὴν ἀνατροφήν των καὶ ὁ καθένας γενικῶς νὰ φροντίζῃ δι' αὐτοὺς μὲ τοὺς ὁποίους κατοικεῖ καὶ ἂς θεωρῇ ὡς πολὺ μεγάλο κέρδος τὴν ὠφέλειαν τοῦ πλησίαν, ὥστε, ἀφοῦ ὁ καθένας διδαχθῇ τὴν ἀρετήν, νὰ ἠμπορέσῃ καὶ νὰ ἀποφύγῃ τὴν ζημίαν τῆς κακίας καί, ἀφοῦ προτιμήσῃ τὴν ἀρετήν, νὰ προσελκύσῃ μεγάλην τὴν ἐκ τοῦ Θεοῦ βοήθειαν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ Ξ΄

(Γέν. 35, 7 - 37, 1)

«*Καὶ οἰκοδομήσας θυσιαστήριον ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ· ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ Θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ*».

1. Φέρε καὶ σήμερον, εἰ βούλεσθε, τὴν ἀκολουθίαν τῶν πρῴην ἡμῖν εἰρημένων ἀναλαβόντες, οὕτω πάλιν ἐκ τῶν ἑξῆς τὴν διδασκαλίαν πρὸς ὑμᾶς ποιησώμεθα. Ἔτι γὰρ ἡμᾶς ἡ κατὰ τὸν Ἰακὼβ ἱστορία καὶ σήμερον ἱκανὴ παιδεῦσαι τὴν πολλὴν περὶ αὐτὸν τοῦ Θεοῦ πρόνοιαν, καὶ ὅπως ταῖς οἰκείαις αὐτὸν ὑποσχέσεσι πάλιν ἐπέρρωσεν ἀμειβόμενος αὐτοῦ τὴν εὐγνωμοσύνην. Ἐπειδὴ γὰρ ἐν τοῖς προλαβοῦσι διηγήσατο ἡμῖν, ὅπως κατὰ τὸ τοῦ Θεοῦ πρόσταγμα καταλιπὼν τὴν Σήκιμα διὰ τὰ ὑπὸ τῶν παίδων αὐτοῦ γεγενημένα, εἰς τὴν Λούζαν ἠπείγετο· «Καὶ οἰκοδομήσας», φησί, «θυσιαστήριον, ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ· ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ Θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ». Καὶ τοῦτο προστάξας τῷ δικαίῳ, καὶ ἀπαλλάξας αὐτὸν τοῦ φόβου, οὗ κατείχετο διὰ τὴν τῶν Σηκιμιτῶν ἀναίρεσιν, τοῖς τὰς πόλεις ἐκείνας οἰκοῦσιν ἐπέβαλε, φησί, φόβον, ὥστε μὴ καταδιῶξαι ὀπίσω αὐτοῦ. Ὅρα τοῦ Θεοῦ τὴν πρόνοιαν, καὶ ὅση κέχρηται κηδεμονίᾳ περὶ τὸν Ἰακώβ. Κατέσεισε, φησί, τῷ φόβῳ τὰς ψυχὰς τῶν τὰς πόλεις ἐκείνας οἰκούντων, ὥστε μὴ καταδιῶξαι ὀπίσω αὐτοῦ· ἐβούλοντο γὰρ ἴσως ἐπαμῦναι τοῖς Σηκιμίταις. Ἀλλ' ἐπειδὴ καὶ παρὰ γνώμην τοῦ δικαίου γέγονε τὰ γενημένα, καὶ οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευὶ τῆς ἀδελφῆς τὴν

ΟΜΙΛΙΑ Ξ΄

(Γέν. 35, 7 - 37, 1)

«Καὶ ἔκτισεν ἐκεῖ θυσιαστήριον καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Βαιθήλ, διότι ἐκεῖ ἐφανερώθη εἰς αὐτὸν ὁ Θεός, ὅταν ἔφυγε φοβισμένος ἀπὸ τὸν ἀδελφόν του Ἡσαῦ».

1. Ἐμπρὸς καὶ σήμερον, ἐὰν θέλετε, ἀφοῦ ἐπανέλθωμεν εἰς τὸ σημεῖον ποὺ διεκόψαμεν προηγουμένως τὸν λόγον, νὰ σᾶς διδάξωμεν εἰς τὴν συνέχειαν τὰ ἑπόμενα. Διότι καὶ σήμερον ἀκόμη ἡ ἱστορία τοῦ Ἰακὼβ εἶναι ἱκανὴ νὰ μᾶς διδάξῃ τὴν πολλὴν περὶ αὐτὸν φροντίδα τοῦ Θεοῦ καὶ πῶς μὲ τὰς ὑποσχέσεις του ἐνεδυνάμωσεν αὐτὸν ἀμείβων τὴν εὐγνωμοσύνην του. Ἐπειδὴ δηλαδὴ μᾶς διηγήθη εἰς τὰ προηγούμενα, πῶς ἐξ αἰτίας αὐτῶν, τὰ ὁποῖα ἔκαμον τὰ τέκνα του, κατέφυγεν εἰς τὴν Λούζαν, ἀφοῦ ἐγκατέλειψε τὴν Συχὲμ κατὰ προσταγὴν τοῦ Θεοῦ, συνεχίζει· «Καὶ ἔκτισεν ἐκεῖ θυσιαστήριον καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Βαιθήλ, διότι ἐκεῖ ἐφανερώθη εἰς αὐτὸν ὁ Θεός, ὅταν ἔφευγεν ἀπὸ τὸν Ἡσαῦ τὸν ἀδελφόν του». Καὶ ἀφοῦ διέταξεν αὐτὸ εἰς τὸν δίκαιον καὶ τὸν ἀπήλλαξεν ἀπὸ τὸν φόβον, ἀπὸ τὸν ὁποῖον κατείχετο ἐξ αἰτίας τοῦ φόνου τῶν Σηκιμιτῶν, ἐπέβαλε φόβον εἰς τοὺς κατοίκους τῶν πόλεων ἐκείνων, λέγει, ὥστε νὰ μὴ καταδιώξουν αὐτόν. Πρόσεχε τὴν πρόνοιαν τοῦ Θεοῦ καὶ πόσην φροντίδα μεταχειρίζεται διὰ τὸν Ἰακώβ. Συνετάραξε, λέγει, μὲ τὸν φόβον τὰς ψυχὰς τῶν κατοίκων τῶν πόλεων ἐκείνων, ὥστε νὰ μὴ τὸν καταδιώξουν· διότι ἴσως θὰ ἤθελον νὰ βοηθήσουν τοὺς Σηκιμίτας. Ἐπειδὴ ὅμως ὅλα, ὅσα ἔγιναν, ἔγιναν παρὰ τὴν γνώμην τοῦ δικαίου καὶ οἱ ἄνθρωποι τοῦ Συμεὼν καὶ τοῦ Λευὶ ἔπραξαν αὐτά, ἐκ-

σωφροσύνην ἐκδικοῦντες ἐκεῖνα εἰργάσαντο, οὐ μόνον αὐτὸν καὶ τοὺς αὐτοῦ παῖδας τῆς ἀγωνίας τοῦ φόβου ἀπαλλάττει, ἀλλὰ κἀκείνοις δειλίαν ἐνθεὶς ἀπέστησε τῆς κατ' αὐτῶν ὁρμῆς. Εἴδετε, πόσον ἐστὶν ἀπολαύειν τῆς ἄνωθεν ῥοπῆς; Ὅταν γὰρ αὐτὸς ᾖ εὐνοϊκῶς περὶ ἡμᾶς διακείμενος, πάντα ἐκποδὼν γίνεται τὰ λυπηρά. Ὥσπερ γὰρ τῷ δικαίῳ θάρσος ἐνέθηκεν, οὕτως ἐκείνοις φόβον ἐπέσεισε. Δεσπότης γὰρ ὢν πάντα πρὸς ὃ βούλεται μετασκευάζει καὶ τὴν εὐμήχανον αὐτοῦ σοφίαν διὰ πάντων ἐπιδείκνυται. Καὶ οὐδὲν ἰσχυρότερον ἂν γένοιτό ποτε τοῦ τὴν ἄνωθεν συμμαχίαν ἐπισπωμένου, ὥσπερ οὖν οὐδὲν ἀσθενέστερον τοῦ ταύτης ἠρημωμένου. Ἰδοὺ γοῦν οὗτος ὁ δίκαιος εὐαρίθμητος ὢν καὶ σφόδρα ὀλιγοστός, ἐπειδὴ ὑπὸ τῆς τοῦ Θεοῦ δεξιᾶς ἐφρουρεῖτο καὶ θάρσος ἐλάμβανε, καὶ τὴν ἐπιβουλὴν διέφυγεν· ἐκεῖνοι δὲ καὶ εἰς πλῆθος πολὺ συντείνοντες, καὶ κατὰ ταὐτὸν τὴν συμφωνίαν ἐπιδεικνύμενοι, οὐδὲ οὕτως ἴσχυόν τι τῶν βουλευθέντων εἰς ἔργον ἀγαγεῖν. «Ἐγένετο γάρ», φησί, «φόβος Θεοῦ ἐπὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῶν». Ἐπειδὴ τοίνυν ἀπηλλάγη τοῦ φόβου καὶ τῶν ἐγχωρίων ὁ δίκαιος, ὅρα πάλιν τοῦ Θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, ἣν περὶ αὐτὸν ἐπιδείκνυται. «Ὤφθη γὰρ αὐτῷ», φησίν, «ὁ Θεὸς ἔτι ὄντι ἐν Λούζᾳ». Τίνος ἕνεκεν πρόσκειται τό, «Ἔτι»; Οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθῃς, ὅτι καὶ ἤδη ἐν τῷ τόπῳ τούτῳ ὤφθη αὐτῷ πρότερον, ἡνίκα φεύγων τὸν ἀδελφὸν ἐπὶ τὴν Μεσοποταμίαν ἐποιεῖτο τὴν ὁρμήν. Καὶ νῦν οὖν φησι· καθάπερ τότε ὤφθη αὐτῷ ἀπιόντι, οὕτω καὶ νῦν ἐπανερχομένῳ ἐν τῷ αὐτῷ τόπῳ ἐπιφαίνεται, καὶ βεβαιοῖ τὰς ὑποσχέσεις, ἃς ἡνίκα ἀπῄει πρὸς αὐτὸν ἐποιήσατο, παρασκευάζων τὸν δίκαιον θαρρῆσαι

δικούμενοι τὴν ἀγνότητα τῆς ἀδελφῆς των, ὄχι μόνον αὐτὸν ἀλλὰ καὶ τοὺς υἱούς του ἀπαλλάσσει ἀπὸ τὴν ἀγωνίαν καὶ ἐκείνους ἀκόμη, ἀφοῦ ἐφόβισεν, ἀπέτρεψεν ἀπὸ τὴν ἐναντίον αὐτῶν ἐπίθεσιν.

Εἴδατε πόσον σπουδαῖον πρᾶγμα εἶναι τὸ νὰ ἔχῃ κανεὶς τὴν ἄνωθεν βοήθειαν; Διότι, ὅταν αὐτὸς διάκειται εὐνοϊκὰ πρὸς ἡμᾶς, ὅλα τὰ λυπηρὰ ἀπομακρύνονται. Ὅπως ἀκριβῶς δηλαδὴ ἔδωσε θάρρος εἰς τὸν δίκαιον, ἔτσι προεκάλεσεν εἰς ἐκείνους φόβον. Διότι ἀφοῦ εἶναι ὁ Κύριος τοῦ παντός, ἀλλάζει τὰ πάντα σύμφωνα μὲ τὴν θέλησίν του καὶ τὴν ἐφευρετικήν του σοφίαν ἐπιδεικνύει μὲ τὸ κάθε τι. Καὶ κανεὶς δὲν εἶναι δυνατὸν νὰ γίνῃ ἰσχυρότερος ἀπ' αὐτόν, ὁ ὁποῖος ἔχει τὴν οὐράνιον βοήθειαν, ὅπως ἀκριβῶς κανεὶς δὲν εἶναι ἀσθενέστερος ἀπ' αὐτόν, ὁ ὁποῖος ἔχει στερηθῆ αὐτήν. Ἰδοὺ λοιπὸν αὐτὸς ὁ δίκαιος, ὁ ὁποῖος, ἂν καὶ εἶχεν ὀλίγους ἄνδρας καὶ εἶχε πολὺ ὀλίγας δυνάμεις, ἐπειδὴ ὅμως ἐφρουρεῖτο ἀπὸ τὴν δεξιὰν τοῦ Θεοῦ, καὶ θάρρος ἐλάμβανε καὶ τὴν ἐπιβουλὴν διέφυγεν. Ἐκεῖνοι δέ, ἂν καὶ ἦσαν περισσότεροι καὶ εἶχον συμφωνήσει ὅλοι μαζί, οὔτε ἔτσι ἠμπόρεσαν νὰ πραγματοποιήσουν κάτι ἀπ' αὐτά, τὰ ὁποῖα εἶχον σκεφθῆ. Διότι λέγει· «Ἐπέπεσεν φόβος Θεοῦ εἰς τὰς γύρω ἀπὸ τὴν Συχέμ, πόλεις». Ἀφοῦ λοιπὸν ὁ δίκαιος ἀπηλλάγη καὶ ἀπὸ τὸν φόβον τῶν ἐντοπίων, πρόσεχε πάλιν τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ Θεοῦ, τὴν ὁποίαν δείχνει πρὸς αὐτόν. Διότι λέγει· «Ἐφανερώθη εἰς αὐτὸν ὁ Θεός, ἐνῷ ἀκόμη εὑρίσκετο εἰς τὴν Λούζαν». Διατί λέγεται τὸ «ἀκόμη»; Δὲν λέγεται χωρὶς λόγον, ἀλλὰ διὰ νὰ μάθῃς, ὅτι καὶ εἰς τὸν τόπον αὐτὸν ἤδη ἐφανερώθη προηγουμένως, ὅταν ἐπορεύετο πρὸς τὴν Μεσοποταμίαν ἀποφεύγων τὸν ἀδελφόν του. Καὶ τώρα λοιπὸν λέγει. Ὅπως ἀκριβῶς τότε παρουσιάσθη εἰς αὐτὸν ἐνῷ ἔφευγεν, ἔτσι καὶ τώρα φανερώνεται, ἐνῷ ἐπανέρχεται εἰς τὸν ἴδιον τόπον καὶ ἐπιβεβαιώνει τὰς ὑποσχέσεις, τὰς ὁποίας ἔδωσεν εἰς αὐτόν, ὅταν ἔφευγε, προετοιμάζων τὸν δίκαιον νὰ πάρῃ θάρ-

τοῖς ἐπηγγελμένοις, καὶ μὴ διὰ τὸν ἐν μέσῳ χρόνον ἐνδυάσαι.

«Καὶ εὐλόγησεν αὐτόν, καὶ εἶπεν αὐτῷ· τὸ ὄνομά σου οὐ κληθήσεται ἔτι Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου». Καίτοι καὶ ἤδη τὴν προσηγορίαν αὐτῷ ἦν ἐπιθείς, ἡνίκα τὴν διάβασιν ἐποιήσατο τοῦ Ἰαβώχ, ἀλλὰ πλείονα πληροφορίαν ἐνθεῖναι τῷ δικαίῳ βουλόμενος, καὶ νῦν τὴν αὐτὴν ποιεῖται πρὸς αὐτὸν εὐλογίαν, καί φησιν· «Ἰσραὴλ κληθήσεται τὸ ὄνομά σου· καὶ αὐξάνου, καὶ πληθύνου· καὶ ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται». Ὅρα μέγεθος εὐλογίας. Οὐ μόνον εἰς πλῆθος αὐτὸν ἐκταθήσεσθαί φησιν, ἀλλὰ καὶ ἐπίδοξον γενήσεσθαι τὸ ἐξ αὐτοῦ σπέρμα· «Βασιλεῖς γὰρ ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται»· προμηνύων αὐτῷ ἐντεῦθεν ἤδη τῶν ἐξ αὐτοῦ τικτομένων τὴν περιφάνειαν. «Καὶ τὴν γῆν», φησίν, «ἣν τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ δέδωκα, σοὶ δέδωκα αὐτήν, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν ταύτην». Ἐπειδὴ διὰ τὰ γεγενημένα ἐν Σηκίμοις ὑπὸ τοῦ Συμεὼν καὶ Λευὶ ἔλεγεν, «Ὀλιγοστός εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγώ τε καὶ ὁ οἶκός μου»· καὶ διὰ πάντων ἐδείκνυ καὶ τὴν ὀλιγοψυχίαν καὶ τὴν πολλὴν δειλίαν, ἐν ᾗ κατείχετο, διὰ τοῦτο ὁ φιλάνθρωπος Δεσπότης νῦν φησι πρὸς αὐτόν. Ἐπειδὴ εἶπες, ὀλιγοστός εἰμι, μάνθανε, ὅτι καὶ αὐξηθήσῃ, καὶ πληθυνθήσεταί σου τὸ σπέρμα, καὶ οὕτως ἔσται ἐπίδοξον, ὡς συναγωγὰς ἐθνῶν καὶ βασιλεῖς ἐξ αὐτῶν γενέσθαι· καὶ οὐ μόνον οὐκ ἐκτριβήσῃ, ἀλλὰ σὺ καὶ τὸ σπέρμα τὸ σὸν πᾶσαν τὴν γῆν ταύτην κληρονομήσει.

Καὶ ταύτας πρὸς αὐτὸν τὰς ὑποσχέσεις ποιησάμενος, «Ἀνέβη ὁ Θεὸς ἀπ' αὐτοῦ», φησίν, «ἐκ τοῦ τόπου, οὗ ἐλάλησε μετ' αὐτοῦ». Ὅρα πόση ἡ συγκατάβασις τῶν λέξεων τῆς θείας Γραφῆς. «Ἀνέβη», φησίν, «ὁ Θεὸς ἀπ' αὐτοῦ»· οὐχ ἵνα καὶ ἐν τόπῳ νομίσω-

ρος ἀπὸ τὰς ἐπαγγελίας καὶ νὰ μὴ φοβηθῇ κατὰ τὸν ἐνδιάμεσον χρόνον.

«Καὶ εὐλόγησεν αὐτὸν καὶ τοῦ εἶπε· τὸ ὄνομά σου εἰς τὸ ἑξῆς δὲν θὰ εἶναι Ἰακώβ, ἀλλὰ θὰ ὀνομασθῇς Ἰσραήλ». Ἂν καὶ ἔδωσεν ἤδη εἰς αὐτὸν αὐτὸ τὸ ὄνομα, ὅταν διέβη τὸν Ἰαβώχ, ὅμως, ἐπειδὴ θέλει νὰ δώσῃ εἰς τὸν δίκαιον μεγαλυτέραν βεβαιότητα, καὶ τώρα δίδει τὴν ἰδίαν εὐλογίαν πρὸς αὐτὸν καὶ λέγει· «Τὸ ὄνομά σου θὰ εἶναι Ἰσραήλ· καὶ νὰ αὐξάνεσαι καὶ νὰ πληθύνεσαι. Καὶ ἔθνη καὶ ὁμάδες ἐθνῶν θὰ προέλθουν ἀπὸ σὲ καὶ βασιλεῖς θὰ ἐξέλθουν ἀπὸ τὴν ὀσφύν σου». Πρόσεχε τὸ μέγεθος τῆς εὐλογίας. Ὄχι μόνον θὰ πληθύνῃ πολύ, ἀλλὰ καὶ πολὺ ἔνδοξοι θὰ γίνουν οἱ ἀπόγονοί του. «Διότι βασιλεῖς θὰ ἐξέλθουν ἀπὸ τὴν ὀσφύν σου», προαναγγέλλων εἰς αὐτὸν μὲ αὐτὰ τὴν λαμπρότητα τῶν ἀπογόνων του. «Καὶ τὴν χώραν», λέγει, «τὴν ὁποίαν ἔχω δώσει εἰς τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαάκ, τὴν ἔχω δώσει εἰς σὲ καὶ μετὰ ἀπὸ σὲ θὰ δώσω αὐτὴν εἰς τοὺς ἀπογόνους σου». Ἐπειδὴ εἰς τὴν Συχὲμ ἐξ αἰτίας αὐτῶν ποὺ εἶχον κάμει ὁ Συμεὼν καὶ ὁ Λευὶ ἔλεγεν, «Ἐγὼ ἔχω μικρὸν ἀριθμὸν δυνάμεων καὶ ἐὰν συγκεντρωθοῦν ἐναντίον μου θὰ μὲ συντρίψουν καὶ θὰ καταστραφῶ καὶ ἐγὼ καὶ ὅλος ὁ οἶκός μου», καὶ μὲ τὸ κάθε τι ἔδειχνε καὶ τὴν ὀλιγοψυχίαν του καὶ τὸν πολὺν φόβον, ἀπὸ τὸν ὁποῖον κατείχετο, διὰ τοῦτο ὁ φιλάνθρωπος Κύριος τώρα λέγει πρὸς αὐτόν. Ἐπειδὴ εἶπες, ὅτι ἔχεις ὀλίγας δυνάμεις, μάθε, ὅτι καὶ θὰ αὐξηθῇς καὶ θὰ πολλαπλασιασθοῦν οἱ ἀπόγονοί σου καὶ θὰ γίνουν τόσον ἔνδοξοι, ὥστε καὶ ὁμάδες ἐθνῶν καὶ βασιλεῖς θὰ γεννηθοῦν ἀπ' αὐτούς. Καὶ ὄχι μόνον δὲν θὰ συντριβῇς, ἀλλὰ σὺ καὶ οἱ ἀπόγονοί σου θὰ κληρονομήσουν ὁλόκληρον αὐτὴν τὴν χώραν.

Καὶ ἀφοῦ ἔδωσεν αὐτὰς τὰς ὑποσχέσεις, λέγει, «Ἔφυγεν ὁ Θεὸς ἀπ' αὐτὸν τὸν τόπον, ἀπὸ τὸν ὁποῖον ὡμίλησε μὲ αὐτόν. Πρόσεχε πόση εἶναι ἡ συγκατάβασις τῶν λέξεων τῆς ἁγίας Γραφῆς. «Ἔφυγε», λέγει, «ὁ Θεὸς ἀπ' αὐτόν», ὄχι διὰ νὰ νομίσωμεν, ὅτι ὁ Θεὸς περικλείε-

μεν περικεκλεῖσθαι τὸ Θεῖον, ἀλλ' ἵνα καὶ διὰ τούτου μάθωμεν αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν, ὅτι τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ συγκαταβαίνουσα ἡ τοῦ Πνεύματος χάρις, οὕτως ἅπαντα διηγεῖται. Τὸ γάρ, «ἀνέβη» καὶ «κατέβη», ἀνάξιον Θεοῦ· ἀλλ' ἐπειδὴ τοῦτο μάλιστα τεκμήριον τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας, τὸ διὰ τὴν ἡμετέραν διδασκαλίαν καὶ τῆς παχύτητος τῶν τοιούτων ρημάτων ἀνέχεσθαι, διὰ τοῦτο ἀνθρωπίναις λέξεσι κέχρηται, ἐπειδὴ οὐδὲ δυνατὸν ἦν ἑτέρως τὴν ἀκοὴν τὴν ἀνθρωπίνην ἐνεγκεῖν τῶν λεγομένων τὸ ὕψος, εἰ πρὸς τὴν ἀξίαν τοῦ Δεσπότου ἡμῖν διελέγετο.

2. Ὅπερ ἐννοοῦντες, μηδέποτε τῇ ταπεινότητι τῶν λέξεων ἐναπομένωμεν, ἀλλὰ καὶ διὰ τοῦτο θαυμάζωμεν αὐτοῦ τὴν ἄφατον ἀγαθότητα, ὅτι τοσαύτῃ συγκαταβάσει κεχρῆσθαι οὐ παραιτεῖται διὰ τὸ ἀσθενὲς τῆς φύσεως ἡμετέρας. Ἀλλ' ὅρα πάλιν τὸν δίκαιον τοῦτον τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεικνύμενον. «Ἔστησε γάρ», φησίν, «Ἰακὼβ στήλην λιθίνην ἐν τῷ τόπῳ, ᾧ ἐλάλησε μετ' αὐτοῦ ὁ Θεός, καὶ ἔσπεισεν ἐπ' αὐτὴν σπονδήν, καὶ ἐπέχεεν ἔλαιον, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, ἐν ᾧ ἐλάλησε μετ' αὐτοῦ, Βαιθήλ». Σκόπει πῶς ἀεὶ ταῖς προσηγορίαις τῶν τόπων ἄληστον ὁ δίκαιος οὗτος τὴν μνήμην ἐναποτίθεται, ὥστε καὶ ταῖς μετὰ ταῦτα γενεαῖς κατάδηλον γίνεσθαι τὴν αὐτόθι γεγενημένην ὀπτασίαν τῷ δικαίῳ. «Καὶ ἀπάρας», φησίν, «Ἰακὼβ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐπέκεινα τοῦ πύργου Γαδήρ». Προσωτέρω πάλιν ἀναχωρεῖ ὁ δίκαιος, ἐπειγόμενος κατὰ μικρὸν φθάσαι τὸν τόπον, ἔνθα κατῴκει ὁ Ἰσαάκ. «Εἶτα», φησίν, «Ὅτε ἤγγισε τοῦ εἰσελθεῖν εἰς Ἐφραθᾶ, ἡ Ραχὴλ ἐδυστόκησεν ἐν τῷ τόκῳ. Καὶ ἐγένετο ἐν τῷ σκληρῶς αὐτὴν τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα· θάρσει· καὶ γὰρ οὗτός σοί ἐστιν υἱός». Μὴ ἀγωνία, φησί· τέξῃ

ται εἰς κάποιον τόπον, ἀλλὰ διὰ νὰ μάθωμεν καὶ μὲ αὐτὸ τὴν ἀπερίγραπτον φιλανθρωπίαν του, ὅτι ἀπὸ συγκατάβασιν εἰς τὴν ἀνθρωπίνην ἀδυναμίαν διηγεῖται τὰ πάντα κατ' αὐτὸν τὸν τρόπον ἡ χάρις τοῦ ἁγίου Πνεύματος. Διότι τὸ «ἀνέβη» καὶ «κατέβη» εἶναι ἀνάξιον νὰ λέγεται περὶ τοῦ Θεοῦ. Ἀλλ' ἐπειδὴ τοῦτο εἶναι ἡ κατ' ἐξοχὴν ἀπόδειξις τῆς ἀνεκφράστου αὐτοῦ φιλανθρωπίας, τὸ ν' ἀνέχεται δηλαδὴ διὰ τὴν ἰδικήν μας διδασκαλίαν τέτοιου εἴδους ἀνθρωποειδεῖς ἐκφράσεις, διὰ τοῦτο χρησιμοποιεῖ ἀνθρωπομορφικὰς ἐκφράσεις, ἐπειδὴ δὲν ἦτο δυνατὸν κατ' ἄλλον τρόπον ἡ ἀκοὴ τοῦ ἀνθρώπου νὰ ἀνθέξῃ τὸ ὕψος τῶν λεγομένων, ἐὰν ἐχρησιμοποίει γλῶσσαν ἀνάλογον πρὸς τὴν ἀξίαν τοῦ Κυρίου.

2. Ἔχοντες αὐτὸ ὑπ' ὄψιν μας ἂς μὴ μένωμεν εἰς τὴν ταπεινότητα τῶν λέξεων, ἀλλὰ καὶ διὰ τοῦτο νὰ θαυμάζωμεν τὴν ἀνέκφραστον ἀγαθότητα αὐτοῦ, διότι δὲν παύει νὰ χρησιμοποιῇ τόσην συγκατάβασιν, ἐξ αἰτίας τῆς ἀδυναμίας τῆς ἰδικῆς μας φύσεως. Ἀλλὰ πρόσεχε πάλιν πῶς ὁ δίκαιος αὐτὸς φανερώνει τὴν εὐγνωμοσύνην του. Διότι λέγει· «Ἔστησεν ὁ Ἰακὼβ λιθίνην στήλην εἰς τὸν τόπον, εἰς τὸν ὁποῖον ὡμίλησε μαζί του ὁ Θεὸς καὶ ἔκαμε θυσίαν μὲ οἶνον εἰς αὐτὴν καὶ ἔχυσεν ἐπάνω ἔλαιον καὶ ὠνόμασε τὸν τόπον, εἰς τὸν ὁποῖον ὡμίλησεν ὁ Θεὸς μὲ αὐτόν, Βαιθήλ». Σκέψου πῶς ὁ δίκαιος πάντοτε μὲ τὰ ὀνόματα τῶν τόπων καθιστᾷ τὴν ἀνάμνησιν αὐτῶν ἄσβυστον, ὥστε νὰ καθίσταται ὁλοφάνερον καὶ εἰς τὰς ἑπομένας γενεὰς τὸ ὄραμα, τὸ ὁποῖον εἶδεν εἰς αὐτὸν τὸν τόπον. «Καὶ ἀφοῦ ἔφυγε», λέγει, «ὁ Ἰακὼβ ἔστησε τὴν σκηνήν του πέραν ἀπὸ τὸν πύργον Γαδήρ». Πρὸς τὰ ἐμπρὸς πάλιν ἀναχωρεῖ ὁ δίκαιος, ἐπειδὴ βιάζεται σιγὰ - σιγὰ νὰ φθάσῃ εἰς τὸν τόπον, ὅπου κατοικοῦσεν ὁ Ἰσαάκ. «Ἔπειτα», λέγει, «ὅταν ἐπλησίασε νὰ εἰσέλθῃ εἰς τὴν Ἐφραθᾶ, ἡ Ραχὴλ ἐγέννησε καὶ ὑπέφερε πολὺ κατὰ τὸν τοκετόν. Καὶ ἐνῷ εὑρίσκετο εἰς τὸν σκληρὸν ἀγῶνα τῆς γένας εἶπεν εἰς αὐτὴν ἡ μαῖα· Νὰ ἔχῃς θάρρος, διότι καὶ αὐτὸς

γὰρ υἱόν. Εἰ γὰρ καὶ διακόπτουσί σε αἱ ὠδῖνες, ἀλλ' ὅμως ἕξεις υἱόν.

Ἐγένετο δὲ ἐν τῷ ἀφιέναι αὐτὴν τὴν ψυχήν, ἀπέθνησκε γάρ, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, υἱὸς ὀδύνης μου· ὁ δὲ πατὴρ αὐτοῦ ἐκάλεσεν αὐτὸν Βενιαμίν». Ἐκείνη μὲν ἐκ τοῦ συμβεβηκότος αὐτῇ τὴν προσηγορίαν ἐπιτίθησι τῷ παιδί, ὁ δὲ πατὴρ Βενιαμὶν αὐτὸν ἐκάλεσε. Καὶ μετὰ τὸ τεκεῖν, φησίν, «Ἀπέθανε, καὶ ἐτάφη ἐν τῇ ὁδῷ Ἐφραθᾶ· αὕτη ἐστὶ Βηθλεέμ. Καὶ ἔστησεν Ἰακὼβ στήλην ἐπὶ τοῦ μνημείου». Τὴν ἀθυμίαν τὴν ἐπὶ τῇ τελευτῇ τῆς Ραχὴλ παρεμυθεῖτο ὁ τεχθείς, καὶ παρεσκεύαζε πρᾴως φέρειν τὸν δίκαιον τὴν ἀποβολὴν τῆς Ραχήλ. Ἐντεῦθεν λοιπὸν διαδέχεται τοῦ Ρουβὴν ἡ προπέτεια. «Πορευθεὶς γάρ», φησίν, «ἐκοιμήθη μετὰ Βάλλας τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ· καὶ ἤκουσεν Ἰσραήλ, καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ». Καὶ γὰρ ἦν παράνομον σφόδρα τὸ γεγονός. Διὰ τοῦτο καὶ μετὰ ταῦτα νομοθετῶν Μωϋσῆς ἀπηγόρευεν υἱὸν καὶ πατέρα τῇ αὐτῇ ἐπιμίγνυσθαι. Ἵνα γὰρ μὴ ὁδῷ προβαίνοντες συνήθειαν τὸ πρᾶγμα ἐργάσωνται, ὁ νομοθέτης προαναστέλλει, τιμωρίᾳ ὑπεύθυνον εἶναι τὸν τοιοῦτον διαγορεύων. Ἀλλ' ὅμως καὶ οὕτω νῦν πρᾴως ἔφερεν ὁ Ἰακὼβ τῇ φυσικῇ φιλοστοργίᾳ νικώμενος. Μετὰ δὲ ταῦτα μέλλων ἐξιέναι τοῦ βίου, στηλιτεύει τὸν παῖδα, ἀνάγραπτον αὐτοῦ τὴν παρανομίαν ποιούμενος, καὶ ἀρώμενος αὐτῷ, ἵνα διὰ τῶν εἰς ἐκεῖνον γεγενημένων καὶ οἱ εἰς τὸ ἑξῆς σωφρονίζωνται. Ἐντεῦθεν ἡμῖν λοιπὸν ἀπαριθμεῖται τοὺς παῖδας τοῦ Ἰακὼβ ὁ μακάριος Μωϋσῆς, καὶ διδάσκει ἡμᾶς, ἐξ ὧν διηγεῖται, τοῦ δικαίου τὴν ἀρετήν.

Ἵνα γὰρ μὴ νομίσῃς ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὸν τὴν συνουσίαν ποιήσασθαι τὴν πρὸς τὴν Ραχὴλ καὶ τὴν Λείαν καὶ τὰς δύο παιδίσκας, δεικνὺς ὅτι οἰκονομίᾳ τινὶ ὑπηρετούμενος τῆς πρὸς αὐτὰς ὁμιλίας ἠνέσχετο, καὶ ὥστε τὰς δώδεκα φυλὰς ἐξ αὐτοῦ τεχθῆ-

---

1. Υἱὸς δεξιᾶς.

σοῦ εἶναι υἱός». Νά μὴ ἀγωνιᾷς, λέγει, θὰ γεννήσῃς υἱόν. Διότι ἂν καὶ σέ βασανίζουν οἱ πόνοι, ὅμως θὰ ἔχῃς υἱόν.

«Καὶ ἐνῷ παρέδιδε τὴν ψυχήν της, ἐπειδὴ ἀπέθνησκεν, ὠνόμασεν αὐτὸν υἱὸν ὀδύνης. Ὁ δὲ πατὴρ αὐτοῦ ἐκάλεσεν αὐτὸν Βενιαμίν»[1]. Ἐκείνη μὲν δίδει τὸ ὄνομα εἰς τὸν υἱὸν ἀπὸ τὸ γεγονὸς πού συνέβη εἰς αὐτήν, ὁ δὲ πατὴρ ἐκάλεσεν αὐτὸν Βενιαμίν. Καὶ μετὰ τὴν γέναν, λέγει, «Ἀπέθανεν ἡ Ραχὴλ καὶ ἐτάφη εἰς τὴν ὁδὸν Ἐφραθᾶ. Αὐτὴ εἶναι ἡ Βηθλεέμ. Καὶ ἔστησεν ὁ Ἰακὼβ μίαν στήλην ἐπὶ τοῦ τάφου αὐτῆς». Τὴν λύπην διὰ τὸν θάνατον τῆς Ραχὴλ ὀλιγόστευεν ὁ γεννηθεὶς υἱὸς καὶ ἔκαμνε τὸν δίκαιον νὰ ὑποφέρῃ μὲ ἠρεμίαν τὴν ἀπώλειαν τῆς Ραχήλ. Μετὰ ἀπ' αὐτὸ ἀκολουθεῖ ἡ θρασύτης τοῦ Ρουβήν. Διότι λέγει, «Ἐπῆγε καὶ ἐκοιμήθη μὲ τὴν Βάλλαν τὴν παλλακίδα τοῦ πατρός του. Καὶ ἔμαθεν ὁ Ἰσραὴλ καὶ τὸ ἐθεώρησε πολὺ κακόν. Καθ' ὅσον τό γεγονὸς ἦτο πολὺ παράνομον». Διὰ τοῦτο καὶ μετὰ ἀπ' αὐτὰ ὁ Μωϋσῆς δίδων τούς νόμους ἀπηγόρευσεν υἱός καὶ πατέρας νὰ ἔχουν τὴν ἰδίαν σύζυγον. Διὰ νὰ μὴ προχωρήσῃ δηλαδὴ τὸ πρᾶγμα καὶ τὸ κάμουν συνήθειαν, προλαμβάνει ὁ νομοθέτης καὶ λέγει, ὅτι εἶναι ὑπεύθυνος τιμωρίας αὐτὸς πού κάνει κάτι τέτοιο. Ἀλλ' ὅμως καὶ τώρα ἔτσι μὲ πραότητα ὑπέφερεν ὁ Ἰακὼβ αὐτό ὑπερνικώμενος ἀπὸ τὴν φυσικὴν πατρικὴν φιλοστοργίαν. Μετὰ δέ ἀπ' αὐτά, ὅταν ἐπρόκειτο νὰ ἀποθάνῃ ἐπιπλήττει τὸν υἱόν του ἀναγράφων τὴν παρανομίαν του καὶ καταρώμενος αὐτόν, ὥστε καὶ οἱ ἑπόμενοι νὰ συνετίζωνται, μὲ ὅσα συνέβησαν εἰς ἐκεῖνον. Ἀπὸ τὸ σημεῖον λοιπὸν αὐτὸ ὁ μακάριος Μωϋσῆς ἀπαριθμεῖ τούς υἱούς τοῦ Ἰακὼβ καὶ διδάσκει εἰς ἡμᾶς, μὲ ὅσα διηγεῖται, τὴν ἀρετὴν τοῦ δικαίου.

Διὰ νὰ μὴ νομίσῃς δηλαδή, ὅτι ἔτσι ἁπλῶς καὶ χωρὶς λόγον συνεζεύχθη τὴν Ραχὴλ καὶ τὴν Λείαν καὶ τὰς δύο δούλας, ἀποδεικνύει, ὅτι ἐξυπηρετῶν κάποιο σχέδιον τοῦ Θεοῦ ἠνέχθη τὴν σύζευξιν μὲ αὐτάς, ὥστε καὶ νὰ γεννηθοῦν ἀπ' αὐτὸν αἱ δώδεκα φυλαὶ τοῦ Ἰσραήλ. Διὰ τοῦτο ἀκριβῶς ἡ Γραφὴ δὲν μνημονεύει, ὅτι ἀπέκτησε καὶ ἄλλον

ναι· διά τοι τοῦτο οὐκ ἔτι μνημονύει ἡ Γραφὴ ὡς ἑτέρου γενομένου αὐτῷ παιδός, ἵνα μάθῃς, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο γεγένηται. «Ἦσαν δέ», φησίν, «υἱοὶ τοῦ Ἰακὼβ δώδεκα». Καὶ διαιρεῖ λοιπὸν τοὺς τῆς Λείας καὶ τῆς Ραχὴλ καὶ τότε καὶ τοὺς τῶν παιδισκῶν ἀπαριθμεῖται, καί φησιν· «Οὗτοι υἱοὶ Ἰακώβ, οἳ ἐγένοντο αὐτῷ ἐν τῇ Μεσοποταμίᾳ». Καὶ μὴν ὁ Βενιαμὶν νῦν ἐτέχθη, ἡνίκα περὶ τὴν Βηθλεὲμ ἔφθασε. Τίνος οὖν ἕνεκεν οὕτως εἶπεν ἡ Γραφή, «Οἳ ἐγένοντο αὐτῷ ἐν τῇ Μεσοποταμίᾳ»; Ἴσως πρὸ τῆς ἐκεῖθεν ἐξόδου ἡ Ραχὴλ αὐτὸν συλλαβοῦσα ἐτύγχανε. «Καὶ ἦλθε», φησίν, «Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ». Σκόπει μοι πάλιν, ἐνταῦθα, πῶς ἐν ἅπασι πληροφορεῖν ἐβούλετο τοὺς δικαίους ὁ φιλάνθρωπος Θεός. Ἐπειδὴ γὰρ παρεγένετο μετὰ τοσούτων ἐτῶν ἀριθμὸν ὁ Ἰακὼβ πρὸς τὸν πατέρα, καὶ μεγίστη γέγονεν ἑκατέροις ἡ παράκλησις καὶ τῷ παιδὶ ἐκ τῆς τοῦ πατρὸς θέας, καὶ τῷ πατρὶ θεασαμένῳ τοῦ παιδὸς τὴν περιουσίαν, καὶ τὸν χορὸν τῶν ὑπ' αὐτοῦ τεχθέντων.

«Τότε», φησίν, «ἐτελεύτησεν ὁ Ἰσαὰκ πρεσβύτης καὶ πλήρης ἡμερῶν». Εἰ γὰρ ἡνίκα τῆς εὐλογίας τὴν κλοπὴν ἐποιεῖτο ὁ Ἰακώβ, «Ἠμβλύνθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ», φησίν, «ὅθεν καὶ τὰ τῆς ἀπάτης αὐτῷ προεχώρησεν», ἐννόησον μετὰ τοσούτων ἐτῶν ἀριθμόν, ὅπως ἦν γεγηρακώς. «Καὶ ἔθαψαν αὐτόν», φησίν, «Ἠσαῦ καὶ Ἰακώβ». Ἀλλὰ λοιπὸν τῆς τελευτῆς τοῦ πατρὸς γενομένης, «Λαβών», φησί, «τὰς γυναῖκας αὐτοῦ Ἠσαῦ, καὶ τοὺς υἱοὺς καὶ πάντας τοὺς αὐτοῦ, καὶ πάντα ὅσα ἐκτήσατο ἐν γῇ Χαναὰν ἐπορεύθη. Οὐκ ἠδύνατο γάρ, φησίν, ἡ γῆ τῆς παροικήσεως φέρειν αὐτοὺς ἀπὸ τοῦ πλήθους τῶν ὑπαρχόντων. Καὶ ᾤκησε λοιπὸν ἐν τῷ ὄρει Σηείρ». Καὶ διηγησαμένη ἡμῖν ἡ θεία Γραφὴ τοὺς ἐκ τοῦ Ἠσαῦ τεχθέντας καὶ τὰ ἔθνη τὰ ὑπ' αὐτοῦ γεγεννημένα, φησί· «Παρῴκησε δὲ Ἰακὼβ ἐν τῇ γῇ, οὗ παρῴκησεν ὁ πατὴρ αὐτοῦ, ἐν γῇ Χαναάν». Ἀλλ' ἐντεῦθεν λοιπὸν πάλιν δια-

υἱόν, διὰ νὰ μάθῃς δηλαδή, ὅτι δὲν ἔγινεν αὐτὸ ἄσκοπα καὶ ὡς ἔτυχεν. «Ἦσαν δέ», λέγει, «οἱ υἱοὶ τοῦ Ἰακὼβ δώδεκα». Καὶ χωρίζει εἰς τὸ ἐξῆς τοὺς υἱοὺς τῆς Λείας καὶ τῆς Ραχὴλ καὶ ὕστερα ἀπαριθμεῖ καὶ τοὺς υἱοὺς τῶν ὑπηρετριῶν καὶ λέγει· «Αὐτοὶ εἶναι οἱ υἱοὶ τοῦ Ἰακώβ, οἱ ὁποῖοι ἐγεννήθησαν εἰς αὐτὸν εἰς τὴν Μεσοποταμίαν». Καὶ πράγματι ὁ Βενιαμὶν ἐγεννήθη τώρα ποὺ ἔφθασε πλησίον τῆς Βηθλεέμ. Διατί λοιπὸν εἶπεν ἔτσι ἡ Γραφή, «Οἱ ὁποῖοι ἐγεννήθησαν εἰς αὐτὸν εἰς τὴν Μεσοποταμίαν»; Ἴσως διότι ἡ Ραχὴλ εἶχε συλλάβει αὐτὸν πρὶν ἀπὸ τὴν ἀναχώρησιν ἀπ' ἐκεῖ. «Καὶ ἦλθε», λέγει, «ὁ Ἰακὼβ πρὸς τὸν πατέρα του τὸν Ἰσαάκ». Σκέψου, παρακαλῶ, πάλιν ἐδῶ πῶς ὁ φιλάνθρωπος ἐπιθυμεῖ νὰ πληροφορῇ τοὺς δικαίους διὰ τὸ κάθε τι. Διότι, ὅταν ὁ Ἰακὼβ ἦλθεν εἰς τὸν πατέρα του μετὰ ἀπὸ τόσα πολλὰ ἔτη καὶ πολὺ παρηγορήθησαν καὶ οἱ δύο, καὶ ὁ υἱὸς διότι εἶδε τὸν πατέρα, καὶ ὁ πατὴρ διότι εἶδε τὴν περιουσίαν τοῦ υἱοῦ του καὶ τὸ πλῆθος τῶν ἐξ αὐτοῦ γεννηθέντων.

«Τότε», λέγει, «ἀπέθανεν ὁ Ἰσαὰκ γέρων καὶ πλήρης ἡμερῶν». Διότι, ἐὰν τότε, λέγει, ποὺ ὁ Ἰακὼβ ἔκλεψε τὴν εὐλογίαν, εἶχον ἐξασθενήσει οἱ ὀφθαλμοί του, ὅθεν καὶ ἐπέτυχε τὴν ἀπάτην, σκέψου μετὰ ἀπὸ τόσα πολλὰ ἔτη, πόσον εἶχε γηράσει. «Καὶ ἔθαψαν αὐτόν», λέγει, ὁ Ἠσαῦ καὶ ὁ Ἰακώβ». Καὶ ὅταν ἀπέθανεν ὁ πατήρ των, λέγει, «Ὁ Ἠσαῦ ἀφοῦ ἐπῆρε τὰς γυναῖκας του καὶ τοὺς υἱούς του καὶ ὅλους τοὺς ἰδικούς του καὶ ὅλα, ὅσα ἀπέκτησεν εἰς τὴν Χαναάν, ἀνεχώρησε». Διότι λέγει, «Δὲν ἦτο δυνατὸν νὰ χωρέσῃ αὐτοὺς ἡ χώρα τῆς παροικήσεως λόγω τοῦ πλήθους τῶν ὑπαρχόντων. Καὶ κατῴκησε λοιπὸν ὁ Ἠσαῦ εἰς τὸ ὄρος Σηείρ». Καὶ ἀφοῦ ἡ ἁγία Γραφὴ διηγήθη εἰς ἡμᾶς αὐτοὺς ποὺ ἐγέννησεν ὁ Ἠσαῦ καὶ τὰ ἔθνη, τὰ ὁποῖα προῆλθον ἀπ' αὐτόν, λέγει· «Ὁ δὲ Ἰακὼβ ἔμεινεν εἰς τὴν χώραν, εἰς τὴν ὁποίαν εἶχε παροικήσει ὁ πατήρ, εἰς τὴν γῆν Χαναάν». Ἀπὸ τὸ σημεῖον ὅμως αὐτὸ

δέχεται ἡμᾶς ἑτέρα πραγματεία ἡ κατὰ τὸν θαυμάσιον Ἰωσήφ.

3. Ἀλλ' εἰ βούλεσθε, ἐνταῦθα στήσαντες τὸν λόγον εἰς ἑτέραν ἀρχὴν ταμιευσόμεθα τὴν κατὰ τὸν παῖδα τοῦ Ἰακὼβ ἱστορίαν, ἐκεῖνο παραινέσαντες ὑμῶν τῇ ἀγάπῃ, μετὰ ἀκριβείας προσέχειν τοῖς λεγομένοις, καὶ ἐξ ἑκάστου τῶν ἐν τῇ θείᾳ Γραφῇ κειμένων μεγίστην καρποῦσθαι τὴν ὠφέλειαν, καὶ μηδὲν ἁπλῶς παρατρέχειν. Θησαυρὸς γάρ ἐστι πνευματικὸς τὰ θεῖα λόγια· καὶ καθάπερ ἀπὸ τοῦ αἰσθητοῦ θησαυροῦ καὶ λίθον ἕνα πολλάκις ὑφελόμενός τις, πολὺν ἑαυτῷ ἐργάζεται τὸν πλοῦτον, οὕτω καὶ ἐνταῦθα αἱ τῶν δικαίων ἀρεταί, εἰ προσέχειν βουλοίμεθα, τοσαύτην ἡμῖν τὴν ὠφέλειαν παρέχειν δυνήσονται, ὡς καὶ πρὸς τὸν ὅμοιον αὐτῶν διεγερθῆναι ζῆλον. Οὕτω γὰρ δυνησόμεθα καὶ ἡμεῖς τῆς αὐτῆς τοῖς δικαίοις ἀπολαῦσαι παρὰ τοῦ Θεοῦ εὐνοίας. «Οὐδὲ γὰρ προσωπολήπτης ἐστὶν ὁ Θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν»· ὥστε, εἰ βουλοίμεθα, οὐδὲν τὸ κωλύον τοσαύτης ἢ καὶ πλείονος ἡμᾶς ἀπολαῦσαι τῆς ἄνωθεν ῥοπῆς. Ἐὰν γὰρ μόνον ἡμᾶς ἴδῃ τὰ παρ' ἑαυτῶν εἰσφέροντας, καὶ τὰ αὐτῷ δοκοῦντα προτιμῶντας τῶν ἀνθρωπίνων, τοσαύτην καὶ αὐτὸς ἐπιδείξεται τὴν κηδεμονίαν, ὡς ἐν ἅπασιν ἀχειρώτους ἡμᾶς ἐργάσασθαι. Καὶ γὰρ πολέμιον ἔχομεν διηνεκῆ καὶ ἄσπονδον τὴν πρὸς ἡμᾶς ἔχθραν κεκτημένον.

Διὸ πολλῆς ἡμῖν δεῖ τῆς ἀγρυπνίας, ὥστε περιγενέσθαι αὐτοῦ δυνηθῆναι τῆς μηχανῆς, καὶ ἀνωτέρους καταστῆναι τῶν τούτου βελῶν. Οὐχ ἑτέρως δὲ περιεσόμεθα, ἢ διὰ τῆς ἀρίστης πολιτείας ἐπισπάσασθαι δυνηθέντες τὴν ἄνωθεν συμμαχίαν. Ἀρίστη δέ ἐστι πολιτεία βίος καθαρός. Τοῦτο γὰρ ὁ θεμέλιος καὶ ἡ κρηπὶς τῆς ἀρετῆς· ὁ γὰρ τοῦτον ἀσφαλῶς κα-

---

2. Πράξ. 10, 34-35.

συνεχίζει ἄλλη διήγησις, ἡ σχετικὴ μὲ τὸν ἀξιοθαύμαστον Ἰωσήφ.

3. Ἀλλ' ἐὰν θέλετε, ἄς σταματήσωμεν ἐδῶ τὴν ὁμιλίαν καὶ ἄς φυλάξωμεν δι' ἄλλην φορὰν νὰ ἀρχίσωμεν τὴν ἱστορίαν τὴν σχετικὴν μὲ τὸν υἱὸν τοῦ Ἰακώβ, ἀφοῦ συμβουλεύσωμεν ἐκεῖνο εἰς τὴν ἀγάπην σας, νὰ προσέχετε δηλαδὴ πολὺ εἰς ὅσα λέγονται καὶ νὰ κερδίζετε τὴν μεγαλυτέραν ὠφέλειαν ἀπὸ κάθε τι, τὸ ὁποῖον εὑρίσκεται εἰς τὴν ἁγίαν Γραφήν, καὶ νὰ μὴ προσπερνᾶτε τίποτε χωρὶς προσοχήν. Διότι τὰ θεῖα λόγια εἶναι θησαυρὸς πνευματικός. Καὶ ὅπως ἀκριβῶς ἀπὸ τοὺς ὑλικοὺς γίνεται κανεὶς πολὺ πλούσιος, ἐὰν πάρῃ ἔστω καὶ ἕνα λίθον, κατὰ τὸν ἴδιον τρόπον καὶ ἐδῶ αἱ ἀρεταὶ τῶν δικαίων, ἐὰν θέλωμεν νὰ προσέξωμεν, θὰ ἠμπορέσουν νὰ μᾶς παράσχουν τόσην πολλὴν ὠφέλειαν, ὥστε νὰ μᾶς κάνουν νὰ ἔχωμεν τὸν ἴδιον ζῆλον μὲ αὐτούς. Καθ' ὅτι ἔται θὰ ἠμπορέσωμεν καὶ ἡμεῖς νὰ ἀπολαύσωμεν τὴν ἀγάπην τοῦ Θεοῦ, ὅπως ἀπολαμβάνουν αὐτὴν καὶ οἱ δίκαιοι. «Διότι ὁ Θεὸς δὲν εἶναι προσωπολήπτης, ἀλλ' εἰς κάθε ἔθνος αὐτός, ὁ ὁποῖος φοβεῖται τὸν Θεὸν καὶ ἐργάζεται τὴν δικαιοσύνην, γίνεται δεκτὸς ἀπ' αὐτόν»[2]. Ὥστε, ἐὰν ἐπιθυμοῦμεν, δὲν ὑπάρχει τίποτε ποὺ νὰ ἐμποδίζῃ νὰ ἀπολαύσωμεν καὶ ἡμεῖς τὴν ἰδίαν ἢ καὶ περισσοτέραν θεϊκὴν βοήθειαν. Διότι, ἐὰν μόνον ἰδῇ ἡμᾶς νὰ κάνωμεν ὅ,τι ἠμποροῦμεν καὶ νὰ προτιμῶμεν ἀπὸ τὰ ἀνθρώπινα αὐτὰ τὰ ὁποῖα φαίνονται καλὰ εἰς αὐτόν, τόσην φροντίδα θὰ ἐπιδείξῃ καὶ αὐτὸς ὥστε νὰ μᾶς κάμῃ ἀκατανικήτους εἰς ὅλα. Καθ' ὅσον ἔχομεν ἐχθρόν, ὁ ὁποῖος ἔχει πρὸς ἡμᾶς διαρκῆ καὶ ἀδιάλλακτον ἔχθραν.

Διὰ τοῦτο χρειάζεται νὰ ἀγρυπνῶμεν πολύ, ὥστε νὰ ἠμπορέσωμεν νὰ καταστείλωμεν τὰ τεχνάσματά του καὶ νὰ γίνωμεν ἀνώτεροι ἀπὸ τὰ βέλη του. Δὲν θὰ νικήσωμεν δὲ κατ' ἄλλον τρόπον παρὰ μόνον ἐὰν μὲ τὴν ἀρίστην διαγωγήν μας ἠμπορέσωμεν νὰ προσελκύσωμεν τὴν ἄνωθεν βοήθειαν. Καὶ ἡ ἀρίστη διαγωγὴ εἶναι ὁ καθαρὸς βίος. Καθ' ὅσον αὐτὸ εἶναι ὁ θεμέλιος λίθος καὶ ἡ βάσις

ταβαλλόμενος εὐκολώτερον τῶν ἄλλων ἁπάντων περιέσεται· οὔτε γὰρ χρημάτων ἐπιθυμία τοῦ τοιούτου περιγενήσεται, οὔτε δόξης ἔρως, οὔτε βασκανία, οὔτε ἕτερόν τι τῶν παθῶν. Καὶ πῶς, ἐγὼ λέγω. Ὅταν γάρ τις καιρὸν ἔχῃ τὸ συνειδός, καὶ παντὸς ῥύπου ἀπηλλαγμένον, δυνήσεται καὶ τὸν ἁπάντων Δεσπότην ἔνοικον ἔχειν. «Μακάριοι γὰρ οἱ καθαροί», φησί, «τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται». Ὅταν δὲ ἐκεῖνον ἔνοικον ἔχειν καταξιωθῇ, ὡς ἁπλῶς καὶ εἰκῇ τὸ σῶμα περικείμενος, οὕτω λοιπὸν διακείσεται καὶ πάντων τῶν ἀνθρωπίνων πολλὴν ἐπιδείξεται τὴν ὑπεροψίαν. Ἅπαντα γὰρ τὰ δρώμενα σκιὰ καὶ ὄναρ τῷ τοιούτῳ φανεῖται, καὶ καθάπερ ἐν τῷ οὐρανῷ τὸ πολίτευμα ἔχων, οὕτως οὐδενὸς τῶν παρόντων ἐπιθυμήσει. Τοιοῦτος ἦν Παῦλος ὁ τῆς οἰκουμένης διδάσκαλος· διὸ καὶ ἐβόα λέγων· «Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;». Καὶ πάλιν, «Ζῶ δέ, οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός». Καὶ πάλιν· «Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ». Εἶδες ἄνδρα σῶμα περικείμενον, καὶ ὡς ἐν ἀσωμάτῳ λήξει αὐτὸν τυγχάνοντα, οὕτω πάντα φθεγγόμενον;

4. Τοῦτον ἅπαντες ζηλώσωμεν, καὶ νεκρώσωμεν ἡμῶν τὰ μέλη τῆς σαρκός, καὶ πρὸς τὴν ἁμαρτίαν ἀνενέργητα αὐτὰ ἐργασώμεθα· οὕτω γὰρ μάλιστα αὐτὰ δυνησόμεθα παραστῆσαι τῷ Θεῷ θυσίαν εὐάρεστον. Εἶδες τὸ καινὸν καὶ παράδοξον τῆς θυσίας ταύτης; Ὅταν νεκρὰ γένηται τὰ μέλη, τότε μᾶλλον εὐπρόσδεκτα τῇ θυσίᾳ γίνεται. Τίνος ἕνεκεν καὶ διὰ τί; Ἐπειδὴ πνευματική ἐστιν ἡ θυσία, καὶ οὐδὲν αἰσθητὸν ἔχει. Ἐπὶ μὲν γὰρ τῆς θυσίας τῆς αἰσθητῆς οὐ μόνον τὸ νεκρόν ἐστιν ἀπόβλητον, ἀλλὰ καὶ τὸ ζῶν, εἰ λώβην τινὰ ἔχοι, οὐδὲ τοῦτο εἰς θυσίαν δεκτὸν ἂν γένοιτό ποτε. Καὶ τοῦτο ἐξ ἀρχῆς ἐνομοθετεῖτο οὐχ ἁ-

---

3. Ματθ. 5, 8.
4. Β΄ Κορινθ. 13, 3.
5. Γαλ. 2, 20.

τῆς ἀρετῆς καὶ αὐτὸς πού θεμελιώνει αὐτὸν μὲ ἀσφάλειαν, θὰ ἠμπορέσῃ νὰ ἐπικρατήσῃ εὐκολώτερον ἀπ' ὅλους τούς ἄλλους, διότι οὔτε ἀπὸ τὴν ἐπιθυμίαν τῶν χρημάτων θὰ νικηθῇ αὐτός, οὔτε ἀπὸ τὴν ἀγάπην τῆς δόξης, οὔτε ἀπὸ τόν φθόνον, οὔτε ἀπὸ κάποιο ἄλλο πάθος. Καὶ πῶς, θὰ σᾶς τὸ εἰπῶ ἐγώ. Διότι, ὅταν κάποιος ἔχῃ καθαράν τὴν συνείδησιν καὶ ἀπηλλαγμένην ἀπὸ κάθε ρύπον, θὰ ἠμπορέσῃ νὰ ἔχῃ μέσα του καὶ τὸν Κύριον τοῦ παντός. Διότι λέγε˙ «Μακάριοι αὐτοί, οἱ ὁποῖοι ἔχουν καθαρὰν τὴν καρδίαν των, διότι αὐτοὶ θὰ ἰδοῦν τὸν Θεόν»[3]. Καὶ ὅταν ἀξιωθῇ κανεὶς νὰ ἔχῃ μέσα του ἐκεῖνον, ὡσὰν νὰ φορῇ κατὰ κάποιον τρόπον τὸ σῶμα του, θὰ συμπεριφέρεται ἔτσι καὶ θὰ δείξῃ πολλὴν περιφρόνησιν διά τὰ ἀνθρώπινα. Καθ' ὅσον ὅλα, ὅσα βλέπονται, θὰ φαίνωνται εἰς αὐτὸν τὸν ἄνθρωπον σκιὰ καὶ ὄνειρον καὶ δὲν θὰ ἐπιθυμήσῃ τίποτε ἀπὸ τὰ παρόντα, ὡσὰν νὰ εἶναι πολίτης τῶν οὐρανῶν. Τέτοιος ἦτο ὁ Παῦλος, ὁ διδάσκαλος τῆς οἰκουμένης˙ διὰ τοῦτο ἐφώναζε καὶ ἔλεγε˙ «Ἢ ζητεῖτε νὰ δοκιμάσετε τὸν Χριστόν, ὁ ὁποῖος ὁμιλεῖ μέσα μου;»[4]. Καὶ πάλιν˙ «Δὲν ζῶ πλέον ἐγώ, ἀλλὰ ζῇ μέσα μου ὁ Χριστός»[5]. Καὶ πάλιν ἀλλοῦ˙ «Αὐτὴν τὴν ζωήν, τὴν ὁποίαν ζῶ μέσα εἰς τὸ σῶμά μου τώρα, τὴν ζῶ μὲ τὴν πίστιν». Εἶδες ἄνδρα, ὁ ὁποῖος περιβάλλεται μὲ σῶμα καὶ νὰ ὁμιλῇ ἔτσι δι' ὅλα, ὡσὰν νὰ ἔχῃ γίνει ἀσώματος;

4. Αὐτὸν ἄς ζηλεύσωμεν ὅλοι καὶ ἄς νεκρώσωμεν τὰ μέλη τῆς σαρκὸς καὶ ἄς κάνωμεν αὐτὰ ἀδύνατα εἰς τὸ νὰ κάνουν τὴν ἁμαρτίαν, διότι μὲ αὐτὸν τὸν τρόπον κατ' ἐξοχὴν θὰ ἠμπορέσωμεν νὰ τὰ παρουσιάσωμεν εἰς τὸν Θεὸν ὡς εὐάρεστον θυσίαν. Εἶδες τὸ καινούριον καὶ παράδοξον αὐτῆς τῆς θυσίας; Ὅταν νεκρωθοῦν τὰ μέλη, τότε γίνονται περισσότερον εὐπρόσδεκτα εἰς τὴν θυσίαν. Διὰ ποῖον λόγον καὶ διατί; Ἐπειδὴ ἡ θυσία εἶναι πνευματικὴ καὶ δὲν ἔχει τίποτε τὸ αἰσθητόν. Διότι εἰς τὴν ὑλικὴν θυσίαν ὄχι μόνον τὸ νεκρὸν εἶναι ἀπόβλητον, ἀλλὰ καὶ τὸ ζωντανόν, ἐὰν ἔχῃ κάποιο ἐλάττωμα, οὔτε αὐτὸ θὰ ἦτο δυνατὸν νὰ γίνῃ ποτὲ δεκτὸν εἰς θυσίαν. Καὶ αὐτὸ εἶχε

πλῶς, ἀλλ' ἵνα διὰ τῆς τῶν ἀλόγων παρατηρήσεως κατὰ μικρὸν ἐναχθῶμεν μετὰ τῆς τοσαύτης φυλακῆς τὴν πνευματικὴν ταύτην καὶ λογικὴν θυσίαν προσάγειν. Ὃ γάρ ἐστιν ἐκεῖ λώβη, καὶ τὸ ὠτότμητον καὶ κολοβόκερκον, τοῦτο ἐνταῦθα πονηρία, ἐπιθυμία, ἀσέλγεια, χρημάτων ἔρως καὶ πᾶσα ἁμαρτία· καὶ ὅπερ ἐστὶν ἐκεῖ τὸ ὑγιές, καὶ τὸ πάντη μώμου ἀπηλλαγμένον, τοῦτο ἐνταῦθα τὸ νεκρὸν τῷ κόσμῳ πάντη γεγονότα οὕτω πρὸς τὴν θυσίαν τὴν πνευματικὴν ἐπιτήδειον ἑαυτὸν καταστῆσαι.

Ταῦτα μὴ ἁπλῶς παρατρέχωμεν, ἀλλ' ἐμπηγνύντες αὐτὰ τῇ ἑαυτῶν διανοίᾳ, σπουδάσωμεν μὴ ἐλάττους ὀφθῆναι τῶν Ἰουδαίων τῶν ἐν τῇ σκιᾷ τοσαύτην ἐπιδεικνυμένων παρατήρησιν. Ὥσπερ γὰρ ἐκεῖνοι ἔτι τῷ λύχνῳ παρακαθήμενοι τοσαύτην ἐποιοῦντο τὴν φυλακήν, οὕτως ἡμεῖς, ἐπειδὴ ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης καταυγασθῆναι κατηξιώθημεν, καὶ τὴν σκιὰν καταλιπόντες πρὸς τὴν ἀλήθειαν ἐχειραγωγήθημεν, τὴν ὁμοίαν φυλακὴν ἐπιδειξώμεθα περὶ τὴν πνευματικὴν ταύτην θυσίαν. Καὶ μηδὲ τὰ μικρὰ ἁμαρτήματα νομιζόμενα ἁπλῶς παρατρέχωμεν, ἀλλὰ καθ' ἑκάστην ἡμέραν ἑαυτοὺς εὐθύνας ἀπαιτῶμεν καὶ ῥημάτων καὶ βλεμμάτων, καὶ δίκας ἑαυτοὺς εἰσπραττώμεθα, ἵνα τῆς ἐκεῖθεν κολάσεως ἑαυτοὺς ἐλευθερώσωμεν. Διὰ γὰρ τοῦτο καὶ Παῦλός φησιν· «Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα». Ὥστε, ἐὰν ἑαυτοὺς ἐνταῦθα κατακρίνωμεν ἐπὶ τοῖς καθ' ἑκάστην ἡμέραν ὑφ' ἡμῶν ἁμαρτανομένοις, ὑποτεμνόμεθα τῆς ἐκεῖ κρίσεως τὴν σφοδρότητα. Εἰ δὲ ῥαθυμήσαιμεν, «Κρινόμενοι», φησίν, «ὑπὸ Κυρίου παιδευόμεθα».

Προλαβόντες τοίνυν ἑαυτοὺς καταδικάσωμεν με-

6. Α΄ Κορ. 11, 31.
7. Α΄ Κορ. 11, 31.

νομοθετηθῇ ἐξ ἀρχῆς, ὄχι χωρὶς λόγον, ἀλλὰ διά νὰ ὁδηγηθῶμεν ὀλίγον κατ' ὀλίγον μὲ τὴν παρατήρησιν τῶν ἀλόγων ζώων νὰ προσφέρωμεν μὲ τόσον μεγάλην προσοχὴν τὴν πνευματικὴν καὶ λογικὴν θυσίαν. Διότι αὐτὸ πού ἦτο ἐκεῖ τὸ ἀκρωτηριασμένον καὶ εἶχε κομμένο τὸ αὐτὶ καὶ ἦτο κολοβὸν εἰς τὴν οὐράν, αὐτὸ εἶναι ἐδῶ ἡ πονηρία, ἡ ἐπιθυμία, ἡ ἀσέλγεια, ἡ ὑπερβολικὴ ἀγάπη χρημάτων καὶ κάθε ἁμαρτία. Καὶ αὐτὸ πού ἦτο ἐκεῖ τὸ ὑγιὲς καὶ ἀπηλλαγμένον ἐντελῶς ἀπὸ κάθε ἐλάττωμα, αὐτό εἶναι ἐδῶ ἐκεῖνο τὸ ὁποῖον ἔγινεν ἐντελῶς νεκρὸν διὰ τὸν κόσμον καὶ ἔτσι ἔκαμε τὸν ἑαυτόν του κατάλληλον διὰ τὴν πνευματικὴν θυσίαν.

Αὐτὰ ἂς μὴ τά παρατρέχωμεν χωρὶς προσοχήν, ἀλλ', ἀφοῦ βάλωμεν αὐτὰ καλά εἰς τὸν νοῦν μας, νὰ φροντίσωμεν νὰ μὴ φανῶμεν κατώτεροι τῶν Ἰουδαίων, οἱ ὁποῖοι, ἂν καὶ εὑρίσκοντο εἰς τὴν σκιάν, ἀφοῦ δὲν εἶχον τὸ ἀληθινὸν φῶς, ὅμως ἐφήρμοζον δι' αὐτὸ τόσον μεγάλην διάκρισιν. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνοι ἐπαγρυπνοῦσαν τόσον πολύ, ἂν καὶ ἐφωτίζοντο ἀπὸ τὸν λύχνον, ἔτσι καὶ ἡμεῖς, ἐπειδὴ ἠξιώθημεν νὰ καταφωτισθῶμεν ἀπὸ τὸν ἥλιον τῆς δικαιοσύνης καὶ ἐπειδὴ ὠδηγήθημεν εἰς τὴν ἀλήθειαν, ἀφοῦ ἀφήσαμεν τὴν σκιάν, νὰ ἐπιδείξωμεν τὴν *ἰδίαν* προσοχὴν *διὰ* τὴν *πνευματικὴν* αὐτὴν θυσίαν. Καὶ νὰ μὴ παρατρέχωμεν χωρὶς προσοχὴν οὔτε τὰ θεωρούμενα μικρὰ ἁμαρτήματα, ἀλλὰ νὰ ζητῶμεν καθημερινῶς εὐθύνας ἀπὸ τούς ἑαυτούς μας καὶ διά τοὺς λόγους καὶ διά τὰ βλεπόμενα καὶ νὰ τιμωροῦμεν τούς ἑαυτούς μας, διὰ νὰ ἀπαλλαχθῶμεν ἀπὸ τὴν μέλλουσαν τιμωρίαν. Διὰ τοῦτο ἀκριβῶς καὶ ὁ Παῦλος λέγει· «Διότι ἐὰν ἐκρίνομεν τοὺς ἑαυτούς μας, δὲν θὰ ἐκρινόμεθα ἀπὸ τὸν Θεόν»[6]. Ὥστε, ἐάν κατακρίνωμεν ἐδῶ τούς ἑαυτούς μας, δι' ὅσα ἁμαρτάνομεν κάθε ἡμέραν, θὰ ἐλαττώσωμεν τὴν σφοδρότητα τῆς ἐκεῖ τιμωρίας. Ἐὰν ὅμως συμβῇ νὰ ἀδιαφορήσωμεν, λέγει, «κατακρινόμεθα ἀπὸ τὸν Κύριον, τιμωρούμεθα παιδαγωγικῶς»[7].

Ἂς προλάβωμεν λοιπὸν καὶ ἂς καταδικάσωμεν τοὺς

τὰ πολλῆς τῆς εὐγνωμοσύνης, καὶ μηδενὸς εἰδότος τὸ δικαστήριον τοῦ συνειδότος καθίσαντες, οὕτω βασανίσωμεν ἑαυτῶν τοὺς λογισμούς, καὶ ὀρθὴν τὴν κρίσιν ἐκφέρωμεν, ἵνα τὸν ἐπηρτημένον φόβον δεδοικὼς ὁ λογισμὸς μηκέτι ἀνέχηται ὑποσύρεσθαι, ἀλλὰ τὴν ὁρμὴν ἀναχαιτίζῃ, καὶ τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν προορώμενος ἀποτειχίζῃ τῷ διαβόλῳ τὴν εἴσοδον. Ὅτι γὰρ ἀπὸ ῥαθυμίας ἅπαντα ὑπομένομεν, αὐτὴ βοᾷ τῶν πραγμάτων ἡ πεῖρα. Ὥστε γὰρ ἐὰν μικρὸν διεγερθῆναι βουληθῶμεν, καθάπερ κονιορτὸν οὕτω τούτου τὰς ἐπιβουλὰς ἀποτιναξόμεθα, οὕτως ἐπειδάν ποτε ὑποσκελισθῶμεν, οὐ παρὰ τὴν ἐκείνου τυρρανίδα τοῦτο ὑπομένομεν, ἀλλὰ παρὰ τὴν ῥαθυμίαν τὴν ἡμετέραν. Οὐδὲ γὰρ βίᾳ ἡμῶν περιγίνεται καὶ ἀνάγκῃ, ἀλλ' ἀπάτῃ μόνον. Τοῦ δὲ μὴ ἀπατηθῆναι, εἰ θελήσομεν μικρὸν διεγερθῆναι καὶ νῆψαι, ἡμεῖς κύριοι· οὐκ ἐπειδὴ καθ' ἑαυτοὺς τοσαύτην ἔχομεν τὴν ἰσχύν, ἀλλ' ἐπειδὴ τότε καὶ τῆς ἄνωθεν ἀξιούμεθα ῥοπῆς. Ὅταν γὰρ τὰ παρ' ἑαυτῶν ἐπιδειξώμεθα, καὶ τὰ παρὰ τοῦ Δεσπότου πάντως ἕπεται.

Νήψωμεν οὖν, παρακαλῶ, καὶ εἰδότες τοῦ πονηροῦ τὰς μηχανάς, διηνεκῶς γρηγορῶμεν, καὶ τὸν Θεὸν παρακαλῶμεν συνεφάψασθαι ἡμῖν τῆς πρὸς αὐτὸν πάλης. Οὕτω γὰρ καὶ ἡμεῖς ἀχείρωτοι γενησόμεθα, καὶ τὰς ἐκείνου διαφευξόμεθα μηχανάς, καὶ τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύσομεν, καὶ τῶν αἰωνίων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἑαυτούς μας μὲ πολλὴν εὐγνωμοσύνην, καὶ χωρὶς νὰ γνωρίζῃ κανείς, ἀφοῦ καθίσωμεν εἰς τὸ δικαστήριον τῆς συνειδήσεως, ἔτσι ἂς ἐξετάσωμεν τὰς σκέψεις μας καὶ ἂς κρίνωμεν σωστά, ὥστε φοβουμένη ἡ σκέψις μας διὰ τὴν τιμωρίαν, ἡ ὁποία ἐπικρέμαται, νὰ μὴ ἀνέχεται νὰ σύρεται κάτω ποτὲ πλέον, ἀλλὰ νὰ ἀναχαιτίζῃ τὴν ὁρμὴν καὶ ἀφοῦ βλέπει συνεχῶς πρὸς τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν νὰ κλείῃ ὡσὰν μὲ τεῖχος τὴν εἴσοδον εἰς τὸν διάβολον. Διότι τὸ ὅτι ὑποφέρομεν τὰ πάντα ἀπὸ τὴν ἀδιαφορίαν, μᾶς τὸ φωνάζει δυνατὰ ἡ πεῖρα τῶν πραγμάτων. Ὅπως ἀκριβῶς δηλαδή, ἐὰν θελήσωμεν ὀλίγον νὰ σηκωθῶμεν πνευματικὰ θὰ ἀποτινάξωμεν τότε ὡσὰν σκόνην τὰς ἐπιβουλὰς τοῦ διαβόλου, ἔτσι ἐὰν κάποτε ὑποχωρήσωμεν, δὲν παθαίνομεν αὐτὸ ἀπὸ τὴν δύναμιν ἐκείνου, ἀλλ᾽ ἀπὸ τὴν ἰδικήν μας ἀδιαφορίαν. Καθ᾽ ὅσον δὲν μᾶς νικᾷ διὰ τῆς βίας καὶ ἀναγκαίως, ἀλλὰ μόνον διὰ τῆς ἀπάτης. Τὸ νὰ μὴ ἐξαπατηθῶμεν εἴμεθα ἡμεῖς κύριοι, ἐὰν θελήσωμεν ὀλίγον νὰ εἴμεθα ἄγρυπνοι καὶ νηφάλιοι. Ὄχι ἐπειδὴ ἔχομεν τόσην δύναμιν μόνοι μας, ἀλλ᾽ ἐπειδὴ τότε ἀξιωνόμεθα νὰ ἔχωμεν καὶ τὴν ἄνωθεν βοήθειαν. Διότι ὅταν καταβάλωμεν, ὅ,τι ἐξαρτᾶται ἀπὸ ἡμᾶς, τότε ἀκολουθεῖ ὁπωσδήποτε καὶ ἡ βοήθεια τοῦ Κυρίου.

Ἂς εἴμεθα λοιπόν, παρακαλῶ, προσεκτικοὶ καί, ἀφοῦ γνωρίζομεν τὰ τεχνάσματα τοῦ πονηροῦ, νὰ εἴμεθα πάντοτε ἐπάγρυπνοι καὶ νὰ παρακαλῶμεν τὸν Θεὸν νὰ εἶναι μὲ τὸ μέρος μας κατὰ τὴν πάλην μας ἐναντίον ἐκείνου. Διότι ἔτσι θὰ γίνωμεν καὶ ἡμεῖς ἀκατανίκητοι καὶ θὰ ἀποφύγωμεν τὰ τεχνάσματα ἐκείνου καὶ θὰ ἀπολαύσωμεν τὴν βοήθειαν τοῦ Θεοῦ καὶ θὰ κερδίσωμεν τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι ἡμεῖς νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΑ΄

(Γέν. 37, 2 – 37, 36)

«Αὗται δὲ αἱ γενέσεις Ἰακώβ· Ἰωσὴφ δεκαεπτὰ ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν αὐτοῦ τὰ πρόβατα».

1. Πάλιν ἐπὶ τὴν συνήθη τράπεζαν ὑμᾶς ἀγαγεῖν βούλομαι, καὶ τῆς ἀκολουθίας τῶν πρώην ἡμῖν εἰρημένων λαβόμενος, ἐκ τῶν πρόσφατον ἀναγνωσθέντων τὴν ἑστίασιν ὑμῖν παραθεῖναι ταύτην τὴν πνευματικήν. Ἱκανὰ γὰρ τὰ σήμερον ἀναγνωσθέντα διδάξαι πάντας ἡμᾶς, ὅση τῆς βασκανίας ἐστὶν ἡ λύμη, καὶ ὅπως τὸ ὀλέθριον τοῦτο πάθος τὸ τοῦ φθόνου καὶ μέχρι τῆς συγγενείας αὐτῆς ἐκταθὲν τὴν οἰκείαν ἰσχὺν ἐπεδείξατο. Ἀλλ' ἵνα δόξῃ κατὰ ἀκολουθίαν ὁ λόγος προϊέναι, ἀναγκαῖον αὐτῆς ἅψασθαι τῆς ἀρχῆς τοῦ ἀναγνώσματος. «Αὗται δέ», φησίν, «αἱ γενέσεις Ἰακώβ». Ὅρα τὸν θαυμαστὸν τοῦτον προφήτην, ὅπως ἐπαγγειλάμενος ἡμῖν διηγεῖσθαι τοῦ Ἰακὼβ τὴν γενεαλογίαν, εὐθέως ἐπὶ τὴν ἱστορίαν τοῦ παιδὸς ἀνέδραμε· καὶ εἰπών, «Αὗται αἱ γενέσεις Ἰακώβ», καὶ καταλιπὼν διηγεῖσθαι ἡμῖν ἀκολούθως τούς τε ἐξ αὐτοῦ τεχθέντας, τούς τε ἐξ ἐκείνων πάλιν γεννωμένους (καθάπερ καὶ ἐπὶ τοῦ Ἡσαῦ τοῦτο πεποίηκεν), ἐπὶ τὸν Ἰωσὴφ εὐθέως ἔσπυσε, τὸν νέον, τὸν πάντων τῶν ἀδελφῶν, ὡς εἰπῖν, ἔσχατον, καί φησιν· «Ἰωσὴφ δεκαεπτὰ ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν αὐτοῦ τὰ πρόβατα».

Τίνος ἕνεκεν καὶ τῶν ἐτῶν τὸν ἀριθμὸν ἡμῖν σημαίνει; Ἵνα μάθῃς ὡς οὐδὲν ἡ νεότης κώλυμα γίνεται πρὸς ἀρετήν, καὶ ἵνα ἐκ περιουσίας γνῷς καὶ τοῦ νέου τὴν πρὸς τὸν πατέρα ὑπακοήν, καὶ τὴν πρὸς τοὺς ἀδελφοὺς ὁμόνοιαν, κἀκείνων τὸ ἀνήμερον· καὶ πῶς οὐδὲ πρὸς τὸν οὕτω περὶ αὐτοὺς διακείμενον, καὶ ἀ-

ΟΜΙΛΙΑ ΞΑ΄
(Γέν. 37, 2 — 37, 36)

«Αὐτὴ εἶναι ἡ γενεαλογία τοῦ Ἰακώβ. Ὁ Ἰωσὴφ δὲ εἰς ἡλικίαν δέκα ἑπτὰ ἐτῶν ἐποίμαινε τὰ πρόβατα μαζὶ μὲ τοὺς ἀδελφούς του».

1. Πάλιν ἐπιθυμῶ νὰ σᾶς ὁδηγήσω εἰς τὴν συνηθισμένην πνευματικὴν τράπεζαν καί, ἀφοῦ συνεχίσω αὐτά, τὰ ὁποῖα προηγουμένως εἶπα εἰς σᾶς, νὰ σᾶς παραθέσω αὐτὴν τὴν πνευματικὴν τροφήν, ἐξ ὅσων προσφάτως σᾶς ἀνέγνωσα. Διότι αὐτά, τὰ ὁποῖα ἀνεγνώσαμεν σήμερον, εἶναι ἀρκετὰ νὰ διδάξουν ὅλους ἡμᾶς, πόση εἶναι ἡ βλάβη τοῦ φθόνου καὶ πῶς τὸ ὀλέθριον τοῦτο πάθος τοῦ φθόνου ἐπεκταθὲν καὶ μεταξὺ συγγενῶν ἔδειξε τὴν δύναμίν του. Ἀλλὰ διὰ νὰ φανῇ ἡ συνέχεια τοῦ λόγου εἶναι ἀνάγκη νὰ ἀρχίσωμεν ἀπὸ τὴν ἀρχὴν τοῦ ἀναγνώσματος. «Αὐτὴ εἶναι ἡ γενεαλογία τοῦ Ἰακώβ», καὶ ἀφοῦ ἄφησε νὰ μᾶς διηγηθῇ εἰς τὴν συνέχειαν καὶ τοὺς ὑπ' αὐτοῦ γεννηθέντας καὶ ἐκείνους πάλιν, οἱ ὁποῖοι ἐγεννήθησαν ὑπ' αὐτῶν, (ὅπως ἔκαμε τοῦτο καὶ σχετικὰ μὲ τὸν Ἠσαῦ), ἔσπευσεν ἀμέσως εἰς τὸν Ἰωσήφ, τὸν πιὸ μικρόν, τὸν τελευταῖον ἀπ' ὅλους τοὺς ἀδελφούς, ὅπως θὰ ἐλέγομεν, καὶ λέγει· «Ὁ Ἰωσὴφ δὲ εἰς ἡλικίαν δέκα ἑπτὰ ἐτῶν ἐποίμαινε τὰ πρόβατα μαζὶ μὲ τοὺς ἀδελφούς του».

Διὰ ποῖον λόγον μᾶς φανερώνει καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν; Διὰ νὰ μάθῃς, ὅτι ἡ νεότης δὲν εἶναι καθόλου ἐμπόδιον διὰ τὴν ἀρετὴν καὶ διὰ νὰ μάθῃς περισσότερον καὶ τὴν ὑπακοὴν τοῦ νέου πρὸς τὸν πατέρα, καὶ τὴν ἀγάπην πρὸς τοὺς ἀδελφούς, καὶ ἐκείνων τὴν κακὴν διάθεσιν. Καὶ πῶς, ἐνῷ αὐτὸς εἶχε τοιαύτας διαθέσεις πρὸς αὐτοὺς καὶ ὡς ἐκ τῆς ἡλικίας του ἠμποροῦσε νὰ προσελκύσῃ

πὸ τῆς ἡλικίας αὐτῆς εἰς συμπάθειαν αὐτοὺς ἐφελκύσασθαι δυνάμενον παραφυλάξασθαι τὴν ἀγάπην ἠβουλήθησαν. Ἀλλ' ἐξ αὐτῶν τῶν προοιμίων ὁρῶντες καὶ τοῦ παιδὸς τὸ πρὸς τὴν ἀρετὴν ἐπιρρεπές, καὶ τοῦ πατρὸς τὴν περὶ αὐτὸν εὔνοιαν, εἰς τὴν κατ' αὐτοῦ βασκανίαν διηγείροντο. «Κατήνεγκαν γὰρ Ἰωσὴφ ψόγον πονηρὸν πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτῶν». Ὅρα κακίας ὑπερβολήν, καὶ τὴν τοῦ πατρὸς ἀγάπην διασαλεῦσαι ἐπεχείρουν, καὶ τὰ μὴ ὄντα πλάττονται κατὰ τοῦ ἀδελφοῦ, τοσοῦτο μόνον ἀνύοντες, ὅσον τὸν οἰκεῖον φθόνον κατάδηλον ποιῆσαι. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτο μόνον ἐκέρδαινον, τὸ φανερὰν ἑαυτῶν ποιῆσαι τὴν λανθάνουσαν γνώμην, ὅρα τὸν πατέρα καὶ μετὰ τὴν παρ' αὐτῶν διαβολὴν ἐξεχόμενον τοῦ παιδός, καὶ πάντων αὐτὸν προκρίνοντα.

«Ἰακὼβ δέ», φησίν, «ἠγάπα τὸν Ἰωσὴφ παρὰ πάντα τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρως ἦν αὐτῷ. Ἐποίησε δὲ αὐτῷ χιτῶνα ποικίλον». Τί ἐστιν, «Ἠγάπα τὸν Ἰωσὴφ παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρως ἦν αὐτῷ»; Ἐπειδὴ πρὸς τῷ τέλει, φησί, καὶ ἐν αὐτῷ τῷ γήρᾳ ἦν τεχθείς, διὰ τοῦτο μᾶλλον ἁπάντων αὐτὸν ἠγάπα. Καὶ γὰρ πόθεινά πως εἶναι δοκεῖ τὰ παιδία τὰ πρὸς αὐτῷ τῷ γήρᾳ τικτόμενα, καὶ μᾶλλον ἐπισπάσασθαι δύνανται τὴν πατρικὴν εὔνοιαν. Ἀλλ' ἵνα μάθωμεν, ὅτι οὐ τοῦτο μόνον ἦν τὸ τὸν πατέρα ἐπισπώμενον προτιμᾶν τε αὐτὸν τῶν ἀδελφῶν παρασκευάζον, διδάσκει ἡμᾶς ἡ θεία Γραφή, ὅτι καὶ μετὰ τοῦτον ἕτερος ἐτέχθη· καὶ εἰ κατὰ τὴν φυσικὴν ἀκολουθίαν τὰ τῆς ἀγάπης ἐγίνετο, ἐκεῖνος ἂν μᾶλλον ἠγαπήθη, ἅτε δὴ ἀληθῶς υἱὸς γήρως ὤν, καὶ τότε τεχθείς, ἡνίκα πρὸς ἔσχατον γῆρας ἤλασεν ὁ δίκαιος. Τί οὖν ἐστιν εἰπεῖν; Ὅτι χάρις τις ἦν ἄνωθεν ἡ τὸν νέον ἐπέραστον ποιοῦσα, καὶ διὰ τὴν τῆς ψυχῆς ἀρετὴν πάντων αὐτὸν προτιμότερον ἐργαζομένη· ταύτην δὲ προσκεῖσθαι τὴν αἰτίαν

τὴν συμπάθειάν των, ἠθέλησαν νὰ καπηλευθοῦν τὴν ἀγάπην του. Ἐπειδὴ ὅμως ἔβλεπον, ὅτι καὶ ὁ νέος ἔρρεπεν ἀπὸ τὴν ἀρχὴν πρὸς τὴν ἀρετὴν καὶ ὅτι ὁ πατὴρ του ἠγάπα αὐτόν, ἤρχισαν νὰ τὸν φθονοῦν! «Διότι ἐσυκοφάντησαν τὸν Ἰωσὴφ πρὸς τὸν πατέρα των τὸν Ἰσραήλ». Πρόσεχε τὸ μέγεθος τῆς κακίας, ὅτι προσεπάθουν καὶ τὴν ἀγάπην τοῦ πατρὸς νὰ μεταβάλουν καὶ πλάθουν ἀνύπαρκτα γεγονότα κατὰ τοῦ ἀδελφοῦ των, καὶ ἐκεῖνο μόνον κατορθώνουν, τὸ νὰ κάμουν ὁλοφάνερον τὸν φθόνον των. Καὶ διὰ νὰ μάθῃς, ὅτι αὐτό μόνον ἐκέρδιζον, τὸ νὰ κάμουν φανερὰν δηλαδὴ τὴν κρυφὴν των διάθεσιν, πρόσεξε, ὅτι ὁ πατὴρ των καὶ μετὰ τὴν ὑπ' αὐτῶν διαβολὴν ἠγάπα περισσότερον τὸν Ἰωσὴφ καὶ ὅτι αὐτὸν ἐπροτιμοῦσε περισσότερον ἀπ' ὅλους.

«Καὶ ὁ Ἰακώβ», λέγει, «ἠγάπα τὸν Ἰωσὴφ περισσότερον ἀπ' ὅλα τά τέκνα του, διότι ἦτο υἱὸς τῶν γηρατειῶν του. Καὶ κατεσκεύασε δι' αὐτὸν ποικιλόχρωμον χιτῶνα». Τί σημαίνει, «Ἠγάπα τὸν Ἰωσὴφ περισσότερον ἀπ' ὅλα τὰ τέκνα του, διότι ἦτο υἱὸς τῶν γηρατειῶν του»; Ἐπειδή, λέγει, πρὸς τὸ τέλος τῆς ζωῆς καὶ εἰς τὴν γεροντικὴν ἡλικίαν ἐγέννησεν αὐτόν, διά τοῦτο ἠγάπα αὐτὸν περισσότερον ἀπὸ ὅλους. Καθ' ὅσον πολὺ ποθητὰ φαίνονται, ὅτι εἶναι τά τέκνα, τὰ ὁποῖα γεννῶνται κατὰ τὴν γεροντικὴν ἡλικίαν καὶ ὅτι ἠμποροῦν νὰ ἀποσπάσουν εὐκολώτερον τὴν πατρικὴν ἀγάπην. Ἀλλὰ διὰ νὰ μάθωμεν, ὅτι δὲν ἦτο αὐτὸ μόνον ποὺ ἔκανε τὸν πατέρα νὰ προτιμᾷ αὐτὸν ἀπ' ὅλους τοὺς ἀδελφούς, ἡ ἁγία Γραφὴ μᾶς διδάσκει, ὅτι μετὰ ἀπ' αὐτὸν ἐγεννήθη καὶ ἄλλος. Καὶ ἐὰν ἡ ἀγάπη ἐπήγαινε κατὰ τὴν φυσικὴν σειρὰν τῶν γεγονότων, ἐκεῖνος θὰ ἔπρεπε νὰ ἀγαπηθῇ περισσότερον, ἐπειδὴ ἀκριβῶς αὐτὸς ἦτο υἱὸς τῶν γηρατειῶν του καὶ ἐπειδὴ ἐγεννήθη τότε ποὺ ὁ δίκαιος εἶχε φθάσει εἰς τὸ ἔσχατον γῆρας. Τί λοιπὸν ἠμπορεῖ κανεὶς νὰ εἰπῇ; Ὅτι ἦτο κάποια θεϊκὴ χάρις αὐτή, ἡ ὁποία ἔκανε τὸν νέον ἀξιαγάπητον καὶ καθιστοῦσεν αὐτὸν περισσότερον ἀγαπητὸν ἐξ αἰτίας τῆς ἀρετῆς τῆς ψυχῆς του. Αὐτὴ εἶναι ἡ αἰτία ποὺ προστίθε-

ἐν τῇ Γραφῇ, ὅτι ἐπειδὴ υἱὸς γήρως ἦν αὐτῷ, διὰ τοῦτο αὐτὸν ἠγάπα πλέον, ἵνα μὴ φανερῶς αὐξήσῃ τῶν ἀδελφῶν τὸν φθόνον. Δεινὸν γὰρ τουτὶ τὸ πάθος, καὶ ἐπειδὰν ἐπιλάβηται ψυχῆς, οὐ πρότερον αὐτὴν ἀνίησι, μέχρις ἂν εἰς ἐσχάτην αὐτὴν ἀτοπίαν ἀγάγῃ, καὶ λυμαινόμενον τὴν τεκοῦσαν αὐτὸ ψυχήν, τὸ ἐναντίον ἢ βούλεται τὸ φθονούμενον διατίθησι, λαμπρότερον, ἐνδοξότερον, περιφανέστερον, ὅπερ πάλιν ἑτέρα πληγὴ βαρυτέρα τῷ βασκάνῳ γίνεται.

Σκόπει γοῦν ἐνταῦθα, πῶς ὁ μὲν θαυμάσιος οὗτος οὐδὲν τῶν γινομένων εἰδώς, ἅτε δὴ καθάπερ ἀδελφοῖς καὶ τὰς αὐτὰς ὠδῖνας αὐτῷ λύσασιν οὕτω προσφέρεται, θαρρῶν ἅπαντα καὶ διαλεγόμενος μετὰ πολλῆς τῆς ἁπλότητος, ἐκεῖνοι δὲ ὑπὸ τοῦ τῆς βασκανίας πάθους ἁλόντες, μισεῖν αὐτὸν παρεσκευάζοντο. «Ἰδόντες γάρ», φησίν, «οἱ ἀδελφοί, ὅτι αὐτὸν ὁ πατὴρ φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτόν, καὶ οὐκ ἠδύναντο λαλεῖν αὐτῷ οὐθὲν εἰρηνικόν». Ὅρα πῶς τὸν οὐδὲν ἠδικηκότα μισεῖν ἐπεχείρουν. «Καὶ οὐδέν», φησίν, «ἠδύναντο λαλεῖν αὐτῷ εἰρηνικόν». Τί ἐστιν, «Οὐδὲν ἠδύναντο λαλεῖν αὐτῷ εἰρηνικόν»; Ἐπειδὴ γὰρ ἐκυρίευσεν αὐτῶν τὸ πάθος, καὶ τὸ μῖσος ηὔξετο καθ' ἑκάστην ἡμέραν, καθάπερ αἰχμάλωτοι γενόμενοι καὶ τυραννούμενοι ὑπὸ τοῦ πάθους μετὰ δόλου προσεφέροντο, οὐδὲν εἰρηνικὸν αὐτῷ λαλεῖν δυνάμενοι. Καὶ σκόπει πῶς τὴν αἰτίαν ταύτην ἐσήμανε τοῦ μίσους, ὅτι ἀπὸ τοῦ φθόνου τὴν ἀρχὴν ἐλάμβανεν. «Ἰδόντες γὰρ οἱ ἀδελφοὶ αὐτοῦ», φησίν, «ὅτι ὁ πατὴρ αὐτὸν φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ». Τὸ φίλτρον τοῦ πατρὸς τὸν φθόνον αὐτῷ ἔτεκεν, ἀλλὰ τὴν τοῦ πατρὸς εὔνοιαν ἡ ἀρετὴ τοῦ παιδὸς ἐπεσπάσατο. Δέον τοίνυν ἐκείνους μιμήσασθαι τὸν ἀδελφὸν καὶ ζηλῶσαι τὸν τρόπον, ἵν' οὕτω καὶ αὐτοὶ τὸν πατέρα ἐπισπάσωνται. Τοῦτο μὲν οὐδὲ εἰς

ται εἰς τὴν Γραφήν, ὅτι, ἐπειδὴ ἦτο υἱὸς τῶν γηρατειῶν του, διὰ τοῦτο ἠγάπα περισσότερον αὐτόν, διὰ νὰ μὴ αὐξήσῃ φανερὰ τόν φθόνον τῶν ἀδελφῶν. Καθ' ὅσον εἶναι φοβερὸν αὐτὸ τὸ πάθος καὶ ἐὰν κυριεύσῃ τὴν ψυχήν, δὲν ἐγκαταλείπει αὐτὴν προτοῦ τὴν ὁδηγήσῃ εἰς τὴν πιὸ παράλογον ἐνέργειαν καὶ ἀφοῦ καταστρέψῃ τὴν ψυχήν, ἡ ὁποία ἐγέννησεν αὐτό, καθιστᾷ τὸν φθονούμενον τὸ ἀντίθετον ἀπ' ὅ,τι θέλει, λαμπρότερον, ἐνδοξότερον, ἐπιφανέστερον, πρᾶγμα τὸ ὁποῖον πάλιν γίνεται εἰς τὸν φθονερὸν ἄλλη πληγὴ μεγαλυτέρα.

Πρόσεχε λοιπὸν ἐδῶ, πῶς ὁ μὲν θαυμάσιος Ἰωσήφ, ἐπειδὴ δὲν ἐγνώριζε τίποτε, ἀπ' ὅσα συνέβαινον, συμπεριφέρεται πρὸς αὐτοὺς ὅπως ἀκριβῶς πρὸς ἀδελφούς, οἱ ὁποῖοι ἐγεννήθησαν μὲ τοὺς πόνους τῆς ἰδίας κοιλίας, ἔχων πολὺ θάρρος καὶ συζητῶν μὲ πολλὴν φυσικότητα, ἐνῷ ἐκεῖνοι, ἐπειδὴ κατελήφθησαν ἀπὸ τὸ πάθος τοῦ φθόνου, ἦσαν προδιατεθειμένοι νὰ τὸν μισοῦν. Διότι λέγει, «Ὅταν εἶδον οἱ ἀδελφοί, ὅτι αὐτὸν ὁ πατὴρ ἀγαπᾷ περισσότερον ἀπ' ὅλους τοὺς υἱούς του, ἐμίσησαν αὐτὸν καὶ δὲν ἠμποροῦσαν νὰ ὁμιλήσουν πρὸς αὐτὸν μὲ καλὸν τρόπον». Βλέπε πῶς ἐπεχείρουν νὰ μισοῦν αὐτόν, ὁ ὁποῖος δὲν ἠδίκησε κανένα. «Καὶ δὲν ἠμποροῦσαν», λέγει, «νὰ ὁμιλήσουν πρὸς αὐτὸν μὲ καλὸν τρόπον». Τί σημαίνει, «Δὲν ἠμποροῦσαν νὰ ὁμιλήσουν πρὸς αὐτὸν μὲ καλὸν τρόπον»; Ἐπειδὴ δηλαδὴ ἐκυρίευσεν αὐτοὺς τὸ πάθος καὶ τὸ μῖσος ηὔξανε καθημερινῶς, ὡσὰν νὰ ἔγιναν αἰχμάλωτοι καὶ τυραννούμενοι ἀπὸ τὸ πάθος, συμπεριεφέροντο μὲ δόλον, χωρὶς νὰ ἠμποροῦν νὰ ὁμιλήσουν πρὸς αὐτὸν μὲ καλὸν τρόπον. Καὶ σκέψου πῶς ἐπεσήμανε τὴν αἰτίαν αὐτὴν τοῦ μίσους, ὅτι ἡ ἀρχή της ἦτο ὁ φθόνος. Διότι λέγει· «Εἶδον οἱ ἀδελφοί του, ὅτι ὁ πατὴρ ἀγαπᾷ αὐτὸν περισσότερον ἀπ' ὅλους τοὺς υἱούς του». Ἡ ἀγάπη τοῦ πατρὸς ἐπροξένησεν ἐναντίον του τὸν φθόνον, ἀλλὰ ἡ ἀρετὴ τοῦ παιδὸς ἀπέσπασε τὴν στοργὴν τοῦ πατρός. Ἔπρεπε λοιπὸν ἐκεῖνοι νὰ μιμηθοῦν τὸν ἀδελφὸν καὶ νὰ ζηλεύσουν τὴν συμπεριφοράν του, ὥστε νὰ προσελκύσουν καὶ αὐτοὶ τὸν πατέρα. Τοῦτο

ἔννοιαν λαμβάνουσιν, ἀλλὰ κοινὸν μῖσος περὶ τὸν ὑπὸ τοῦ πατρὸς ἀγαπώμενον ἐπεδείκνυντο. Καὶ ἐκεῖνοι μέν, καθάπερ ἐκπολεμούμενοι, οὕτω λανθάνουσαν ἔσωθεν τὴν πονηρίαν τίκτοντες, οὐδὲν εἰρηνικὸν αὐτῷ διελέγοντο, ἀλλὰ μετὰ δόλου προσεφέροντο, ὁ δὲ θαυμάσιος οὗτος τὴν ἀδελφικὴν εὔνοιαν πρὸς αὐτοὺς ἀποσώζων, καὶ οὐδὲν ὑπιδόμενος, ἅτε δὴ ὡς ἀδελφοῖς ἐθάρρει, καὶ τὰ καθ' ἑαυτὸν ἅπαντα ἀνετίθετο.

2. Τοῦτο τὸ πάθος καὶ ἐξ ἀρχῆς τὸν Κάιν εἰς τὸν κατὰ τοῦ ἀδελφοῦ φόνον ὁρμῆσαι παρεσκεύασε. Καὶ καθάπερ οὗτοι διὰ τὴν εὔνοιαν τοῦ πατρός, ἣν περὶ τὸν παῖδα ἐπεδείκνυτο, μισεῖν αὐτὸν παρεσκευάζοντο, καὶ πολεμεῖν ἐπεχείρουν, καὶ καθ' ἑκάστην ἡμέραν ὤδινον τὴν κατ' αὐτοῦ σφαγήν, τὸν αὐτὸν δὴ τρόπον κἀκεῖνος θεασάμενος ὅτι τὰ παρὰ τοῦ ἀδελφοῦ δῶρα μᾶλλον δεκτὰ γέγονεν, εἰς τὸν κατὰ τοῦ ἀδελφοῦ φόνον ἐκινήθη, καί φησιν, «Ἐξέλθωμεν εἰς τὸ πεδίον». Ὁρᾷς καὶ τοῦτον μηδὲν ὑφορώμενον, ἀλλ' οἷα δὴ ἀδελφῷ πειθόμενον, κατεξιόντα καὶ πάρεργον γινόμενον τῆς μιαρᾶς ἐκείνης δεξιᾶς; Οὕτω δὴ καὶ ὁ θαυμάσιος Ἰωσήφ, οὐκ εἰδὼς τὴν κακὴν τῶν ἀδελφῶν ὁμόνοιαν, ὡς ἀδελφοῖς προσεφέρετο, καὶ τὰ ἐνύπνια, ἅπερ αὐτῷ ὁ Θεὸς ἀπεκάλυπτε, προμηνύων αὐτῷ τὴν περιφάνειαν, ἐν ᾗ γίνεσθαι ἔμελλε, καὶ τῶν ἀδελφῶν τὴν ὑποταγὴν εἰς μέσον προετίθει. «Ἐνυπνιασθεὶς γάρ», φησίν, «ἐνύπνιον ἀπήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εἶπεν αὐτοῖς· ἀκούσατέ μου τοῦ ἐνυπνίου τούτου. Ὤμην ἡμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ, καὶ ἀνέστη τὸν ἐμὸν δράγμα καὶ ἀνωρθώθη· περιστραφέντα δὲ τὰ ὑμέτερα δράγματα προσεκύνησαν τὸ ἐμὸν δράγμα. Εἶπαν δὲ αὐτῷ οἱ ἀδελφοί· μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμᾶς, ἢ κυριεύων κυριεύσεις ἡμῶν; Καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν

1. Γεν. 4, 8.

ὅμως οὔτε κἂν τὸ ἀντιλαμβάνονται, ἀλλὰ ἐφανέρωνον τὸ κοινὸν μῖσος πρὸς αὐτόν, ὁ ὁποῖος ἠγαπᾶτο ὑπὸ τοῦ πατρός. Καὶ ἐκεῖνοι μὲν ὡσὰν νὰ εὑρίσκοντο εἰς πόλεμον, ἔτσι γεννῶντες μέσα των κρυφὴν κακίαν, δὲν ἔλεγον τίποτε τὸ καλὸν εἰς αὐτόν, καὶ συμπεριεφέροντο μὲ δολιότητα, ἀλλ' ὁ θαυμάσιος αὐτός, διατηρῶν τὴν ἀδελφικὴν πρὸς αὐτοὺς ἀγάπην καὶ χωρὶς νὰ ὑποψιάζεται τίποτε, εἶχε τὸ θάρρος πρὸς αὐτοὺς ὡσὰν ἀδελφοὶ ποὺ ἦσαν καὶ τοὺς ἔλεγεν ὅλα τὰ προβλήματά του.

2. Αὐτὸ τὸ πάθος ἀπὸ τὴν ἀρχὴν ἔκανε τὸν Κάϊν νὰ φθάσῃ εἰς τὸν φόνον τοῦ ἀδελφοῦ του. Καὶ ὅπως ἀκριβῶς αὐτοὶ ἐξ αἰτίας τῆς συμπαθείας, τὴν ὁποίαν ὁ πατὴρ εἶχε πρὸς αὐτόν, ἐμίσουν αὐτὸν καὶ ἐπεχείρουν νὰ τὸν πολεμοῦν καὶ κάθε ἡμέραν ἐβασάνιζον τὴν σκέψιν των διὰ τὴν σφαγήν του, κατὰ τὸν ἴδιον τρόπον καὶ ἐκεῖνος, ὅταν εἶδεν, ὅτι τὰ δῶρα τοῦ ἀδελφοῦ του ἔγιναν περισσότερον εὐπρόσδεκτα, παρεκινήθη εἰς τὸν φόνον τοῦ ἀδελφοῦ του, καὶ λέγει, «Ἂς ἐξέλθωμεν διὰ νὰ ὑπάγωμεν εἰς τὴν πεδιάδα»[1]. Βλέπεις, ὅτι καὶ αὐτὸς δὲν ὑποψιάζεται τίποτε, ἀλλὰ δείχνει ἐμπιστοσύνην εἰς τὰ λόγια τοῦ ἀδελφοῦ του καὶ ἐξέρχεται καὶ γίνεται ὑποχείριος τῆς μολυσμένης ἐκείνης χειρός; Κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ὁ θαυμάσιος Ἰωσήφ, χωρὶς νὰ γνωρίζῃ τὴν πονηρὴν συμφωνίαν τῶν ἀδελφῶν του, συμπεριεφέρετο πρὸς αὐτοὺς ὡς πρὸς ἀδελφοὺς καὶ ἀνεκοίνωνε τὰ ὄνειρα, τὰ ὁποῖα ἀπεκάλυπτεν εἰς αὐτὸν ὁ Θεός, προαναγγέλλων εἰς αὐτὸν τὴν ἔνδοξον θέσιν, εἰς τὴν ὁποίαν ἐπρόκειτο νὰ ἀνέλθῃ, καὶ τὴν ὑποταγὴν τῶν ἀδελφῶν του. Διότι λέγει· «Εἶδεν ὁ Ἰωσὴφ ὄνειρον καὶ τὸ ἀνέφερεν εἰς τοὺς ἀδελφούς του καὶ εἶπεν· Ἀκούσατε τὸ ὄνειρόν μου αὐτό. Μοῦ ἐφαίνετο, ὅτι ἐδέναμεν δεμάτια εἰς τὸ μέσον τοῦ κάμπου καὶ ἐσηκώθη τὸ ἰδικόν μου δεμάτι καὶ ἔμεινεν ὄρθιον. Καὶ ἀφοῦ ἐστράφησαν τὰ ἰδικά σας δεμάτια προσεκύνησαν τὸ ἰδικόν μου. Εἶπαν δὲ εἰς αὐτὸν οἱ ἀδελφοί του. Μήπως θὰ γίνῃς βασιλεὺς καὶ θὰ βασιλεύσῃς εἰς ἡμᾶς ἢ κύριος καὶ θὰ μᾶς ἐξουσιάσῃς; Καὶ ἐμίσουν ἀκόμη περισσότερον αὐτὸν ἐξ αἰτίας τῶν ὀνεί-

ἐνυπνίων αὐτοῦ καὶ τῶν ῥημάτων αὐτοῦ». Διὰ τοῦτο καὶ προέλαβε καὶ ἐδίδασκεν ἡμᾶς, ὅτι ἄνωθεν τὸ μῖσος τὸ πρὸς αὐτὸν ἐπεδείκνυντο, ἵνα μὴ νομίσωμεν ἐντεῦθεν ἀρχὴν αὐτοὺς εἰληφέναι τοῦ κατ' αὐτὸν πολέμου. «Προσέθεντο γὰρ ἔτι μισεῖν αὐτόν», ἀντὶ τοῦ, 'πολλῷ πλέον ηὔξανον τὸ μῖσος καὶ τὴν ἔχθραν τὴν κατ' αὐτοῦ'.

Καὶ ὅρα τῆς πηρώσεως τὴν ὑπερβολήν· αὐτοὶ τὸ ὄναρ διακρίνουσιν. Οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὅτι δι' ἄγνοιαν τῶν μελλόντων ἔσεσθαι ἐφθόνουν κατ' αὐτοῦ, ἀλλὰ μαθόντες ἐκ τῶν ὀνειράτων τὰ ἐσόμενα, προσθήκην τοῦ μίσους εἰργάζοντο. Ὢ ἀνοίας ὑπερβολή. Δέον τοῦτο γνόντας μᾶλλον εὔνοιαν περὶ αὐτὸν ἐπιδείξασθαι, καὶ ἐκποδὼν ποιῆσαι τοῦ μίσους τὴν αἰτίαν, καὶ τῆς βασκανίας τὸ πάθος ἐξορίσαι, σκοτωθέντες τὸν λογισμόν, καὶ οὐ συνορῶντες, ὅτι καθ' ἑαυτῶν ἅπαντα διαπράττονται, ἐπὶ πλέον ηὔξανον τὸ κατ' αὐτοῦ μῖσος. Τίνος ἕνεκεν, ὦ ἄθλιοι καὶ ταλαίπωροι, τοσαύτην ἐπιδείκνυσθε τὴν βασκανίαν, οὐκ ἀγνοοῦντες οὔτε τὴν ἀδελφικὴν σχέσιν, οὔτε ὅτι ἡ τῶν ἐνυπνίων ἀποκάλυψις φανερὰν δείκνυσι τοῦ Θεοῦ τὴν περὶ αὐτὸν εὔνοιαν; Μὴ γὰρ δὴ νομίσητε λοιπὸν τὰ παρὰ τοῦ Θεοῦ μηνυθέντα αὐτῷ δυνατὸν εἶναι ἀνατραπῆναι. Καθάπερ γὰρ τοῦ ὀνείρου τὴν διάκρισιν ἐποιήσασθε, οὕτως ἔσται μετ' οὐ πολύ, κἂν μυρία ἐπινοῆσαι βουληθῆτε. Εὐμήχανος γὰρ ὢν καὶ σοφὸς ὁ τῶν ἁπάντων Δεσπότης, καὶ τῆς οἰκείας δυνάμεως δεικνὺς τὴν περιουσίαν, πολλὰ πολλάκις ἀφίησιν ἐν τῷ μεταξὺ κωλύματα γενέσθαι, ἵν' οὕτω, τὰ πάλαι αὐτῷ δόξαντα εἰς ἔργον ἀγαγών, μεγίστην ἀποφήνῃ τῆς δυνάμεως αὐτοῦ τὴν ὑπερβολήν.

Ἀλλὰ τοιοῦτον ἡ βασκανία· οὐδὲν τούτων λογίζεσθαι δύναται, ἀλλ' ὅλως, ὡς εἰπεῖν, αἰχμάλωτος γεγονὸς κατὰ τῆς οἰκείας σωτηρίας ἅπαντα διαπράττεται. Καὶ οὗτοι μὲν προσθήκην μίσους εἰργάζοντο διὰ

ρων του καὶ αὐτῶν ποὺ εἶπεν εἰς αὐτούς». Διὰ τὸν λόγον αὐτὸν ἐπρόλαβεν ἡ Γραφὴ καὶ μᾶς ἐδίδαξεν, ὅτι ἀπὸ τὴν ἀρχὴν ἔδειχναν τὸ μῖσος των πρὸς αὐτόν, διὰ νὰ μὴ νομίσωμεν δηλαδή, ὅτι ἀπ' ἐδῶ ἤρχισαν τὸν ἐναντίον του πόλεμον. «Ἐμίσουν ἀκόμη περισσότερον αὐτόν», λέγει, ἀντὶ τοῦ 'ἐμεγάλωναν ἀκόμη περισσότερον τὸ μῖσος καὶ τὴν ἐναντίον του ἔχθραν'.

Καὶ πρόσεχε τὸ μέγεθος τῆς τυφλώσεώς των. Μόνοι των ἐξηγοῦν τὸ ὄνειρον. Διότι δὲν εἶναι δυνατὸν νὰ εἰποῦμεν, ὅτι ἐφθόνουν αὐτὸν ἀπὸ ἄγνοιαν τῶν ὅσων ἐπρόκειτο νὰ γίνουν, ἀλλ' ὅτι ἐμεγάλωναν τὸ μῖσος των, ὅταν ἔμαθον ἀπ' τὰ ὄνειρα αὐτά, τὰ ὁποῖα ἐπρόκειτο νὰ συμβοῦν. Πὼ πὼ ὑπερβολικὸν μέγεθος ἀφροσύνης. Ἐνῷ ἔπρεπεν, ὅταν ἔμαθον αὐτό, νὰ δείξουν εἰς αὐτὸν περισσοτέραν ἀγάπην καὶ νὰ διώξουν τὴν αἰτίαν τοῦ μίσους καὶ νὰ ἀπομακρύνουν τὸ πάθος τοῦ φθόνου, αὐτοί, ἀφοῦ ἐσκοτίσθη ὁ νοῦς των καὶ δὲν ἐγνώριζον, ὅτι ὅλα ὅσα κάμνουν ἀποβαίνουν εἰς βάρος των, περισσότερον ηὔξανον τὸ ἐναντίον του μῖσος. Διατί, ἄθλιοι καὶ ταλαίπωροι, δείχνετε τόσον φθόνον τὴν στιγμὴν ποὺ δὲν σᾶς εἶναι ἄγνωστη οὔτε ἡ ἀδελφικὴ σχέσις, οὔτε τὸ ὅτι ἡ ἀποκάλυψις τῶν ὀνείρων φανερώνει τὴν πρὸς αὐτὸν ἀγάπην τοῦ Θεοῦ; Μὴ λοιπὸν νομίσετε, ὅτι εἶναι δυνατὸν νὰ ἀλλάξουν αὐτά, τὰ ὁποῖα προανήγγειλεν εἰς αὐτὸν ὁ Θεός. Διότι, ὅπως ἀκριβῶς ἐξηγήσατε τὸ ὄνειρον, ἔτσι θὰ γίνῃ μετὰ ἀπ' ὀλίγον, ἔστω καὶ ἂν θελήσετε νὰ σκεφθῆτε ἐναντίον του μυρίας ἐπιβουλάς. Διότι, ἐπειδὴ εἶναι ἐφευρετικὸς καὶ σοφὸς ὁ Κύριος τῶν πάντων, καὶ τὴν ὑπερβολικὴν δύναμίν του φανερώνει καὶ ἀφήνει νὰ δημιουργηθοῦν πολλὰ ἐμπόδια, ὥστε, ἀφοῦ πραγματοποιήσῃ αὐτὰ τὰ ὁποῖα ἐφάνησαν εἰς αὐτὸν καλά, νὰ ἀποδείξῃ πολὺ μεγάλο τὸ μέγεθος τῆς δυνάμεώς του.

Ἀλλὰ τέτοιος εἶναι ὁ φθόνος. Δὲν ἠμπορεῖ νὰ σκεφθῇ τίποτε ἀπ' αὐτά, ἀλλ', ἀφοῦ, ὅπως θὰ ἐλέγομεν, αἰχμαλωτισθῇ ὁ ἄνθρωπος ἐξ ὁλοκλήρου ἀπ' αὐτόν, πράττει τὰ πάντα ἐναντίον τῆς σωτηρίας του. Καὶ αὐτοὶ μὲν ἐμίσουν περισσότερον αὐτὸν ἐξ αἰτίας τῆς διηγήσεως τοῦ ὀνείρου,

τὴν ἐνυπνίου διήγησιν· ὁ δὲ θαυμάσιος Ἰωσὴφ καὶ ἕτερον ἐνύπνιον θεασάμενος οὐκ αὐτοῖς μόνον, ἀλλὰ καὶ τῷ πατρὶ διηγεῖται, καί φησιν, «Ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. Καὶ ἐπετίμησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ, καὶ εἶπε αὐτῷ· τί τὸ ἐνύπιον τοῦτο ὃ ἐνυπνιάσθης; Ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; Ἐζήλωσαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ, ὁ δὲ πατὴρ διετήρησε τὸ ῥῆμα». Εἰδὼς τὸν τικτόμενον αὐτῷ φθόνον παρὰ τῶν ἀδελφῶν ὁ πατήρ, διὰ τοῦτο ἐπετίμησε τῷ παιδί, καὶ διακρίνει καὶ αὐτὸς τὸ ὄναρ, καὶ στοχαζόμενος παρὰ τοῦ Θεοῦ τὴν ἀποκάλυψιν αὐτῷ γεγενῆσθαι, διετήρει τὸ ῥῆμα.

Ἀλλ' οὐχ οἱ ἀδελφοὶ οὕτως. Ἀλλὰ τί; Πάλιν πολλῷ πλέον ἐζήλωσαν. Τί μεμήνατε; τί ἐξεστηκότων πράγματα διαπράττεσθε; Οὐχ ὁρᾶτε ὅτι ἡ τῶν ἐνυπνίων δευτέρωσις οὐχ ἁπλῶς οὐδὲ εἰκῆ γεγένηται, ἀλλ' ἵνα μαθόντες, ὅτι πάντως ἔσται τὰ προμηνυθέντα, παύσησθε τῆς φονικῆς ὁρμῆς ἐννοήσαντες, ὅτι ἀδυνάτοις ἐπιχειρεῖτε; Ἐχρῆν μὲν οὖν τὴν ἀδελφικὴν σχέσιν καὶ διάνοιαν ἀναλαβόντας, καὶ οἰκείαν κρίνειν εὐδοκίμησιν τὴν τοῦ ἀδελφοῦ μέλλουσαν ἔσεσθαι περιφάνειαν. Ἐπειδὴ δὲ ταύτης ὑμὶν οὐδεὶς λόγος, κἂν ἐκεῖνο λογίσασθαι ἦν ἀκόλουθον, ὅτι οὐ πρὸς αὐτὸν ὑμῖν ὁ πόλεμος, ἀλλὰ πρὸς τὸν ἁπάντων Δεσπότην τὸν ταῦτα αὐτῷ ἤδη ἐκκαλύψαντα. Ἀλλ' οὗτοι μέν, καθάπερ ἔφθην εἰπών, οὐδὲ τὴν φύσιν αὐτὴν αἰδούμενοι, οὔτε τὴν ἄνωθεν γινομένην περὶ αὐτὸν εὔνοιαν ἐν νῷ λαβόντες, τὸ μῖσος καθ' ἑκάστην ἡμέραν ἐπέτεινον, καὶ λανθανόντως τὴν πυρὰν παρ' ἑαυτοῖς ἀνῆπτον, οὐδὲν οὔτε τοῦ πατρός, οὔτε τοῦ νέου τοιοῦτόν τι ὑποπτεύοντος, οὐδ' ὅτι πρὸς τοσαύτην μανίαν ἐλαύνειν ἔμελλον. Διὸ καὶ πορευθέντων τῶν ἀδελφῶν εἰς

ἀλλ' ὁ θαυμάσιος Ἰωσήφ, ἀφοῦ εἶδε καὶ ἄλλο ὄνειρον, διηγεῖται αὐτό ὄχι μόνον εἰς αὐτούς, ἀλλὰ καὶ εἰς τὸν πατέρα του καὶ λέγει· «Μοῦ ἐφάνη ὅτι μὲ ἐπροσκυνοῦσεν ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες. Καὶ ἐπέπληξεν αὐτὸν ὁ πατήρ του καὶ εἶπεν εἰς αὐτόν. Τί σημαίνει αὐτὸ τὸ ὄνειρον ποὺ εἶδες; Ἄραγε θὰ ἔλθωμεν ἐγὼ καὶ ἡ μητέρα σου καὶ οἱ ἀδελφοί σου νὰ σὲ προσκυνήσωμεν σκύπτοντες μέχρι τὸ ἔδαφος; Καὶ οἱ ἀδελφοί του ἐφθόνησαν αὐτόν, ἀλλ' ὁ πατήρ του ἐφύλαττε τὸν λόγον αὐτὸν μέσα του». Ἐπειδὴ ὁ πατήρ των εἶχε μάθει τὸν ἐναντίον τοῦ Ἰωσὴφ φθόνον τῶν ἀδελφῶν του, διὰ τοῦτο ἐπέπληξε τὸν υἱόν του καὶ ἐξετάζει καὶ αὐτὸς τὸ ὄνειρον καὶ συλλογιζόμενος ὅτι ἀπὸ τὸν Θεὸν ἔγινεν εἰς αὐτὸν ἡ ἀποκάλυψις, ἐφύλαττε τοὺς λόγους εἰς τὴν ψυχήν του.

Οἱ ἀδελφοὶ ὅμως δὲν κάμνουν τὸ ἴδιο. Ἀλλὰ τί κάμνουν; Πάλιν πολὺ περισσότερον ἐφθόνησαν αὐτόν. Διατί ἔχετε κυριευθῇ τελείως ἀπὸ τὴν μανίαν; διατί κάνετε αὐτὰ ποὺ κάνουν οἱ παράφρονες; Δὲν βλέπετε, ὅτι ἡ ἐπανάληψις τῶν ὀνείρων δὲν ἔγινεν ἁπλῶς καὶ χωρὶς λόγον, ἀλλ' ἀφοῦ μάθετε, ὅτι , ὅσα προανηγγέλθησαν, θὰ γίνουν ὁπωσδήποτε, νὰ σταματήσετε τὴν φονικὴν ἐπίθεσιν, ἀντιλαμβανόμενοι, ὅτι ἐπιχειρεῖτε τὰ ἀδύνατα; Ἔπρεπε λοιπόν, σκεπτόμενοι λογικὰ καὶ ἀδελφικά, νὰ θεωρήσετε καὶ ἰδικήν σας ἐπιτυχίαν τὴν ἔνδοξον θέσιν, εἰς τὴν ὁποίαν πρόκειται νὰ ἀνέλθῃ ὁ ἀδελφός σας. Ἐπειδὴ ὅμως δὲν γίνεται κανεὶς λόγος δι' αὐτό, ἐκεῖνο τοὐλάχιστον θὰ ἔπρεπε νὰ σκεφθῆτε, ὅτι δηλαδὴ ἡ ἔχθρα σας δὲν ἐστρέφετο ἐναντίον αὐτοῦ, ἀλλ' ἐναντίον τοῦ Κυρίου τῶν πάντων, ὁ ὁποῖος ἤδη ἀπεκάλυψεν εἰς αὐτὸν αὐτά. Ἀλλ' αὐτοὶ μέν, ὅπως προηγουμένως σᾶς εἶπα, χωρὶς νὰ ἐντρέπωνται οὔτε τὴν φύσιν των, ἀφοῦ ἦσαν ἀδελφοί, οὔτε νὰ συλλογίζωνται τὴν ἐκ τοῦ Θεοῦ ἀγάπην δι' αὐτόν, ηὔξανον καθημερινῶς τὸ μῖσος καὶ χωρὶς νὰ γνωρίζουν ἤναπτον τὴν ἐντός των φωτιάν, ἀφοῦ οὔτε ὁ πατὴρ οὔτε ὁ νέος ὑπωπτεύοντο κάτι τέτοιο, οὔτε ὅτι ἐπρόκειτο νὰ φθάσουν εἰς τοιοῦτον σημεῖον παραφροσύνης. Διὰ τοῦτο καὶ ὅταν οἱ ἀδελφοὶ ἐπῆ-

τὰ ποίμνια, «Εἶπεν ὁ πατὴρ τῷ Ἰωσήφ· οὐχ οἱ ἀδελφοί σου ποιμαίνουσιν εἰς Συχέμ; Δεῦρο, ἀποστείλω σε πρὸς αὐτούς. Εἶπε δὲ αὐτῷ· ἰδοὺ ἐγώ». Εἶδες πατρὸς πρὸς παῖδας φιλοστοργίαν; εἶδες παιδὸς ὑπακοήν; «Εἶπε δὲ αὐτῷ· Πορευθεὶς ἴδε εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου, καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι».

3. Ταῦτα δὲ πάντα ἐγίνετο, ἵνα καὶ τοῦ Ἰωσὴφ δειχθῇ ἡ περὶ τοὺς ἀδελφοὺς εὔνοια, κἀκείνων κατάδηλος γένηται ἡ φονικὴ γνώμη. Ἐγίνετο δὲ καὶ τύπος τῶν ἔσεσθαι μελλόντων, καὶ ἐν τῇ σκιᾷ προδιεγράφετο τὰ τῆς ἀληθείας πράγματα. Καὶ ὥσπερ ὁ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς ἀπῄει ἐπισκεψόμενος αὐτούς, κἀκεῖνοι οὐκ αἰδεσθέντες οὔτε τὴν ἀδελφότητα, οὔτε τὴν αἰτίαν τῆς παρουσίας, πρότερον μὲν ἀνελεῖν ἐβουλεύοντο, ἔπειτα δὲ καὶ ἐπίπρασκον τοῖς βαρβάροις, οὕτω καὶ ὁ Δεσπότης ὁ ἡμέτερος τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, παραγέγονεν ἐπισκεψόμενος τὸ τῶν ἀνθρώπων γένος καὶ τὴν ὁμογενῆ ἡμῖν σάρκα ἀναλαβών, καὶ ἀδελφὸς ἡμῶν γενέσθαι καταξιώσας οὕτω παραγέγονε. Καὶ βοᾷ Παῦλος λέγων· «Οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραάμ. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι».

Ἀλλ' οἱ ἀγνώμονες Ἰουδαῖοι τὸν τῶν σωμάτων καὶ τὸν τῶν ψυχῶν ἰατρόν, τὸν μυρία θαύματα καθ' ἑκάστην ἡμέραν ἐργαζόμενον ἀνελεῖν ἐπεχείρουν, καὶ εἰς ἔργον ἤγαγον τὴν φονικὴν αὐτῶν γνώμην, καὶ ἐσταύρωσαν τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν καταδεξάμενον. Ἀλλ' οὗτοι μὲν καὶ ἐπεχείρησαν, καὶ σταυρῷ παραδόντες ἀνεῖλον, ἐκεῖνοι δὲ ἐβουλεύσαντο μέν, οὐκ ἤγαγον δὲ εἰς ἔργον τὰ βουλευθέντα. Ἔδει δὲ τὸν τύπον ἔλαττον ἔχειν τῆς ἀληθείας, ἐπεὶ οὐκ ἂν εἴη ἐκεῖνα τύπος τῶν μετὰ ταῦτα ἐσομένων. Διὰ τοῦτο ἐκεῖ μὲν ὥσπερ ἐν σκιᾷ προεγράφη. Καὶ ἐννόησον τὸ θαῦμα. Οὐκ ἀνεῖ-

---

2. Ἑβρ. 2, 16—17.

γον εἰς τὰ ποίμνια, «Εἶπεν ὁ πατὴρ εἰς τὸν Ἰωσήφ· Οἱ ἀδελφοί σου δὲν βόσκουν τὰ ποίμνια εἰς τὴν Συχέμ; Ἔλα νὰ σὲ ἀποστείλω εἰς αὐτούς. Καὶ εἶπεν ὁ Ἰωσήφ· Ἰδοὺ εἶμαι πρόθυμος». Εἶδες τὴν ἀγάπην τοῦ πατρός πρὸς τὰ τέκνα; Εἶδες καὶ τὴν ὑπακοὴν τοῦ παιδιοῦ; «Καὶ εἶπεν εἰς αὐτόν· Πήγαινε νὰ ἰδῇς, ἐὰν εἶναι καλὰ οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα καὶ ἔλα νὰ μὲ πληροφορήσῃς».

3. Ὅλα δὲ αὐτὰ ἐγίνοντο, διὰ νὰ ἀποδειχθῇ καὶ ἡ ἀγάπη τοῦ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς καὶ νὰ ἀποκαλυφθῇ ἐντελῶς ἡ φονικὴ διάθεσις ἐκείνων. Ἐγίνοντο δὲ αὐτὰ καὶ τύπος τῶν ὅσων ἐπρόκειτο νὰ συμβοῦν καὶ προδιεγράφοντο ὡς ἐν σκιᾷ τὰ πραγματικὰ γεγονότα. Καὶ ὅπως ἀκριβῶς ἐπῆγεν ὁ Ἰωσὴφ νὰ ἐπισκεφθῇ αὐτοὺς καὶ ἐκεῖνοι χωρὶς νὰ ἐντραποῦν, οὔτε διὰ τὸ ὅτι ἦτο ἀδελφὸς οὔτε διὰ τὸν λόγον, διὰ τὸν ὁποῖον τοὺς ἐπεσκέφθη, ἐσκέπτοντο πρῶτον μὲν νὰ τὸν φονεύσουν καὶ ἔπειτα τὸν ἐπώλουν εἰς τοὺς βαρβάρους, κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ ἰδικός μας Κύριος ἐνεργῶν σύμφωνα μὲ τὴν φιλανθρωπίαν του, ἦλθε νὰ ἐπισκεφθῇ τὸ ἀνθρώπινον γένος καί, ἀφοῦ ἔλαβε τὴν ἰδίαν μὲ ἡμᾶς σάρκα καὶ ἀφοῦ μᾶς ἔκαμε τὴν τιμὴν νὰ γίνῃ ἀδελφός μας ἔτσι ἦλθε. Καὶ φωνάζει ὁ Παῦλος καὶ λέγει· «Δὲν ἔρχεται νὰ βοηθήσῃ ἀγγέλους, ἀλλὰ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ. Ὤφειλε λοιπὸν νὰ γίνῃ ὅμοιος κατὰ πάντα μὲ τοὺς ἀδελφούς του»[2].

Ἀλλ᾽ οἱ ἀχάριστοι Ἰουδαῖοι τὸν ἰατρὸν τῶν ψυχῶν καὶ τῶν σωμάτων, αὐτὸν ποὺ κάθε ἡμέραν ἔκαμνεν ἀναρίθμητα θαύματα, ἐπεχείρουν νὰ τὸν φονεύσουν, καὶ ἐπραγματοποίησαν τὴν φονικήν των διάθεσιν, καὶ ἐσταύρωσαν αὐτὸν ποὺ διὰ τὴν ἰδικήν μας σωτηρίαν κατεδέχθη νὰ λάβῃ τὴν μορφὴν δούλου. Ἀλλ᾽ αὐτοὶ μὲν καὶ ἐπεχείρησαν καὶ τὸν ἐφόνευσαν, ἀφοῦ τὸν ἐσταύρωσαν, ἐκεῖνοι ὅμως μόνον ἐσκέφθησαν, ἀλλὰ δὲν ἐπραγματοποίησαν τὰς σκέψεις των. Ἔπρεπε δὲ ὁ τύπος νὰ ὑπολείπεται τῆς ἀληθείας, διότι δὲν θὰ ἠμποροῦσαν νὰ εἶναι ἐκεῖνα τύπος αὐτῶν ποὺ θὰ ἐγίνοντο εἰς τὸ μέλλον. Καὶ διὰ τοῦτο ἐκεῖ ὡς ἐν σκιᾷ προδιεγράφησαν. Καὶ σκέψου τὸ

λον, ἀλλὰ πεπράκασι, καὶ τὸν χιτῶνα τῷ αἵματι τοῦ ἐρίφου μολύναντες ἤγαγον τῷ πατρί, πεῖσαι βουλόμενοι, ὅτι ἀνῃρέθη ὁ παῖς. Ὁρᾷς ὅτι ἅπαντα ταῦτα ἐγίνετο, ἵνα καθάπερ ἐν σκιᾷ οὕτως ἡ εἰκὼν μόνη τῶν πραγμάτων γένηται, καὶ ἡ ἀλήθεια φυλάττηται; Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου τὸ λοιπὸν ἐπανέλθωμεν.

«Ἀπέστειλεν αὐτόν», φησίν, «ὁ πατὴρ αὐτοῦ, καὶ ἦλθεν εἰς Συχέμ. Καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ. Ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος, λέγων· τί ζητεῖς; Ὁ δὲ εἶπε· τοὺς ἀδελφούς μου ζητῶ. Ἀνάγγειλόν μοι, ποῦ βόσκουσι». Σκόπει, πῶς οὗτος μὲν μετὰ σπουδῆς ποιεῖται τῶν ἀδελφῶν τὴν ἐπιζήτησιν, καὶ περιεργάζεται καὶ πολυπραγμονεῖ, καὶ πάντα ποιεῖ ὥστε αὐτοὺς ἰδεῖν. «Εἶπε δὲ αὐτῷ», φησίν, «ἤκουσα αὐτῶν λεγόντων, πορευθῶμεν εἰς Δωθαείμ. Καὶ ἐπορεύθη Ἰωσήφ, καὶ εὗρεν αὐτούς. Προεῖδον δὲ αὐτὸν μακρόθεν πρὸ τοῦ ἐγγίσαι αὐτόν, καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν». Ἐννόει μοι ἐνταῦθα τοῦ Θεοῦ τὴν εὐμήχανον σοφίαν, ὅπως οὗτοι μὲν εἰς τὸν κατ' αὐτοῦ φόνον εἶχον τὴν ὁρμήν· ὁ δὲ πάντα ποιῶν καὶ μετασκευάζων συγχωρεῖ τὰ ἐν μέσῳ πάντα κωλύματα γενέσθαι, ἵνα τὸν οἰκεῖον ἀθλητὴν λαμπρότερον ἀποδείξας, ὕστερον ἐπαγάγῃ τῶν ὀνειράτων τὴν ἔκβασιν. «Προεῖδον», φησίν, «αὐτὸν καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν. Εἶπε δὲ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ· ἰδοὺ ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται· νῦν οὖν δεῦτε, ἀποκτείνωμεν αὐτόν, καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων, καὶ ἐροῦμεν, θηρίον πονηρὸν κατέφαγεν αὐτόν, καὶ ὀψόμεθα τί ἔσται τὰ ἐνύπνια αὐτοῦ».

Εἶδες, ὅτι τῶν ἐνυπνίων τὴν ἔκβασιν προσδοκῶντες ἀνελεῖν αὐτὸν ἐπεχείρουν; Ἀλλ' ἵνα μάθωσιν, ὅτι οὐχ οἷόν τε τὰ παρὰ τοῦ Θεοῦ προαγορευθέντα μὴ εἰς ἔργον ἐλθεῖν, καὶ βουλεύονται καὶ ἐπιχειροῦσι, καὶ τὰ τῆς οἰκείας πονηρίας ἐπιδείκνυνται· καὶ ὁ σοφὸς καὶ εὐμήχανος Θεὸς αὐτοὺς ἐπιβουλεύοντας ὑ-

θαῦμα. Δὲν ἐφόνευσαν, ἀλλ' ἐπώλησαν αὐτὸν καὶ τὸν χιτῶνα του, ἀφοῦ τὸν ἔβαψαν μὲ τὸ αἷμα τοῦ ἐριφίου, τὸν ἔφεραν εἰς τὸν πατέρα των, ἐπειδὴ ἤθελον νὰ τὸν πείσουν, ὅτι ὁ νέος ἐφονεύθη. Βλέπεις ὅτι ὅλα αὐτὰ ἐγίνοντο διὰ νὰ μείνῃ μόνη ἡ εἰκὼν τῶν πραγμάτων ὡς ἐν σκιᾷ καὶ νὰ διαφυλάσσεται ἡ ἀλήθεια; Ἀλλ' ἄς ἐπανέλθωμεν πλέον εἰς τὴν συνέχειαν τῆς ὁμιλίας.

«Ἔστειλεν αὐτόν», λέγει, «ὁ πατήρ του καὶ ἦλθεν εἰς τὴν Συχέμ. Καὶ εὗρεν αὐτὸν κάποιος ἄνθρωπος νὰ περιπλανᾶται εἰς τὴν πεδιάδα. Ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος· Τί ζητεῖς; Καὶ αὐτὸς εἶπε· Ζητῶ τοὺς ἀδελφούς μου. Εἰπέ μου, ποῦ βόσκουν τὰ ποίμνια». Πρόσεχε, πῶς αὐτὸς μὲ ἐπιμέλειαν ἀναζητᾷ τοὺς ἀδελφοὺς καὶ ἐρευνᾷ καὶ ἐπιμένει καὶ τὰ πάντα κάνει, διὰ νὰ εὕρῃ αὐτούς. «Εἶπε δὲ εἰς αὐτόν», λέγει. Ἤκουσα αὐτοὺς νὰ λέγουν· ἄς ὑπάγωμεν εἰς τὴν Δωθαείμ. Καὶ ἐπῆγεν ὁ Ἰωσὴφ καὶ εὗρεν αὐτούς. Ἐκεῖνοι δὲ εἶδον αὐτὸν ἐνωρίτερον ἀπὸ μακρυὰ προτοῦ πλησιάσῃ καὶ ἐσκέφθησαν πονηρὰ νὰ τὸν φονεύσουν». Σκέψου ἐδῶ, παρακαλῶ, τὴν ἐφευρετικὴν σοφίαν τοῦ Θεοῦ, πῶς, ἐνῷ αὐτοὶ εἶχον τὴν διάθεσιν νὰ φονεύσουν αὐτόν, αὐτὸς ὅμως ποὺ κάνει καὶ μεταβάλλει τὰ πάντα, ἀφήνει νὰ ἔλθουν εἰς τὸ μέσον ἐμπόδια, ὥστε, ἀφοῦ ἀποδείξῃ τὸν ἰδικόν του ἀγωνιστὴν λαμπρότερον, νὰ πραγματοποιήσῃ ἔπειτα τὰ ὄνειρα. «Εἶδον ἀπὸ μακρυὰ αὐτόν», λέγει, «καὶ ἐσκέφθησαν πονηρὰ νὰ τὸν φονεύσουν. Καὶ εἶπεν ὁ ἕνας ἀδελφὸς πρὸς τὸν ἄλλον. Ἰδοὺ ἔρχεται αὐτός, ὁ ὁποῖος εἶδε τὰ ὄνειρα. Τώρα λοιπὸν ἐλᾶτε νὰ φονεύσωμεν αὐτὸν καὶ νὰ τὸν ρίψωμεν εἰς ἕνα ἀπ' τοὺς λάκκους καὶ θὰ εἰποῦμεν, ὅτι κάποιο ἄγριον θηρίον ἔφαγεν αὐτὸν καὶ θὰ ἴδωμεν ἔτσι, τί ἀξίζουν τὰ ὄνειρά του».

Εἶδες ὅτι ἐπεχείρησαν νὰ τὸν φονεύσουν, ἐπειδὴ ἐπερίμεναν τὴν πραγματοποίησιν τῶν ὀνείρων; Ἀλλὰ διὰ νὰ μάθουν, ὅτι δὲν εἶναι δυνατὸν νὰ μὴ πραγματοποιηθοῦν αὐτά, τὰ ὁποῖα προεῖπεν ὁ Θεός, καὶ σκέπτονται καὶ προσπαθοῦν καὶ δείχνουν τὴν κακίαν των. Καὶ ὁ σοφὸς καὶ ἐφευρετικὸς Θεὸς καὶ ὅταν αὐτοὶ σκέπτωνται κακὰ

πηρετήσασθαι καὶ ἄκοντας παρασκευάζει πρὸς τὴν οἰκονομίαν τῶν μελλόντων ἔσεσθαι. Ἐπειδὴ γὰρ συνεφώνησαν πρὸς τὸν κατ' αὐτοῦ φόνον, καὶ τῇ γνώμῃ τὴν σφαγὴν ἤδη ἐπεδείξαντο, «Ἀκούσας», φησί, «Ρουβὴν ἐξείλετο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν καὶ εἶπεν· οὐ πατάξωμεν αὐτὸν εἰς ψυχήν· μὴ ἐκχέητε αἷμα· ἐμβάλλετε αὐτὸν εἰς τὸν λάκκον τοῦτον τὸν ἐν τῇ ἐρήμῳ, χεῖρα δὲ μὴ ἐπενέγκητε αὐτῷ· ὅπως ἐξέληται αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀποδῷ αὐτὸν τῷ πατρὶ αὐτοῦ». Ὅρα καὶ τοῦτον πῶς οὐ τολμᾷ φανερῶς ἐξελέσθαι τὸν ἀδελφόν, ἀλλὰ τέως τὴν φονικὴν αὐτῶν ὁρμὴν ἀναχαιτίσαι βουλόμενός φησι, «Μὴ ἐκχέητε αἷμα, ἀλλ' ἐμβάλλεε αὐτὸν εἰς τὸν λάκκον». Καὶ διδάξαι ἡμᾶς βουλομένη ἡ θεία Γραφὴ τὸν σκοπὸν τοῦ Ρουβήν, φησί, «ταῦτα δὲ ἐποίει, ὅπως ἐξέληται αὐτὸν καὶ ἀποδῷ πατρὶ αὐτοῦ».

«Καὶ τούτων ταῦτα βουλομένων οὐδέπω ὁ Ἰωσὴφ ἦν παραγεγονώς, ἀλλὰ μετὰ τὸ πληρωθῆναι ταύτην αὐτῶν τὴν διάλεξιν «Ἦλθε», φησίν, «Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ». Δέον τοίνυν ἐκείνους προσδραμεῖν τῷ ἀδελφῷ καὶ περιπτύξασθαι, καὶ μαθεῖν τὰ παρὰ τοῦ πατρὸς αὐτοῖς δηλωθέντα, οἱ δὲ καθάπερ τινὲς ἄγριοι θῆρες ἀρνίον θεασάμενοι ἐπιπηδῶσι, καὶ «Ἐξέδυσαν», φησί, «τὸν Ἰωσὴφ τὸν χιτῶνα τὸν ποικίλον καὶ λαβόντες αὐτὸν ἔρριψαν εἰς τὸν λάκκον. Ὁ δὲ λάκκος ἦν κενός, ὕδωρ οὐκ ἔχων». Καθάπερ συνεβούλευσεν ὁ Ρουβήν, οὕτως ἐποίησαν· καὶ ῥίψαντες αὐτόν, «Ἐκάθισαν τοῦ φαγεῖν ἄρτον». Ὢ τῆς ὠμότητος, ὢ τῆς ἀπανθρωπίας. Ἐκεῖνος μὲν τοσαύτην ὁδὸν διήνυσε, καὶ μετὰ τοσαύτης σπουδῆς τὴν ἐπιζήτησιν αὐτῶν ἐποιήσατο, ὥστε καὶ ἰδεῖν τοῦ ἀπαγγεῖλαι τῷ πατρὶ τὰ κατ' αὐτούς, ἐκεῖνοι δὲ καθάπερ βάρβαροί τινες καὶ ἀνήμεροι, ἐπειδὴ συνεβουλεύθησαν ὑπὸ τοῦ Ρουβὴν μὴ ἐκχέειν τοῦ ἀδελφοῦ τὸ αἷμα, τὸν διὰ τοῦ λιμοῦ θάνατον αὐτῷ κατεσκεύαζον. Ἀλλ' ὁ φιλάνθρωπος Θεὸς

τούς κάνει νὰ ὑπηρετήσουν καὶ χωρὶς τὴν θέλησίν των τὴν οἰκονομίαν, τῶν ὅσων πρόκειται νὰ συμβοῦν. Ἀφοῦ δηλαδὴ συνεφώνησαν νὰ τὸν φονεύσουν καὶ ἤδη ἐπραγματοποίησαν μὲ τὴν σκέψιν των τὴν σφαγήν, «Ἤκουσεν ὁ Ρουβήν», λέγει, «τὴν ἀπόφασιν καὶ ἔβγαλεν αὐτὸν ἀπὸ τὰ χέρια των καὶ εἶπε· Δὲν θὰ ἀφαιρέσωμεν τὴν ζωήν του. Μὴ χύνετε αἷμα. Ρίψατε αὐτὸν εἰς τὸν λάκκον αὐτὸν τῆς ἐρήμου καὶ μὴ ἁπλώσετε τὸ χέρι σας ἐπάνω του. Ἔλεγεν αὐτά, διὰ νὰ ἐλευθερώσῃ αὐτὸν ἐκ τῶν χειρῶν των καὶ διὰ νὰ παραδώσῃ αὐτὸν εἰς τὸν πατέρα του». Πρόσεχε ὅτι καὶ αὐτὸς δὲν τολμᾷ φανερὰ νὰ σώσῃ τὸν ἀδελφόν του, ἀλλ' ἐπειδὴ προηγουμένως ἤθελε νὰ ἐμποδίσῃ τὴν φονικὴν διάθεσιν αὐτῶν λέγει, «Μὴ χύνετε αἷμα, ἀλλὰ ρίψατε αὐτὸν εἰς τὸν λάκκον». Καὶ θέλοντας νὰ μᾶς ἐξηγήσῃ ἡ ἁγία Γραφὴ τὸν σκοπὸν τοῦ Ρουβήν, λέγει ἔκανε αὐτὰ «Διὰ νὰ ἐλευθυερώσῃ αὐτὸν καὶ νὰ τὸν παραδώσῃ εἰς τὸν πατέρα του».

Καὶ ἐνῷ αὐτοὶ ἐσκέπτοντο αὐτά, ὁ Ἰωσὴφ δὲν εἶχε πλησιάσει ἀκόμη, ἀλλὰ μετὰ ἀφοῦ τελείωσεν ἡ συνομιλία των, λέγει, «Ἦλθεν ὁ Ἰωσὴφ πλησίον τῶν ἀδελφῶν του». Ἔπρεπε λοιπὸν ἐκεῖνοι νὰ τρέξουν εἰς τὸν ἀδελφὸν καὶ νὰ τὸν ἀγκαλιάσουν καὶ νὰ μάθουν αὐτά, τὰ ὁποῖα παρήγγειλεν εἰς αὐτοὺς ὁ πατήρ των, ἀλλ' αὐτοὶ ὅπως ἀκριβῶς τὰ ἄγρια θηρία ποὺ βλέπουν ἀρνίον, ὁρμοῦν ἐπάνω του, καὶ «Ἔβγαλαν», λέγει, «ἀπ' τὸν Ἰωσὴφ τὸν ποικιλόχρωμον χιτῶνα καί, ἀφοῦ ἐπῆραν αὐτόν, τὸν ἔρριψαν εἰς τὸν λάκκον. Ὁ δὲ λάκκος ἦτο ξηρός, ἐπειδὴ δὲν εἶχε νερό». Ὅπως ἀκριβῶς τούς συνεβούλευσεν ὁ Ρουβήν, ἔτσι καὶ ἔκαμαν. Καὶ ἀφοῦ ἔρριψαν αὐτὸν «Ἐκάθισαν νὰ φάγουν». Πώ, πὼ μέγεθος σκληρότητος, πώ, πὼ μέγεθος ἀπανθρωπίας. Ἐκεῖνος διήνυσε τόσην ἀπόστασιν καὶ τοὺς ἔψαξε μὲ τόσην προθυμίαν, ὥστε καὶ νὰ τοὺς ἰδῇ καὶ νὰ ἀναγγείλῃ εἰς τὸν πατέρα τί κάνουν, αὐτοὶ ὅμως ὡς βάρβαροι καὶ ἄγριοι, ἐπειδὴ ἐδέχθησαν τὴν συμβουλὴν τοῦ Ρουβὴν νὰ μὴ χύσουν τὸ αἷμα τοῦ ἀδελφοῦ, ἡτοίμαζον εἰς αὐτὸν τὸν διὰ τῆς πείνης θάνατον. Ἀλλ' ὁ φιλάνθρωπος Θεὸς

ταχέως αὐτὸν ἐρρύσατο τῆς τῶν ἀδελφῶν μανίας. «Καθίσαντες γάρ», φησί, «φαγεῖν ἄρτον, εἶδον ὁδοιπόρους Ἰσμαηλίτας ἐρχομένους, καὶ ἐπὶ τὴν Αἴγυπτον τὴν ὁρμὴν ἔχοντας. Καὶ εἶπεν Ἰούδας· τί χρήσιμον, ἐὰν ἀποκτείνωμεν τὸν ἀδελφὸν ἡμῶν, καὶ κρύψωμεν τὸ αἷμα αὐτοῦ; Δεῦτε, ἀποδώμεθα αὐτὸν τοῖς Ἰσμαηλίταις τούτοις· αἱ δὲ χεῖρες ἡμῶν μὴ ἔστωσαν ἐπ' αὐτόν, ὅτι ὁ ἀδελφὸς ἡμῶν καὶ σὰρξ ἡμῶν ἐστιν».

4. Ὅρα πῶς καὶ πρότερον ὁ Ρουβὴν ἐλάττονι κακῷ τὸ μεῖζον ἐκώλυσε, καὶ νῦν πάλιν ὁ Ἰούδας πραθῆναι συμβουλεύει τὸν ἀδελφόν, ὥστε τῆς σφαγῆς αὐτὸν ἐξαρπάσαι. Τοῦτο δὲ ὅλον ἐγένετο, ἵνα πληρωθῇ καὶ ἀκόντων αὐτῶν τὰ παρὰ τοῦ Θεοῦ προρρηθέντα καὶ ὑπηρετοῦνται τῇ οἰκονομίᾳ. «Καὶ δεξάμενοι», φησί, «τὴν συμβουλὴν τοῦ Ἰούδα, ἀναβιβάσαντες αὐτὸν ἀπὸ τοῦ λάκκου, ἀπέδοντο αὐτὸν τοῖς Ἰσμαηλίταις εἴκοσι χρυσῶν». Ὢ συναλλάγματος παρανόμου, ὢ κέρδους ὀλεθρίου, ὢ πράσεως ἀδικωτάτης. Τὸν τὰς αὐτὰς ὑμῖν ὠδῖνας λύσαντα, τὸν οὕτω τῷ πατρὶ περιπόθητον, τὸν εἰς ἐπίσκεψιν ὑμετέραν παραγενόμενον, τὸν οὐ μικρόν, οὐ μέγα ποτὲ ὑμᾶς ἀδικήσαντα, πιπράσκειν ἐπιχειρεῖτε, καὶ πιπράσκειν βαρβάροις ἀνθρώποις καὶ εἰς τὴν Αἴγυπτον κατιοῦσι; Τίς ἡ τοσαύτη μανία; τίς ὁ φθόνος; τίς ἡ βασκανία; Εἰ μὲν γὰρ τὰ ὀνείρατα δεδοικότες τοῦτο ποιεῖτε, ὡς πεπεισμένοι ὅτι δὴ πάντως ἔσται, τίνος ἕνεκεν ἀδυνάτοις ἐπιχειρεῖτε, καὶ διὰ τῶν παρ' ὑμῶν γινομένων τὸν πρὸς τὸν Θεὸν πόλεμον ἐπιδείκνυσθε, τὸν ταῦτα αὐτῷ προαγορεύσαντα; Εἰ δὲ οὐδὲν ἡγεῖσθε τὰ ὀνείρατα, ἀλλὰ λῆρον αὐτὰ εἶναι νομίζετε, διὰ τί ταῦτα διαπράττεσθε, ἃ διηνεκῆ ὑμῖν τὴν κηλῖδα προξενήσει, καὶ πένθος ἀδιάλειπτον ἀπεργάσεται τῷ πατρί;

Ἀλλ' ὢ τῆς ὑπερβολῆς τοῦ πάθους, μᾶλλον δὲ τῆς μιαιφόνου γνώμης. Ὅταν γάρ τις ἐκδῷ ἑαυτὸν

ἀπήλλαξεν αὐτὸν ταχέως ἀπὸ τὴν μανίαν τῶν ἀδελφῶν. Διότι λέγει, «Μόλις ἐκάθισαν νὰ γευματίσουν, εἶδον νὰ ἔρχωνται ταξιδιῶται Ἰσμαηλῖται, οἱ ὁποῖοι κατηυθύνοντο πρὸς τὴν Αἴγυπτον. Καὶ εἶπεν ὁ Ἰούδας. Τί θὰ ὠφεληθῶμεν, ἐὰν φονεύσωμεν τὸν ἀδελφόν μας καὶ κρύψωμεν τὴν δολοφονίαν του; Ἂς πωλήσωμεν αὐτὸν εἰς τοὺς Ἰσμαηλίτας αὐτοὺς καὶ ἂς μὴ βάλωμεν τὰ χέρια μας ἐπάνω εἰς αὐτόν, διότι εἶναι ἀδελφός μας καὶ αἷμα μας».

4. Πρόσεχε πῶς καὶ προηγουμένως ὁ Ρουβὴν μὲ τὸ μικρότερον κακὸν ἠμπόδισε τὸ μεγαλύτερον, καὶ τώρα, πάλιν ὁ Ἰούδας συμβουλεύει νὰ πωληθῇ ὁ ἀδελφός, ὥστε νὰ τὸν σώσῃ ἀπὸ τὴν σφαγήν. Ὅλα δὲ αὐτὰ ἔγιναν, διὰ νὰ ἐκπληρωθοῦν, ἔστω καὶ χωρὶς νὰ θέλουν αὐτοί, αὐτὰ ποὺ εἶχε προαναγγείλει ὁ Θεός, καὶ ἐξυπηρετοῦν τὴν θείαν οἰκονομίαν. «Καὶ ἀφοῦ ἐδέχθησαν», λέγει, «τὴν συμβουλὴν τοῦ Ἰούδα, ἀνέβασαν αὐτὸν ἀπὸ τὸν λάκκον καὶ τὸν ἐπώλησαν εἰς τοὺς Ἰσμαηλίτας ἀντὶ εἴκοσι χρυσῶν». Πώ, πὼ παράνομη συναλλαγή, πώ, πὼ κέρδος ὀλέθριον, πώ, πὼ ἀδικωτάτη πώλησις! Αὐτὸν ποὺ ἐγεννήθη μὲ τοὺς ἰδίους πόνους μὲ σᾶς, αὐτὸν ποὺ ὁ πατέρας σας πολὺ ἠγάπα, αὐτὸν ποὺ ἦλθε διὰ νὰ σᾶς ἐπισκεφθῇ, αὐτὸν ποὺ οὔτε ὀλίγον οὔτε πολὺ σᾶς ἠδίκησεν, αὐτὸν ἐπιχειρεῖτε νὰ πωλήσετε καὶ νὰ πωλήσετε μάλιστα εἰς ἀνθρώπους βαρβάρους οἱ ὁποῖοι κατεβαίνουν εἰς τὴν Αἴγυπτον; Διατί τόση μανία; διατί τόσος φθόνος; διατί τόση ζηλοφθονία; Ἐὰν μὲν κάμνετε αὐτό, φοβούμενοι τὰ ὄνειρα, ἀφοῦ ἔχετε πεισθῆ, ὅτι θὰ πραγματοποιηθοῦν ὁπωσδήποτε, διατί ἐπιχειρεῖτε τὰ ἀδύνατα καὶ μὲ αὐτὰ ποὺ κάνετε, δείχνετε τὴν ἔχθραν σας πρὸς τὸν Θεόν, ὁ ὁποῖος προανήγγειλεν ὅλα αὐτὰ εἰς αὐτόν; Καὶ ἂν δὲν ὑπολογίζετε καθόλου τὰ ὄνειρα, ἀλλὰ θεωρεῖτε, ὅτι αὐτὰ εἶναι παραληρήματα, διατί κάνετε αὐτά, τὰ ὁποῖα θὰ σᾶς προξενήσουν παντοτεινὸν στίγμα καὶ θὰ προκαλέσουν ἀδιάλειπτον πένθος εἰς τὸν πατέρα σας;

Ἀλλ' ὅμως τί ὑπερβολικὸν πάθος, μᾶλλον δὲ τί αἱμοχαρὴς διάθεσις! Διότι ὅταν κάποιος παραδώσῃ τὸν ἑαυ-

κατά τινα ἄτοπον πρᾶξιν, καὶ ὑποβρύχιος γένηται ὑπὸ τῆς τῶν λογισμῶν ἀτοπίας, οὐ τὸν ἀκοίμητον λαμβάνει πρὸ ὀφθαλμῶν ὀφθαλμόν, οὐ τὴν φύσιν αὐτὴν αἰδεῖται, οὐχ ἕτερόν τι τῶν δυναμένων αὐτὸν εἰς συμπάθειαν ἀγαγεῖν, ὅπερ καὶ οὗτοι πεπόνθασιν· οὐχ ὅτι ἀδελφὸς ἦν, οὐχ ὅτι νέος, οὐχ ὅτι περιπόθητος τῷ πατρί, οὐχ ὅτι ἄπειρος ὢν τῆς ἐν ξένῃ διαγωγῆς, καὶ τῆς ἐν ἀλλοτρίᾳ διατριβῆς, τοσαύτην μέλλει χώραν διαβαίνειν, καὶ βαρβάροις συνοικεῖν· ἀλλὰ πάντα σώφρονα λογισμὸν ἀπωσάμενοι, ἑνὸς μόνου ἐγίνοντο, τοῦ τὸν οἰκεῖον φθόνον, ὡς ἐνόμιζον, τέως εἰς ἔργον ἀγαγεῖν. Καὶ ἐκεῖνοι μὲν τῇ γνώμῃ ἀδελφοκτόνοι γεγόνασιν, ὁ δὲ ταῦτα παθὼν ὑπ' αὐτῶν ἅπαντα γενναίως ὑπέμενεν. Ἡ γὰρ ἄνωθεν χεὶρ ἦν αὐτὸν ἡ φρουροῦσα, καὶ πάντα τὰ δυσχερῆ ῥάδια καὶ εὔκολα ἐργαζομένη. Ὅταν γὰρ τῆς ἄνωθεν εὐνοίας ἀπολαύωμεν, κἂν ἐν μέσῳ βαρβάρων ὦμεν, κἂν ἐπ' ἀλλοτρίας, τῶν οἴκοι διατριβόντων καὶ πάσης ἀπολαυόντων θεραπείας ἄμεινον διάγειν δυνάμεθα· ὥσπερ κἂν ἐπὶ τῆς οἰκίας διατρίβωμεν, κἂν πάσης ἀνέσεως ἀπολαύειν δοκῶμεν, ἔρημοι δὲ ὦμεν τῆς ἄνωθεν βοηθείας, πάντων ἐσμὲν ἐλεεινότεροι. Πολλὴ γὰρ καὶ τῆς ἀρετῆς ἡ ἰσχύς, καὶ τῆς κακίας ἡ ἀσθένεια· καὶ τοῦτο μάλιστα δείκνυσιν ἡμῖν αὕτη ἡ ἐν χερσὶν ἱστορία. Τίνας γάρ, εἰπέ μοι, ἐλεεινοὺς καὶ μυρίων δακρύων ἀξίους κρίνεις, τοὺς τοσαῦτα κακὰ ἐργασαμένους τὸν ἀδελφόν, ἢ τὸν ὑπὸ τῇ δουλείᾳ τῶν βαρβάρων γεγενημένον; Δηλονότι τούτους.

Ἐννόει γάρ μοι λοιπὸν τὸν θαυμάσιον ἐκεῖνον, τὸν μετὰ τοσαύτης δορυφορίας ἀνατραφέντα, καὶ ὑπὸ ταῖς ἀγκάλαις ταῖς πατρικαῖς διηνεκῶς γεγενημένον, ἀθρόον ἀναγκαζόμενον δουλείαν χαλεπὴν ὑφίστασθαι, καὶ δουλείαν παρὰ βαρβάροις ἀνδράσι, καὶ

τόν του διὰ νὰ κάμῃ κάποιαν παράλογον πρᾶξιν καὶ πνιγῇ ἀπὸ τὰς πονηρὰς σκέψεις, δὲν λαμβάνει ὑπ' ὄψιν του τὸν ἀκοίμητον ὀφθαλμόν, οὔτε τὴν φύσιν ἐντρέπεται, οὔτε κάτι ἄλλο ποὺ ἠμπορεῖ νὰ τὸν ὁδηγήσῃ εἰς τὴν ἀγάπην, πρᾶγμα τὸ ὁποῖον ἔπαθον καὶ αὐτοί. Οὔτε ὅτι ἦτο ἀδελφός, ἔλαβον ὑπ' ὄψιν, οὔτε ὅτι ἦτο νέος, οὔτε ὅτι ἦτο πολὺ ἀγαπητὸς εἰς τὸν πατέρα, οὔτε ὅτι, ἐνῷ δὲν ἤξευρε τὰς συνηθείας εἰς τὴν ξένην χώραν, οὔτε τὴν ζωὴν εἰς αὐτήν, ἐπρόκειτο νὰ βαδίσῃ τόσην χώραν καὶ νὰ κατοικήσῃ μαζὶ μὲ βαρβάρους. Ἀλλ' ἀφοῦ ἔδιωξαν κάθε συνετὴν σκέψιν, δι' ἕνα μόνον ἐνδιεφέροντο, διὰ νὰ πραγματοποιήσουν δηλαδή, ὅπως ἐνόμιζον, τὸν φθόνον των. Καὶ ἐκεῖνοι μὲν κατὰ τὴν σκέψιν εἶχον γίνει ἀδελφοκτόνοι, αὐτὸς ὅμως ποὺ ἔπαθεν αὐτὰ ἀπ' αὐτοὺς ὑπέμενε τὰ πάντα μὲ γενναιότητα. Καθ' ὅσον τὸ χέρι τοῦ Θεοῦ ἦτο αὐτὸ ποὺ ἐφρούρει αὐτὸν καὶ ποὺ ἔκαμνεν ὅλα τὰ δύσκολα εὔκολα καὶ κατορθωτά. Διότι ὅταν ἀπολαμβάνωμεν τὴν βοήθειαν τοῦ Θεοῦ, ἔστω καὶ ἂν εὑρισκώμεθα ἐν μέσῳ βαρβάρων, εἴτε εἰς ξένην χώραν, ἠμποροῦμεν νὰ ζῶμεν καλύτερον ἀπ' αὐτούς, οἱ ὁποῖοι εὑρίσκονται εἰς τὴν οἰκίαν των καὶ ἀπολαμβάνουν ὅλας τὰς ἀνέσεις. Ὅπως πάλιν, ἂν ζῶμεν εἰς τὴν οἰκίαν μας καὶ νομίζωμεν, ὅτι ἀπολαμβάνομεν κάθε ἄνεσιν, στερούμεθα ὅμως τῆς βοηθείας τοῦ Θεοῦ, εἴμεθα οἱ πιὸ ἐλεεινοὶ ἀπ' ὅλους τοὺς ἀνθρώπους. 1 Καθ' ὅσον μεγάλη εἶναι ἡ δύναμις τῆς ἀρετῆς καὶ ἡ ἀδυναμία τῆς κακίας. Καὶ αὐτὸ μᾶς τὸ ἀποδεικνύει κατ' ἐξοχὴν ἡ ἐξεταζομένη ἱστορία. Διότι εἰπέ μου, ποίους θεωρεῖς ἐλεεινοὺς καὶ ἀξίους ἀπείρων δακρύων, αὐτοὺς ποὺ τόσα κακὰ ἔκαμαν εἰς τὸν ἀδελφόν των, ἢ αὐτὸν ποὺ ἔγινε δοῦλος τῶν βαρβάρων; Εἶναι ὁλοφάνερον ὅτι αὐτοὺς θεωρεῖς.

Σκέψου λοιπόν, σὲ παρακαλῶ, ὅτι ὁ θαυμάσιος ἐκεῖνος, ὁ ὁποῖος ἀνετράφη ἀπὸ τόσους ὑπηρέτας καὶ ἦτο διαρκῶς εἰς τὰς ἀγκάλας τοῦ πατρός, ἀναγκάζεται αἰφνιδίως νὰ ὑποστῇ τὴν δυσάρεστον δουλείαν καὶ μάλιστα δουλείαν εἰς βαρβάρους ἄνδρας, οἱ ὁποῖοι δὲν συμπερι-

θηρίων οὐδὲν ἄμεινον διακειμένοις. Ἀλλ' ὁ τῶν ἁπάντων Δεσπότης ἦν ὁ καὶ ἐκείνους ἡμέρους ἐργαζόμενος, κἀκείνῳ πολλὴν διδοὺς τὴν ὑπομονήν. Καὶ ἀποδόμενοι τὸν ἀδελφόν, ὡς εἰς τέλος ἀγαγόντες τὸν οἰκεῖον σκοπόν, οὕτω λοιπὸν διέκειντο, ἐκποδὼν ποιησάμενοι τὸν ὑπ' αὐτῶν φθονούμενον. «Ἀνέστρεψε δέ», φησί, «Ρουβὴν ἐπὶ τὸν λάκκον, καὶ οὐχ ὁρᾷ τὸν Ἰωσήφ· καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἀνέστρεψε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ εἶπε, τὸ παιδάριον οὐκ ἔστιν, ἐγὼ δὲ ποῦ πορεύσομαι ἔτι;». Ἐπειδὴ γὰρ ἐδίδαξεν ἀνωτέρω ἡ θεία Γραφή, ὅτι διὰ τοῦτο συνεβούλευσε Ρουβὴν εἰς τὸν λάκκον τὸν αὐτοῦ ἀδελφὸν ἐμβληθῆναι, ὥστε καὶ τῶν χειρῶν αὐτὸν ἐξελέσθαι τῶν φονικῶν, καὶ ἀποδοῦναι τῷ πατρί· νῦν, φησίν, ἰδών, ὅτι διήμαρτε τοῦ σκοποῦ, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἶπε· «Τὸ παιδάριον οὐκ ἔστιν, ἐγὼ δὲ ποῦ πορεύσομαι ἔτι;». Ποίαν, φησίν, ἕξομεν ἀπολογίαν, καὶ μάλιστα ὁ δοκῶν ὑμῶν πρωτεύειν ἐγώ; Ἐνόμιζε γὰρ αὐτὸν ἀνῃρῆσθαι. Ἀλλ' ἐπειδὴ τὸ σπουδαζόμενον αὐτοῖς ἐγεγόνει, καὶ τὸν μισούμενον εἰς τὴν ἀλλοτρίαν ἐξέπεμψαν γῆν, καὶ τὸν φθόνον τὸν οἰκεῖον οὕτως ἠδυνήθησαν παραμυθήσασθαι, λοιπὸν πᾶσαν μηχανὴν ἐπιδείκνυνται, ὥστε παρακρούσασθαι τὸν πατέρα, καὶ μὴ κατάδηλον αὐτῷ γενέσθαι τὴν κακὴν συμφωνίαν.

«Καὶ σφάξαντες», φησίν, «ἔριφον αἰγῶν, καὶ μολύναντες τὸν χιτῶνα τῷ αἵματι, εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν καὶ εἶπον· ἐπίγνωθι, εἰ χιτὼν τοῦ υἱοῦ σού ἐστιν, ἢ οὔ». Τί ἀπατᾶτε ἑαυτούς, ὦ ἀνόητοι; Κἂν γὰρ τὸν πατέρα δυνηθῆτε παρακρούσασθαι, ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ λήσεσθε, ὃν μάλιστα πάντων δεδοικέναι ἐχρῆν. Ἀλλὰ τοιοῦτον ἡ ἀνθρωπίνη φύσις, μᾶλλον δὲ τοιοῦτον ἡ ῥαθυμία τῶν πολλῶν· τὸν παρὰ τῶν ἀνθρώπων φόβον καὶ τὴν τούτων αἰσχύνην τὴν πρὸς τὸ παρὸν μόνον περὶ πολλοῦ ποιούμενοι, οὐ λαμβάνουσιν ἔννοιαν τοῦ δικαστηρίου ἐκείνου τοῦ

φέροντο καλύτερον ἀπὸ θηρία. Ἀλλ᾽ ὁ Κύριος τοῦ παντὸς ἦτο αὐτός, ὁ ὁποῖος ἔκανεν ἐκείνους ἡμέρους καὶ εἰς ἐκεῖνον ἔδιδε πολλὴν ὑπομονήν. Καὶ ἀφοῦ ἐπώλησαν τὸν ἀδελφόν των, ὡσὰν νὰ εἶχον ἐκπληρώσει τὸν σκοπόν των, ἔτσι συμπεριεφέροντο, ἀφοῦ ἔβγαλαν ἀπὸ ἀνάμεσά τους αὐτὸν ποὺ ἐφθόνουν. «Ἐπέστρεψε δέ», λέγει, «Ὁ Ρουβὴν εἰς τὸν λάκκον καὶ δὲν εἶδε τὸν Ἰωσήφ. Καὶ διέρρηξε τὰ ἐνδύματά του καὶ ἐπέστρεψε πάλιν εἰς τοὺς ἀδελφοὺς του καὶ εἶπεν. Ὁ μικρὸς δὲν εἶναι μέσα εἰς τὸν λάκκον. Ποῦ θὰ ὑπάγω ἐγὼ τώρα;». Ἐπειδὴ λοιπὸν μᾶς ἐξήγησεν ἀνωτέρω ἡ ἁγία Γραφή, ὅτι διὰ τοῦτο συνεβούλευσεν ὁ Ρουβὴν νὰ ρίξουν τὸν ἀδελφόν του εἰς τὸν λάκκον, διὰ νὰ ἠμπορέσῃ δηλαδὴ νὰ τὸν γλυτώσῃ ἀπὸ τὰ φονικὰ χέρια των καὶ νὰ τὸν δώσῃ πίσω εἰς τὸν πατέρα του, δι᾽ αὐτὸ τώρα, λέγει, ποὺ εἶδεν, ὅτι ἔπεσεν ἔξω εἰς τοὺς ὑπολογισμούς του, διέρρηξε τὰ ἐνδύματά του καὶ εἶπεν· «Ὁ μικρὸς δὲν εἶναι μέσα εἰς τὸν λάκκον. Ποῦ θὰ ὑπάγω ἐγὼ τώρα;». Ποίαν ἀπολογίαν, λέγει, θὰ ἔχωμεν καὶ μάλιστα πρῶτος ἐγώ, ὁ ὁποῖος θεωροῦμαι πρωτότοκος; Ἔλεγεν αὐτά, ἐπειδὴ ἐνόμιζεν, ὅτι αὐτὸς εἶχε φονευθῆ. Ἀλλ᾽ ὅταν ἔγινεν αὐτό, τὸ ὁποῖον ἐπεδίωκον, καὶ ἔστειλαν εἰς τὴν ξένην χώραν αὐτὸν ποὺ ἐμισεῖτο καὶ ἠμπόρεσαν ἔτσι νὰ ἱκανοποιήσουν τὸν πόθον των, εἰς τὸ ἑξῆς μηχανεύονται τὰ πάντα, διὰ νὰ παραπλανήσουν τὸν πατέρα καὶ νὰ μὴ φανερωθῇ ἡ πονηρή των συμφωνία.

«Καὶ ἀφοῦ ἔσφαξαν», λέγει, «ἕνα ἐρίφιον καὶ ἀφοῦ ἔβαψαν τὸν χιτῶνα μὲ αἷμα, ἔφεραν αὐτὸν εἰς τὸν πατέρα των καὶ εἶπον. Ἐξέτασε, ἐὰν εἶναι ὁ χιτὼν τοῦ υἱοῦ σου ἢ ὄχι». «Τί ἀπατᾶτε τοὺς ἑαυτούς σας, ἀνόητοι; Διότι, καὶ ἂν ἠμπορέσετε νὰ παραπλανήσετε τὸν πατέρα, ὅμως δὲν θὰ ἀποφύγετε τὸν ἀκοίμητον ὀφθαλμόν, τὸν ὁποῖον θὰ ἔπρεπε νὰ φοβῆσθε περισσότερον ἀπὸ κάθε τι. Ἀλλὰ τέτοια εἶναι ἡ ἀνθρωπίνη φύσις, ἢ μᾶλλον τέτοια εἶναι ἡ ἀμέλεια τῶν πολλῶν. Ἐνῷ ὑπολογίζουν τὸν φόβον ἀπὸ τοὺς ἀνθρώπους καὶ τὴν ἐκ μέρους των ἐντροπήν, δὲν σκέπτονται καθόλου τὸ φοβερὸν ἐκεῖνο δικαστήριον καὶ

φοβεροῦ, καὶ τῆς κολάσεως τῆς ἀφορήτου, ἀλλ' ἑνὸς μόνου γίνονται, πῶς τὴν παρὰ τῶν ἀνθρώπων μέμψιν διαφυγεῖν δυνηθῶσιν, ὃ δὴ καὶ οὗτοι πεπόνθασι, καὶ τὸν πατέρα ἀπατᾶν ἐπιχειροῦσιν. «Ἐπέγνω γάρ», φησί, «τὸν χιτῶνα ὁ πατήρ, καὶ εἶπε· χιτὼν τοῦ υἱοῦ μού ἐστι· θηρίον πονηρὸν κατέφαγεν αὐτόν, θηρίον ἥρπασε τὸν Ἰωσήφ». Καὶ γὰρ ἀληθῶς, καθάπερ θηρίοις περιπεσών, οὕτως ἀνηλεῶς ἅπαντα ὑπέμεινε. «Διέρρηξε δὲ τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέθετο σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς». Πόσων ἂν εἶεν οὗτοι δακρύων ἄξιοι, οὐχ ὅτι τὸν ἀδελφὸν τοῖς βαρβάροις πεπράκασι μόνον, ἀλλ' ὅτι καὶ τὸν πατέρα ἐν ἐσχάτῳ γήρᾳ λοιπὸν ὄντα τοσούτῳ πένθει περιέβαλον; «Συνήχθησαν δέ», φησίν, «υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες παρακαλέσαι αὐτόν, καὶ οὐκ ἤθελε, λέγων, ὅτι καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου».

5. Οἶμαι καὶ τοῦτο πληγὴν ἑτέραν ἐκείνοις γεγενῆσθαι. Ἑώρων γάρ, ὅτι καὶ πρὸς τὸν μὴ παρόντα, μᾶλλον δὲ καὶ νομιζόμενον ὑπὸ θηρίων ἀνῃρῆσθαι, οὕτως ἀκμάζοντα τὸν πόθον ἐπιδείκνυται, καὶ πλέον ὑπὸ τοῦ φθόνου κατετήκοντο. Ἀλλ' οὗτοι μὲν καὶ πρὸς τὸν ἀδελφὸν καὶ πρὸς τὸν πατέρα ὠμοὶ γεγονότες οὐδεμιᾶς ἂν εἶεν συγγνώμης ἄξιοι· οἱ δὲ Μαδιηναῖοι καὶ αὐτοὶ πάλιν ὑπηρετοῦσι τῇ τοῦ Θεοῦ οἰκονομίᾳ, καὶ πάλιν ἀποδίδονται τὸν Ἰωσὴφ Πετεφρῇ τῷ ἀρχιμαγείρῳ τοῦ Φαραώ. Εἶδες, πῶς ὁδῷ κατὰ μικρὸν πρόεισι, καὶ διὰ πάντων τὴν οἰκείαν ἀρετὴν καὶ τὴν ὑπομονὴν ἐπιδείκνυται, ἵν' οὕτω καθάπερ ἀθλητὴς γενναίως ἀγωνισάμενος, ἀναδήσηται τῆς βασιλείας τὸν στέφανον, καὶ τῶν ὀνειράτων ἡ ἔκβασις εἰς ἔργον ἐξελθοῦσα, δι' αὐτῆς τῆς πείρας διδάξῃ τοὺς πεπρακότας, ὡς οὐδὲν αὐτοῖς ὄφελος γέγονε τῆς τοσαύτης μηχανῆς. Τοσαύτην γὰρ ἡ ἀρετὴ ἔχει τὴν ἰσχύν, ὡς καὶ πολεμουμένην αὐτὴν

τὴν ἀφόρητον τιμωρίαν, ἀλλὰ δι' ἕνα μόνον ἐνδιαφέρονται, πῶς θὰ ἠμπορέσουν δηλαδὴ νὰ ἀποφύγουν τὴν κατηγορίαν ἀπὸ τοὺς ἀνθρώπους, πρᾶγμα τὸ ὁποῖον ἔπαθον καὶ αὐτοὶ καὶ ἐπιχειροῦν νὰ ἐξαπατήσουν τὸν πατέρα των. Διότι λέγει, «Ἐγνώρισε ὁ πατὴρ τὸν χιτῶνα καὶ εἶπεν· Ὁ χιτὼν αὐτὸς εἶναι τοῦ υἱοῦ μου. Ἄγριον θηρίον κατεσπάραξεν αὐτόν, θηρίον θὰ ἥρπασε τὸν Ἰωσήφ». Καθ' ὅσον πράγματι μὲ τόση ἀπανθρωπία ὑπέμεινε τὰ πάντα, ὡσὰν νὰ εἶχε περιπέσει εἰς θηρία. «Καὶ διέσχισε τὰ ἐνδύματά του ὁ Ἰακὼβ καὶ ἔβαλε σάκκον εἰς τὴν μέσην του καὶ εἶχε πένθος διὰ τὸν υἱόν του ἐπὶ πολλὰς ἡμέρας». Πόσων δακρύων θὰ ἦσαν ἄξιοι αὐτοί, ἀφοῦ ὄχι μόνον ἐπώλησαν τὸν ἀδελφόν των, ἀλλὰ καὶ τὸν πατέρα, ἂν καὶ εὑρίσκετο εἰς τὸ βαθὺ γῆρας, τὸν ἔρριψαν εἰς βαρὺ πένθος; «Συνεκεντρώθησαν δέ», λέγει, «οἱ υἱοὶ καὶ αἱ θυγατέρες του διὰ νὰ τὸν παρηγορήσουν, ἀλλ' αὐτὸς δὲν ἤθελε παρηγορία, λέγων, θὰ κατεβῶ μὲ θρήνους εἰς τὸν ἅδην κοντὰ εἰς τὸν υἱόν μου».

5. Νομίζω ὅτι καὶ αὐτὸ ἔγινεν εἰς ἐκείνους ἄλλη πληγή. Διότι ἔβλεπον, ὅτι καὶ πρὸς τὸν ἀπόντα Ἰωσήφ, εἰς αὐτὸν ποὺ ἐθεωρεῖτο ὅτι εἶχε φονευθῆ ἀπὸ ἄγρια θηρία, ἔδειχνε πολλὴν ἀγάπην καὶ ἔτσι περισσότερον ἔλειωναν ἀπὸ τὸν φθόνον. Ἀλλ' αὐτοὶ μέν, ἀφοῦ ἀπεδείχθησαν σκληροὶ καὶ πρὸς τὸν ἀδελφὸν καὶ πρὸς τὸν πατέρα των, οὐδεμιᾶς συγγνώμης θὰ ἠμποροῦσαν νὰ ἀξιωθοῦν, οἱ δὲ Μαδιηναῖοι πωλοῦν μὲ τὴν σειρά τους τὸν Ἰωσὴφ εἰς τὸν Πετεφρῆ τὸν ἀρχιμάγειρον τοῦ Φαραὼ καὶ ἐξυπηρετοῦν πάλιν τὸ σχέδιον τοῦ Θεοῦ. Εἶδες πῶς προχωρεῖ ὀλίγον κατ' ὀλίγον εἰς τὸν δρόμον του καὶ ἀποδεικνύει μὲ τὰ πάντα τὴν ἀρετὴν καὶ τὴν ὑπομονήν του, οὕτως ὥστε, ἀφοῦ ἀγωνισθῆ γενναίως ὡς ἀθλητής, νὰ φορέσῃ τὸν στέφανον τῆς βασιλείας καί, ἀφοῦ πραγματοποιηθοῦν τὰ ὄνειρα, νὰ διδάξῃ μὲ τὴν πρᾶξιν εἰς τοὺς πωλητάς, ὅτι δὲν ὠφέλησαν καθόλου τὸν ἑαυτόν των μὲ τὴν τόσην μηχανορραφίαν. Καθ' ὅσον ἡ ἀρετὴ ἔχει τόσην δύναμιν, ὥστε νὰ συμβαίνῃ καὶ ὅταν ἀκόμη πολεμῆται νὰ ἀποδεικνύεται

συμβαίνειν ἐπὶ πλέον περιφανεστέραν γίνεσθαι. Οὐδὲν γὰρ ταύτης ἰσχυρότερον, οὐδὲν αὐτῆς δυνατώτερον· οὐκ ἐπειδὴ αὐτὴ καθ' ἑαυτὴν τοσαύτην ἔχει τὴν ἰσχύν, ἀλλ' ἐπειδὴ ὁ ταύτην κεκτημένος καὶ τῆς ἄνωθεν ἀπολαύει ῥοπῆς· τῆς δὲ ἄνωθεν ἀπολαύων ῥοπῆς, καὶ τῆς ἐκεῖθεν ἀξιούμενος συμμαχίας, πάντων ἂν εἴη δυνατώτερος, καὶ ἀχείρωτος, καὶ ἀνάλωτος οὐκ ἀνθρώπων μόνον ἐπιβουλαῖς, ἀλλὰ καὶ ταῖς τῶν δαιμόνων μηχαναῖς.

Ὅπερ εἰδότες μὴ φεύγωμεν τὸ κακῶς πάσχειν, ἀλλὰ τὸ κακῶς ποιεῖν· τοῦτο γάρ ἐστι τὸ κακῶς πάσχειν. Ὁ γὰρ τὸν πλησίον κακῶς διαθεῖναι ἐπιχειρῶν, ἐκεῖνον μὲν οὐδὲ ὅλως κατέβλαψεν (εἰ γὰρ καὶ πρὸς ὀλίγον κατέβλαψεν, ἐν τῷ παρόντι αἰῶνι τοῦτο πεποίηκεν), ἑαυτῷ δὲ τὰς ἀθανάτους κολάσεις ταμιεύεται, καὶ τὰς τιμωρίας τὰς ἀφορήτους, ἃς οὐκ ἂν ἑτέρως διαφυγεῖν δυνηθείημεν, εἰ μὴ παρασκευάσαιμεν ἑαυτοὺς ἑτοίμους πρὸς τὸ πάσχειν κακῶς, καί, κατὰ τὴν διδαχὴν τοῦ Δεσπότου, εὐχώμεθα ὑπὲρ τῶν ταῦτα ἡμῖν διατιθέντων. Τοῦτο γὰρ ἡμῖν πολὺν προξενήσει τὸν μισθὸν καὶ παρασκευάσει τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

περισσότερον λαμπρή. Διότι δὲν ὑπάρχει τίποτε ἰσχυρότερον ἀπ' αὐτήν, τίποτε δυνατώτερον. Ὄχι ἐπειδὴ μόνη της ἔχει τόσην δύναμιν, ἀλλ' ἐπειδὴ αὐτὸς ποὺ ἔχει αὐτὴν ἀπολαμβάνει καὶ τὴν οὐράνιον βοήθειαν· ἀλλ' ἀφοῦ ἀπολαμβάνει τὴν οὐράνιον βοήθειαν καὶ γίνεται ἄξιος τῆς θείας συμμαχίας, θὰ εἶναι δυνατώτερος ἀπὸ ὅλους καὶ ἀκατανίκητος καὶ ἀκατάβλητος ὄχι μόνον ἀπὸ τὰς ἐπιβουλὰς τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἀπὸ τὰς μηχανορραφίας τῶν δαιμόνων.

Ἔχοντες ὑπ' ὄψιν αὐτό, ἂς μὴ ἀποφεύγωμεν τὸ νὰ ὑποφέρωμεν, ἀλλὰ τὸ νὰ βλάπτωμεν. Διότι αὐτὸ σημαίνει τὸ νὰ κακοπαθοῦμεν. Καθ' ὅσον αὐτὸς ποὺ προσπαθεῖ νὰ βλάψῃ τὸν πλησίον του, ἐκεῖνον μὲν καθόλου δὲν τὸν βλάπτει (καὶ ἂν ἀκόμη τὸν ἔβλαψεν ὀλίγον, αὐτὸ τὸ κάμνει εἰς τὴν παροῦσαν ζωήν), ἐνῷ διὰ τὸν ἑαυτόν του ἀποταμιεύει τοὺς ἀθανάτους κολασμοὺς καὶ τὰς τιμωρίας τὰς ἀφορήτους, τὰς ὁποίας δὲν θὰ ἠμπορέσωμεν νὰ ἀποφύγωμεν μὲ ἄλλον τρόπον, παρὰ μόνον ἐὰν προετοιμάσωμεν τοὺς ἑαυτούς μας νὰ εἶναι ἕτοιμοι νὰ ὑποστοῦν κακοπαθήματα, καὶ ἐάν, σύμφωνα μὲ τὴν διδασκαλίαν τοῦ Κυρίου, εὐχώμεθα ὑπὲρ αὐτῶν, οἱ ὁποῖοι ἔχουν δι' ἡμᾶς τέτοιου εἴδους διαθέσεις. Καθ' ὅσον αὐτὸ θὰ μᾶς δώσῃ μεγάλην ἀμοιβὴν καὶ θὰ μᾶς προετοιμάσῃ νὰ γίνωμεν ἄξιοι τῆς βασιλείας τῶν οὐρανῶν, τὴν ὁποίαν εἴθε νὰ κερδίσωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΒ΄

(Γέν. 38, 2 - 39, 22)

«*Καὶ εἶδεν Ἰούδας θυγατέρα ἀνθρώπου Χαναναίου ᾗ ὄνομα Σαύα, καὶ ἔλαβεν αὐτήν, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἤρ*».

1. Ἱκανῶς ἡμᾶς πρῴην ἡ κατὰ τὸν Ἰωσὴφ ἱστορία ἐδίδαξε τοῦ φθόνου τὴν λύμην, καὶ ὅπως τὸ ὀλέθριον τοῦτο πάθος τὴν τίκτουσαν αὐτὸ ψυχὴν πρότερον διαφθείρει. Καὶ εἴδετε, ὅπως ὑπὸ τούτου τοῦ πάθους συσχεθέντες οἱ ἀδελφοὶ τοῦ Ἰωσὴφ καὶ τῆς συγγενείας ἐπελάθοντο, καὶ θηρίων ἀγρίων ὠμότητα πρὸς τὸν οὐδὲν ἠδικηκότα ἐπεδείξαντο, τὴν μὲν ἑαυτῶν κακίαν ἔκδηλον πεποιηκότες, τὸν δὲ ἀδελφὸν οὐδὲν τοσοῦτον καταβλάψαντες, ὅσον ἑαυτοὺς αἰσχύνῃ περιέβαλλον. Εἰ γὰρ καὶ βαρβάροις αὐτὸν πεπράκασι, κἀκεῖνοι πάλιν ἀπέδοντο τῷ τοῦ Φαραὼ ἀρχιμαγείρῳ, ἀλλ' ὅμως ἐπειδὴ εἶχε τὴν ἄνωθεν αὐτῷ ῥοπὴν ἐν ἅπασιν ἐπαρκοῦσαν, πάντα κοῦφα καὶ ῥᾴδια αὐτῷ ἐφαίνετο. Καὶ ἐβουλόμην μὲν καὶ σήμερον τῆς αὐτῆς ἱστορίας ἅψασθαι, καὶ ἐντεῦθεν ὑμῖν ὑφᾶναι τὴν διδασκαλίαν· ἀλλ' ἐν μέσῳ ἑτέρα τις διήγησις παρέγκειται, ἣν οὐκ ἄξιον παραδραμεῖν, ἀλλὰ καὶ αὐτήν, ὡς οἷόν τε, διερευνησαμένους, τότε πάλιν ἐπὶ τὴν κατὰ τὸν Ἰωσὴφ ὑπόθεσιν ἐλθεῖν.

Τίς οὖν ἐστιν ἡ ἐν μέσῳ κειμένη διήγησις; Ἡ κατὰ τὸν Ἰούδαν. Οὗτος γὰρ θυγατέρα Χαναναίου λαβὼν γυναῖκα τὴν Σαύαν, καὶ ἐσχηκὼς ἐξ αὐτῆς

Ο Μ Ι Λ Ι Α ΞΒ΄
(Γέν. 38, 2 - 39, 22)

«Καὶ εἶδεν ὁ Ἰούδας τὴν θυγατέρα κάποιου Χαναναίου, ἡ ὁποία ὠνομάζετο Σαύα, καὶ ἔλαβεν αὐτὴν ὡς αὔζυγόν του καὶ ἐκοιμήθη μὲ αὐτὴν καί, ἀφοῦ ἔμεινεν ἔγκυος, ἐγέννησεν υἱόν, τὸν ὁποῖον ὠνόμασεν Ἤρ».

1. Ἀρκετὰ μᾶς ἐδίδαξε προηγουμένως ἡ σχετικὴ μὲ τὸν Ἰωσὴφ ἱστορία τὴν καταστροφὴν ἀπὸ τὸν φθόνον καὶ πῶς τὸ ὀλέθριον αὐτὸ πάθος καταστρέφει πρῶτον τὴν ψυχήν, ἡ ὁποία τὸ γεννᾷ. Καὶ εἴδατε, ὅτι οἱ ἀδελφοὶ τοῦ Ἰωσήφ, ὅταν κατελήφθησαν ἀπ' αὐτὸ τὸ πάθος, ἐλησμόνησαν καὶ τὴν συγγένειαν καὶ ἔδειξαν μεγαλυτέραν σκληρότητα καὶ ἀπὸ τὰ ἄγρια θηρία πρὸς αὐτόν, ὁ ὁποῖος καθόλου δὲν τοὺς ἠδίκησε, καὶ τὴν μὲν κακίαν των κατέστησαν ὁλοφάνερον, ἐνῷ τὸν ἀδελφὸν δὲν ἔβλαψαν τόσον, ὅσον τοὺς ἰδίους τοὺς ἑαυτούς των περιέβαλλον ἀπὸ ἐντροπήν. Διότι ἂν καὶ τὸν ἐπώλησαν εἰς βαρβάρους καὶ ἐκεῖνοι πάλιν τὸν μετεπώλησαν εἰς τὸν ἀρχιμάγειρον τοῦ Φαραώ, ὅμως, ἐπειδὴ εἶχε τὴν ἄνωθεν βοήθειαν ἐπαρκοῦσαν δι' ὅλα, τὰ πάντα ἐφαίνοντο εἰς αὐτὸν ἐλαφρὰ καὶ εὔκολα. Καὶ θὰ ἤθελον καὶ σήμερον νὰ ἀσχοληθῶμεν μὲ τὴν ἰδίαν ἱστορίαν καὶ ἀπ' αὐτὴν νὰ πλέξωμεν τὴν διδασκαλίαν. Ὑπάρχει ὅμως ἐνδιάμεσα κάποια ἄλλη διήγησις, τὴν ὁποίαν δὲν πρέπει νὰ παρατρέξωμεν, ἀλλὰ καὶ αὐτήν, ὅσον εἶναι δυνατόν, ἀφοῦ ἐξετάσωμεν, νὰ ἐπανέλθωμεν τότε πάλιν εἰς τὴν ἱστορίαν τὴν σχετικὴν μὲ τὸν Ἰωσήφ.

Ποία λοιπὸν εἶναι ἡ ἐνδιάμεσος αὐτὴ διήγησις; Ἡ σχετικὴ μὲ τὸν Ἰούδα. Αὐτὸς δηλαδή, ἀφοῦ ἔλαβεν ὡς γυναῖκα του τὴν Σαύαν, τὴν κόρην κάποιου Χαναναίου,

τρεῖς παῖδας, ἔλαβε, φησί, τῷ πρωτοτόκῳ Ἢρ τὴν Θάμαρ γυναῖκα. Ἐπειδὴ δὲ πονηρὸς ἐφάνη ἐναντίον Κυρίου, ἀπέκτεινεν αὐτὸν ὁ Θεός. Καὶ ἐπέτρεψε τῷ Αὐνὰν λαβόντι τὴν τοῦ ἀδελφοῦ γυναῖκα ἀναστῆσαι σπέρμα τῷ ἀδελφῷ. Τοῦτο γὰρ ὁ νόμος ἐκέλευεν, ἀτέκνου ἀποθανόντος ἀδελφοῦ τὸν ἀδελφὸν λαβόντα τὴν γυναῖκα, ἀνιστᾶν τῷ ἀδελφῷ σπέρμα. Ἀλλὰ καὶ τοῦτον πονηρὸν φανέντα ἐθανάτωσεν ὁ Θεός. Τοῦτο τὸν Ἰούδαν εἰς φόβον κατέστησε, τῶν δύο παίδων τὴν ἀναίρεσιν οὕτω ταχεῖαν θεασάμενον· καὶ βουλόμενος τὴν Θάμαρ παραμυθήσασθαι, ὑπέσχετο καὶ τὸν ἕτερον υἱὸν δώσειν αὐτῇ, καὶ οὐκ ἐπλήθου τὰ ἐπαγγελθέντα, δεδιὼς μὴ καὶ αὐτὸς ὁμοίως τοῖς ἀδελφοῖς τὴν τιμωρίαν δέξηται. Ταύταις οὖν ταῖς ὑποσχέσεσι τρεφομένη ἡ Θάμαρ ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς, φησίν, ἐκαθέζετο, ἀναμένουσα εἰς ἔργον ἐλθεῖν τοῦ πενθεροῦ τὴν ὑπόσχεσιν· καὶ ὁρῶσα τὸν Ἰούδαν οὐ βουλόμενον τὰ ἐπαγγελθέντα πληροῦν, τέως πρᾴως ἔφερεν οὐκ ἀνεχομένη τὴν πρὸς ἕτερον συνουσίαν, ἀλλὰ στέργουσα τὴν χηρείαν, καὶ καιρὸν ἐπιτήδειον ἀναμένουσα· ἔσπευδε γὰρ ἐκ τοῦ πενθεροῦ τεκνοποιῆσαι.

Καὶ ἐπειδὴ εἶδε τὴν πενθερὰν τελευτήσασαν, καὶ τὸν Ἰούδα εἰς Θάμνα παραγινόμενον, ὥστε κεῖραι τὰ ποίμνια, κλέψαι βουλομένη τὴν συνουσίαν τοῦ πενθεροῦ, καὶ ἐξ ἐκείνου ἐπιθυμοῦσα τεκνοποιῆσαι, οὐ δι' ἀσέλγειαν, μὴ γένοιτο, ἀλλὰ διὰ τὸ μὴ δόξαι ἀνώνυμός τις εἶναι· ἄλλως δὲ καὶ οἰκονομία ἦν τὸ γινόμενον, ὅθεν καὶ εἰς ἔργον ἐξελθεῖν τὰ βουλευθέντα αὐτῇ ἐγένετο. «Περιελομένη γάρ», φησί, «τὰ ἱμάτια χηρεύσεως αὐτῆς, καὶ περιβαλλομένη θέριστρον, καὶ καλλωπισαμένη, ἐκάθισε πρὸς ταῖς πύλαις». Εἶτα ὥσπερ ἀπολογουμένη ὑπὲρ αὐτῆς ἡ θεία Γραφή φησιν· «Εἶδε γάρ, ὅτι μέγας γέγονε Σηλώμ· αὐτὸς δὲ οὐ ἔδωκεν αὐτὴν αὐτῷ γυναῖκα»· καὶ δια τοῦτο ἐπὶ

καὶ ἀφοῦ ἀπέκτησεν ἀπ' αὐτὴν τρία τέκνα, ἔλαβε, λέγει, διὰ τὸν πρωτότοκον Ἤρ ὡς γυναῖκα τὴν Θάμαρ. Ἐπειδὴ ὅμως ἀπεδείχθη ἐνώπιον τοῦ Κυρίου κακός, ἐφόνευσεν αὐτὸν ὁ Θεός. Καὶ ἐπέτρεψεν εἰς τὸν Αὐνὰν νὰ λάβῃ ὡς σύζυγον τὴν γυναῖκα τοῦ ἀδελφοῦ του καὶ νὰ δώσῃ εἰς τὸν ἀδελφόν του ἀπογόνους. Διότι αὐτὸ τὸ ὥριζε καὶ ὁ νόμος, ὅταν δηλαδὴ ἀποθάνῃ ὁ ἀδελφὸς ἄτεκνος, ἀφοῦ πάρῃ τὴν γυναῖκα του ὁ ἀδελφός του, νὰ χαρίζῃ εἰς αὐτὸν ἀπογόνους. Ἀλλὰ καὶ αὐτὸν ἐθανάτωσεν ὁ Θεός, ἐπειδὴ ἀπεδείχθη κακός. Αὐτὸ ἐφόβισε τὸν Ἰούδαν, ἀφοῦ ἔβλεπε τὴν τόσον γρήγορον ἀπώλειαν τῶν δύο παιδιῶν του. Καὶ ἐπειδὴ ἤθελε νὰ παρηγορήσῃ τὴν Θάμαρ, ὑπεσχέθη νὰ τῆς δώσῃ καὶ τὸν ἄλλον υἱόν του, ἀλλὰ δὲν ἐξεπλήρωνε τὰς ὑποσχέσεις, ἐπειδὴ ἐφοβεῖτο μήπως καὶ αὐτὸς τιμωρηθῇ ὅμοια μὲ τοὺς ἀδελφούς του. Μὲ αὐτὰς τὰς ὑποσχέσεις ἐτρέφετο ἡ Θάμαρ, λέγει, καὶ ἐκάθητο εἰς τὴν οἰκίαν τοῦ πατρός της ἀναμένουσα τὸν πενθερόν της νὰ πραγματοποιήσῃ τὴν ὑπόσχεσιν. Καὶ ἐπειδὴ ἔβλεπεν, ὅτι ὁ Ἰούδας δὲν ἤθελε νὰ ἐκπληρώσῃ, ὅσα ὑπεσχέθη, κατ' ἀρχὰς ὑπέφερε πράως, ἐπειδὴ δὲν ἐδέχετο τὴν μὲ ἄλλον συνουσίαν, ἀλλ' ὑπέμενε τὴν χηρείαν, ἀναμένουσα τὸν κατάλληλον καιρόν. Καὶ ἔσπευσε νὰ τεκνοποιήσῃ μὲ τὸν πενθερόν της.

Καὶ ὅταν εἶδεν, ὅτι ἡ πενθερά της ἀπέθανε καὶ ὅτι ὁ Ἰούδας ἐπῆγεν εἰς τὴν Θάμνα, διὰ νὰ κουρεύσῃ τὰ πρόβατα, ἐπειδὴ ἤθελε νὰ συνευρεθῇ μὲ τὸν πενθερόν της καὶ νὰ τεκνοποιήσῃ μαζί του ὄχι ἀπὸ ἀνηθικότητα, μὴ γένοιτο, ἀλλὰ διὰ νὰ μὴ φαίνεται, ὅτι εἶναι χωρὶς ὄνομα. Ἄλλωστε αὐτὸ πού ἐγίνετο, ἐγίνετο κατ' οἰκονομίαν, διὰ τοῦτο καὶ ἐπραγματοποιήθησαν, ὅσα αὐτὴ ἐσκέφθη. Διότι λέγει, «Ἀφοῦ ἡ Θάμαρ ἔβγαλε τὰ ἐνδύματα τῆς χηρείας της καὶ ἀφοῦ ἔβαλε κάλυμμα εἰς τὴν κεφαλήν της καὶ ἐκαλλωπίσθη, ἐκάθισε πλησίον τῶν πυλῶν». Ἔπειτα ὡσὰν νὰ ἀπολογῆται ὑπὲρ αὐτῆς ἡ ἁγία Γραφή, λέγει· «Ἔκαμεν αὐτό, διότι εἶδεν, ὅτι ὁ Σηλὼμ ἐμεγάλωσεν, ἀλλ' ὁ Ἰούδας δὲν ἔδωσεν αὐτὴν ὡς γυναῖκα εἰς αὐτόν», καὶ

ταύτην ὥρμησε τὴν ἀπάτην. Ὁ μέντοι Ἰούδας νομίσας αὐτὴν πόρνην εἶναι(κατεκαλύψατο γὰρ ἐκείνη τὸ πρόσωπον, ὥστε μὴ κατάδηλος γενέσθαι), «Ἐξέκλινε πρὸς αὐτήν. Ἡ δὲ εἶπε· τί μοι δώσεις; Ὁ δὲ ὑπέσχετο ἔριφον αἰγῶν ἀποστέλλειν. Ἡ δὲ εἶπεν· ἐὰν δῷς ἀρραβῶνα, ἕως τοῦ ἀποστεῖλαί σε. Καὶ ἔδωκε τὸν δακτύλιον, καὶ τὸν ὁρμίσκον, καὶ τὴν ῥάβδον, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ αὐτοῦ».

Ἀλλὰ μηδεὶς ταῦτα ἀκούων καταγινωσκέτω τῆς Θάμαρ· ὡς γὰρ ἔφθην εἰπών, καὶ οἰκονομίᾳ ὑπηρετεῖτο, καὶ διὰ τοῦτο οὔτε αὕτη μέμψιν τινὰ ὑπέμεινεν, οὔτε ὁ Ἰούδας ἐγκλήμασιν ὑπεύθυνος γέγονε. Καὶ γὰρ ἐντεῦθεν ὁδῷ προβαίνων εὑρήσεις ἐκ τῶν παίδων τῶν τούτῳ τεχθέντων τὸν Χριστὸν κατάγοντα τὸ γένος· ἄλλως δὲ καὶ τὰ δύο παιδία κατ' αὐτὸν τικτόμενα τῶν δύο λαῶν ἦν τύπος, καὶ προαναφώνησις τῆς πολιτείας τῆς Ἰουδαϊκῆς καὶ τῆς πνευματικῆς. Ἀλλὰ τέως ἴδωμεν μετὰ τὴν ἀναχώρησιν τοῦ Ἰούδα, ὅπως χρόνου μικροῦ παραδραμόντος, καὶ τοῦ πράγματος εἰς φανερὸν ἐλθόντος, ὁ Ἰούδας ἑαυτῷ δικάζει, ἐκείνην ἀπαλλάττων ἐγκλημάτων. Ἐπειδὴ τοίνυν ἐπλήρωσεν, ὅπερ ἐβούλετο ἡ Θάμαρ, πάλιν ἀμείψασα τὸ σχῆμα, φησίν, ἐκεῖθεν μὲν ἀνεχώρησεν, ἀπῆλθε δὲ εἰς τὸν οἶκον αὐτῆς. Ὁ μέντοι Ἰούδας τούτων οὐδὲν ἐπιστάμενος, τὴν ὑπόσχεσιν ἐπλήρου, καὶ τὸν ἔριφον ἀπέστειλεν, ἵνα τὸν ἀρραβῶνα τὸν παρ' αὐτοῦ δοθέντα ἀναλάβῃ· ἀλλ' οὐδαμοῦ τῆς γυναικὸς εὑρεθείσης, ἐπανῆλθεν ὁ παῖς μηνύων τῷ Ἰούδᾳ, ὡς οὐδαμοῦ ἐπιστῆναι τῇ γυναικὶ δεδύνηται.

Ταῦτα μαθὼν ὁ Ἰούδας εἶπε, φησί, μή ποτε καταγνωσθῶμεν, ὡς ἀγνώμονες νομισθέντες· οὐδὲ γὰρ ᾔδει τὸ γεγενημένον. Ἀλλὰ τριῶν μηνῶν διελθόντων, καὶ τοῦ ὄγκου τῆς γαστρὸς μηνύοντος τὸν τόκον, καὶ

διὰ τοῦτο ἀπεπειράθη νὰ κάμῃ αὐτὴν τὴν ἀπάτην. Ὁ Ἰούδας ὅμως, ἐπειδὴ ἐνόμισεν ὅτι αὐτὴ ἦτο πόρνη (ἀφοῦ εἶχε καλύψει τὸ πρόσωπόν της, διὰ νὰ μὴ γνωρίζεται), «Ἐστράφη πρὸς τὸ μέρος της. Αὐτὴ δὲ εἶπε· τί θὰ μοῦ δώσῃς; Καὶ αὐτὸς ὑπεσχέθη, ὅτι θὰ τῆς στείλῃ ἕνα ἐρίφιον ἐκ τῶν αἰγῶν του. Καὶ αὐτὴ εἶπε· Θὰ γίνῃ αὐτὸ ἐὰν θὰ μοῦ δώσῃς ἐγγύησιν ἕως ὅτου θὰ τὸ ἀποστείλῃς. Καὶ ἔδωσε τὸ δακτυλίδι του καὶ τὸ περιδέραιον καὶ τὴν ράβδον του καὶ ἐκοιμήθη μὲ αὐτὴν καὶ κατέστησεν αὐτὴν ἔγκυον».

Ἀλλὰ κανεὶς ποὺ ἀκούει αὐτὰ νὰ μὴ κατηγορῇ τὴν Θάμαρ. Διότι, ὅπως εἶπον προηγουμένως, ἐξυπηρετεῖτο καὶ ἡ θεία οἰκονομία, καὶ διὰ τοῦτο οὔτε αὐτὴ ἐκατηγορήθη καθόλου, οὔτε ὁ Ἰούδας ἐθεωρήθη ὑπεύθυνος ἐγκλήματος. Καθ' ὅσον προχωρῶν εἰς τὴν συνέχειαν θὰ εὕρῃς, ὅτι ὁ Χριστὸς κατάγεται ἀπὸ τὸ γένος τῶν παιδιῶν, τὰ ὁποῖα ἐγεννήθησαν ἀπ' αὐτόν. Ἄλλωστε καὶ τὰ δύο τέκνα, τὰ ὁποῖα ἐγεννήθησαν εἰς αὐτόν, ἦσαν τύπος τῶν δύο λαῶν καὶ προαναγγελία τοῦ Ἰουδαϊκοῦ κράτους καὶ τοῦ πνευματικοῦ. Ἀλλ' ἂς ἴδωμεν προηγουμένως μετὰ τὴν ἀναχώρησιν τοῦ Ἰούδα, πῶς, ἀφοῦ ἐπέρασεν ὀλίγον χρονικὸν διάστημα καὶ ἐφανερώθη τὸ γεγονός, ὁ Ἰούδας καταδικάζει τὸν ἑαυτόν του ἀπαλλάσσων ἐκείνην ἀπὸ τὸ ἁμάρτημα. Ἀφοῦ λοιπὸν ἡ Θάμαρ ἐπραγματοποίησεν ἐκεῖνο, τὸ ὁποῖον ἤθελεν, ἤλλαξε πάλιν τὴν ἐνδυμασίαν της καὶ ἔφυγεν ἀπὸ ἐκεῖ, λέγει, καὶ ἐπῆγεν εἰς τὴν οἰκίαν της. Ὁ Ἰούδας ὅμως χωρὶς νὰ γνωρίζῃ τίποτε ἀπ' αὐτά, ἐπραγματοποίησε τὴν ὑπόσχεσιν καὶ ἔστειλε τὸ ἐρίφιον, διὰ νὰ λάβῃ πάλιν τὴν ἐγγύησιν, τὴν ὁποίαν εἶχε δώσει. Ἀλλ' ἐπειδὴ ἡ γυναῖκα δὲν εὑρίσκετο πουθενά, ὁ δοῦλος ἐπανῆλθεν εἰδοποιῶν τὸν Ἰούδα, ὅτι πουθενὰ δὲν ἠμπόρεσε νὰ συναντήσῃ τὴν γυναῖκα.

Ὅταν ἔμαθεν αὐτὰ ὁ Ἰούδας, λέγει ἡ Γραφή, εἶπε, μήπως κατηγορηθῶμεν καὶ θεωρηθῶμεν ἀχάριστοι, διότι δὲν ἐγνώριζεν αὐτό, τὸ ὁποῖον εἶχε συμβῆ. Ὅταν ὅμως ἐπέρασαν τρεῖς μῆνες καὶ ὁ ὄγκος τῆς κοιλίας ἐφανέρω-

οὐδενὸς ἑτέρου ἐπισταμένου τὴν κλοπὴν τῆς συνουσίας, «Ἀπηγγέλη», φησί, «τῷ Ἰούδᾳ, ὅτι ἐν γαστρὶ ἔχει ἐκ πορνείας. Καὶ μαθὼν εἶπεν· ἐξαγάγετε αὐτήν, καὶ κατακαυθήτω». Μεγάλη ἡ ἀγανάκτησις, ἀφόρητος ἡ τιμωρία, ἐπειδὴ καὶ τὸ ἁμάρτημα μέγα εἶναι ἐδόκει. Τί οὖν ἡ Θάμαρ; Ἐξαποστείλασα ἅπερ ἀρραβῶνος ἕνεκεν εἰλήφει, φησίν· «Οὗτινος ταῦτά ἐστι, παρ' ἐκείνου τῆς γαστρὸς τὸν ὄγκον ἐδεξάμην».

2. Σκόπει, πῶς σιγῶσα ἀξιοπίστους μάρτυρας ἐπάγεται φωνὴν ἀφιέντας, καὶ ἱκανοὺς ἀθῷον ταύτην ἀποδεῖξαι τοῦ ἐγκλήματος. Ἐπειδὴ γὰρ τριῶν ἔδει μαρτύρων περὶ τῆς τοιαύτης ὑποθέσεως ἐγκαλουμένη, διὰ τοῦτο καὶ αὕτη ὡσανεὶ λαμπρὰν φωνὴν ἀφιέντα οὕτω διαπέμπεται τὰ τρία εἴδη τοῦ ἀρραβῶνος, τὸν δακτύλιον, τὸν ὁρμίσκον, τὴν ῥάβδον, καὶ οἴκοι καθημένη καὶ σιγῶσα τὴν νίκην ἤρατο. «Ἐπιγνοὺς γὰρ ὁ Ἰούδας εἶπε· δεδικαίωται αὕτη, ἢ ἐγώ, οὗ εἵνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου». Τί ἐστι, «Δεδικαίωται αὕτη, ἢ ἐγώ»; Τοῦτ' ἔστιν· ἐκείνη μὲν ἀνεύθυνος, ἐγὼ δὲ ἑαυτὸν καταδικάζω, καὶ μηδενὸς ἐλέγχοντος ἐμαυτὸν ἐκκαλύπτω· μᾶλλον δὲ ἀρκοῦντα ἔλεγχον ἔχω, τὸν ἀρραβῶνα καὶ τὸν παρ' ἐμοῦ δοθέντα. Εἶτα ἀπολογίαν πάλιν ὑπὲρ τῆς αὐτῆς Θάμαρ συντιθείς φησιν· «Οὗ εἵνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου». Τάχα δὲ τοῦτο γέγονε καὶ δι' ἣν μέλλω ἐρεῖν αἰτίαν. Ἐπειδὴ γὰρ ἐνόμιζεν ὁ Ἰούδας παρὰ τὴν ἐκείνης αἰτίαν τὸν θάνατον ἐπενηνέχθαι τῷ Ἢρ καὶ τῷ Αὐνάν, καὶ τοῦτο δεδοικὼς τὸν Σηλὼμ αὐτῇ οὐ δέδωκε, καὶ ταῦτα ὑποσχόμενος, ἵνα γνῷ δι' αὐτῶν τῶν πραγμάτων ὡς οὐκ ἐκείνη αἰτία τοῦ θανάτου ἐκείνοις γεγένηται, ἀλλὰ διὰ τὴν οἰκείαν πονηρίαν τὰς τιμωρίας ἐδέχοντο («Ἀπέκτεινε γὰρ αὐτόν», φησίν, «ὁ Θεός»· καὶ πάλιν, «Ἐθανάτωσεν αὐτόν», περὶ τοῦ δευτέρου), διὰ τοῦτο αὐτὸς μίγνυ-

νε τὴν μέλλουσαν γέννησιν, καὶ ἐνῷ οὐδεὶς ἄλλος ἐγνώριζε τὴν κλοπὴν τῆς συζεύξεως, «Ἐπληροφόρησαν τὸν Ἰούδα», λέγει, «ὅτι ἡ Θάμαρ εἶναι ἔγκυος ἐκ πορνείας. Καὶ ὅταν ἔμαθεν αὐτὸ εἶπε· Νὰ βγάλετε αὐτὴν ἔξω ἀπὸ τὴν πόλιν καὶ νὰ τὴν κατακαύσετε». Μεγάλη ἡ ἀγανάκτησις, ἀνυπόφορη ἡ τιμωρία, ἐπειδὴ καὶ τὸ ἁμάρτημα ἐθεωρεῖτο, ὅτι ἦτο μεγάλο. Τί λοιπὸν ἔκαμεν ἡ Θάμαρ; Ἔστειλεν ἐκεῖνα, τὰ ὁποῖα εἶχε λάβει ὡς ἐγγύησιν, λέγει, καὶ εἶπεν· «Ὅποιου εἶναι αὐτά, ἀπὸ ἐκεῖνον εἶμαι ἔγκυος».

2. Πρόσεχε πῶς, ἐνῷ σιωπᾷ, παρουσιάζει ἀξιοπίστους μάρτυρας, ποὺ καὶ φωνὴν ἀφήνουν ν' ἀκουσθῇ, ποὺ εἶναι ἱκανὴ ν' ἀποδείξῃ ὅτι αὐτὴ εἶναι ἀθώα ἀπὸ τὸ ἁμάρτημα ποὺ τῆς ἀποδίδουν. Ἐπειδὴ δηλαδὴ ἐχρειάζοντο τρεῖς μάρτυρες διὰ νὰ κατηγορηθῇ δι' ἕνα τέτοιο ἀδίκημα, διὰ τοῦτο καὶ αὐτὴ ἀποστέλλει τὰ τρία εἴδη τῆς ἐγγυήσεως, τὰ ὁποῖα ἦσαν ὡσὰν νὰ εἶχον φωνήν, τὸ δαχτυλίδι, τὸ περιδέραιον καὶ τὴν ράβδον, καὶ ἐνῷ ἐκάθητο εἰς τὴν οἰκίαν της καὶ ἐσιώπα, ἐκέρδισε τὴν ὑπόθεσιν. «Διότι ὅταν ἔμαθεν αὐτὸ ὁ Ἰούδας εἶπεν· ἔχει δίκαιον αὐτὴ καὶ ὄχι ἐγώ, λόγῳ τοῦ ὅτι δὲν ἔδωκα αὐτὴν ὡς σύζυγον εἰς τὸν υἱόν μου Σηλώμ». Τί σημαίνει, «Ἔχει δίκαιον αὐτὴ καὶ ὄχι ἐγώ»; Δηλαδή, ἐκείνη μὲν εἶναι ἀνεύθυνος, ἐγὼ δὲ καταδικάζω τὸν ἑαυτόν μου, καὶ ἐνῷ κανεὶς δὲν μὲ ἐλέγχει, ἐγὼ ἀποκαλύπτομαι. Ἢ μᾶλλον ἀρκετὴ ἀπόδειξις εἶναι αὐτά, τὰ ὁποῖα ἔδωσα ὡς ἐγγύησιν. Ἔπειτα δικαιολογῶν πάλιν τὴν Θάμαρ, λέγει· «Λόγῳ τοῦ ὅτι δὲν ἔδωκα αὐτὴν ὡς σύζυγον εἰς τὸν υἱόν μου Σηλώμ». Ἴσως νὰ ἔγινεν αὐτὸ καὶ διὰ τὴν αἰτίαν, τὴν ὁποίαν πρόκειται νὰ εἰπῶ. Ἐπειδὴ δηλαδὴ ὁ Ἰούδας ἐνόμιζεν, ὅτι ἐξ αἰτίας αὐτῆς ἀπέθανον ὁ Ἤρ καὶ ὁ Αὐνὰν καὶ ἐπειδὴ ἐφοβεῖτο αὐτὸ δὲν ἔδωκεν εἰς αὐτὴν τὸν Σηλώμ, ἂν καὶ εἶχεν ὑποσχεθῆ αὐτό, διὰ νὰ γνωρίσῃ μὲ αὐτὰ τὰ γεγονότα, ὅτι δὲν ἦτο αὐτὴ ἡ αἰτία τοῦ θανάτου ἐκείνων, ἀλλ' ὅτι ἐτιμωρήθησαν διὰ τὴν κακίαν των (Διότι λέγει, «Ἐφόνευσεν αὐτὸν ὁ Θεός»· καὶ πάλιν διὰ τὸν δεύτερον, «Ἐθανάτωσεν αὐτόν»), διὰ τοῦτο αὐτὸς ἔρχεται εἰς συνουσίαν μὲ τὴν

ται ἀγνοῶν τῇ οἰκείᾳ νύμφῃ, καὶ μανθάνει διὰ τῶν ἔργων, ὅτι οὐχ ἡ ταύτης αἰτία, ἀλλ' ἡ ἐκείνων κακία ὑπευθύνους αὐτοὺς τῇ τιμωρίᾳ γενέσθαι πεποίηκε, καὶ ἐξομολογησάμενος τὸ οἰκεῖον ἁμάρτημα, κἀκείνην τῆς τιμωρίας ἀπαλλάξας, «Οὐ προσέθετο», φησίν, «ἔτι τοῦ γνῶναι αὐτήν», δεικνὺς ὅτι οὐδ' ἂν τὸ πρότερον αὐτῇ συνεγένετο, εἰ μὴ ἀγνοίᾳ τὴν μίξιν εἰργάσατο.

Εἶτα ἐπειδὴ διηγήσατο ἡμῖν ἡ θεία Γραφὴ μετὰ ἀκριβείας τὴν γεγενημένην ἀπάτην ὑπὸ τῆς Θάμαρ, λοιπὸν διδάσκει ἡμᾶς, καὶ τίνα ἐστὶ τὰ παρ' αὐτῆς τικτόμενα παιδία. «Ἐγένετο γάρ», φησίν, «ἡνίκα ἔτικτε, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ γαστρὶ αὐτῆς. Ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτήν, ὁ εἷς προεξήνεγκε τὴν χεῖρα· λαβοῦσα δὲ ἡ μαῖα ἔδησεν ἐπὶ τὴν χεῖρα αὐτοῦ κόκκινον, λέγουσα· αὐτὸς ἐξελεύσεται πρῶτος». Ὅρα μοι ἐνταῦθα μυστήριον καὶ προαναφώνησιν τῶν μελλόντων ἔσεσθαι. Μετὰ γὰρ τὸ δῆσαι τὴν μαῖαν εἰς τὴν χεῖρα τὸ κόκκινον, ὥστε κατάδηλον αὐτὸν γενέσθαι, τότε «Ἐπισυνήγαγε τὴν χεῖρα, καὶ ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ». Παρεχώρησε, φησί, τῷ ἀδελφῷ τὴν πρόοδον, καὶ ὁ τελευταῖος νομιζόμενος πρῶτος ἐξῄει, καὶ ὁ πρῶτος νομιζόμενος μετ' ἐκεῖνον προῄει. Καὶ εἶπεν ἡ μαῖα· «Τί διεκόπη διὰ σὲ φραγμός; Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές». Διακοπὴ γὰρ ἑρμηνεύεται τὸ ὄνομα, καὶ μερισμός, ὡς ἂν εἴποι τις. «Καὶ μετὰ τοῦτον ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ ὁ τὸ σημεῖον ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς δεξάμενος, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαρᾶ, ὃ ἑρμηνεύεται ἀνατολή». Καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα γεγένηται, ἀλλὰ τύπος ἦν τῶν μελλόντων ἔσεσθαι, αὐτὰ δηλοῖ τὰ πράγματα. Οὐδὲ γὰρ κατὰ φύσεως ἀκολουθίαν ἦν τὸ γεγονός.

Πῶς γὰρ ἦν δυνατόν, μετὰ τὸ δεθῆναι τὴν χεῖρα τῷ κοκκίνῳ, πάλιν συσταλῆναι, καὶ δοῦναι πάροδον τῷ μετὰ ταῦτα, εἰ μὴ θεία τις ἦν δύναμις ἡ ταῦτα

νύμφην του χωρὶς νὰ τὸ γνωρίζῃ καὶ μαθαίνει ἐμπράκτως, ὅτι ὄχι αὐτή, ἀλλ' ἡ κακία ἐκείνων κατέστησεν αὐτοὺς ὑπευθύνους νὰ τιμωρηθοῦν, καί, ἀφοῦ ὡμολόγησε τὸ ἁμάρτημά του δημοσίᾳ καὶ ἀπήλλαξεν αὐτὴν ἀπὸ κάθε τιμωρίαν, λέγει, «Δὲν ἦλθεν εἰς συνουσίαν πλέον μὲ αὐτὴν ἄλλην φοράν», ἀποδεικνύων, ὅτι οὔτε προηγουμένως θὰ ἤρχετο εἰς ἐπαφὴν μὲ αὐτήν, ἐὰν δὲν ἔκαμνεν αὐτὸ ἀπὸ ἄγνοιαν.

Ἔπειτα, ἀφοῦ ἡ ἁγία Γραφὴ μᾶς διηγήθη λεπτομερῶς τὴν ἀπάτην, ἡ ὁποία ἔγινεν ἀπὸ τὴν Θάμαρ, μᾶς διδάσκει εἰς τὸ ἑξῆς καὶ ποῖα εἶναι τὰ τέκνα ποὺ ἐγεννήθησαν ἀπ' αὐτήν. Διότι λέγει «Συνέβη, ὅταν ἐγεννοῦσεν, εἶχε δίδυμα εἰς τὴν κοιλίαν της. Ὅταν δὲ ἐγεννοῦσεν, ὁ ἕνας υἱὸς ἔβγαλε τὸ χέρι του· καὶ ἔλαβεν αὐτὸ ἡ μαῖα καὶ ἔδεσε κοκκίνην κλωστὴν καὶ εἶπεν· Αὐτὸς θὰ ἐξέλθῃ πρῶτος». Πρόσεχε ἐδῶ, παρακαλῶ, τὸ μυστήριον καὶ τὴν προαγγελίαν αὐτῶν ποὺ πρόκειται νὰ συμβοῦν. Διότι μετὰ ἀπὸ τὸ γεγονὸς ποὺ ἡ μαῖα ἔδεσεν εἰς τὸ χέρι του τὴν κοκκίνην κλωστήν, διὰ νὰ σημαδεύσῃ αὐτόν, τότε «Ἐμάζευσε τὸ χέρι του καὶ ἐξῆλθε πρῶτος ὁ ἀδελφός του». Παρεχώρησε, λέγει, τὴν προτεραιότητα εἰς τὸν ἀδελφόν του καὶ αὐτὸς ποὺ ἐθεωρεῖτο, ὅτι θὰ ἐξέλθῃ τελευταῖος, ἐξῆλθε πρῶτος καὶ ὁ πρῶτος ἐξῆλθε μετὰ ἀπὸ ἐκεῖνον. Καὶ εἶπεν ἡ μαῖα. «Διατί διεκόπη διὰ σὲ ὁ φραγμός; Καὶ ὠνόμασεν αὐτὸν Φαρές». Διότι τὸ ὄνομα ἑρμηνεύεται διακοπὴ καὶ διαίρεσις, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς. «Καὶ μετὰ ἀπ' αὐτὸν ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, ὁ ὁποῖος εἶχεν εἰς τὸ δεξί του χέρι τὸ σημάδι καὶ ὠνόμασεν αὐτὸν Ζαρᾶ, ποὺ σημαίνει ἀνατολή». Καὶ τὸ ὅτι αὐτὰ δὲν ἔγιναν χωρὶς λόγον, ἀλλὰ ἦσαν τύπος, ὅσων ἐπρόκειτο νὰ συμβοῦν, μᾶς τὸ φανερώνουν τὰ ἴδια τὰ γεγονότα. Διότι ὅ,τι ἔγινε δὲν ἔγινε σύμφωνα μὲ τὴν φυσικὴν τάξιν τῶν πραγμάτων.

Πῶς πράγματι ἦτο δυνατόν, ἀφοῦ ἐδέθη τὸ χέρι μὲ τὴν κοκκίνην κλωστήν, πάλιν νὰ μαζευθῇ καὶ νὰ ἀφήσῃ νὰ ἐξέλθῃ ὁ μετὰ ἀπ' αὐτὸν ἀδελφός, ἐὰν κάποια θεία

προοικονομοῦσα, καὶ καθάπερ ἐν σκιᾷ τινι προδιετυποῦτο, ὅτι ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ὁ Ζαρᾶ, ὅπερ ἐστὶν ἀνατολὴ (οὗτος γὰρ ὁ τύπος τῆς 'Εκκλησίας), ἤρξατο προκύπτειν, καὶ μικρὸν προελθόντος αὐτοῦ καὶ ὑποχωρήσαντος, ἡ νομικὴ παρατήρησις ἡ διὰ τοῦ Φαρὲς μηνυομένη ἐπεισῆλθε, καὶ χρόνῳ πολλῷ κρατοῦσα, πάλιν τοῦ πρότερον ὑποχωρήσαντος, τοῦ Ζαρᾶ λέγω, προελθόντος, παρεχώρησε πάλιν τῇ 'Εκκλησίᾳ πᾶσα ἡ 'Ιουδαϊκὴ πολιτεία; 'Αλλὰ τάχα νῦν ἀναγκαῖον συντομώτερον πάλιν αὐτὸ καὶ σαφέστερον εἰπεῖν. Ἤρξαντο, καθάπερ ὁ Ζαρᾶ τὴν χεῖρα προεξήνεγκεν, ὁ Νῶε καὶ ὁ 'Αβραάμ, μᾶλλον δὲ πρὸ τοῦ Νῶε ὁ Ἄβελ καὶ ὁ 'Ενὼχ τῆς πρὸς τὸν Θεὸν εὐαρεστήσεως πολὺν ποιεῖσθαι λόγον. Εἶτα ἐπειδὴ εἰς πλῆθος ἐκταθέντες πολλὰ φορτία ἁμαρτημάτων συνελέξαντο, ἔδει δὲ μικρᾶς τινος αὐτοὺς παραμυθίας ἀπολαύειν, ὡς σκιά τις ὁ νόμος ἐδόθη, οὐχ ὅτι ἁμαρτήματα ἀναιρῶν, ἀλλὰ ταῦτα ἀποδεικνὺς καὶ φανερὰ αὐτοῖς ἐργαζόμενος, ἵνα καθάπερ τὰ ἀτελῆ παιδία γάλακτι τρεφόμενα εἰς ἀκμὴν ἡλικίας ἐλθεῖν δυνηθῶσιν. 'Αλλ' ἐπειδὴ οὐδὲ οὕτως ἀπώναντό τι, ἀλλά, καίτοι ὑποδεικνύοντος τοῦ νόμου τῶν ἁμαρτημάτων τὸ μέγεθος, οὗτοι πάλιν τούτοις ἀνεφύροντο, παραγενόμενος ὁ κοινὸς Δεσπότης τὴν πνευματικὴν ταύτην καὶ ἐνάρετον πολιτείαν τῷ τῶν ἀνθρώπων ἐχαρίσατο γένει, ἧς τύπον ὁ Ζαρᾶ ἐπλήρου. Διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς μέμνηται καὶ τῆς Θάμαρ καὶ τῶν ἐξ αὐτῆς τεχθέντων, καί φησιν· «'Ιούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρᾶ ἐκ τῆς Θάμαρ».

3. Μὴ τοίνυν ἁπλῶς παρατρέχωμεν τὰ ἐν ταῖς θείαις Γραφαῖς κείμενα, μηδὲ ἐξεπιπολῆς τοῖς λεγομένοις προσέχωμεν, ἀλλ' εἰς τὸ βάθος ἑαυτοὺς καθέντες, καὶ τὸν ἐναποκείμενον πλοῦτον καταμαθόντες, δοξάζωμεν τὸν ἡμέτερον Δεσπότην, τὸν μετὰ τοσαύ-

1. Ματθ. 1, 3.

δύναμις δὲν ἐρρύθμιζεν αὐτὰ ἐκ τῶν προτέρων, διὰ τῶν ὁποίων προδιετυπώνετο ὑπὸ μορφὴν σκιᾶς, ὅτι ἀπὸ τὴν ἀρχὴν καὶ ἀπὸ τὴν πρώτην στιγμὴν ὁ Ζαρᾶ, ποὺ σημαίνει ἀνατολὴ (διότι αὐτὸς εἶναι ὁ τύπος τῆς Ἐκκλησίας), ἤρχισε νὰ προβάλλη, καὶ ἀφοῦ ἐπροχώρησε δι᾽ ὀλίγον καὶ ὑπεχώρησεν, ἐπεισῆλθεν ἡ νομικὴ διδασκαλία, ποὺ προαγγέλλεται μὲ τὸν Φαρές, καὶ ἀφοῦ ἐκυριάρχησεν ἐπὶ πολὺν χρόνον, πάλιν ἀφοῦ ἐπανῆλθεν ἐκεῖνος ποὺ προηγουμένως ὑπεχώρησεν, ἐννοῶ ὁ Ζαρᾶ, παρεχώρησεν ὁλόκληρη ἡ Ἰουδαϊκὴ πολιτεία τὴν θέσιν της εἰς τὴν Ἐκκλησίαν; Ἀλλὰ ἴσως τώρα εἶναι ἀνάγκη νὰ σᾶς τὸ ἀναπτύξω αὐτὸ καὶ πάλιν πιὸ σύντομα καὶ μὲ περισσοτέραν σαφήνειαν. Ὅπως ἀκριβῶς ἔβγαλε πρῶτος ὁ Ζαρᾶ τὸ χέρι του, ἤρχισαν ὁ Νῶε καὶ ὁ Ἀβραάμ, ἢ μᾶλλον πρὸ τοῦ Νῶε ὁ Ἄβελ καὶ ὁ Ἐνὼχ νὰ προσπαθοῦν νὰ φανοῦν πολὺ ἀρεστοὶ εἰς τὸν Θεόν. Ἔπειτα, ἐπειδὴ ἐπληθύνθησαν καὶ συνέλεξαν πολλὰ φορτία ἁμαρτημάτων καὶ ἔπρεπε νὰ λάβουν κάποιαν μικρὰν παρηγορίαν, τοὺς ἐδόθη ὁ νόμος ὡς σκιά, ὄχι διὰ νὰ συγχωρῇ ἁμαρτήματα, ἀλλὰ διὰ νὰ τὰ ἀποκαλύπτῃ καὶ νὰ τὰ φανερώνῃ εἰς αὐτούς, ὥστε, ὅπως ἀκριβῶς τὰ μικρὰ παιδιὰ τρέφονται μὲ γάλα, νὰ ἠμπορέσουν νὰ φθάσουν εἰς ὥριμον ἡλικίαν. Ὅμως ἐπειδὴ οὔτε ἔτσι ὠφελήθησαν εἰς κάτι, ἀλλά, ἂν καὶ ὁ νόμος ἐφανέρωνε τὸ μέγεθος τῶν ἁμαρτημάτων, αὐτοὶ ἐμολύνοντο καὶ πάλιν μὲ αὐτά, ἦλθεν ὁ κοινὸς Κύριος καὶ ἐχάρισεν εἰς τὸ ἀνθρώπινον γένος τὸ πνευματικὸν καὶ ἐνάρετον αὐτὸ πολίτευμα, τοῦ ὁποίου τύπος εἶναι ὁ Ζαρᾶ. Διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς μνημονεύει καὶ τὴν Θάμαρ καὶ τοὺς ἐξ αὐτῆς γεννηθέντας καὶ λέγει· «Ὁ Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρᾶ ἐκ τῆς Θάμαρ»[1].

3. Ἂς μὴ προσπερνῶμεν λοιπὸν χωρὶς προσοχήν, ὅσα γράφονται εἰς τὰς ἁγίας Γραφάς, οὔτε νὰ προσέχωμεν μόνον τὴν ἐπιφάνειαν τῶν λεγομένων, ἀλλ᾽, ἀφοῦ ἐμβαθύνωμεν εἰς τὰ νοήματα αὐτῶν καὶ ἀφοῦ μάθωμεν καλῶς τὸν πλοῦτον, ὁ ὁποῖος κρύπτεται ἐντὸς αὐτῶν, νὰ δοξάζωμεν τὸν Κύριόν μας, ὁ ὁποῖος ρυθμίζει τὰ πάντα

της σοφίας ἅπαντα οἰκονομοῦντα. Εἰ γὰρ μὴ τὸν σκοπὸν καὶ τὴν αἰτίαν ἑκάστου τῶν γινομένων ἐξετάζειν βουλοίμεθα, οὐ μόνον ταύτης κατηγορήσομεν, ὡς τῷ πενθερῷ αὐτῆς μιγείσης, ἀλλὰ καὶ τὸν Ἀβραὰμ αἰτιασόμεθα, ὡς παιδοκτόνον τῇ γνώμῃ γεγενημένον, καὶ τὸν Φινεές, ὡς κατ' αὐτὸν δύο φόνους ἐργασάμενον. Ἐὰν δὲ ἑκάστου τὴν αἰτίαν ἀκριβῶς καταμάθωμεν, κἀκείνους μέμψεως ἀπαλλάξομεν, καὶ αὐτοὶ πολλὴν ἐκεῖθεν τὴν ὠφέλειαν καρπωσόμεθα. Ἀλλὰ τὰ μὲν κατὰ τὴν ἱστορίαν ταύτην, ὡς ἡμῖν οἷόν τε ἦν, διεξεληλύθαμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, εἰ δὲ μὴ ἀπεκάμετε, καὶ βούλεσθε, καὶ τῶν ἑξῆς ἐφαψόμεθα, καὶ πάλιν ἐπὶ τὴν κατὰ τὸν θαυμαστὸν Ἰωσὴφ διήγησιν ἥξομεν, ἵνα μάθητε καὶ ἐκ τῶν σήμερον λεγομένων, ὅσα ὁ γενναῖος οὗτος ἀθλητὴς μετὰ τὰ ὀνείρατα ἐκεῖνα, τὰ τὴν βασιλείαν αὐτῷ μηνύοντα καὶ τὴν κατὰ τῶν ἀδελφῶν ἀρχήν, ὑπέμεινε, καὶ ὅπως ἀπὸ ἀγώνων ἀγῶνες αὐτὸν διεδέχοντο, καὶ πειρασμοῖς πειρασμοὶ συνήπτοντο, καὶ ἐπάλληλα ἦν τὰ ναυάγια, καὶ ὁ κυβερνήτης οὐ κατεποντίζετο, καὶ σφοδροτέρου τοῦ χειμῶνος ἐπανισταμένου, καθάπερ ἐπὶ τῶν οἰάκων καθήμενος, οὕτω τὴν ναῦν ἴθυνεν. Ἄξιον δὲ ἀκοῦσαι καὶ αὐτῶν τῶν ῥημάτων, ἵνα πάντα μετὰ ἀκριβείας μαθεῖν δυνηθῶμεν.

«Ἰωσὴφ δέ», φησί, «κατήχθη εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐτὸν ὁ ἀρχιμάγειρος Φαραὼ ἐκ χειρὸς Ἰσμαηλιτῶν». Εἶτα ἐπειδὴ καὶ οἱ παρὰ τῶν ἀδελφῶν αὐτὸν ὠνησάμενοι βάρβαροί τινες καὶ ἀλλόκοτοι ἦσαν τὸ ἦθος, καὶ πάλιν αὐτοὶ τῷ Αἰγυπτίῳ τῷ ἀρχιμαγείρῳ τοῦ Φαραὼ αὐτὸν ἀπέδοντο, καὶ διαφόρους ἤμειβε δεσπότας ὁ ἐν ταῖς ἀγκάλαις τοῦ πατρὸς ἀνατραφείς· ἵνα μὴ ξενιζώμεθα, πῶς ἤνεγκε τὴν μοχθηρὰν ἐκείνην δουλείαν νέος ὤν, καὶ πάσης τοιαύτης σκληραγωγίας ἄπειρος, καὶ ἐν οἰκίᾳ μετὰ πολλῆς τῆς πατρι-

μὲ τὴν τόσην σοφίαν του. Διότι, ἐὰν δὲν θελήσωμεν νὰ ἐξετάσωμεν τὸν σκοπὸν καὶ τὴν αἰτίαν τοῦ καθενὸς γεγονότος, ὄχι μόνον θὰ κατηγορήσωμεν αὐτήν, ἀφοῦ ἦλθεν εἰς ἐπιμιξίαν μὲ τὸν πενθερόν της, ἀλλὰ καὶ τὸν Ἀβραὰμ θὰ κατηγορήσωμεν, διότι ἔγινε παιδοκτόνος κατὰ τὴν σκέψιν, καὶ τὸν Φινεές, διότι ἔκαμε δύο φόνους. Ἐὰν ὅμως γνωρίσωμεν ἀκριβῶς τὴν αἰτίαν τοῦ καθενός, θὰ ἀπαλλάξωμεν καὶ ἐκείνους ἀπὸ τὴν κατηγορίαν καὶ ἡμεῖς οἱ ἴδιοι θὰ ὠφεληθῶμεν πολὺ ἀπ' αὐτὴν τὴν ἱστορίαν. Ἀλλὰ τὰ σχετικὰ μὲ αὐτὴν τὴν ἱστορίαν τὰ διηγήθημεν, ὅσον ἦτο δυνατόν, εἰς τὴν ἀγάπην σας μὲ κάθε λεπτομέρειαν, ἂν δὲ δὲν ἐκουράσθητε καὶ θέλετε νὰ ἀσχοληθῶμεν μὲ τὰ ἑπόμενα, θὰ ἔλθωμεν καὶ πάλιν εἰς τὴν διήγησιν τὴν σχετικὴν μὲ τὸν θαυμάσιον Ἰωσήφ, διὰ νὰ μάθετε καὶ ἀπ' αὐτὰ ποὺ θὰ εἴπουμεν σήμερον, πόσα ὑπέφερεν ὁ γενναῖος αὐτὸς ἀθλητὴς μετὰ ἀπὸ ἐκεῖνα τὰ ὄνειρα, τὰ ὁποῖα προεμήνυον εἰς αὐτὸν τὴν βασιλείαν καὶ τὴν ἐπὶ τῶν ἀδελφῶν ἐξουσίαν καὶ μὲ ποῖον τρόπον ἂν καὶ ὁ ἕνας ἀγὼν διεδέχετο τὸν ἄλλον καὶ αἱ δοκιμασίαι ἠκολούθουν ἡ μία τὴν ἄλλην καὶ τὰ ναυάγια ἦσαν ἀλλεπάλληλα, ἀλλ' ὅμως ὁ κυβερνήτης δὲν κατεποντίζετο, καὶ ἂν καὶ ἐπανήρχετο ἡ κακοκαιρία σφοδροτέρα, διηύθυνεν ἔτσι τὸ πλοῖον, ὡσὰν νὰ ἐκάθητο εἰς τὸ πηδάλιον τοῦ πλοίου. Ἀξίζει ὅμως νὰ ἀκούσωμεν τοὺς ἰδίους τοὺς λόγους τῆς Γραφῆς, διὰ νὰ ἠμπορέσωμεν νὰ μάθωμεν τὰ πάντα μὲ ἀκρίβειαν.

«Ὁ δὲ Ἰωσήφ», λέγει, «μετεφέρθη εἰς τὴν Αἴγυπτον καὶ ἠγόρασεν αὐτὸν ἀπὸ τοὺς Ἰσμαηλίτας ὁ ἀρχιμάγειρος τοῦ Φαραώ». Ἔπειτα, ἐπειδὴ καὶ αὐτοί, οἱ ὁποῖοι ἠγόρασαν αὐτὸν ἀπὸ τοὺς ἀδελφούς του, ἦσαν βάρβαροι καὶ παράξενοι εἰς τὸ ἦθος, ἐπώλησαν μὲ τὴν σειράν των καὶ αὐτοὶ τὸν Ἰωσὴφ εἰς τὸν Αἰγύπτιον ἀρχιμάγειρον τοῦ Φαραὼ καὶ ἔτσι ἤλλασσε διαφόρους κυρίους αὐτός, ὁ ὁποῖος ἀνετράφη εἰς τὰς ἀγκάλας τοῦ πατρός του. Διὰ νὰ μὴ παραξενευώμεθα, πῶς ὑπέφερεν ἐκείνην τὴν σκληρὰν δουλείαν ἐνῷ ἦτο μικρὸς καὶ ἄπειρος ἀπὸ κάθε τέτοιαν σκληραγωγίαν καὶ εἶχεν ἀνατραφῆ μὲ πολλὴν πατρι-

κῆς φιλοστοργίας ἀνατραφείς, ἐπήγαγεν ἡ Γραφὴ λέγουσα· «Καὶ ἦν Κύριος μετὰ Ἰωσήφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων». Τί ἐστι, «Καὶ ἦν Κύριος μετὰ Ἰωσήφ;». Συμπαρῆν αὐτῷ, φησίν, ἡ ἄνωθεν χάρις, καὶ αὐτὴ αὐτῷ πάντα τὰ δυσχερῆ ἐξευμάριζεν. Αὕτη πάντα τὰ κατ' αὐτὸν ᾠκονόμει· αὕτη καὶ τοὺς ἐμπόρους ἐκείνους ἡμερωτέρους αὐτῷ κατέστησε, καὶ ἀποδόσθαι τῷ ἀρχιμαγείρῳ κατηνάγκασεν, ἵνα ὁδῷ προβαίνων οὕτω κατὰ μικρόν, καὶ διὰ τῶν πειρασμῶν τούτων ὁδεύων ἐπὶ τὸν τῆς βασιλείας θρόνον ἀνελθεῖν δυνηθῇ.

Ἀλλὰ σύ, ἀγαπητέ, ἀκούων ὅτι ὑπέμεινε τὴν δουλείαν τὴν παρὰ τοῖς ἐμπόροις, εἶτα διεδέξατο ἡ δουλεία τοῦ ἀρχιμαγείρου, λογίζου, πῶς οὐκ ἐταράττετο, οὐδὲ διελογίζετο καθ' ἑαυτὸν καὶ ἠπόρει καὶ ἔλεγε· τίς ἡ τῶν ὀνειράτων ἐκείνων ἀπάτη ἡ τοσαύτην τὴν περιφάνειάν μοι μηνύουσα; Ἰδοὺ γὰρ μετὰ τὰ ὀνείρατα ἐκεῖνα δουλεία, καὶ δουλεία χαλεπή, καὶ δεσπότας ἀμείβω, ἀπὸ τούτου πρὸς ἐκεῖνον, καὶ ἀπ' ἐκείνου πρὸς τοῦτον, καὶ ἀναγκάζομαι ἔθεσιν ἀλλοκότοις συναναμίγνυσθαι. Ἆρα μὴ ἐγκατελείφθημεν; ἆρα μὴ παρώφθημεν παρὰ τῆς ἄνωθεν ῥοπῆς; Οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ἔφερε πάντα πρᾴως καὶ γενναίως. «Ἦν γὰρ Κύριος μετὰ Ἰωσήφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων». Τί ἐστιν, «Ἐπιτυγχάνων»; Πάντα αὐτῷ κατευώδου, πανταχοῦ προωδοποίει αὐτῷ ἡ ἄνωθεν χάρις, καὶ οὕτω φανερὰ ἦν ἡ ἐπανθοῦσα αὐτῷ χάρις, ὡς καὶ τῷ δεσπότῃ αὐτοῦ τῷ ἀρχιμαγείρῳ κατάδηλον τοῦτο γενέσθαι. «Ἤδει γάρ», φησίν, «ὁ κύριος αὐτοῦ, ὅτι Κύριος ἦν μετ' αὐτοῦ, καὶ πάντα, ὅσα ἂν ποιῇ, Κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν αὐτοῦ. Εὗρε δὲ Ἰωσὴφ χάριν ἐναντίον τοῦ κυρίου αὐτοῦ, καὶ κατέστησεν αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ, καὶ πάντα ὅσα ἦν αὐτῷ ἔδωκε διὰ χειρὸς Ἰωσήφ».

Εἶδες ὅσον ἐστὶν ὑπὸ τῆς ἄνωθεν βοηθεῖσθαι δε-

κὴν στοργὴν εἰς τὸν οἶκον του, συνεχίζει ἡ Γραφὴ καὶ λέγει· «Καὶ ἦτο ὁ Κύριος μαζί μὲ τὸν Ἰωσὴφ καὶ εἰς ὅλα τὰ πράγματα ἐπετύγχανε». Τί σημαίνει, «Καί ἦτο ὁ Κύριος μετὰ τοῦ Ἰωσήφ»; Συνώδευεν αὐτόν, λέγει, ἡ θεία Χάρις καὶ αὐτὴ παρεμέριζεν ὅλας τὰς δυσκολίας του. Αὐτὴ ἦτο ποὺ ἐρρύθμιζεν ὅλας τὰς ὑποθέσεις του. Αὐτὴ κατέστησε καὶ τοὺς ἐμπόρους ἐκείνους πιὸ ἡμέρους καὶ τοὺς ἠνάγκασε νὰ τὸν πωλήσουν εἰς τὸν ἀρχιμάγειρον, ὥστε νὰ προχωρῇ ὀλίγον κατ' ὀλίγον καὶ προχωρῶν διὰ μέσου αὐτῶν τῶν πειρασμῶν νὰ ἠμπορέσῃ νὰ ἀνέλθῃ εἰς τὸν βασιλικὸν θρόνον.

Ἀλλὰ καὶ σύ, ἀγαπητέ, ὅταν ἀκούῃς, ὅτι ὑπέμεινε τὴν δουλείαν εἰς τοὺς ἐμπόρους, ἔπειτα ὅτι τὴν διεδέχθη ἡ δουλεία εἰς τὸν ἀρχιμάγειρον, σκέψου, πῶς δὲν ἐταράσσετο, οὔτε ἐσκέπτετο, οὔτε ἠπόρει καὶ ἔλεγε· Διατί μὲ ἠπάτησαν τὰ ὄνειρα ἐκεῖνα, τὰ ὁποῖα προανήγγελλον, ὅτι θὰ γίνω τόσον ἔνδοξος; Διότι ἰδού, μετὰ τὰ ὄνειρα ἐκεῖνα ἦλθε δουλεία, καὶ δουλεία μάλιστα σκληρή, καὶ ἀλλάζω κυρίους, ἐρχόμενος ἀπὸ τὸν ἕνα εἰς τὸν ἄλλον καὶ ἀπὸ ἐκεῖνον εἰς τὸν ἄλλον καὶ ἀναγκάζομαι νὰ ζῶ μὲ ἀλλοκότους συνηθείας. Ἀρά γε μήπως ἔχω ἐγκαταλειφθῆ; ἆρά γε μήπως ἔχω περιφρονηθῆ ἀπὸ τὴν θείαν χάριν; Τίποτε τέτοιο δὲν εἶπεν, οὔτε καὶ ἐσκέφθη, ἀλλ' ὑπέφερε τὰ πάντα μὲ πραότητα καὶ γενναιότητα. «Διότι ἦτο ὁ Κύριος μετὰ τοῦ Ἰωσὴφ καὶ εἰς ὅλα τὰ πράγματα ἐπετύγχανε». Τί σημαίνει, «Ἐπιτυγχάνων»; Ὅλα ἤρχοντο εἰς αὐτόν εὐνοϊκά, παντοῦ ἡ θεία χάρις ἤνοιγεν εἰς αὐτὸν τὴν ὁδὸν καὶ τόσον φανερὰ ἦτο αὐτὴ ἡ χάρις, ἡ ὁποία ἦτο πλήρης εἰς αὐτόν, ὥστε νὰ γίνῃ αὐτὴ ὁλοφάνερη καὶ εἰς τὸν κύριόν του τὸν ἀρχιμάγειρον. Διότι λέγει, «Ἐγνώριζεν ὁ κύριός του ὅτι ὁ Θεὸς ἦτο μαζί του καὶ ὅλα αὐτά, τὰ ὁποῖα κάνει, ὁ Κύριος τὰ εὐλογεῖ εἰς τὰ χέρια του. Καὶ ἀπέκτησε τὴν ἐκτίμησιν τοῦ κυρίου του ὁ Ἰωσὴφ καὶ τὸν διώρισεν ἐπιστάτην εἰς τὸν οἶκον του καὶ ὁλόκληρον τὴν περιουσίαν του τὴν παρέδωσε, διά νὰ τὴν διαχειρίζεται ἐκεῖνος».

Εἶδες πόσον μεγάλο πρᾶγμα εἶναι νὰ βοηθῆται κανεὶς

ξιᾶς; Ἰδοὺ γὰρ καὶ νέος καὶ ξένος καὶ αἰχμάλωτος καὶ δοῦλος, καὶ πᾶσαν ἐγχειρίζεται παρὰ τοῦ δεσπότου τὴν οἰκίαν, «Καὶ πάντα διὰ χειρὸς αὐτοῦ δέδωκε», φησί. Διὰ τί; Ἐπειδὴ μετὰ τῆς ἄνωθεν συνεργίας καὶ τὸν οἰκεῖον τρόπον εἰσήνεγκεν. «Εὐηρέστει γὰρ αὐτῷ», φησίν, ἀντὶ τοῦ, 'μετὰ πολλῆς εὐνοίας ἅπαντα διεπράττετο'. Εἶτα βουλόμενος αὐτὸν ὁ φιλάνθρωπος Θεὸς ἐν πλείονι καταστῆσαι ἀδείᾳ, οὐκ ἀπήλλαξε τῆς δουλείας, οὐδὲ ἐν ἐλευθερίᾳ παρεσκεύασεν εἶναι. Τοῦτο γὰρ αὐτῷ ἔθος ἀεί, τοὺς ἐναρέτους ἄνδρας οὐκ ἀπαλλάττειν τῶν κινδύνων, οὐδὲ ἐλευθεροῦν τῶν πειρασμῶν, ἀλλ' ἐν αὐτοῖς τοῖς πειρασμοῖς τοσαύτην ἐπιδείκνυσθαι τὴν οἰκείαν ῥοπήν, ὡς αὐτοὺς τοὺς πειρασμοὺς ὑπόθεσιν αὐτοῖς ἑορτῆς γίνεσθαι. Διὰ τοῦτο καὶ ὁ μακάριος Δαυὶδ ἔλεγεν, «Ἐν θλίψει ἐπλάτυνάς με». Οὐχὶ τὴν θλῖψιν ἀπήλασας, φησίν, οὐδὲ ταύτης ἀπαλλάξας ἐν ἀνέσει με εἶναι πεποίηκας, ἀλλ' ὅπερ ἐστὶ θαυμαστὸν καὶ παράδοξον, ἐν μέσῳ τῶν θλίψεων τυγχάνοντα ἐν ἀδείᾳ εἶναι παρασκευάσας. Τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ ὁ φιλάνθρωπος Δεσπότης. «Εὐλόγησε γὰρ τὸν οἶκον τοῦ Αἰγυπτίου διὰ τὸν Ἰωσήφ». Καὶ ἐμάνθανε λοιπὸν ὁ βάρβαρος, ὅτι τῶν ᾠκειωμένων ἐστὶ τῷ Θεῷ ὁ νομιζόμενος οἰκέτης, «Καὶ ἐπέτρεψε», φησίν, «ἅπαντα ὅσα ἦν αὐτῷ διὰ χειρὸς Ἰωσήφ· καὶ οὐκ ᾔδει οὐδέν, πλὴν τοῦ ἄρτου οὗ ἤσθιε». Μονονουχὶ δεσπότην αὐτὸν κατέστησε πάσης τῆς ἑαυτοῦ οἰκίας. Καὶ ἦν ὁ δοῦλος, ὁ αἰχμάλωτος ὑπὸ τὴν ἑαυτοῦ χεῖρα ἔχων πάντα τὰ τοῦ δεσπότου. Τοσοῦτόν ἐστιν ἀρετή· ὅπου γὰρ ἐὰν αὕτη φανῇ, πάντων περιγίνεται καὶ κρατεῖ. Ὥσπερ γὰρ τοῦ φωτὸς ἀνατείλαντος ἀπελαύνεται τὸ σκότος, οὕτω καὶ νῦν τῆς ἀρετῆς φανείσης ἐκποδὼν πᾶσα κακία γίνεται.

ἀπὸ τὴν δεξιὰν τοῦ Κυρίου; Διότι ἰδού, ἂν καὶ ἦτο καὶ νέος καὶ ξένος καὶ αἰχμάλωτος καὶ δοῦλος, ὅμως ἔχει τὴν διαχείρισιν τῆς οἰκίας τοῦ κυρίου του, «Καὶ ὁλόκληρον τὴν περιουσίαν του τὴν παρέδωσε, διὰ νὰ τὴν διαχειρίζεται ἐκεῖνος», λέγει. Διατί; Διότι μαζί μὲ τὴν ἄνωθεν βοήθειαν προσέφερε καὶ τὸν ἰδικόν του τρόπον. Διότι λέγει, «Ἦτο εὐχάριστος εἰς αὐτόν», ἀντὶ νὰ εἰπῇ, 'ἔκαμνε τὸ κάθε τι μὲ πολλὴν ἀγάπην'. Ἔπειτα ἂν καὶ ὁ φιλάνθρωπος Θεὸς ἤθελε νὰ τὸν κάμῃ περισσότερον ἀσφαλῆ, ὅμως δὲν τὸν ἀπήλλαξεν ἀπὸ τὴν δουλείαν, οὔτε τὸν κατέστησεν ἐλεύθερον. Διότι ἔτσι συνηθίζει πάντοτε αὐτός, νὰ μὴ ἀπαλλάσσῃ δηλαδὴ τοὺς ἐναρέτους ἀνθρώπους ἀπὸ τοὺς κινδύνους, οὔτε νὰ τοὺς ἐλευθερώνῃ ἀπὸ τοὺς πειρασμούς, ἀλλὰ μέσα εἰς αὐτοὺς τοὺς πειρασμοὺς νὰ ἐπιδεικνύῃ τὴν βοήθειάν του, ὥστε καὶ οἱ πειρασμοὶ οἱ ἴδιοι νὰ γίνωνται εἰς αὐτοὺς ἀφορμὴ ἑορτασμοῦ. Διὰ τοῦτο καὶ ὁ μακάριος Δαυὶδ ἔλεγε· «Μέσα εἰς τὴν θλῖψιν μου μὲ ἔκαμες νὰ εὐφρανθῶ»[3]. Δὲν λέγει, ἔδιωξες τὴν θλῖψιν, οὔτε ὅτι, ἀφοῦ μὲ ἀπήλλαξες ἀπ' αὐτήν, μὲ ἔκαμες νὰ ζῶ μέσα εἰς τὰς ἀνέσεις, ἀλλ' ἐκεῖνο, τὸ ὁποῖον εἶναι ἀξιοθαύμαστον καὶ παράδοξον, ὅτι, ἂν καὶ εὑρισκόμην ἐν μέσῳ τῶν θλίψεων, μὲ ἔκαμες νὰ ζῶ χωρὶς φόβον. Αὐτὸ λοιπὸν ἔκαμε καὶ εἰς αὐτὴν τὴν περίπτωσιν ὁ φιλάνθρωπος Κύριος. «Διότι εὐλόγησεν ὁ Θεὸς τὸν οἶκον τοῦ Αἰγυπτίου ἐξ αἰτίας τοῦ Ἰωσήφ». Καὶ ἐγνώριζεν εἰς τὸ ἑξῆς καὶ ὁ βάρβαρος, ὅτι αὐτὸς ποὺ ἐθεωρεῖτο ὑπηρέτης, εἶναι ἐκ τῶν οἰκείων τοῦ Θεοῦ. «Καὶ ἀνέθεσε τὰ πάντα», λέγει, «ὅσα εἶχεν αὐτός, εἰς τὰ χέρια τοῦ Ἰωσήφ. Καὶ δὲν ἐγνώριζε τίποτε ἄλλο ἐκτὸς ἀπὸ τὸν ἄρτον, τὸν ὁποῖον ἔτρωγεν». Ἦτο ὡσὰν νὰ κατέστησεν αὐτὸν κύριον ὁλοκλήρου τῆς οἰκίας του. Καὶ εἶχεν ὁ δοῦλος, ὁ αἰχμάλωτος, ὑπὸ τὴν ἐξουσίαν του ὅλα ὅσα εἶχεν ὁ κύριος. Τόσον μεγάλο πρᾶγμα εἶναι ἡ ἀρετή. Διότι ὅπου καὶ ἂν φανῇ, ὅλα τὰ νικᾷ καὶ τὰ ὑπερβάλλει. Διότι ὅπως ἀκριβῶς ἀνατέλλει τὸ φῶς καὶ χάνεται τὸ σκότος, κατὰ τὸν ἴδιον τρόπον καὶ τώρα, ἀφοῦ ἐφάνη ἡ ἀρετή, κάθε κακία τρέπεται εἰς φυγήν.

4. Ἀλλὰ τὸ πονηρὸν θηρίον ὁ διάβολος, θεασάμενος τοῦ δικαίου τὴν εὐδοκίμησιν, καὶ ὅτι δι' αὐτῶν τῶν νομιζομένων λυπηρῶν περιφανέστερος ἐγίνετο, τρίζων τοὺς ὀδόντας καὶ μεμηνώς, καὶ οὐδὲ φέρων ὁρᾶν τὸν δίκαιον οὕτω καθ' ἑκάστην ἡμέραν λαμπρότερον γινόμενον, βόθρον αὐτῷ ἀνορύττει βαθύν, καὶ κρημνόν, ὡς ἐνόμιζε, μέγιστον αὐτῷ τίκτοντα τὸν ὄλεθρον, καὶ χειμῶνα κατασκευάζει, σφοδρὸν αὐτῷ τὸ ναυάγιον ἐργάσασθαι δυνάμενον· ἀλλ' ἐμάνθανεν οὐκ εἰς μακράν, ὅτι πρὸς κέντρα λακτίζει, καὶ κατὰ τῆς οἰκείας κεφαλῆς ἅπαντα διαπράττεται. «Καὶ ἦν Ἰωσήφ», φησί, «καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει». Τίνος ἕνεκεν ἡμῖν τὴν εὐμορφίαν τοῦ σώματος διηγεῖται; Ἵνα μάθωμεν, ὅτι οὐ μόνον τῇ κατὰ ψυχὴν εὐμορφίᾳ ἦν καλός, ἀλλὰ καὶ τῷ σώματι. Ἐν αὐτῷ γὰρ τῷ ἄνθει τῆς ἡλικίας νέος ἦν, καὶ «Καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει». Ταῦτα δὲ προλαβοῦσα διηγεῖται περὶ αὐτοῦ ἡ θεία Γραφή, ἵνα διδάξῃ ἡμᾶς, ὡς ἁλοῦσα τῷ κάλλει τοῦ νεανίσκου ἡ Αἰγυπτία πρὸς τὴν παράνομον ἐκείνην μίξιν αὐτὸν ἐκάλει. «Καὶ ἐγένετο», φησί, «μετὰ ταῦτα». Τί ἐστι, «Μετὰ ταῦτα»; Μετὰ τὸ πάσης τῆς οἰκίας τὴν ἐξουσίαν αὐτὸν ἐμπιστευθῆναι, καὶ μετὰ τὸ ἐν τοσαύτῃ εἶναι τιμῇ ἀξιωθῆναι παρὰ τοῦ δεσπότου, «Ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ τὸν Ἰωσήφ».

Ὅρα τὴν ἀναίδειαν τῆς ἀκολάστου γυναικός. Οὐχ ὅτι δέσποινα εἶναι ἐνομίζετο ἐν διανοίᾳ ἔλαβεν, οὐχ ὅτι οἰκέτης ἦν ἐκεῖνος, ἀλλ' ὑπὸ τῆς εὐμορφίας ἁλοῦσα, καὶ τὸν ἐμπρησμὸν τὸν σατανικὸν δεξαμένη, ἐπιπηδᾶν ἐπεχείρει λοιπὸν τῷ νεανίσκῳ, καὶ τὸν πονηρὸν τοῦτον λογισμὸν ἐν τῇ διανοίᾳ συνέχουσα, καιρὸν ἐπεζήτει καὶ ἐρημίαν τὴν δυναμένην αὐτῇ συμπρᾶξαι πρὸς τὴν παράνομον ταύτην ἐπιχείρησιν. «Ὁ δέ», φησίν, «οὐκ ἤθελεν»· οὐκ ἐπείθετο, οὐδὲ κατεδέχετο τὰ

2. Ψαλμ. 4, 2.

4. Τὸ πονηρὸν θηρίον ὅμως, ὁ διάβολος, ὅταν εἶδε τὴν πρόοδον τοῦ δικαίου καὶ ὅτι καὶ μὲ αὐτὰ ποὺ ἐθεωροῦντο λυπηρά, ἐγίνετο περισσότερον ἔνδοξος, τρίζων τὰ δόντια του καὶ πλήρης ἀπὸ μανίαν, ἐπειδὴ δὲν ἠμποροῦσε νὰ βλέπῃ τὸν δίκαιον νὰ γίνεται ἔτσι καθημερινῶς καὶ ἐνδοξότερος, σκάπτει δι' αὐτὸν βαθὺν λάκκον καὶ κρημνόν, ποὺ ὅπως ἐνόμιζε θὰ τοῦ ἐπροκαλοῦσε πολὺ μεγάλην καταστροφὴν καὶ τοῦ προετοιμάζει μεγάλην φουρτούναν, ἡ ὁποία θὰ ἠμποροῦσε νὰ προκαλέσῃ εἰς αὐτὸν πολὺ σφοδρὸν ναυάγιον. Ἀλλὰ μετὰ ἀπ' ὀλίγον ἐμάθαινεν, ὅτι κλωτσᾷ ἐπάνω εἰς τὰ καρφιά, καὶ ὅτι ὅλα, ὅσα πράττει, στρέφονται ἐναντίον τῆς κεφαλῆς του. «Καὶ ὁ Ἰωσήφ», λέγει, «ἦτο ὡραῖος εἰς τὴν ἐμφάνισιν καὶ ὅμορφος εἰς τὸ πρόσωπον». Διατί μᾶς διηγεῖται τὴν ὀμορφιὰν τοῦ σώματος; Διὰ νὰ μάθωμεν, ὅτι δὲν ἦτο μόνον εἰς τὴν ψυχὴν καλός, ἀλλὰ καὶ εἰς τὸ σῶμα. Καθ' ὅσον εὑρίσκετο εἰς τὸ ἄνθος τῆς νεότητος καὶ ἦτο «ὡραῖος εἰς τὴν ἐμφάνισιν καὶ ὅμορφος εἰς τὸ πρόσωπον». Καὶ διηγεῖται ἡ ἁγία Γραφὴ αὐτὰ εἰς ἡμᾶς ἐκ τῶν προτέρων, διὰ νὰ μᾶς διδάξῃ, ὅτι ἡ Αἰγυπτία ἐκυριεύθη ἀπὸ τὴν ὡραιότητα τοῦ νέου καὶ τὸν ἐκάλει εἰς τὴν παράνομον ἐκείνην σύζευξιν. «Καὶ συνέβη», λέγει, «μετὰ ἀπὸ αὐτά». Τί σημαίνει «Μετὰ ἀπὸ αὐτά»; Μετὰ ἀπὸ τὸ γεγονὸς ποὺ ἐνεπιστεύθη εἰς αὐτὸν τὴν διοίκησιν ὁλοκλήρου τῆς οἰκίας του, καὶ μετὰ ἀπὸ τότε ποὺ ἠξιώθη ἀπὸ τὸν κύριόν του νὰ ἔχῃ τόσην τιμήν, «Ἔρριψεν ἡ σύζυγος τοῦ κυρίου του τοὺς ὀφθαλμούς της εἰς τὸν Ἰωσὴφ μὲ πονηρὰς διαθέσεις».

Πρόσεχε τὴν ἀναίδειαν τῆς ἀκολάστου γυναικός. Οὔτε ἐσκέφθη, ὅτι ἐθεωρεῖτο κυρία, οὔτε ὅτι ἐκεῖνος ἦτο ὑπηρέτης, ἀλλὰ κυριευθεῖσα ἀπὸ τὴν ὀμορφιὰν καί, ἀφοῦ ἐκάη ἀπὸ τὴν σατανικὴν φωτιάν, ἐπεχείρει νὰ κάνῃ ἔφοδον ἐναντίον τοῦ νέου, καί, ἔχουσα εἰς τὸν νοῦν της τὴν πονηρὰν αὐτὴν σκέψιν, ἔψαχνε νὰ εὕρῃ τὴν κατάλληλον εὐκαιρίαν καὶ τὴν μοναξιάν, ἡ ὁποία θὰ ἦτο δυνατὸν νὰ τὴν βοηθήσῃ εἰς τὴν παράνομον αὐτὴν ἐπιχείρησιν. «Αὐτὸς ὅμως», λέγει, «δὲν ἤθελε». Δὲν ὑπήκουεν, οὔτε ἐδέ-

παρ' ἐκείνης ῥήματα. Ἤδει γὰρ πολὺν αὐτῷ φέροντα τὸν ὄλεθρον· καὶ οὐ μόνον τὰ καθ' ἑαυτὸν ἐσκόπει, ἀλλὰ σπουδὴν ἐποιεῖτο κἀκείνην, καθ' ὅσον οἷόν τε ἦν, ἀπαλλάξαι τῆς μανίας καὶ τῆς ἀτόπου ταύτης ἐπιθυμίας. Καὶ συμβουλὴν αὐτῇ εἰσάγει ἱκανὴν αὐτὴν καταιδέσαι, καὶ ποιῆσαι τὸ συμφέρον ἐπιγνῶναι. «Εἶπε γάρ», φησί, «τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ»(ἡ δέσποινα παρὰ τοῦ δούλου συμβουλὴν δέχεται)· «εἰ ὁ κύριός μου οὐ γινώσκει δι' ἐμὲ οὐδὲν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ, ἀλλὰ πάντα ὅσα ἐστὶν αὐτῷ, δέδωκεν εἰς τὰς χεῖράς μου».

Ὢ εὐγνωμοσύνης ἀνδρός. Ὅρα πῶς ἀπαριθμεῖται τοῦ δεσπότου τὰς εὐεργεσίας, ἵνα δείξῃ ὅσῃ τῇ ἀγνωμοσύνῃ ἐκείνη κέχρηται πρὸς τὸν ὁμόζυγον. Εἰ γὰρ ἐγώ, φησίν, ὁ οἰκέτης, ὁ ξένος, ὁ αἰχμάλωτος, τοσαύτης ἀπήλαυσα παρ' αὐτοῦ ἀδείας, ὡς ἅπαντα ὑπὸ τὴν χεῖρα εἶναι τὴν ἐμήν, καὶ οὐδέν ἐστιν ὃ ὑπεξαιρεῖται τῆς χειρός μου, πλὴν σοῦ, ἀλλὰ πᾶσι μὲν αὐτὸς ἐπίκειμαι, μόνῃ δὲ σοὶ ὑποτέταγμαι, καὶ ἔξω τυγχάνεις τῆς ἐμῆς ἐξουσίας. Εἶτα ἵνα καιρίαν δῷ τὴν πληγήν, καὶ ὑπομνήσῃ τῆς εὐνοίας τοῦ ἀνδρός, καὶ πείσῃ αὐτὴν μὴ ἀγνώμονα περὶ τὸν σύνοικον γενέσθαι, φησί· καὶ σὺ διὰ τοῦτο ἔξω τῆς ἐξουσίας τῆς ἐμῆς τυγχάνεις, «Διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι». Εἰ τοίνυν γυνὴ αὐτοῦ τυγχάνεις, «πῶς οὖν ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ;». Ἐπειδὴ γὰρ ἐκείνη τὴν ἐρημίαν ἐζήτει, καὶ καιρὸν ἀνέμενε, λαθεῖν σπουδάζουσα τὸν ἄνδρα, καὶ τοὺς οἰκέτας τοὺς ἐπὶ τῆς οἰκίας ἅπαντας, φησὶν οὕτος· «Πῶς δυνήσομαι ποιῆσαι τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ;». Τί γὰρ νομίζεις; Κἂν πάντας λαθεῖν δυνηθῶμεν, τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ δυνάμεθα λαθεῖν. Ἐκεῖνον μόνον δεδοικέναι

χετο τοὺς λόγους ἐκείνης. Διότι ἐγνώριζεν, ὅτι θὰ προεκάλουν εἰς αὐτὸν μεγάλην καταστροφήν. Καὶ ὄχι μόνον ἐσκέπτετο διὰ λογαριασμόν του, ἀλλὰ ἐφρόντιζε καὶ δι' ἐκείνην, ὅσον ἦτο δυνατόν, νὰ τὴν ἀπαλλάξῃ ἀπὸ τὴν τρέλλαν καὶ τὴν παράνομον αὐτὴν ἐπιθυμίαν. Καὶ δίδει εἰς αὐτὴν συμβουλὴν ἀρκετὴν νὰ τὴν κάμῃ νὰ ἐντραπῇ καὶ νὰ καταλάβῃ τὸ συμφέρον της. Διότι λέγει, «Εἶπεν εἰς τὴν γυναῖκα τοῦ κυρίου του». ('Η κυρία δέχεται συμβουλὴν ἀπὸ τὸν δοῦλον). «Ἰδοὺ ὁ κύριός μου δὲν γνωρίζει τίποτε ἀπ' ὅσα ἔχει εἰς τὸν οἶκον του, ἀλλὰ λόγῳ τῆς πρὸς ἐμὲ ἐμπιστοσύνης του ὅλα ὅσα ἔχει τὰ παρέδωσεν εἰς τὰ χέρια μου».

Πῶ, πῶ μέγεθος εὐγνωμοσύνης ἀνθρώπου. Πρόσεχε πῶς ἀπαριθμεῖ τὰς εὐεργεσίας τοῦ κυρίου του διὰ νὰ ἀποδείξῃ, μὲ πόσην ἀχαριστίαν συμπεριφέρεται πρὸς τὸν σύζυγόν της. Διότι, λέγει, πράγματι ἐγὼ ὁ ὑπηρέτης, ὁ ξένος, ὁ αἰχμάλωτος, ἀπήλαυσα τόσην ἐλευθερίαν ἐκ μέρους του, ὥστε τὰ πάντα νὰ εὑρίσκωνται ὑπὸ τὴν ἐξουσίαν μου, καὶ δὲν εἶναι τίποτε ποὺ νὰ ἐξαιρῆται, ἐκτὸς ἀπὸ σέ, ἀλλὰ ὅλα νὰ εἶναι ὑπὸ τὴν ἐξουσίαν μου, μόνον δὲ εἰς σὲ ὑποτάσσομαι καὶ εἶσαι ἔξω ἀπὸ τὴν δικαιοδοσίαν μου. Ἔπειτα διὰ νὰ ἀνοίξῃ εἰς αὐτὴν ἀποφασιστικὴν πληγὴν καὶ διὰ νὰ τὴν ὑπενθυμήσῃ διὰ τὴν εὔνοιαν τοῦ ἀνδρός της καὶ διὰ νὰ τὴν πείσῃ νὰ μὴ φανῇ ἀχάριστη εἰς τὸν σύζυγόν της λέγει· Καὶ σὺ διὰ τὸν ἑξῆς λόγον εἶσαι ἐκτὸς τῆς δικαιοδοσίας μου, «Διότι εἶσαι σύζυγός του». Ἐὰν λοιπὸν συμβαίνῃ νὰ εἶσαι γυναῖκα του, «πῶς θὰ κάμω αὐτὸ τὸ κακὸν καὶ θὰ ἁμαρτήσω ἐνώπιον τοῦ Θεοῦ;». Ἐπειδὴ δηλαδὴ ἐκείνη ἐπεδίωκε τὴν ἐρημίαν καὶ ἐπερίμενε τὴν εὐκαιρίαν, προσπαθοῦσα νὰ διαφύγῃ τῆς προσοχῆς τοῦ ἀνδρός της καὶ ὅλων τῶν ὑπηρετῶν, οἱ ὁποῖοι ἦσαν εἰς τὸν οἶκον, λέγει αὐτός· «Πῶς θὰ ἠμπορέσω νὰ κάμω αὐτὸ τὸ πρᾶγμα καὶ νὰ ἁμαρτήσω ἐνώπιον τοῦ Θεοῦ;». Διότι τί νομίζεις; Καὶ ἂν ἠμπορέσωμεν νὰ διαφύγωμεν τὴν προσοχὴν ὅλων, τὸν ἀκοίμητον ὀφθαλμὸν δὲν θὰ ἠμπορέσωμεν νὰ τὸν ἀποφύγωμεν. Ἐκεῖνον μόνον πρέπει νὰ φοβώ-

δεῖ, καὶ ἀγωνιᾶν καὶ τρέμειν, ὥστε μὴ ὑπὸ ταῖς ἐκείνου ὀφθαλμοῖς παράνομόν τι διαπράξασθαι.

Καὶ ἵνα μάθωμεν τὴν ὑπερβάλλουσαν τοῦ δικαίου ἀρετήν, καὶ ὅτι οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις τὸν ἀγῶνα τοῦτον ὑπέμεινε, καὶ τῆς λέξεως ταύτης ἠνέσχετο, καὶ συμβουλεύων οὐκ ἐπαύσατο, φησὶν ἡ Γραφή· Ἡνίκα δὲ ἐλάλει ἡμέραν ἐξ ἡμέρας, καὶ οὐχ ὑπήκουσεν αὐτῆς· ἐπιτηρήσασα τὰ ἐπὶ τῆς οἰκίας διαπραττόμενα ἐπιπηδᾷ τῷ νεανίσκῳ, καθάπερ θηρίον θῆγον τοὺς ὀδόντας, καὶ ἐπισπασαμένη τῶν ἱματίων κατεῖχε. Μὴ ἁπλῶς τοῦτο παραδράμωμεν, ἀλλ' ἐννοήσωμεν ὅσον ὑπέμεινε τὸν ἀγῶνα ὁ δίκαιος ἐκεῖνος. Οὐ γὰρ οὕτω θαυμαστὸν ἦν, ὡς ἔμοιγε δοκεῖ, ἐν μέσῃ τῇ Βαβυλωνίᾳ καμίνῳ τοὺς τρεῖς παῖδας ὄντας ἀβλαβεῖς διαμεῖναι, καὶ μηδὲν ὑπὸ τοῦ πυρὸς παθεῖν, ὡς θαυμαστὸν ἐγένετο καὶ παράδοξον τὸν θαυμαστὸν τοῦτον νεανίσκον κατασχεθέντα τῶν ἱματίων ὑπὸ τῆς μιαρᾶς ταύτης καὶ ἀκολάστου μὴ ἐνδοῦναι, ἀλλὰ καὶ τὰ ἱμάτια ἀφέντα ἐν ταῖς ἐκείνης χερσὶν οὕτως ἀποπηδῆσαι. Ὥσπερ γὰρ οἱ τρεῖς παῖδες ἐκεῖνοι διὰ τὴν οἰκείαν ἀρετὴν τῆς ἄνωθεν ἀπολαύσαντες ῥοπῆς, τοῦ πυρὸς κρείττους ὤφθησαν, οὕτω καὶ οὗτος, ἐπειδὴ τὰ παρ' ἑαυτοῦ εἰσέφερε, καὶ τῆς σωφροσύνης τοὺς ἀγῶνας μετὰ πολλοῦ τοῦ τόνου ἐπεδείκνυτο, πολλῆς καὶ τῆς ἄνωθεν συμμαχίας ἀπήλαυσε, τῆς τοῦ Θεοῦ δεξιᾶς συμπραττούσης αὐτῷ τοσοῦτον ἆθλον νικῆσαι, καὶ ἔξω τῶν δικτύων τῆς ἀσελγοῦς ἐκείνης καταστῆναι. Καὶ ἦν ἰδεῖν λοιπὸν τότε τὸν θαυμάσιον τοῦτον γυμνὸν μὲν ἐξιόντα ἱματίων, ἐνδεδυμένον δὲ τῆς σωφροσύνης τὸ ἔνδυμα, καὶ καθάπερ ἀπό τινος πυρᾶς καὶ καμίνου ἀβλαβῆ διαφυγεῖν, καὶ οὐ μόνον οὐ κατακαυθέντα, ἀλλὰ καὶ λαμπρότερον καὶ φαιδρότερον γεγενημένον.

5. Ἀλλ' ὅρα μετὰ τοσαύτην νίκην, μετὰ τοσαύτην ἀνδρείαν, ὑπὲρ ὧν ἐχρῆν αὐτὸν στεφανωθῆναι,

μεθα καὶ νὰ ἀγωνιῶμεν καὶ νὰ τρέμωμεν, ὥστε νὰ μὴ διαπράξωμεν τίποτε τὸ πονηρὸν ὑπὸ τὰ βλέμματα αὐτοῦ.

Καὶ διὰ νὰ μάθωμεν τὴν ὑπερβολικὴν ἀρετὴν τοῦ δικαίου καὶ ὅτι ὄχι μόνον μίαν φοράν, οὔτε δύο, ἀλλὰ πολλὲς φορὲς ὑπέμεινεν αὐτὸν τὸν ἀγῶνα καὶ ἠνέχθη αὐτὰς τὰς λέξεις καὶ δὲν ἔπαυσε νὰ συμβουλεύῃ, λέγει ἡ Γραφή. Ἂν καὶ ἠνώχλει αὐτὸν καθημερινῶς, ὅμως δὲν ὑπεχώρησεν εἰς αὐτήν. Καὶ ἀφοῦ παρετήρησε, τί ἐγίνετο ἐντὸς τῆς οἰκίας, ὁρμᾶ εἰς τὸν νέον ὡσὰν θηρίον, τὸ ὁποῖον ἀκονίζει τοὺς ὀδόντας του καὶ ἀφοῦ ἥρπαξε τὰ ἐνδύματά του, τὰ ἐκράτησεν. Ἂς μὴ προσπεράσωμεν χωρὶς προσοχὴν αὐτό, ἀλλ' ἂς σκεφθῶμεν, πόσον ἀγῶνα ὑπέμεινεν ὁ δίκαιος ἐκεῖνος. Διότι δὲν ἦτο τόσον ἄξιον θαυμασμοῦ, ὅπως ἐγὼ νομίζω, τὸ νὰ μείνουν ἀβλαβεῖς καὶ νὰ μὴ πάθουν τίποτε οἱ τρεῖς νέοι, οἱ ὁποῖοι ἐρρίφθησαν εἰς τὴν Βαβυλῶνα μέσα εἰς τὴν κάμινον, ὅσον ἀξιοθαύμαστος καὶ παράδοξος ἔγινεν αὐτὸς ὁ νέος, ὁ ὁποῖος, ἂν καὶ ἐστερήθη τὰ ἐνδύματα ἀπ' αὐτὴν τὴν μιαρὰν καὶ ἀκόλαστον γυναῖκα, δὲν ὑπέκυψεν, ἀλλ', ἀφοῦ ἄφησεν αὐτὰ εἰς τὰ χέρια της, ἔφυγε γρήγορα εἰς αὐτὴν τὴν κατάστασιν. Διότι ὅπως ἀκριβῶς ἐκεῖνοι οἱ τρεῖς παῖδες ἀπήλαυσαν τὴν ἄνωθεν βοήθειαν ἐξ αἰτίας τῆς ἀρετῆς των καὶ ἀπεδείχθησαν ἀνώτεροι ἀπὸ τὸ πῦρ, κατὰ τὸν ἴδιον τρόπον καὶ αὐτός, ἀφοῦ προσεπάθησεν ὅσον ἠδύνατο καὶ ἠγωνίσθη μὲ σταθερότητα διὰ τὴν ἁγνότητα, ἔλαβε καὶ μεγάλην τὴν ἄνωθεν βοήθειαν, διότι τὸν καθωδήγει τὸ χέρι τοῦ Θεοῦ, ὥστε νὰ νικήσῃ εἰς τόσον μεγάλον ἀγῶνα καὶ νὰ μείνῃ ἔξω ἀπὸ τὰ δίκτυα ἐκείνης τῆς ἀσελγοῦς. Καὶ θὰ ἠμποροῦσε λοιπὸν κανεὶς νὰ ἴδῃ ἐκεῖνον τὸν ἀξιοθαύμαστον νὰ ἐξέρχεται γυμνὸς ἀπὸ ἐνδύματα, ἀλλὰ νὰ εἶναι ἐνδεδυμένος μὲ τὸ ἔνδυμα τῆς ἁγνότητος καὶ ὡσὰν νὰ εἶχε ξεφύγει ἀπὸ κάποιαν πυρὰν καὶ κάμινον ἀβλαβής, ὄχι μόνον χωρὶς νὰ ἔχῃ καῇ, ἀλλὰ καὶ νὰ ἔχῃ γίνει περισσότερον λαμπρὸς καὶ περισσότερον φωτεινός.

5. Ἀλλὰ πρόσεχε, ὅτι πάλιν ὑπομένει τὰ μύρια βάσανα, ὡσὰν νὰ ἦτο ὑπεύθυνος, μετὰ ἀπὸ τόσην νίκην,

ὑπὲρ ὧν ἐχρῆν αὐτὸν ἀνακηρυχθῆναι, πάλιν ὡσανεὶ ὑπεύθυνον τὰ μυρία ὑπομένοντα δεινά. Ἡ γὰρ Αἰγυπτία ἐκείνη οὐ φέρουσα λοιπὸν τὴν αἰσχύνην καὶ τὸ ὄνειδος, ᾗ περιέβαλλεν ἑαυτὴν ἀδυνάτοις ἐπιχειρήσασα, πρότερον μὲν τοὺς ἐπὶ τῆς οἰκίας συγκαλεσαμένη κατηγορεῖ τοῦ νεανίσκου, καὶ τὰ παρ' αὐτῆς μανικῶς προταθέντα, ὡς παρ' ἐκείνου εἰρημένα φήσασα, οὕτως ἀπατᾶν ἅπαντας ἐπεχείρει. Τοιοῦτον γὰρ ἔθος τῇ κακίᾳ, ἀεὶ πρὸς τὴν ἀρετὴν ἀγωνιζομένην τὰ ἑαυτῆς ἐλαττώματα ἐκείνῃ ἐπιχειρεῖν προστρίβεσθαι· ὃ δὴ καὶ αὕτη τότε ἐποίει, τὸν νεανίσκον ὡς ἀκόλαστον διαβάλλουσα, καὶ ἑαυτῇ προσωπεῖον σωφροσύνης περιτιθεῖσα, καὶ λέγουσα διὰ τοῦτο κἀκεῖνον τὰ ἱμάτια καταλελοιπέναι, καὶ ταύτην ταῦτα κατεσχηκέναι. Καὶ ὁ φιλάνθρωπος Θεὸς ἐμακροθύμει καὶ ἠνείχετο, ἵνα διὰ πάντων τὸν ἑαυτοῦ οἰκέτην λαμπρότερον ἀποφήνῃ. Ταῦτα γὰρ ἅπαντα ἐλθόντι τῷ ἀνδρὶ μετὰ πολλῆς τῆς κακουργίας εἰποῦσα καὶ κατηγορήσασα τοῦ νεανίσκου ἔλεγεν· «Εἰσῆλθε πρός με ὁ παῖς ὁ Ἑβραῖος, ὃν εἰσήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί μοι». Ἀθλία καὶ ταλαίπωρε. Οὐκ αὐτὸς εἰσήγαγεν ὥστε ἐμπαῖξαί σοι, ἀλλ' ὁ διάβολός σε εἰσήγαγεν, ὥστε μὴ μόνον μοιχαλίδα γενέσθαι, ἀλλά, τὸ ἧκον εἰς σέ, καὶ φόνον ἐργάσασθαι. Καὶ ἐδείκνυ λοιπὸν εἰς ἀπόδειξιν τῶν παρ' αὐτῆς λεγομένων τὰ ἱμάτια τοῦ νεανίσκου.

Ἐννόει μοι ἐνταῦθα τοῦ κοινοῦ πάντων ἀνθρώπων Δεσπότου τὴν φιλανθρωπίαν. Ὥσπερ γὰρ τῶν ἀδελφῶν αὐτὸν ἐξείλετο βουλομένων αὐτὸν ἀνελεῖν, καὶ παρεσκεύασε πρότερον μὲν κατὰ τὴν συμβουλὴν τοῦ Ρουβὴν εἰς τὸν λάκκον ἐμβληθῆναι, καὶ μετὰ ταῦτα πάλιν κατὰ τὴν συμβουλὴν τοῦ Ἰούδα τοῖς ἐμπόροις διαπραθῆναι, ἵνα τῶν ὀνειράτων ἡ ἔκβασις εἰς ἔργον ἐλθοῦσα πείσῃ τὸν δίκαιον, ὡς οὐ μάτην οὐδὲ εἰκῇ

μετὰ ἀπὸ τόσην γενναιότητα, ἐξ αἰτίας τῶν ὁποίων θὰ ἔπρεπε νὰ στεφανωθῇ καὶ νὰ ἀνακηρυχθῇ θριαμβευτής. Διότι ἡ Αἰγυπτία ἐκείνη, ἐπειδὴ δὲν ὑπέφερε πλέον τὴν προσβολὴν καὶ τὴν ἐντροπήν, μὲ τὴν ὁποίαν ἐγέμισε τὸν ἑαυτόν της, ἀφοῦ ἐπεχείρησεν ὅσα ἦτο ἀδύνατον νὰ γίνουν, πρῶτον μέν, ἀφοῦ συνεκάλεσε τοὺς ἀνθρώπους τῆς οἰκίας, κατηγορεῖ τὸν νεανίσκον, καὶ αὐτὰ πού ἐπρότεινεν αὐτὴ μὲ πάθος, ἀφοῦ εἶπεν, ὅτι εἶχον λεχθῇ ἀπ' ἐκεῖνον, ἔτσι ἐπιχειρεῖ νὰ τοὺς ἐξαπατήσῃ ὅλους. Διότι ἔτσι συνηθίζει ἡ κακία νὰ κάνῃ, ὅταν δηλαδὴ ἀγωνίζεται κατὰ τῆς ἀρετῆς, νὰ ἀποδίδῃ πάντοτε τὰ ἰδικά της ἐλαττώματα εἰς ἐκείνην. Πρᾶγμα τὸ ὁποῖον ἔκαμε τότε καὶ αὐτή, ἀφοῦ κατηγόρει τὸν νεανίσκον ὡς ἀκόλαστον καὶ ἀφοῦ ἡ ἰδία ἐφόρει εἰς τὸν ἑαυτόν της τὸ προσωπεῖον τῆς ἁγνότητος καὶ ἔλεγεν, ὅτι διὰ τοῦτο ἐκεῖνος ἐγκατέλειψε τὰ ἐνδύματα καὶ ὅτι αὐτὴ τὰ ἐκράτησε. Καὶ ὁ φιλάνθρωπος Θεὸς ἔδειχνε μακροθυμίαν καὶ ἀνοχήν, διὰ νὰ δείξῃ μὲ ὅλα αὐτὰ λαμπρότερον τὸν ἰδικόν του δοῦλον. Διότι ὅλα αὐτά, ὅταν ἦλθεν ὁ ἄνδρας της, ἀφοῦ τὰ εἶπε μὲ πολλὴν κακουργίαν καὶ ἀφοῦ κατηγόρησε τὸν νεανίσκον, ἔλεγεν· «Εἰσῆλθε πρὸς ἐμὲ ὁ δοῦλος αὐτὸς ὁ Ἑβραῖος, τὸν ὁποῖον ἔφερες εἰς τὴν οἰκίαν μας, διὰ νὰ μὲ ἐξευτελίσῃ». Ἀθλία καὶ ταλαίπωρε. Δὲν εἰσῆλθεν αὐτὸς διὰ νὰ σὲ ἐξευτελίσῃ, ἀλλ' ὁ διάβολος σὲ ἔβαλεν, ὥστε ὄχι μόνον νὰ γίνῃς μοιχαλίδα, ἀλλά, ἂν σοῦ ἦτο δυνατόν, καὶ φόνον νὰ κάνῃς. Καὶ ἔδειχνε λοιπὸν τὰ ἐνδύματα τοῦ νεανίσκου διὰ νὰ ἀποδείξῃ ὅσα ἔλεγεν.

Σκέψου ἐδῶ, παρακαλῶ, τὴν φιλανθρωπίαν τοῦ κοινοῦ Κυρίου ὅλων τῶν ἀνθρώπων. Ὅπως δηλαδὴ ἔσωσεν αὐτὸν ἀπὸ τοὺς ἀδελφούς του, οἱ ὁποῖοι ἤθελον νὰ τὸν φονεύσουν, καὶ τοὺς ἔκαμε πρῶτον μὲν κατὰ τὴν συμβουλὴν τοῦ Ρουβὴν νὰ τὸν ρίξουν εἰς τὸν λάκκον καὶ μετὰ ἀπ' αὐτὰ πάλιν κατὰ συμβουλὴν τοῦ Ἰούδα νὰ τὸν πωλήσουν εἰς τοὺς ἐμπόρους, διὰ νὰ πραγματοποιηθῇ ἡ ἐπαλήθευσις τῶν ὀνείρων καὶ νὰ πείσῃ τὸν δίκαιον, ὅτι δὲν προανηγγέλλοντο αὐτὰ εἰς αὐτὸν μάταια καὶ χωρὶς λό-

ἐκεῖνα αὐτῷ προεμηνύετο, οὕτω καὶ νῦν ἡ ἄνωθεν χεὶρ ἦν ἡ τὸν βάρβαρον ἐκεῖνον κατέχουσα, καὶ μὴ συγχωρήσασα εὐθέως ἐπὶ τὴν σφαγὴν ὁρμῆσαι τοῦ νεανίσκου. Τί γὰρ ἦν τὸ κωλύον, μαθόντα ὡς εἰς αὐτὴν τὴν εὐνὴν ἀδικῆσαι αὐτὸν ἐπεχείρησε, μὴ τοῦτο ποιῆσαι; Ἀλλ' ὁ εὐμήχανος Θεὸς τοσαύτην παρεσκεύασεν αὐτὸν ἐπιδείξασθι τὴν πραΰτητα, ἵνα ἐμβληθεὶς τῷ δεσμωτηρίῳ, καὶ πάλιν ἐκεῖ τὴν οἰκείαν ἐπιδειξάμενος ἀρετήν, οὕτως ἐπὶ τὴν ἀρχὴν τῆς βασιλείας παραγένηται. «Ἐθυμώθη γάρ», φησίν, «ὁ κύριος αὐτοῦ, καὶ ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα, ὅπου οἱ δεσμῶται τοῦ βασιλέως κατέχονται». Εἰ μὲν γὰρ μὴ ἐπίστευσε, οὐκ ἐχρῆν αὐτὸν ἐμβαλεῖν ἐν τῷ δεσμωτηρίῳ· εἰ δὲ ἐπίστευσε πάλιν ἀληθὲς εἶναι τὸ παρὰ τῆς Αἰγυπτίας λεγόμενον, οὐδὲ οὕτως δεσμωτηρίου ἄξιος ἦν, ἀλλὰ ἀποτμηθῆναι καὶ δίκην δοῦναι τὴν ἐσχάτην. Ἀλλ' ὅταν ἡ ἄνωθεν δεξιὰ τὴν ἑαυτῆς πρόνοιαν ἐπιδείκνυται, πάντα εὔκολα καὶ ῥᾴδια γίνεται, καὶ οἱ ἄγριοι ἡμερώτεροι καθίστανται. Τότε δὲ καὶ ἡ ἄνωθεν ῥοπὴ μετὰ δαψιλείας ἡμῖν παραγίνεται ὅταν πολλὴν καὶ ἡμεῖς τὴν ἀρετὴν ἐπιδειξώμεθα.

Ἐπειδὴ γὰρ μεγάλως οὗτος ἠγωνίσατο, διὰ τοῦτο καὶ μεγάλων ἀπολαύει τῶν ἀμοιβῶν. Καὶ μετὰ τὴν τοσαύτην ἀνδρείαν ἀπήγετο εἰς τὸ δεσμωτήριον, καὶ σιγῇ πάντα ὑπέμενεν. Ἴστε γὰρ ὅπως οἱ μηδὲν ἑαυτοῖς συνειδότες πονηρόν, ἐπειδὰν ὡς ὑπεύθυνοι καταδικάζωνται, πόσῃ κέχρηνται πολλάκις τῇ παρρησίᾳ καὶ τῇ ἐλευθεροστομίᾳ, κατεξανιστάμενοι καὶ μεγαλοφρονοῦντες κατὰ τῶν τὴν δίκην αὐτοῖς ἀνευθύνοις οὖσιν ἐπαγόντων. Ἀλλ' οὗτος οὐχ οὕτως· ἀλλὰ καὶ σιγᾷ, καὶ πάντα πρᾴως δέχεται, καὶ ἀνέμενε μετὰ πολλῆς τῆς ὑπομονῆς τὴν τοῦ Θεοῦ ῥοπήν. Ὅρα γὰρ πῶς καὶ ἐν τῷ δεσμωτηρίῳ ὢν πάλιν τὴν ἀρχὴν ἅπα-

γον, κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ τώρα τὸ οὐράνιο χέρι ἦτο αὐτὸ ποὺ συνεκράτει τὸν βάρβαρον ἐκεῖνον καὶ δὲν ἄφησεν ἀμέσως νὰ ὁρμήσῃ καὶ νὰ κατασφάξῃ τὸν νεανίσκον. Διότι τί ἦτο αὐτό, τὸ ὁποῖον τὸν ἠμπόδιζε νὰ μὴ κάνῃ αὐτό, ἀφοῦ ἔμαθεν, ὅτι αὐτὸς ἐπεχείρησε νὰ προσβάλῃ τὴν κλίνην του; Ἀλλ' ὁ ἐπινοητικὸς Θεὸς ἔκαμεν αὐτὸν νὰ δείξῃ μεγάλην πραότητα, ὥστε, ἀφοῦ ριφθῇ εἰς τὴν φυλακὴν καὶ δείξῃ πάλιν καὶ ἐκεῖ τὴν ἀρετήν του, ἔτσι νὰ φθάσῃ εἰς τὸ βασιλικὸν ἀξίωμα. Διότι λέγει ἡ Γραφή, «Ἐθύμωσεν ὁ κύριος αὐτοῦ καὶ ἔρριψεν αὐτὸν εἰς τὴν φυλακήν, ὅπου κρατοῦνται κλεισμένοι οἱ φυλακισμένοι τοῦ βασιλέως». Διότι ἂν μὲν δὲν ἐπίστευσε τὴν γυναῖκα του, δὲν ἔπρεπε νὰ ρίψῃ αὐτὸν εἰς τὴν φυλακήν, ἐὰν ὅμως ἐπίστευσεν, ὅτι εἶναι ἀληθινά, ὅσα ἔλεγεν ἡ Αἰγυπτία, δὲν θὰ ἦτο μόνον ἄξιος φυλακίσεως, ἀλλὰ θὰ ἔπρεπε νὰ κοπῇ ἡ κεφαλή του καὶ νὰ ὑποστῇ τὴν ἐσχάτην τῶν ποινῶν. Ὅταν ὅμως ἡ δεξιὰ τοῦ Θεοῦ φανερώνῃ τὴν ἰδικήν της πρόνοιαν, ὅλα γίνονται εὔκολα καὶ δυνατὰ καὶ οἱ ἄγριοι γίνονται ἡμερώτεροι. Τότε καὶ ἡ θεία βοήθεια ἔρχεται εἰς ἡμᾶς ἄφθονη, ὅταν καὶ ἡμεῖς συμβῇ νὰ ἐπιδείξωμεν πολλὴν ἀρετήν.

Ἐπειδὴ λοιπὸν αὐτὸς ἔκαμε μεγάλον ἀγῶνα, διὰ τοῦτο καὶ λαμβάνει μεγάλας ἀμοιβάς. Καὶ μετὰ ἀπὸ τόσην γενναιότητα ὡδηγήθη εἰς τὴν φυλακὴν καὶ ὑπέφερε τὰ πάντα μὲ σιωπήν. Διότι γνωρίζετε, ὅτι ἐκεῖνοι οἱ ὁποῖοι δὲν αἰσθάνονται τίποτε πονηρὸν νὰ βαρύνῃ τὴν συνείδησίν των, ὅταν καταδικάζωνται ὡς ὑπεύθυνοι, πόσην παρρησίαν καὶ ἐλευθεροστομίαν μεταχειρίζονται πολλὲς φορές, ἀγανακτοῦντες καὶ λέγοντες πολλὰ ἐναντίον ἐκείνων, οἱ ὁποῖοι τοὺς δικάζουν, ἐνῷ αὐτοὶ εἶναι ἀνεύθυνοι. Ἀλλ' αὐτὸς ὅμως ὁ δίκαιος δὲν ἐνεργεῖ κατ' αὐτὸν τὸν τρόπον. Ἀντιθέτως σιωπᾷ καὶ δέχεται τὰ πάντα μὲ πραότητα καὶ ἀνέμενε μὲ πολλὴν ὑπομονὴν τὴν βοήθειαν τοῦ Θεοῦ. Διότι πρόσεχε πῶς, ἐνῷ ἦτο εἰς τὴν φυλακήν, ἀνετέθη

σαν αὐτὸς ἐδέχετο παρὰ τοῦ δεσμοφύλακος· εἰκότως· «Ἦν γάρ», φησί, «Κύριος μετὰ Ἰωσήφ, καὶ κατέχεεν αὐτοῦ ἔλεος». Τί ἐστι τό, «Κατέχεεν αὐτοῦ ἔλεος»; Πρὸς οἶκτον ἐπέκαμψε τὸν ἀρχιδεσμοφύλακα, καὶ πολλὴν περὶ αὐτὸν τὴν εὔνοιαν ἐπιδείξασθαι παρεσκεύασεν· «Ἔδωκε γὰρ αὐτῷ χάριν ἐναντίον αὐτοῦ». Ἀληθῶς οὐδὲν μακαριστότερον τοῦ τῆς ἄνωθεν εὐνοίας ἀπολαύοντος. «Ἔδωκε γάρ», φησίν, «ὁ ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς τῷ Ἰωσήφ». Ὅρα πῶς ὑπεξίσταται ὁ δεσμοφύλαξ καὶ παραχωρεῖ, καὶ αὐτῷ τὴν αὐθεντίαν ἐπιτρέπει, καὶ πάντας τοὺς ἐν τῷ δεσμωτηρίῳ ὑπὸ τὴν ἐκείνου ἐξουσίαν εἶναι ἐκέλευσε». «Καὶ οὐκ ἦν ἀρχιδεσμοφύλαξ γινώσκων οὐδέν· πάντα γὰρ ἦν διὰ χειρὸς Ἰωσήφ, διὰ τὸ τὸν Κύριον μετ' αὐτοῦ εἶναι, καὶ ὅσα αὐτὸς ἐποίει, Κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ».

Σκόπει πῶς συμπαρῆν αὐτῷ διηνεκῶς ἡ χάρις ἡ ἄνωθεν, καὶ πάντα ἅπερ ἔπραττε χάριτος ἦν πεπληρωμένα. Τοῦτο τοίνυν καὶ ἡμεῖς σπουδάσωμεν, ἵνα μεθ' ἑαυτῶν ἔχωμεν ἀεὶ τὸν Κύριον, καὶ ἵνα τὰ παρ' ἡμῶν γινόμενα ὑπ' ἐκείνου κατευοδῶται. Ὁ γὰρ ταύτης ἀξιωθεὶς τῆς ῥοπῆς, κἂν ἐν μέσοις τοῖς δεινοῖς ὢν τυγχάνῃ, καταγελάσεται πάντων, καὶ οὐδὲν αὐτὰ ἡγήσεται, τοῦ Δεσπότου τῶν ὅλων, τοῦ πάντα ποιοῦντος καὶ μετασκευάζοντος, κατευοδοῦντος αὐτῷ ἅπαντα, καὶ τὰ δυσχερῆ ῥάδια ἀπεργαζομένου. Πῶς δὲ δυνησόμεθα μεθ' ἑαυτῶν ἔχειν τὸν Κύριον, καὶ ὑπ' αὐτοῦ κατευοδοῦσθαι ἐν ἅπασιν; Ἐὰν νήφοντες ὦμεν καὶ ἐγρηγορότες, καὶ μιμησώμεθα τοῦ νέου τούτου τὴν σωφροσύνην, καὶ τὴν ἄλλην ἀρετήν, καὶ τὸ φρόνημα τὸ γενναῖον, καὶ ἴδωμεν ὅτι οὕτω χρὴ μετὰ ἀκριβείας πάντα διαπράττεσθαι, ὡς μηδέποτε ὑπὸ τοῦ Δεσπότου καταγνωσθῆναι, ἀλλ' ὅτι οὐχ οἷόν τέ τινα λαθεῖν ἐκεῖνον τὸν ἀκοίμητον ὀφθαλμὸν εἰδέναι, ἀλλ'

ὑπὸ τοῦ δεσμοφύλακος εἰς αὐτὸν ἡ ἐπιτήρησις ὁλοκλήρου τῆς φυλακῆς. Καὶ πολὺ φυσικόν. Διότι λέγει ἡ Γραφή, «Ἦτο ὁ Κύριος εἰς τὸ πλευρὸν τοῦ Ἰωσὴφ καὶ ἔστειλεν εἰς αὐτὸν τὸ ἔλεός του». Τί σημαίνει τό· «Ἔστειλεν εἰς αὐτόν τὸ ἔλεός του»; Ἔκαμε τὸν ἀρχιδεσμοφύλακα νὰ τὸν λυπηθῇ καὶ νὰ δείξῃ πρὸς αὐτὸν πολλὴν εὔνοιαν. «Διότι ὁ Κύριος ἔδωκεν εἰς αὐτόν χάριν ἔμπροσθεν τοῦ δεσμοφύλακος». Πράγματι δὲν ὑπάρχει τίποτε πιὸ εὐτυχὲς ἀπ' αὐτόν, ὁ ὁποῖος ἀπολαμβάνει τὴν θεϊκὴν εὔνοιαν. Διότι λέγει· «Παρέδωκεν ὁ ἀρχιδεσμοφύλαξ εἰς τὰ χέρια τοῦ Ἰωσὴφ ὅλους τοὺς φυλακισμένους». Πρόσεχε πῶς ἀντικαθίσταται ὁ δεσμοφύλαξ καὶ παραχωρεῖ τὴν ἐξουσίαν καὶ ἀναθέτει εἰς αὐτὸν τὴν ἐπιτήρησιν καὶ διέταξεν ὅλους τοὺς κρατουμένους νὰ εὑρίσκωνται ὑπὸ τὰς διαταγὰς ἐκείνου. «Καὶ ὁ ἀρχιδεσμοφύλαξ δὲν ἀντελαμβάνετο τίποτε ἀπ' ὅσα ἐγίνοντο εἰς τὴν φυλακήν, διότι ὅλα εὑρίσκοντο ὑπό τὴν ἐξουσίαν τοῦ Ἰωσήφ, διότι ὁ Κύριος ἦτο μαζί του καὶ ὅσα ἔκαμνεν αὐτός, ὁ Κύριος τὰ εὐώδωνεν».

Πρόσεχε πῶς πάντοτε ἦτο μαζί του ἡ θεία χάρις καὶ ὅλα ὅσα ἔκαμνεν ἦσαν πλήρη χάριτος. Αὐτὸ λοιπὸν ἂς φροντίσωμεν καὶ ἡμεῖς νὰ κάμνωμεν, διὰ νὰ ἔχωμεν μαζί μας πάντοτε τὸν Κύριον καὶ διὰ νὰ εὐλογοῦνται ἀπ' αὐτόν, ὅσα ἡμεῖς πράττομεν. Διότι αὐτὸς ποὺ ἔχει ἀξιωθῇ αὐτῆς τῆς βοηθείας, καὶ ἂν τύχῃ νὰ εὑρίσκεται μέσα εἰς τὰ βάσανα, θὰ τὰ περιφρονήσῃ ὅλα καὶ δὲν θὰ τὰ ὑπολογίσῃ καθόλου, διότι ὁ Κύριος τοῦ παντός, ὁ ὁποῖος κάνει τὰ πάντα καὶ μεταβάλλει, κατευωδώνει ὅλα καὶ κάμνει τὰ δύσκολα εὔκολα. Πῶς ὅμως θὰ ἠμπορέσωμεν νὰ ἔχωμεν μαζί μας τὸν Κύριον καὶ νὰ μᾶς εὐλογῇ εἰς ὅλα; Ἐὰν εἴμεθα προσεκτικοὶ καὶ ἐπάγρυπνοι καὶ ἂν μιμηθῶμεν τὴν σύνεσιν καὶ ὅλην τὴν ἀρετὴν καὶ τὸ γενναῖον φρόνημα τοῦ νέου αὐτοῦ καὶ ἴδωμεν, ὅτι ἔτσι πρέπει μὲ προσοχὴν νὰ πράττωμεν τὰ πάντα, διὰ νὰ μὴ κατηγορηθῶμεν ποτὲ ἀπὸ τὸν Κύριον καὶ ἂν γνωρίζωμεν, ὅτι δὲν εἶναι δυνατὸν νὰ διαφύγῃ κανεὶς τῆς προσοχῆς τοῦ ἀκοιμήτου ἐκείνου ὀφθαλμοῦ, ἀλλ' ὅτι εἶναι ἀνάγκη ὁπωσ-

ἀνάγκη πάντως τὸν ἁμαρτόντα ταῖς τιμωρίαις ὑπεύθυνον γενέσθαι. Καὶ μὴ προτιμότερον ἡγώμεθα τὸν τῶν ἀνθρώπων φόβον τῆς τοῦ Θεοῦ ἀγανακτήσεως, ἀλλὰ μνημονεύωμεν διὰ παντὸς τῶν ῥημάτων τοῦ Ἰωσὴφ λέγοντος· «Πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ;». Ὅταν τις οὖν λογισμὸς ἡμᾶς διαταράττῃ, τοῦτο ἐν τῇ διανοίᾳ στρέφωμεν τὸ ῥῆμα, καὶ παραχρῆμα φυγαδεύεται πᾶσα ἄτοπος ἐπιθυμία. Εἴτε οὖν σωμάτων ἐπιθυμίᾳ τις ἁλῷ, εἴτε χρημάτων ἔρωτι, εἴτε ἄλλῃ τινὶ ἀτόπῳ ἡδονῇ, εὐθέως τοῦτο λογιζέσθω, ὅτι ἐκεῖνος ἡμῖν ἐστιν ὁ δικάζων, ὃν οὐχ οἷόν τε λαθεῖν οὐδὲ τὰ ἐν τῇ διανοίᾳ βουλευόμενα· καὶ πάντως διαφευξόμεθα καὶ τὰς τοῦ διαβόλου μηχανάς, καὶ ἀπολαύσομεν πολλῆς τῆς ἄνωθεν συμμαχίας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δήποτε νὰ τιμωρηθῇ αὐτὸς ὁ ὁποῖος ἡμάρτησε. Καὶ ἂς μὴ θεωροῦμεν προτιμότερον τὸν φόβον τῶν ἀνθρώπων ἀπό τὴν θείαν ἀγανάκτησιν, ἀλλ' ἂς ἐνθυμούμεθα πάντοτε τούς λόγους τοῦ Ἰωσὴφ ποὺ ἔλεγε· «Πῶς νὰ κάμω αὐτὸ τὸ κακόν πρᾶγμα καὶ πῶς νὰ ἁμαρτήσω ἐνώπιον τοῦ Θεοῦ;». Ὅταν λοιπὸν μᾶς ταράσσῃ κάποια σκέψις νὰ ἐνθυμούμεθα αὐτούς τούς λόγους καὶ ἀμέσως θὰ φύγῃ κάθε κακὴ ἐπιθυμία. Εἴτε λοιπὸν κυριευθῇ κάποιος ἀπὸ σαρκικὴν ἐπιθυμίαν, εἴτε ἀπὸ ἀγάπην πρὸς τὰ χρήματα, εἴτε ἀπὸ κάποιαν ἄλλην παράλογον ἡδονήν, ἀμέσως νὰ σκέπτεται αὐτό, ὅτι δηλαδὴ ἐκεῖνος εἶναι ὁ ὁποῖος δικάζει ἡμᾶς, ἀπό τόν ὁποῖον δὲν εἶναι δυνατὸν νὰ διαφύγῃ τίποτε, οὔτε καὶ οἱ λογισμοὶ τοῦ νοῦ. Καὶ ὁπωσδήποτε θὰ διαφύγωμεν τὰ τεχνάσματα τοῦ διαβόλου καὶ θὰ ἔχωμεν πολλὴν τὴν ἄνωθεν βοήθειαν, τὴν ὁποίαν μακάρι νὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τόν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΓ΄

(Γέν. 39, 23 - 41, 46)

«Καὶ οὐκ ἦν γινώσκων οὐδὲν ὁ ἀρχιδεσμοφύλαξ διὰ τὸν Ἰωσήφ».

1. Τὰ λείψανα τῶν χθὲς ἡμῖν εἰρημένων βουλόμεθα σήμερον ἀποδοῦναι τῇ ὑμετέρᾳ ἀγάπῃ, καὶ τῆς κατὰ τὸν Ἰωσὴφ πάλιν ἱστορίας ἅψασθαι.. Ἴστε γὰρ ὅτι χθὲς εἰς μῆκος ἡμῖν ἐκταθέντος τοῦ λόγου οὐκ ἰσχύσαμεν περαιτέρω προελθεῖν, ἀλλὰ μέχρις ἐκείνου τὸν λόγον ἐστήσαμεν, ἡνίκα διὰ τὴν τῆς Αἰγυπτίας συκοφαντίαν ὑπὸ τοῦ ἀρχιμαγείρου εἰς τὸ δεσμωτήριον ἐνεβλήθη. Διὸ σήμερον ἀναγκαῖον διδάξαι τὴν ὑμετέραν ἀγάπην τὰ κατὰ τὸ δεσμωτήριον αὐτῷ συμβεβηκότα. Ἐπειδὴ γὰρ ἐνεβλήθη εἰς τὸ ὀχύρωμα, καὶ παρεδόθη τῷ ἀρχιδεσμοφύλακι, κἀκεῖ τοσαύτη γέγονεν εἰς αὐτὸν ἡ παρὰ τοῦ Θεοῦ ῥοπή, ὡς πᾶσαν τὴν ἀρχὴν τοῦ δεσμωτηρίου αὐτὸν ἐμπιστευθῆναι παρὰ τοῦ ἀρχιδεσμοφύλακος. «Καὶ οὐκ ἦν γινώσκων», φησίν, «οὐδὲν ὁ ἀρχιδεσμοφύλαξ διὰ Ἰωσήφ». Εἶδες πῶς ἐν αὐταῖς ταῖς θλίψεσι γενόμενος οὐδεμίαν αἴσθησιν ἐλάμβανε τῶν λυπηρῶν, ἀλλ᾽ ἡ εὐμήχανος τοῦ Θεοῦ σοφία πάντα μετέβαλλε τὰ λυπηρά. Καὶ καθάπερ τὸν μαργαρίτην κἂν ἐν βορβόρῳ τις καταχώσειε, τὸ οἰκεῖον κάλλος ἐπιδείκνυται, οὕτω καὶ ἡ ἀρετή, ὅπου δ᾽ ἂν αὐτὴν ἐμβάλῃς, τὴν οἰκείαν δύναμιν ἐπιδείκνυται, κἂν ἐν δουλείᾳ, κἂν ἐν δεσμωτηρίῳ, κἂν ἐν θλίψει, κἂν ἐν ἀνέσει.

ΟΜΙΛΙΑ ΞΓ΄

(Γέν. 39, 23 - 41, 46)

«Καὶ ὁ ἀρχιδεσμοφύλαξ δὲν ἀντελαμβάνετο τίποτε ἀπ᾽ ὅσα ἐγίνοντο εἰς τὴν φυλακήν, διότι ὅλα τὰ εἶχε ἐμπιστευθῆ εἰς τὸν Ἰωσήφ».

1. Σήμερον ἐπιθυμῶ νὰ παρουσιάσω εἰς τὴν ἀγάπην σας, ὅσα παρελείψαμεν κατὰ τὴν χθεσινήν μας ὁμιλίαν καὶ νὰ συνεχίσωμεν πάλιν τὴν ἱστορίαν τὴν σχετικὴν μὲ τὸν Ἰωσήφ. Διότι γνωρίζετε ὅτι χθὲς δὲν ἠμπορέσαμεν νὰ συνεχίσωμεν πιὸ κάτω, ἐπειδὴ ἐπεξετάθη πολὺ ὁ λόγος, ἀλλ᾽ ἐφθάσαμεν τὸν λόγον μέχρις ἐκείνου τοῦ σημείου, εἰς τὸ ὁποῖον ἀναφέρεται ὅτι, ἐξ αἰτίας τῆς συκοφαντίας τῆς Αἰγυπτίας, ἐρρίφθη ἀπὸ τὸν ἀρχιμάγειρον εἰς τὴν φυλακήν. Διὰ τὸν λόγον αὐτὸν εἶναι ἀνάγκη νὰ διδάξω σήμερον εἰς τὴν ἀγάπην σας τὰ ὅσα συνέβησαν εἰς αὐτὸν εἰς τὴν φυλακήν. Ὅταν λοιπὸν ἐρρίφθη εἰς τὴν φυλακὴν καὶ παρεδόθη εἰς τὸν ἀρχιδεσμοφύλακα καὶ ἐκεῖ τόσον μεγάλη ἦτο ἡ πρὸς αὐτὸν βοήθεια τοῦ Θεοῦ, ὥστε νὰ τοῦ ἐμπιστευθῇ ὁ ἀρχιδεσμοφύλαξ ὁλόκληρον τὴν ἐποπτείαν τῆς φυλακῆς. «Καὶ ὁ ἀρχιδεσμοφύλαξ», λέγει, «δὲν ἀντελαμβάνετο τίποτε ἀπ᾽ ὅσα ἐγίνοντο εἰς τὴν φυλακὴν ἐξ αἰτίας τοῦ Ἰωσήφ». Εἶδες μὲ ποῖον τρόπον δὲν ἔνοιωσε καθόλου τὰ λυπηρὰ γεγονότα, ἂν καὶ ἦτο μέσα εἰς τὰς θλίψεις, ἀλλ᾽ ἡ ἐφευρετικὴ σοφία τοῦ Θεοῦ μετέβαλλεν ὅλα τὰ λυπηρά. Καὶ ὅπως ἀκριβῶς ὁ μαργαρίτης διατηρεῖ τὴν ὡραιότητά του καὶ ὅταν ἀκόμη χωθῇ ἀπὸ κάποιον μέσα εἰς τὴν λάσπην, κατὰ τὸν ἴδιον τρόπον καὶ ἡ ἀρετή, ὅπου καὶ ἂν τὴν βάλῃς, διατηρεῖ τὴν δύναμίν της, εἴτε εἰς τὴν δουλείαν, εἴτε εἰς τὸ δεσμωτήριον, εἴτε εἰς τὰς θλίψεις, εἴτε εἰς τὰς ἀνέσεις.

'Επεὶ οὖν καὶ ἐν τῷ δεσμωτηρίῳ ἐμβληθεὶς εἷλε τὸν ἀρχιδεσμοφύλακα, καὶ πάντων τῶν αὐτόθι τὴν ἐξουσίαν ἐδέξατο παρ' αὐτοῦ, ἴδωμεν ἐνταῦθα ὅπως τῆς παρούσης αὐτῷ χάριτος ἐκκαλύπτει τὴν ἰσχύν. «'Εγένετο γάρ», φησί, «μετὰ τὰ ῥήματα ταῦτα». Ποῖα; Ἅπερ διηγήσατο μετὰ τὸ συκοφαντηθῆναι, μετὰ τὸ καταδικασθῆναι τὸ δεσμωτήριον οἰκεῖν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μετὰ τὸ γνωρίσαι ἡμῖν, ὅτι Κύριος ἦν μετ' αὐτοῦ, καὶ ὅτι ὁ ἀρχιδεσμοφύλαξ διὰ χειρὸς αὐτοῦ πάντα τὰ αὐτόθι ἐπέτρεψεν οἰκονομεῖσθαι. «'Εγένετο οὖν μετὰ τὰ ῥήματα ταῦτα», μετὰ τὸ βληθῆναι αὐτὸν ἐν τῷ δεσμωτηρίῳ, ἁμαρτόντα τὸν ἀρχιοινοχόον καὶ τὸν ἀρχισιτοποιὸν καταδικασθῆναι ὑπὸ τοῦ βασιλέως τὸ δεσμωτήριον οἰκεῖν· καὶ δεξάμενος αὐτοὺς ὁ ἀρχιδεσμοφύλαξ συνέστησεν αὐτοὺς τῷ 'Ιωσήφ. Οὐδὲ γὰρ ὡς δεσμώτῃ λοιπὸν αὐτῷ ἐκέχρητο, ἀλλ' ὡς κοινωνῷ τῆς φροντίδος, μᾶλλον δὲ καὶ ὡς ἱκανῷ ἐπικουφίζειν τὰς συμφορὰς τοῖς αὐτόθι καθειργμένοις. «Καὶ παρέστη αὐτοῖς», φησί. Τί ἐστι τό, «Παρέστη αὐτοῖς»; 'Αντὶ τοῦ, παρεμυθεῖτο, ἐνεύρου αὐτῶν τὸν λογισμόν, διήγειρεν αὐτῶν τὴν διάνοιαν, οὐ συνεχώρει καταποθῆναι ὑπὸ τῆς ἀθυμίας.

«Ἦσαν δὲ ἡμέρας πολλὰς ἐν τῇ φυλακῇ, καὶ εἶδον ἀμφότεροι ἐνύπνιον ἐν μιᾷ νυκτὶ ὅ τε ἀρχιοινοχόος καὶ ὁ ἀρχισιτοποιός». 'Αλλ' ὁ θαυμάσιος οὗτος ἔργον ποιούμενος τὴν τούτων παράκλησιν, ἰδὼν αὐτοὺς ὑπὸ τῆς ὄψεως τῶν ὀνειράτων τεταραγμένους καὶ συγκεχυμένους τὴν διάνοιαν, φησί· «Τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον;». 'Εδείκνυ γὰρ ἡ τοῦ προσώπου κατάστασις τὴν ἔνδον ταραχήν. Διὰ τοῦτο καὶ σοφός τις ἔλεγε· «Καρδίας εὐφραινομένης θάλλει τὸ πρόσωπον· ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει». 'Επεὶ οὖν εἶδεν αὐτοὺς ἐν κατηφείᾳ τυγχάνοντας διὰ τὴν τῶν ὀνειράτων ὄψιν, ἐπυνθάνετο τὴν αἰτίαν μαθεῖν

1. Παροιμ. 15, 13.

Ἀφοῦ λοιπὸν ἐκλείσθη εἰς τὸ δεσμωτήριον καὶ ἐκέρδισε τὴν συμπάθειαν τοῦ ἀρχιδεσμοφύλακος καὶ τοῦ ἐνεπιστεύθη τὴν ἐπίβλεψιν ὅλων τῶν ἐντός τοῦ δεσμωτηρίου, ἄς ἴδωμεν εἰς τὸ σημεῖον αὐτό, μὲ ποῖον τρόπον ὁ Ἰωσὴφ ἀποκαλύπτει τὴν δύναμιν τῆς χάριτος ἡ ὁποία τόν ἐνίσχυσε. Διότι λέγει, «Καὶ συνέβη μετὰ ἀπὸ τὰ γεγονότα αὐτά». Ποῖα γεγονότα; Αὐτὰ τὰ ὁποῖα διηγήθη μετὰ τὴν συκοφαντίαν, μετὰ ἀπὸ τὴν καταδίκην νὰ μείνῃ εἰς τό δεσμωτήριον. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ μετὰ τὸ ὅτι ἐγνωστοποίησεν εἰς ἡμᾶς ἡ Γραφή, ὅτι ὁ Κύριος ἦτο μαζί του, καὶ ὅτι ὁ ἀρχιδεσμοφύλαξ ἀνέθεσεν εἰς αὐτόν τὴν διαχείρησιν ὅλων ἐντὸς τοῦ δεσμωτηρίου. «Μετὰ τὰ γεγονότα αὐτά, λοιπόν, δηλαδὴ μετὰ τὴν φυλάκισιν τοῦ Ἰωσήφ, συνέβη νὰ καταδικασθοῦν ἀπὸ τὸν βασιλέα καὶ νὰ φυλακισθοῦν ὁ ἀρχιοινοχόος καὶ ὁ ἀρχισιτοποιός. Καὶ ἀφοῦ τούς παρέλαβεν ὁ ἀρχιδεσμοφύλαξ τοὺς παρέδωσεν εἰς τὸν Ἰωσήφ. Καθ' ὅσον δὲν μετεχειρίζετο τὸν Ἰωσὴφ ὡς δεσμώτην, ἀλλ' ὡς συνεργάτην εἰς τὴν ὑπηρεσίαν, καὶ κατ' ἐξοχὴν δὲ καὶ ὡς ἱκανὸν νὰ ἀνακουφίζῃ τὰς συμφορὰς τῶν καταδίκων, οἱ ὁποῖοι εὑρίσκοντο εἰς τὴν φυλακήν. «Καὶ ἐφρόντιζεν αὐτοὺς ὁ Ἰωσήφ», λέγει. Τί σημαίνει τὸ «Ἐφρόντιζεν αὐτούς»; Ὅτι τοὺς ἐπαρηγόρει, τοὺς ἐνίσχυε τὸ φρόνημα, ἐνεθάρρυνε τὸν νοῦν των καὶ δέν τοὺς ἄφηνε νὰ κυριευθοῦν ἀπὸ τὴν ἀπελπισίαν.

«Καὶ ἦσαν πολλὰς ἡμέρας εἰς τὴν φυλακὴν καὶ εἶδον καὶ οἱ δύο, καὶ ὁ ἀρχιοινοχόος καὶ ὁ ἀρχισιτοποιός, ὄνειρον τὴν ἰδίαν νύκτα». Ὁ θαυμαστὸς ὅμως Ἰωσὴφ παρηγορῶν αὐτούς, ἀφοῦ τοὺς εἶδε ταραγμένους καὶ συγχυσμένους ἐξ αἰτίας τῶν ὀνείρων, λέγει· «Διατί τὰ πρόσωπά σας σήμερον εἶναι σκυθρωπά;». Καθ' ὅσον ἡ ἔκφρασις τοῦ προσώπου ἔδειχνε τὴν ἐσωτερικὴν ταραχήν των. Διὰ τὸν λόγον αὐτόν κάποιος σοφὸς ἔλεγεν· «Ὅταν ἡ καρδία ἔχῃ χαράν τὸ πρόσωπον ἀκτινοβολεῖ, ἐνῷ ὅταν ἔχῃ λύπην εἶναι σκυθρωπόν»[1]. Ὅταν λοιπὸν εἶδεν αὐτοὺς νὰ εἶναι στενοχωρημένοι ἐξ αἰτίας τῶν ὀνείρων, ἠρώτα αὐτούς, ἐπειδὴ ἤθελε νὰ μάθῃ τὴν αἰτίαν τῆς στενοχωρίας των. Πρό-

βουλόμενος. Ὅρα πῶς καὶ ἐν δεσμωτηρίῳ τυγχάνων τὴν οἰκείαν ἀρετὴν ἐπεδείκνυτο, καὶ τὰς ἀθυμίας ἑτέροις ἐπικουφίζειν ἐσπούδαζε. Τί οὖν ἐκεῖνοι; «Ἐνύπνιον εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό». Ἠγνόουν τοῦ πρὸς αὐτοὺς διαλεγομένου τὴν σοφίαν· ὡς ἑνὶ τῶν πολλῶν αὐτῷ προσεῖχον, διὰ τοῦτο οὐδὲ τὸ ἐνύπνιον λέγουσιν, ἀλλ' ὅτι μόνον εἶδον, καί φασιν· «οὐδείς ἐστιν ὁ συγκρίνων αὐτό». Ἀλλ' ὁ θαυμάσιος ἀνὴρ φησι πρὸς αὐτούς· «Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι; Διηγήσασθε οὖν μοι». Μὴ γὰρ οἴκοθεν ἐπαγγέλλομαί τι ὑμῖν ἐρεῖν; Θεός ἐστιν ὁ ἀποκαλύπτων. «Διηγήσασθε οὖν μοι».

Ὅρα σύνεσιν καὶ ταπεινοφροσύνης ὑπερβολήν. Οὐκ εἶπεν, ὅτι ἐγὼ ὑμῖν διακρίνω, ἐγὼ ὑμῖν λέγω τῶν ὀνειράτων τὴν ἔκβασιν, ἀλλὰ τί; «Διηγήσασθε οὖν μοι». Θεὸς γάρ ἐστι μόνος ὁ τὰ τοιαῦτα ἀποκαλύπτων. «Καὶ διηγήσατο ὁ ἀρχιοινοχόος. Καὶ ἀκούσας ὁ Ἰωσὴφ φησι· τοῦτο ἡ σύγκρισις αὐτοῦ. Οἱ τρεῖς πυθμένες, τρεῖς ἡμέραι εἰσίν· ἔτι τρεῖς ἡμέραι, καὶ μνησθήσεται Φαραὼ τῆς ἀρχιοινοχοΐας σου, καὶ ἀποκαταστήσει σε, καὶ δώσεις τὸ ποτήριον Φαραὼ εἰς τὴν χεῖρα αὐτοῦ κατὰ τὴν ἀρχήν σου τὴν προτέραν, ὡς ἦσθα οἰνοχοῶν. Ἀλλὰ ἀναμνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ σοι γένηται, καὶ ποιήσεις ἐπ' ἐμὲ ἔλεος, καὶ μνήσθητι περὶ ἐμοῦ πρὸς Φαραώ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου, ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, καὶ ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον». Ἐπειδὴ προεμήνυσεν αὐτῷ τὰ μέλλοντα αὐτῷ χρηστὰ συμβήσεσθαι, καὶ τὴν καταλλαγὴν τοῦ βασιλέως, φησί, «Μνήσθητί μου διὰ σεαυτοῦ», ὅταν ἀπολάβῃς σου τὴν εὐημερίαν· μνήμην ποίησαι τοῦ σοι ταῦτα προμηνύσαντος, καὶ ποιήσεις ἐπ' ἐμὲ ἔλεος.

2. Τοῦτο ἀκούων, ἀγαπητέ, μὴ μικροψυχίαν καταγνῷς τοῦ δικαίου, ἀλλὰ ταύτῃ μάλιστα ἐκπλάγηθι,

---

2. Εἰς τὸ σημεῖον αὐτὸ ὁ Ἰωσὴφ δὲν λέγει τὴν ἀληθινὴν περιπέτειάν του καὶ ὅτι τὸν ἐπώλησαν οἱ ἀδελφοί του, ἴσως διὰ νὰ μὴ τοὺς προσβάλῃ.

σεχε πῶς, ἐνῷ εὑρίσκετο εἰς τὴν φυλακήν, ἔδειχνε τὴν ἀρετήν του καὶ ἐφρόντιζε νὰ ἀνακουφίζῃ καὶ τῶν ἄλλων τὰς θλίψεις. Τί ἀπήντησαν λοιπὸν ἐκεῖνοι; «Εἴδομεν κάποιο ὄνειρον, ἀλλὰ δὲν ὑπάρχει αὐτὸς ποὺ θὰ μᾶς τὸ ἐξηγήσῃ». Ἠγνόουν τὴν σοφίαν τοῦ συζητητοῦ των. Ὑπελόγιζον αὐτὸν ὡσὰν ἕνα ἀπὸ τὸ πλῆθος καὶ διὰ τοῦτο οὔτε τὸ ὄνειρον διηγοῦνται, ἀλλὰ μόνον ὅτι εἶδον ὄνειρον καὶ λέγουν· «Δὲν ὑπάρχει αὐτὸς ποὺ θὰ μᾶς τὸ ἐξηγήσῃ». Ἀλλ' ὁ θαυμαστὸς Ἰωσὴφ λέγει πρὸς αὐτούς· «Διά τοῦ Θεοῦ δὲν γίνεται ἡ ἐξήγησις αὐτῶν; Διηγηθῆτε μου λοιπὸν αὐτά». Μήπως δηλαδὴ ὑπόσχομαι νὰ σᾶς εἰπῶ κάτι ἀπὸ τὸ μυαλό μου; Ὁ Θεὸς εἶναι αὐτὸς ποὺ ἀποκαλύπτει αὐτά.

Πρόσεχε τὴν σύνεσιν καὶ τὸ μέγεθος τῆς ταπεινοφροσύνης του. Δὲν εἶπεν, ὅτι ἐγὼ ἑρμηνεύω, ἐγὼ λέγω τὴν ἔκβασιν τῶν ὀνείρων, ἀλλὰ τί; «Διηγηθῆτε μου λοιπὸν αὐτά». Διότι ὁ Θεὸς μόνον εἶναι αὐτὸς ποὺ ἀποκαλύπτει καὶ ἑρμηνεύει αὐτά. «Καὶ ὁ ἀρχιοινοχόος διηγήθη τὸ ὄνειρον. Καὶ ὁ Ἰωσὴφ ὅταν ἤκουσε λέγει. Ἰδοὺ ἡ ἐξήγησις αὐτοῦ. Οἱ τρεῖς κλάδοι τῆς ἀμπέλου εἶναι τρεῖς ἡμέραι. Ἀκόμη τρεῖς ἡμέρας καὶ ὁ Φαραὼ θὰ ἐνθυμηθῇ τὴν ὑπηρεσίαν σου ὡς ἀρχιοινοχόου καὶ θὰ σὲ ἀποκαταστήσῃ καὶ θὰ δώσῃς τὸ ποτήριον εἰς τὸ χέρι τοῦ Φαραὼ κατὰ τὴν προηγουμένην σου συνήθειαν, ὅταν ἦσουν οἰνοχόος. Ἀλλὰ νὰ μὲ ἐνθυμηθῇς, ὅταν θὰ εὐτυχήσῃς καὶ νὰ μὲ λυπηθῇς καὶ νὰ μὴ μὲ λησμονήσῃς ἐνώπιον τοῦ Φαραὼ καὶ νὰ μὲ βγάλῃς ἀπὸ αὐτὴν ἐδῶ τὴν φυλακήν, διότι μὲ ἔκλεψαν ἀπὸ τὴν χώραν τῶν Ἑβραίων καὶ ἐδῶ δὲν ἔκαμα τίποτε, ἀλλὰ μὲ ἔρριψαν εἰς τὴν φυλακὴν αὐτήν». Ἐπειδὴ προεῖπεν εἰς αὐτὸν τὰ εὐχάριστα γεγονότα ποὺ ἐπρόκειτο νὰ τοῦ συμβοῦν καὶ τὴν συμφιλίωσίν του μὲ τὸν Φαραώ, λέγει, «Νὰ μὲ ἐνθυμηθῇς», ὅταν θὰ ἔχῃς τὴν εὐτυχίαν σου. Νὰ ἐνθυμηθῇς ἐκεῖνον ποὺ σοῦ προεῖπεν αὐτὰ καὶ νὰ μοῦ δείξῃς εὐσπλαχνίαν.

2. Ἀκούων αὐτό, ἀγαπητέ μου, νὰ μὴ κατηγορήσῃς τὸν δίκαιον διὰ μικροψυχίαν, ἀλλὰ διὰ τὸν λόγον αὐτὸν

ὅτι τοσούτων δυσχερῶν ὄντων, τὴν αὐτόθι οἴκησιν γενναίως καὶ εὐχαρίστως ἔφερεν. Εἰ γὰρ καὶ πολλάκις τὴν παρὰ τοῦ ἀρχιδεσμοφύλακος ἐξουσίαν εἰλήφει, ἀλλ' ὅμως ἐβαρύνετο τὸ κατακεκλεῖσθαι, καὶ μετὰ τῶν αὐχμώντων καὶ ῥυπώντων εἶναι. Ὅρα γὰρ αὐτοῦ καὶ ἐκ τούτου τὴν φιλόσοφον γνώμην· ὅπως μετὰ ἀνδρείας ἔφερεν ἅπαντα, διὰ πάντων πολλὴν τὴν ταπεινοφροσύνην ἐπιδεικνύμενος. Καὶ ποιήσεις ἐπ' ἐμὲ ἔλεος, καὶ μνησθήσῃ περὶ ἐμοῦ πρὸς Φαραώ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου». Ἐννόει μοι ἐνταῦθα, πῶς οὐδὲν λέγει κατὰ τῆς μιαρᾶς ἐκείνης μοιχαλίδος, οὐδὲ αἰτιᾶται τὸν δεσπότην, οὐδὲ τὴν τῶν ἀδελφῶν περὶ αὐτὸν ἀπανθρωπίαν διηγεῖται, ἀλλὰ συγκαλύψας πάντα, φησί· μνήσθητί μου, καὶ ποίησον ἐξενεχθῆναί με ἐκ τοῦ ὀχυρώματος τούτου· «Ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ' ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον».

Μὴ ἁπλῶς τοῦτο παραδράμωμεν, ἀλλ' ἐννοήσωμεν τῆς ψυχῆς αὐτοῦ τὴν φιλοσοφίαν, καὶ ὅπως καιρὸν εὑρηκὼς τοιοῦτον, καὶ εἰδὼς ὅτι δυνήσεται ἅπαντα ὁ ἀρχιοινοχόος ἐν εὐημερίᾳ γεγονὼς γνωρίσαι τῷ βασιλεῖ τὰ κατ' αὐτόν, οὐ τὴν Αἰγυπτίαν διαβάλλει (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ), οὐ τὸν δεσπότην ἄγει εἰς μέσον, οὐδὲ τοὺς ἀδελφούς· οὐ λέγει τὴν αἰτίαν, δι' ἣν τὸ δεσμωτήριον οἰκεῖν κατεδικάσθη, οὐδὲ σπουδάζει δεῖξαι τὴν παρανομίαν τὴν εἰς αὐτὸν γεγενημένην· ἀλλ' ἑνὸς μόνου γίνεται, οὐ τοῦ ἐκείνων δηλαδὴ κατηγορῆσαι, ἀλλὰ τοῦ ὑπὲρ ἑαυτοῦ μόνον εἰπεῖν. Καὶ τὰ μὲν παρὰ τῶν ἀδελφῶν συνεσκίασεν εἰπών, «Ἐκλάπην ἐκ γῆς Ἑβραίων», τὰ δὲ παρὰ τῆς Αἰγυπτίας ἐκείνης τῆς ἀκολάστου οὐδὲ εἰς μέσον ἄγει, οὐδὲ τὴν παρὰ τοῦ δεσπότου ἄδικον κατ' αὐτοῦ ἀγανάκτη-

νὰ ἀπορῇς, ὅτι δηλαδή, ἂν καὶ ἦσαν τόσαι πολλαὶ αἱ δυσχέρειαι, ὅμως ὑπέφερε μὲ ὑψηλὸν φρόνημα καὶ μὲ εὐχαρίστησιν τὴν ἐκεῖ παραμονήν του. Καθ' ὅσον ἂν καὶ εἶχε λάβει πολλὰς φορὰς τὴν ἐξουσίαν ἀπὸ τὸν ἀρχιδεσμοφύλακα, ὅμως ἐστενοχωρεῖτο διὰ τόν ἐγκλεισμὸν καὶ τὴν διαμονὴν μετὰ τῶν ἀκαθάρτων καὶ τῶν ρυπαρῶν. Πρόσεχε ὅμως καὶ ἀπ' αὐτὸ τὸ γεγονὸς τὴν φιλοσοφημένην σκέψιν του, πῶς δηλαδὴ ὑπέφερε τὰ πάντα μὲ γενναιοψυχίαν, ἐπιδεικνύων μὲ τὸ κάθε τι τὴν μεγάλην ταπεινοφροσύνην του. «Καὶ νὰ μὲ λυπηθῇς καὶ νὰ μὴ μὲ λησμονήσῃς ἐνώπιον τοῦ Φαραὼ καὶ νὰ μὲ βγάλῃς ἀπὸ αὐτὴν ἐδῶ τὴν φυλακήν». Πρόσεξε εἰς τὸ σημεῖον αὐτό, παρακαλῶ, ὅτι δὲν λέγει τίποτε ἐναντίον ἐκείνης τῆς μιαρᾶς μοιχαλίδος, οὔτε κατηγορεῖ τὸν κύριόν του, οὔτε διηγεῖται τὴν εἰς βάρος του ἀπάνθρωπον συμπεριφορὰν τῶν ἀδελφῶν του, ἀλλ' ἀφοῦ ἀπέκρυψε τὰ πάντα, λέγει· Νὰ μὲ ἐνθυμηθῇς καὶ φρόντισε νὰ βγῶ ἀπ' αὐτὴν ἐδῶ τὴν φυλακήν. «Διότι μὲ ἔκλεψαν ἀπὸ τὴν χώραν τῶν Ἑβραίων καὶ ἐδῶ δὲν ἔκαμα τίποτε, ἀλλὰ μὲ ἔρριψαν εἰς τὴν φυλακὴν ἀδίκως».

Ἃς μὴ προσπεράσωμεν αὐτὸ χωρὶς προσοχήν, ἀλλὰ ἃς σκεφθῶμεν τὴν φιλόσοφον διάθεσιν τῆς ψυχῆς του, πού, ἂν καὶ ηὗρε τέτοιαν εὐκαιρίαν καὶ ἐγνώριζεν, ὅτι θὰ ἠμπορέσῃ ὁ ἀρχιοινοχόος νὰ κάνῃ γνωστὴν τὴν ἱστορίαν του εἰς τὸν βασιλέα, ὅταν θὰ ἐπανεύρῃ τὴν εὐτυχίαν του, ὅμως δὲν κατηγορεῖ τὴν Αἰγυπτίαν (θὰ εἴπω βέβαια πάλιν τὰ ἴδια), οὔτε ἀναφέρει τὸν κύριόν του, οὔτε τοὺς ἀδελφούς του. Δὲν λέγει τὴν αἰτίαν, διὰ τὴν ὁποίαν κατεδικάσθη εἰς φυλάκισιν, οὔτε προσπαθεῖ νὰ ἀποδείξῃ τὴν ἀδικίαν ποὺ ἔγινεν εἰς βάρος του, ἀλλὰ δι' ἕνα πρᾶγμα μόνον φροντίζει, ὄχι δηλαδὴ νὰ κατηγορήσῃ ἐκείνους, ἀλλὰ νὰ ὁμιλήσῃ μόνον διὰ τὸ δίκαιόν του. Καὶ τὴν μὲν ὑπόθεσιν τὴν σχετικὴν μὲ τοὺς ἀδελφούς του ἀπέκρυψε μὲ τὸ νὰ εἰπῇ· «Μὲ ἔκλεψαν ἀπὸ τὴν χώραν τῶν Ἑβραίων», τὰ σχετικὰ δὲ μὲ τὴν ἀκόλαστον ἐκείνην Αἰγυπτίαν καθόλου δὲν ἀναφέρει, οὔτε καὶ τὴν ἐναντίον του ἄδικον ἀγανάκτησιν τοῦ κυρίου του ἀναφέρει. Τί λέγει ὅμως; «Δὲν

σιν. Ἀλλὰ τί φησιν; «Ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ' ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον».

Ταῦτα ἀκούοντες παιδευώμεθα, ἐπειδὰν τισι τοιούτοις περιπέσωμεν, μὴ ἐκείνους σπουδάζειν περιβάλλειν λοιδορίαις, καὶ τὴν γλῶσσαν ἀκονᾶν κατὰ τῆς ἑτέρων κατηγορίας, ἀλλὰ μόνον πρᾴως καὶ ἡμέρως ἑαυτοὺς ἀνευθύνους δεικνύναι, καὶ μιμεῖσθαι τὸν θαυμάσιον τοῦτον, ὅτι οὐδὲ ἐν συμφορᾷ ὧν κατεδέξατο κἂν μέχρι ῥημάτων ἐκπομπεῦσαι τῆς Αἰγυπτίας τὴν ἀσέλγειαν. Ἴστε γὰρ ὅτι πολλοὶ πολλάκις καὶ ὑπεύθυνοι ὄντες ἐγκλήμασι, πολλῇ τῇ ἀναισχυντίᾳ κεχρημένοι τὰ ἑαυτῶν πλημμελήματα ἑτέροις περιάπτειν ἐπιχειροῦσιν· οὗτος δὲ τοῦ ἡλίου φανότερος τυγχάνων, καὶ δυνάμενος ἅπαντα μετὰ ἀληθείας εἰπεῖν, κἀκείνης τὴν μανίαν κατάδηλον ποιῆσαι, καὶ ἑαυτὸν περιφανέστερον ἀποδεῖξαι, οὐδὲν ἐκείνων εἰς μέσον ἄγει. Οὐδὲ γὰρ τὴν παρὰ τῶν ἀνθρώπων ἐθηρᾶτο δόξαν, ἀλλ' ἠρκεῖτο τῇ ἄνωθεν εὐνοίᾳ, καὶ τὸν ἀκοίμητον ἐκεῖνον μόνον ὀφθαλμὸν ἐβούλετο ἐπαινέτην ἔχειν τῶν γινομένων. Διὸ καὶ σιγῶντος αὐτοῦ, καὶ πάντα κρύπτειν ἐπιχειροῦντος, ὁ φιλάνθρωπος Δεσπότης εἰς τοσαύτην αὐτὸν περιφάνειαν ἤγαγεν, ὅτε καλῶς εἶδε τὸν ἀθλητὴν ἀγωνισάμενον. Τέως δὲ μάθωμεν καὶ ἐκ τῶν μετὰ ταῦτα γινομένων τὴν ὑπομονὴν τοῦ ἀνδρός, καὶ ὅπως πρὸς τὴν μέλλησιν οὐκ ἐδυσχέρανεν, οὐδὲ ἀπεδυσπέτησεν· ἀλλὰ μετὰ πολλῆς τῆς προθυμίας ἅπαντα φέρων ηὐχαρίστει τῷ ταῦτα συγχωροῦντι γίνεσθαι Δεσπότῃ.

Ταῦτα ἀκούσας ὁ ἀρχισιτοποιός, καὶ νομίσας καὶ τὸ αὐτοῦ ὄναρ χρηστόν τι αὐτῷ προμηνύειν, διηγεῖται αὐτῷ τὴν τοῦ ὀνείρου ὄψιν. Ἀλλ' ἀκούσας ὁ Ἰωσήφ, καὶ ἐκ τῆς ἄνωθεν ἀποκαλύψεως καὶ τὴν τούτου σύγκρισιν δεξάμενος, προμηνύει αὐτῷ τὸν μέλλοντα αὐτὸν καταλήψεσθαι ὄλεθρον, καί φησιν· «Ἔ-

ἔκαμα τίποτε ἐδῶ, ἀλλὰ μὲ ἔρριψαν ἀδίκως εἰς αὐτὴν τὴν φυλακήν».

Ἀκούοντες αὐτὰ ἄς φροντίζωμεν, ἐὰν κάποτε περιέλθωμεν εἰς τὴν ἰδίαν κατάστασιν, νὰ μὴ σπεύδωμεν νὰ κατηγορήσωμεν τοὺς κατηγόρους μας καὶ νὰ ἀκονίζωμεν τὴν γλῶσσαν μας διὰ νὰ κατηγορήσωμεν τοὺς ἄλλους, ἀλλὰ μόνον μὲ πραότητα καὶ ἠρεμίαν νὰ ἀποδεικνύωμεν ὅτι εἴμεθα ἀνεύθυνοι καὶ νὰ μιμούμεθα αὐτὸν τὸν ἀξιοθαύμαστον Ἰωσήφ, διότι, ἄν καὶ εὑρίσκετο εἰς τὴν φυλακήν, δὲν κατεδέχθη οὔτε μὲ τοὺς λόγους νὰ διαπομπεύσῃ τὴν ἀσέλγειαν τῆς Αἰγυπτίας. Διότι γνωρίζετε, ὅτι πολλοί, ἄν καὶ εἶναι ὑπεύθυνοι ἐγκλημάτων, πολλὲς φορὲς ἐπιχειροῦν νὰ φορτώσουν εἰς ἄλλους τὰ ἰδικά των ἐγκλήματα φερόμενοι μὲ πολλὴν ἀναισχυντίαν. Αὐτὸς ὅμως ἄν καὶ ἦτο καθαρότερος ἀπὸ τὸν ἥλιον καὶ ἠμποροῦσε νὰ εἰπῇ τὰ πάντα μὲ ἀλήθειαν, δηλαδὴ καὶ νὰ ἀποκαλύψῃ τὴν μανίαν ἐκείνης, καὶ νὰ ἀποδείξῃ τὸν ἑαυτόν του λαμπρότερον, ὅμως δὲν φανερώνει τίποτε ἀπ' αὐτά. Καθ' ὅσον δὲν ἐπεδίωκε τὴν δόξαν ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ τοῦ ἦτο ἀρκετὴ ἡ ἄνωθεν εὔνοια καὶ ἤθελε νὰ ἔχῃ μόνον τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν ὡς ἐπαινέτην αὐτῶν ποὺ ἐγίνοντο. Διὰ τοῦτο, ἐνῷ αὐτὸς ἐσιώπα καὶ προσεπάθει νὰ ἀποκρύψῃ τὰ πάντα, ὁ φιλάνθρωπος Κύριος ὅταν εἶδεν, ὅτι ὁ ἀθλητὴς ἠγωνίσθη τὸν ἀγῶνα τὸν καλόν, τὸν ἀνύψωσεν εἰς τόσον μεγάλην δόξαν. Πρῶτα δὲ θὰ μάθωμεν καὶ ἀπ' ὅσα θὰ συμβοῦν εἰς τὸ ἑξῆς τὴν ὑπομονὴν τοῦ ἀνδρὸς καὶ ὅτι δὲν ἐστενοχωρεῖτο διὰ τὴν βραδύτητα, οὔτε καὶ ἠγανάκτησεν, ἀλλὰ ὑπέφερε τὰ πάντα μὲ πολλὴν προθυμίαν καὶ ηὐχαρίστει τὸν Κύριον, ὁ ὁποῖος ἐπέτρεπε νὰ γίνωνται αὐτά.

Ὅταν ἤκουσεν αὐτὰ ὁ ἀρχισιτοποιός, ἐπειδὴ ἐνόμισεν, ὅτι καὶ τὸ ἰδικόν του ὄνειρον προμηνύει κάτι τὸ καλὸν δι' αὐτόν, διηγεῖται αὐτὸ εἰς τὸν Ἰωσήφ. Ἀλλ' ὅταν ἤκουσεν αὐτὸ ὁ Ἰωσὴφ καὶ ἐδέχθη ἀπὸ τὴν οὐράνιον ἀποκάλυψιν τὴν ἑρμηνείαν αὐτοῦ, προαναγγέλλει εἰς τὸν ἀρχισιτοποιὸν τὴν συμφοράν, ἡ ὁποία ἐπρόκειτο νὰ τὸν

τι τρεῖς ἡμέραι, καὶ ἀφελεῖ Φαραὼ τὴν κεφαλήν σου ἀπὸ σοῦ, καὶ κρεμάσει σε ἐπὶ ξύλου, καὶ φάγεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς σάρκας σου ἀπὸ σοῦ». Διὰ τοῦτο προλαβὼν εἶπον, φησίν, ὅτι οὐκ ἀπ' ἐμαυτοῦ ταῦτα ὑμῖν προμηνύω, ἀλλ' ἅπερ ἂν ὁ Θεὸς ἀποκαλύψῃ, ἵνα κἂν χρηστόν τι ὑποφαίνῃ τῶν ὀνειράτων ἡ ὄψις, κἂν τὸ ἐναντίον, μὴ ἐμοὶ λογίσησθε. Οὐ γὰρ οἴκοθεν ταῦτα φθέγγομαι, ἀλλ' ἐκεῖνα ὑμῖν διασαφῶ, ἅπερ ἂν ἡ ἄνωθεν χάρις κατάδηλα ποιήσῃ. 'Αλλὰ τῆς προθεσμίας ἐπιστάσης, εἰς ἔργον ἐξήει τὰ παρὰ τοῦ 'Ιωσὴφ εἰρημένα, καὶ καθὰ αὐτὸς συνέκρινεν, οὕτω γέγονεν ἀμφοτέροις, καὶ ὃς μὲν εἰς τὴν προτέραν ἐπανῆλθεν εὐημερίαν, ὃς δὲ τὴν τιμωρίαν ἐδέξατο. «'Αλλ' ὁ ἀρχιοινοχόος», ὁ τοσαῦτα παρακληθείς, «οὐκ ἐμνήσθη», φησί, «τοῦ 'Ιωσήφ, ἀλλ' ἐπελάθετο αὐτοῦ».

῞Ορα πάλιν τὸν δίκαιον καθάπερ ἐν γυμνασίᾳ τινὶ καὶ παλαίστρᾳ ἀγωνιζόμενον, καὶ τῆς οἰκείας ἀρετῆς ἀπόδειξιν παρεχόμενον, καὶ οὐδεμίαν ταραχὴν ὑπομένοντα, οὐδὲ θορυβούμενον καὶ δυσανασχετοῦντα. Εἶπε γὰρ ἂν ἄλλος πρὸς ἑαυτὸν ἴσως, εἰ τῶν πολλῶν τις ἦν· τί τοῦτο; ὁ μὲν ἀρχιοινοχόος, καθὰ συνέκρινα αὐτῷ τοῦ ὀνείρου τὴν ὄψιν, ἀπέλαβε μετὰ τοσαύτης ταχύτητος τὴν προτέραν εὐημερίαν, καὶ οὐδὲ μνήμην ἐποιήσατο ἐμοῦ τοῦ προμηνύσαντος. 'Αλλ' ἐκεῖνος μέν ἐστιν ἐν ἀνέσει τοσαύτῃ· ἐγὼ δὲ ὁ μηδὲν χαλεπὸν ἐργασάμενος ἐνταῦθα κατακέκλεισμαι μετὰ ἀνδροφόνων, μετὰ τυμβωρύχων, μετὰ λῃστῶν, μετὰ τῶν μυρία ἐργασαμένων κακά. Οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ᾔδει γὰρ ὅτι καὶ τὰ σκάμματα αὐτῷ μακρότερα ἐγίνετο, ἵνα νομίμως ἀγωνισάμενος λαμπρὸν ἀναδήσηται τὸν στέφανον.

3. Σκόπει γάρ μοι, μετὰ τὴν ἀποκατάστασιν ἐκείνου, φησί, δύο ἔτη παρῆλθον ἡμερῶν. ῎Εδει γὰρ ἀναμεῖναι τὸν καιρὸν τὸν ἐπιτήδειον, ὥστε μετὰ περιφανείας αὐτῷ γενέσθαι τὴν ἐκεῖθεν ἔξοδον. Εἰ μὲν

εὕρῃ, καὶ λέγει· «Μετὰ τρεῖς ἡμέρας ὁ Φαραὼ θὰ κόψῃ τὴν κεφαλήν σου καὶ θὰ σὲ κρεμάσῃ εἰς ξύλον καὶ τὰ ὄρνεα τοῦ οὐρανοῦ θὰ φάγουν τὰς σάρκας σου». Δι' αὐτὸν τὸν λόγον, λέγει, σᾶς εἶπον ἐκ τῶν προτέρων, ὅτι δὲν σᾶς ἐξηγῶ τὰ ὄνειρα μὲ τὴν ἰδικήν μου δύναμιν, ἀλλὰ σᾶς λέγω, ὅσα θὰ μοῦ ἀποκαλύψῃ ὁ Θεός, ὥστε εἴτε κάποιο καλὸν φανερώνει τὸ ὄνειρον, εἴτε τὸ ἀντίθετον, νὰ μὴ τὸ ἀποδώσετε εἰς ἐμένα. Καθ' ὅσον δὲν σᾶς λέγω αὐτὰ ἀπὸ τὸ μυαλό μου, ἀλλὰ σᾶς ἐξηγῶ ἐκεῖνα, τὰ ὁποῖα θὰ μοῦ ἀποκαλύψῃ ἡ χάρις τοῦ Θεοῦ. Πράγματι μετὰ τὴν προθεσμίαν τῶν τριῶν ἡμερῶν ἐπραγματοποιήθησαν οἱ λόγοι τοῦ Ἰωσὴφ καὶ ὅπως ἐξήγησε τὰ ὄνειρα, ἔτσι συνέβη καὶ εἰς τοὺς δύο, καὶ ὁ μὲν ἕνας, ὁ ἀρχιοινοχόος, ἐπανῆλθεν εἰς τὴν προηγουμένην του εὐημερίαν, ὁ δὲ ἄλλος, ὁ ἀρχισιτοποιός, ἐτιμωρήθη. «Ἀλλ' ὁ ἀρχιοινοχόος», λέγει, ὁ ὁποῖος τόσον εἶχε παρακληθῆ ἀπὸ τὸν Ἰωσήφ, «δὲν τὸν ἐνεθυμήθη, ἀλλὰ τὸν ἐλησμόνησε».

Πρόσεχε πάλιν, ὅτι ὁ δίκαιος ἀγωνίζεται, ὡσὰν νὰ εὑρίσκεται εἰς κάποιον στάδιον καὶ παλαίστραν, ὅτι ἀποδεικνύει τὴν ἀρετήν του καὶ δὲν ταράσσεται καθόλου, οὔτε θορυβεῖται, οὔτε δυσανασχετεῖ. Ἴσως κάποιος ἄλλος, ἐὰν ἦτο ἕνας ἀπὸ τοὺς πολλούς, θὰ ἔλεγε μέσα του· Τί πρᾶγμα εἶναι αὐτό; Ὁ μὲν ἀρχιοινοχόος, ὅπως τοῦ ἐξήγησα τὸ ὄνειρον, ἀπέκτησε τόσον γρήγορα τὴν προηγουμένην του εὐτυχίαν καὶ δὲν ἐνεθυμήθη καθόλου ἐμένα, ὁ ὁποῖος τοῦ προεμήνυσα αὐτά. Καὶ ἐκεῖνος μὲν ἔχει τόσας ἀνέσεις, ἐγὼ ὅμως, ὁ ὁποῖος δὲν ἔκαμα κανένα κακόν, εὑρίσκομαι κλεισμένος ἐδῶ μαζὶ μὲ φονεῖς καὶ τυμβωρύχους, μὲ ληστὰς καὶ ἄλλους, οἱ ὁποῖοι ἔκαμαν μύρια κακά. Τίποτε ἀπ' αὐτὰ οὔτε εἶπεν, οὔτε ἐσκέφθη, διότι ἐγνώριζεν, ὅτι ὁ ἀγὼν ἐγίνετο μακρότερος, ὥστε, ἀφοῦ ἀγωνισθῆ νομίμως, νὰ φορέσῃ τὸν λαμπρὸν στέφανον.

3. Σκέψου, παρακαλῶ, ὅτι μετὰ τὴν ἀπελευθέρωσιν τοῦ ἀρχιοινοχόου ἐπέρασαν, λέγει, δύο ἔτη. Καθ' ὅσον ἔπρεπε νὰ περιμένῃ τὴν κατάλληλον εὐκαιρίαν, ὥστε νὰ ἐξέλθῃ ἀπὸ τὴν φυλακὴν μὲ μεγαλοπρέπειαν. Διότι, ἐὰν

γὰρ πρὸ τῶν ὀνειράτων τοῦ Φαραὼ ὑπομνησθεὶς ὁ ἀρχιοινοχόος διὰ τῆς οἰκείας προστασίας αὐτὸν ἠλευθέρωσε τοῦ δεσμωτηρίου, ἴσως οὐδὲ κατάδηλος ἔμελλεν αὐτοῦ γίνεσθαι τοῖς πολλοῖς ἡ ἀρετή. Νυνὶ δὲ εἰδὼς ὁ εὐμήχανος καὶ σοφὸς Δεσπότης, καθάπερ τεχνίτης ἄριστος, ὅσον προσήκει χρόνον τὸ χρυσίον ὁμιλῆσαι τῷ πυρί, καὶ πότε αὐτὸ χρὴ ἐκεῖθεν ἀνελέσθαι, συγχωρεῖ τὸν χρόνον τῶν δύο ἐτῶν λήθην ἐγγενέσθαι τῷ ἀρχιοινοχόῳ, ἵνα καὶ ὁ καιρὸς τῶν ὀνειράτων τοῦ Φαραὼ φθάσῃ, καὶ τῆς ἀνάγκης αὐτῆς συνελαυνούσης πάσῃ τῇ βασιλείᾳ τοῦ Φαραὼ γνώριμος γένηται ὁ δίκαιος. Μετὰ γὰρ τὰ δύο ἔτη εἶδε, φησί, τὰ ὀνείρατα ὁ Φαραώ. «Καὶ ἐγένετο πρωΐ, καὶ ἐταράχθη ἡ ψυχὴ αὐτοῦ, καὶ ἀποστείλας ἐκάλεσε πάντας τοὺς ἐξηγητὰς τῆς Αἰγύπτου, καὶ πάντας τοὺς σοφοὺς αὐτῆς, καὶ διηγήσατο αὐτοῖς Φαραὼ τὸ ἐνύπνιον, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων αὐτὸ τῷ Φαραώ».

Ὅρα τὴν πολλὴν τοῦ Θεοῦ οἰκονομίαν. Πρότερον συγχωρεῖ πάντων τῶν αὐτόθι νομιζομένων σοφῶν πεῖραν αὐτὸν λαβεῖν, ἵνα ὅταν δειχθῇ ἡ ἐκείνων ἄγνοια, τότε οὗτος ὁ δεσμώτης, ὁ αἰχμάλωτος, ὁ δοῦλος, ὁ Ἑβραῖος εἰς μέσον ἀχθείς, καὶ τὰ τοὺς πολλοὺς λανθάνοντα γνώριμα καταστήσας, πρόδηλον ἅπασι κατασκευάσῃ γενέσθαι τὴν ἄνωθεν αὐτῷ ἀπανθοῦσαν χάριν. Ὅτε οὖν ἅπαντες οἱ σοφοὶ παραγενόμενοι οὐδὲν εἰπεῖν ἠδυνήθησαν, οὐδὲ διᾶραι τὸ στόμα ἴσχυσαν, τότε ὁ ἀρχιοινοχόος εἰς μνήμην ἐλθὼν ὑπομιμνήσκει τὸν Φαραὼ τῶν εἰς αὐτὸν συμβεβηκότων, καί φησι· «Τὴν ἁμαρτίαν μου ἀναμιμνήσκω σήμερον». Καὶ διηγεῖται αὐτίκα ὅπως, ἡνίκα εἰς τὸ δεσμωτήριον ἐνεβλήθη αὐτὸς καὶ ὁ ἀρχισιτοποιός, καὶ ἐθεάσαντο τὰ ὀνείρατα, καὶ τὴν σύγκρισιν ἐδέξαντο παρὰ τοῦ Ἰωσήφ, ὅτι κατὰ τὴν ἐκείνου προσαγόρευσιν ἅπαντα αὐτοῖς εἰς ἔργον ἐξῆλθε. Ταῦτα ἀκούσας ὁ βασιλεύς, μετεπέμψατο τὸν Ἰωσήφ, «καὶ ἐξήγαγεν αὐτὸν ἐκ τοῦ ὀχυρώματος, καὶ ἐξύρησαν αὐτόν, καὶ ἤλλαξαν τὴν στολὴν αὐτοῦ, καὶ εἰσῆλθε πρὸς

τὸν ἐνεθυμεῖτο καὶ τὸν ἠλευθέρωνεν ὁ ἀρχιοινοχόος διὰ τῆς ἰδικῆς του προστασίας πρὶν ἀπ' τὰ ὄνειρα τοῦ Φαραώ, δὲν θὰ ἐγίνετο ἴσως γνωστὴ εἰς τοὺς πολλοὺς ἡ ἀρετή του. Τώρα ὅμως, ἐπειδὴ γνωρίζει ὁ ἐφευρετικὸς καὶ σοφὸς Κύριος, ὡς τεχνίτης ἄριστος, πόσον χρόνον πρέπει νὰ παραμείνῃ ὁ χρυσὸς εἰς τὴν πυρὰν καὶ πότε πρέπει νὰ βγάλῃ αὐτὸν ἀπὸ ἐκεῖ, ἐπιτρέπει κατὰ τὴν διάρκειαν τῶν δύο ἐτῶν νὰ λησμονήσῃ ὁ ἀρχιοινοχόος τὸν Ἰωσήφ, ὥστε νὰ φθάσῃ καὶ ὁ καιρὸς τῶν ὀνείρων τοῦ Φαραώ, καὶ ὑπὸ τὴν πίεσιν τῆς ἀνάγκης αὐτῆς ὁ δίκαιος νὰ γίνῃ γνωστὸς εἰς ὁλόκληρον τὸ βασίλειον τοῦ Φαραώ. Πράγματι μετὰ τὴν παρέλευσιν δύο ἐτῶν, λέγει ἡ Γραφή, ὁ Φαραὼ εἶδε τὰ ὄνειρα. «Καὶ ἐξημέρωσε καὶ ὁ Φαραὼ ἐταράχθη καὶ ἔστειλε καὶ ἐκάλεσεν ὅλους τοὺς ἐξηγητὰς τῶν ὀνείρων καὶ ὅλους τοὺς σοφοὺς τῆς Αἰγύπτου καὶ διηγήθη εἰς αὐτοὺς τὸ ὄνειρόν του, ἀλλὰ κανεὶς δὲν ἠμπόρεσε νὰ ἐξηγήσῃ τὸ ὄνειρον εἰς τὸν Φαραώ».

Πρόσεχε τὴν μεγάλην οἰκονομίαν τοῦ Θεοῦ. Ἀφήνει τὸν Φαραὼ νὰ δοκιμάσῃ πρῶτον τοὺς θεωρουμένους σοφοὺς τοῦ βασιλείου του, ὥστε, ὅταν ἀποδειχθῇ ἡ ἄγνοια αὐτῶν, τότε αὐτὸς ὁ φυλακισμένος, ὁ αἰχμάλωτος, ὁ δοῦλος, ὁ Ἑβραῖος νὰ ὁδηγηθῇ ἀνάμεσά τους, νὰ ἐξηγήσῃ ὅ,τι δὲν ἐγνώριζον οἱ πολλοὶ καὶ νὰ φανερώσῃ εἰς ὅλους τὴν θείαν χάριν, ἡ ὁποία ἐδίδετο εἰς αὐτὸν πλουσία. Ὅταν λοιπὸν συνεκεντρώθησαν ὅλοι οἱ σοφοὶ καὶ δὲν ἠμπόρεσαν νὰ δώσουν καμμίαν ἐξήγησιν, οὔτε νὰ ἀνοίξουν τὸ στόμα των, τότε ὁ ἀρχιοινοχόος ἐνεθυμήθη καὶ ἀναφέρει εἰς τὸν Φαραώ, ὅσα συνέβησαν εἰς αὐτὸν καὶ λέγει· «Σήμερον ἐνθυμοῦμαι κάποιο λάθος μου». Καὶ διηγεῖται ἀμέσως ὅτι, ὅταν ἐνεκλείσθη εἰς τὴν φυλακὴν αὐτὸς καὶ ὁ ἀρχισιτοποιὸς καὶ εἶδον τὰ ὄνειρα καὶ ἔλαβον τὴν ἐξήγησιν ἀπὸ τὸν Ἰωσήφ, ὅλα ἐπραγματοποιήθησαν εἰς αὐτούς, ὅπως αὐτὸς τὰ προεῖπεν. Ὅταν ἤκουσεν αὐτὰ ὁ βασιλεύς, ἔστειλε καὶ ἐκάλεσε τὸν Ἰωσὴφ «καὶ ἔβγαλεν αὐτὸν ἀπὸ τὴν φυλακήν, τὸν ἐξύρησαν καὶ ἤλλαξαν τὴν στολήν του καὶ παρουσιάσθη εἰς τὸν Φαραώ». Πρόσεχε πόση τιμὴ τοῦ γί-

Φαραώ». Ὅρα εὐθέως καὶ ἐκ προοιμίων λοιπὸν πόση ἡ τιμή. Ἐπειδὴ ἐκαθαρίσθη καλῶς διὰ τῆς ὑπομονῆς, καὶ καθάπερ χρυσίον φαιδρυνόμενον ἐξήει ἐκ τοῦ δεσμωτηρίου, καὶ ἤγετο πρὸς Φαραώ.

Εἶδες πόσον ἐστὶ τὸ ὑπὸ τῆς ἄνωθεν βοηθεῖσθαι ῥοπῆς; Ὅρα πόσα ᾠκονομήθη, ἵνα τὰ κατὰ τὸν Ἰωσὴφ εἰς ἔργον ἐξέλθῃ. Ἐπειδὴ γὰρ τὸν μέγιστον ἐκεῖνον ἆθλον ἠγωνίσατο τῆς μιαρᾶς ἐκείνης Αἰγυπτίας τὰ δίκτυα διαφυγών, καὶ εἰς τὸ δεσμωτήριον ἐνεβλήθη, συνεχωρήθη τὸν ἀρχιοινοχόον καὶ τὸν ἀρχισιτοποιὸν τοῦ Φαραὼ κατ' ἐκεῖνον τὸν καιρὸν ἐκεῖ ἐμβληθῆναι, καὶ διὰ τῆς συγκρίσεως τῶν ὀνειράτων μαθεῖν τοῦ ἀνδρὸς τὴν σοφίαν, ἵνα νῦν ἐν καιρῷ μνήμην αὐτοῦ ποιησάμενος εἰς μέσον αὐτὸν ἀγάγῃ. «Εἶπε δέ», φησί, «Φαραὼ πρὸς τὸν Ἰωσήφ· ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό· ἐγὼ δὲ ἀκήκοα περὶ σοῦ λεγόντων, ἀκούσαντά σε ἐνύπνια, συγκρίνειν αὐτά». Ὅρα πῶς αἰσχυνόμενος ὁ Φαραὼ οὐ λέγει φανερῶς, ὅτι οὐδεὶς τῶν παρ' ἐμοὶ σοφῶν ἴσχυσε διακρῖναι τὰ ὀνείρατα· ἀλλὰ τί; «Ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό· ἀκήκοα δὲ περὶ σοῦ λεγόντων, ἀκούσαντά σε ἐνύπνια, συγκρίνειν αὐτά».

Σκόπει μοι καὶ ἐνταῦθα τοῦ Ἰωσὴφ τὴν σύνεσιν καὶ τὴν πολλὴν εὐλάβειαν, ὅπως ἀποκρίνεται τῷ Φαραώ. Μὴ ὑποπτεύσῃς, φησίν, ἐμέ τι οἴκοθεν φθέγγεσθαι, ἢ ἀπὸ ἀνθρωπίνης σοφίας ταῦτα διακρίνειν. Οὐδὲ γὰρ οἷόν τε ἄνευ τῆς ἄνωθεν ἀποκαλύψεως τὴν γνῶσιν τούτων καταλαβεῖν. Ἴσθι τοίνυν, ὅτι ἄνευ τοῦ Θεοῦ οὐχ οἷόν τέ με ἀποκριθῆναί σοι. Ἄνευ γάρ, φησί, τοῦ Θεοῦ οὐκ ἀποκριθήσεται τὸ σωτήριον τοῦ Φαραώ. Μαθὼν τοίνυν ὡς ὁ τῶν ἁπάντων Δεσπότης ἐστὶν ὁ ταῦτα ἀποκαλύπτων, μὴ παρὰ ἀνθρώπων ζήτει ταῦτα, ἃ μόνου, φησί, τοῦ Θεοῦ ἐστιν εἰς φανερὸν ἄγειν. Ὅρα πῶς διὰ τῆς ἀποκρίσεως παιδεύει τὸν Φαραὼ εἰδέναι καὶ τῶν παρ' αὐτοῦ σοφῶν τὴν ἀσθέ-

νεται εὐθὺς ἐξ ἀρχῆς. Ἀφοῦ ἐκαθαρίσθη καλῶς μὲ τὴν ὑπομονὴν ἐξήρχετο ἀπὸ τὴν φυλακὴν καὶ ὡδηγεῖτο εἰς τὸν Φαραὼ ὡς χρυσὸς ἀπαστράπτων.

Εἶδες πόσον μεγάλο πρᾶγμα εἶναι τὸ νὰ ἀπολαμβάνῃς τὴν ἄνωθεν βοήθειαν; Πρόσεξε πόσα πράγματα συνέβησαν διὰ νὰ πραγματοποιηθοῦν ὅλα τὰ σχετικὰ μὲ τὸν Ἰωσήφ. Ὅταν δηλαδὴ ἐπέτυχεν ἐκεῖνον τὸν μέγιστον ἄθλον, ἀφοῦ διέφυγε τὰ δίκτυα τῆς μιαρᾶς ἐκείνης Αἰγυπτίας καὶ ἐνεκλείσθη εἰς τὴν φυλακήν, ἐρρυθμίσθη νὰ ἐγκλεισθοῦν ἐκεῖ τὴν ἰδίαν ἐποχὴν ὁ ἀρχισιτοποιὸς καὶ ὁ ἀρχιοινοχόος τοῦ Φαραὼ καὶ μὲ τὴν ἑρμηνείαν τῶν ὀνείρων νὰ μάθουν τὴν σοφίαν τοῦ ἀνδρός, ὥστε τώρα εἰς τὴν κατάλληλον εὐκαιρίαν νὰ τὸν ἐνθυμηθῇ καὶ νὰ τὸν φέρῃ ἐκεῖ ἀνάμεσά τους. «Καὶ ὁ Φαραώ», λέγει, «εἶπε πρὸς τὸν Ἰωσήφ· Εἶδα ἕνα ὄνειρον, ἀλλὰ δὲν ὑπάρχει ὁ ἑρμηνευτής του. Ὅμως ἤκουσα νὰ λέγουν διὰ σέ, ὅτι, ὅταν ἀκούσῃς ὄνειρα τὰ ἐξηγεῖς». Πρόσεχε, ὅτι ὁ Φαραὼ ἀπὸ ἐντροπὴν δὲν λέγει καθαρά, ὅτι κανεὶς ἀπὸ τοὺς ἰδικούς μου σοφοὺς δὲν ἠμπόρεσε νὰ ἐξηγήσῃ τὰ ὄνειρα. Τί λέγει ὅμως; «Εἶδα ἕνα ὄνειρον, ἀλλὰ δὲν ὑπάρχει ὁ ἑρμηνευτής του. Ὅμως ἤκουσα διὰ σὲ νὰ λέγουν, ὅτι, ὅταν ἀκούσῃς ὄνειρα, τὰ ἐξηγεῖς».

Σκέψου καὶ ἐδῶ, παρακαλῶ, τὴν σύνεσιν τοῦ Ἰωσὴφ καὶ τὴν μεγάλην εὐλάβειαν, ἀπὸ τὸν τρόπον μὲ τὸν ὁποῖον ἀπευθύνεται εἰς τὸν Φαραώ. Μὴ νομίσῃς, λέγει, ὅτι ἐγὼ λέγω αὐτὰ μὲ τὴν ἰδικήν μου δύναμιν, ἢ ὅτι τὰ ἐξηγῶ μὲ τὴν ἀνθρωπίνην σοφίαν. Καθ' ὅσον δὲν εἶναι δυνατὸν νὰ καταλάβωμεν αὐτὰ χωρὶς τὴν ἄνωθεν ἀποκάλυψιν. Νὰ γνωρίζῃς λοιπόν, ὅτι χωρὶς τὴν βοήθειαν τοῦ Θεοῦ δὲν εἶναι δυνατὸν νὰ σ' ἀποκριθῶ. Διότι, λέγει, χωρὶς τὴν δύναμιν τοῦ Θεοῦ δὲν θὰ δώσῃ εἰς τὸν Φαραὼ ὠφέλιμον ἀπάντησιν. Ἀφοῦ ἔμαθες λοιπόν, ὅτι ὁ Κύριος τοῦ παντὸς εἶναι αὐτὸς ποὺ ἀποκαλύπτει αὐτά, νὰ μὴ ζητῇς ἀπὸ ἀνθρώπους τὴν ἑρμηνείαν αὐτῶν, τὰ ὁποῖα μόνον ὁ Θεὸς εἶναι ἱκανὸς νὰ φανερώνῃ. Κοίταξε πῶς μὲ τὴν ἀπάντησιν ποὺ δίδει διδάσκει εἰς τὸν Φαραὼ νὰ μάθῃ καὶ τὴν ἀδυνα-

νειαν, καὶ τοῦ Δεσπότου τὴν δύναμιν. Ἐπεὶ οὖν ἔγνως παρ' ἐμοῦ, ὅτι οὐκ ἀπὸ σοφίας ἀνθρωπίνης ταῦτα φθέγγομαι, οὐδὲ ἐξ οἰκείων λογισμῶν, λέγε τὰ παρὰ τοῦ Θεοῦ σοι μηνυθέντα. Ταῦτα ἀκούσας ὁ Φαραὼ διηγεῖται τὰ ἐνύπνια, καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον, καί φησιν· «Εἶπα τοῖς ἐξηγηταῖς, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων μοι». Οὐκ ἤκουσας, φησί, καὶ παρ' ἐμοῦ, ὅτι οὐκ ἔστι τὸ ταῦτα γνωρίζειν τῆς ἀνθρωπίνης σοφίας; Μὴ τοίνυν ἐκείνοις καταμέμφου· οὐδὲ γὰρ ἂν ἴσχυσάν ποτε ταῦτα καταλαβεῖν, ἃ τῆς ἄνωθεν δεῖται ἀποκαλύψεως.

«Καὶ εἶπε», φησίν, «Ἰωσήφ· τὸ ἐνύπνιον Φαραὼ ἕν ἐστι». Ἵνα δὲ πιστεύσῃς ὅτι ἀληθὲς ἔσται τὸ παρὰ τοῦ Θεοῦ σοι μηνυθέν, δεύτερον ἀνηνέχθη τὸ αὐτό σε θεάσασθαι, καὶ ὅτι ταχυνεῖ ὁ Θεὸς τοῦ ποιῆσαι αὐτό. Ἡ δευτέρωσις, φησί, βεβαίωσίς ἐστι τῶν φανέντων, καὶ πληροφορία ὅτι πάντως ταῦτα γενήσεται. Καὶ ἐπειδὴ διέκρινε τὸν ἀριθμὸν τῶν ἑπτὰ βοῶν καὶ τῶν ἑπτὰ σταχύων, εἰπὼν εὐθηνίαν μεγάλην ἔσεσθαι, καὶ ταύτην λιμὸν διαδέξεσθαι χαλεπόν, λοιπὸν καὶ συμβουλὴν εἰσάγει ἀρίστην, καί φησι· Κατάστησον ἄνδρα ἐπὶ τῆς Αἰγύπτου, ὃς δυνήσεται τῶν ἑπτὰ ἐτῶν τῆς εὐθηνίας τὰ γεννήματα συναγαγὼν οὕτως οἰκονομῆσαι, ὡς δυνηθῆναι ἐν τῷ καιρῷ τοῦ λιμοῦ παραμυθίαν εὑρέσθαι, καὶ μὴ παντελῆ γενέσθαι τὸν ἀφανισμόν. «Ἤρεσε ταῦτα τῷ Φαραὼ καὶ πᾶσι τοῖς παισὶν αὐτοῦ». Καὶ λοιπὸν ὑπηρετεῖ ὁ Φαραὼ τῇ ἐκβάσει τῶν ὀνειράτων τοῦ Ἰωσήφ, ὧν ἐθεάσατο ἡνίκα παρὰ τῷ πατρὶ διῆγε. Καὶ αὐτὸς μὲν τὰ ὀνείρατα τοῦ Φαραὼ διέκρινεν· ὁ δὲ Φαραὼ εἰς τέλος ἦγε τῶν ὀνειράτων τὴν ἔκβασιν ἀγνοῶν. Ἀκούσας γὰρ ταῦ-

μίαν τῶν σοφῶν τοῦ τόπου του καὶ τὴν δύναμιν τοῦ Κυρίου. Ἀφοῦ λοιπὸν ἔμαθες ἀπὸ ἐμένα, ὅτι δὲν ἐξηγῶ τὰ ὄνειρα μὲ τὴν ἀνθρωπίνην σοφίαν, οὔτε μὲ τὴν ἰδικήν μου σκέψιν, λέγε αὐτὰ ποὺ σοῦ ἐμήνυσεν ὁ Θεός. Ὅταν ἤκουσεν αὐτὰ ὁ Φαραώ, διηγεῖται τὰ ὄνειρα καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον καὶ λέγει· «Εἶπα εἰς τοὺς ἐξηγητὰς τῶν ὀνείρων αὐτά, ἀλλὰ δὲν ὑπῆρχεν ὁ ἑρμηνευτὴς αὐτῶν». Δὲν ἤκουσες, λέγει, καὶ ἀπὸ ἐμένα, ὅτι δὲν ἀνήκει εἰς τὴν ἀνθρωπίνην σοφίαν ἡ ἑρμηνεία αὐτῶν; Νὰ μὴ κατηγορῇς λοιπὸν ἐκείνους. Καθ' ὅσον δὲν θὰ ἠμπορέσουν ποτὲ νὰ καταλάβουν αὐτά, τὰ ὁποῖα χρειάζονται τὴν ἄνωθεν ἀποκάλυψιν.

«Καὶ εἶπεν ὁ Ἰωσήφ», λέγει ἡ Γραφή, «ὅτι τὸ ὄνειρον τοῦ Φαραὼ εἶναι ἕνα». Καὶ ἄφησε νὰ ἰδῇς δύο φορὲς αὐτὸ τὸ ὄνειρον, διὰ νὰ πιστεύσῃς, ὅτι θὰ πραγματοποιηθῇ ὁπωσδήποτε αὐτὸ ποὺ σοῦ ἐμήνυσεν ὁ Θεὸς καὶ ὅτι γρήγορα θὰ τὸ πράξῃ. Ἡ ἐπανάληψις, λέγει, εἶναι ἐπιβεβαίωσις τῶν ὀνείρων καὶ πληροφορία, ὅτι αὐτὰ θὰ πραγματοποιηθοῦν ὁπωσδήποτε. Καὶ ἀφοῦ ἐξήγησε τὸν ἀριθμὸν τῶν ἑπτὰ βοῶν καὶ τῶν ἑπτὰ στάχυων, μὲ τὸ νὰ εἰπῇ, ὅτι ἐπὶ ἑπτὰ ἔτη θὰ ὑπάρξῃ μεγάλη ἀφθονία ἀγαθῶν καὶ ὅτι θὰ διαδεχθοῦν αὐτὰ ἑπτὰ ἔτη φοβερᾶς πείνης, εἰς τὸ τέλος δίδει καὶ μίαν πολὺ χρήσιμον συμβουλήν, καὶ λέγει· Διόρισε εἰς τὴν Αἴγυπτον κάποιον ἄνδρα, ὁ ὁποῖος θὰ ἠμπορέσῃ κατὰ τὴν εὐφορίαν τῶν ἑπτὰ ἐτῶν, ἀφοῦ συγκεντρώσῃ τὰ γεννήματα, νὰ τὰ διαχειρισθῇ κατὰ τέτοιον τρόπον, ὥστε νὰ ἠμπορέσετε κατὰ τὸν καιρὸν τῆς πείνης νὰ εὕρητε ἀνακούφισιν καὶ νὰ μὴ γίνῃ ὁλοκληρωτικὴ ἡ καταστροφή. «Αὐτοὶ οἱ λόγοι ἤρεσαν εἰς τὸν Φαραὼ καὶ εἰς ὅλους τοὺς συμβούλους του». Καὶ εἰς τὸ ἑξῆς ὁ Φαραὼ βοηθεῖ τὸν Ἰωσὴφ εἰς τὴν ἐπαλήθευσιν τῶν ὀνείρων, τὰ ὁποῖα εἶδεν, ὅταν ἔζη μαζὶ μὲ τὸν πατέρα του. Καὶ ὁ Ἰωσὴφ μὲν ἑρμήνευσε τὰ ὄνειρα τοῦ Φαραώ, ὁ δὲ Φαραὼ ὠλοκλήρωνε τὴν πραγματοποίησιν τῶν ὀνείρων χωρὶς νὰ τὸ γνωρίζῃ. Πράγματι, ὅταν ἤκουσεν αὐτά, λέγει ἡ Γραφή, «Εἶπεν εἰς τοὺς ὑπηρέτας του· Μήπως θὰ εὕρωμεν ἄν-

τα, φησίν, «Εἶπε τοῖς παισὶν αὐτοῦ· μὴ εὑρήσομεν ἄνθρωπον τοιοῦτον, ὃς ἔχει πνεῦμα Θεοῦ ἐν ἑαυτῷ;».

4. Εἶδες, πῶς ἔγνω καὶ αὐτὸς ὅτι ἐκ τῆς ἄνωθεν ἀποκαλύψεως αὐτῷ ταῦτα κατάδηλα γέγονε; Τίνα γάρ, φησίν, εὑρήσομεν, ὃς τοιαύτης ἠξίωται χάριτος, ὡς πνεῦμα Θεοῦ ἔχειν ἐν ἑαυτῷ; «Καὶ εἶπε τῷ Ἰωσήφ· ἐπειδὴ ἔδειξέ σοι ὁ Θεὸς πάντα ταῦτα, οὐκ ἔστιν ἄνθρωπος φρονιμώτερός σου». Σκόπει ἐνταῦθα πῶς, ὅταν βούληται ὁ εὐμήχανος Θεὸς εἰς ἔργον ἀγαγεῖν τὰ αὐτῷ δόξαντα, οὐδὲν τῶν ἐν τῷ μέσῳ συμβαινόντων κώλυμα γενέσθαι δύναται. Ἰδοὺ γάρ, καὶ σφαγὴ σχεδόν, ὡς εἰπεῖν, ὑπὸ τῶν ἀδελφῶν γέγονε, καὶ πρᾶσις, καὶ κατηγορία περὶ αὐτὸν ἔσχατον ἐπάγουσα κίνδυνον, καὶ δεσμωτήριον ἐπὶ τοσοῦτον χρόνον, καὶ μετὰ ταῦτα ἅπαντα εἰς αὐτὸν ἀνηνέχθη, σχεδὸν εἰπεῖν, τὸν θρόνον τὸν βασιλικόν. Ἐπειδὴ ἔδειξέ σοι ὁ Θεὸς πάντα ταῦτα, οὐκ ἔστιν ἄνθρωπος φρονιμώτερός σου καὶ συνετώτερος. Σὺ οὖν ἔσῃ ἐπὶ τῷ οἴκῳ μου, καὶ ἐπὶ τῷ στόματί σου ἐπακούσεται πᾶς ὁ λαός, πλὴν τὸν θρόνον ὑπερέξω σου ἐγώ. Ὅρα πῶς ἀθρόον ὁ δεσμώτης βασιλεὺς καθίσταται πάσης τῆς Αἰγύπτου, καὶ ὁ ὑπὸ τοῦ ἀρχιμαγείρου εἰς τὸ δεσμωτήριον εἰσαχθείς, ὑπὸ τοῦ βασιλέως εἰς αὐτὴν ἀνάγεται τὴν ἀνωτάτω τιμήν· καὶ ὁ γενόμενος αὐτοῦ δεσπότης ἐξαίφνης ἑώρα, ὃν ὡς μοιχὸν εἰς τὸ δεσμωτήριον ἐμβεβλήκει, τὴν ἀρχὴν πάσης Αἰγύπτου δεξάμενον.

Εἶδες πόσον ἐστὶ τὸ φέρειν εὐχαρίστως τοὺς πειρασμούς; Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· «Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». Ὅρα οὖν· τὰς θλίψεις μεθ' ὑπομονῆς ἤνεγκεν· ἡ ὑπομονὴ

3. Ρωμ. 5, 3 - 5.

θρωπον τέτοιον, πού νά ἔχῃ μέσα του τό Πνεῦμα τοῦ Θεοῦ ἔτσι, ὅπως αὐτός;».

4. Εἶδες, πῶς ἐγνώριζε καί αὐτός, ὅτι ἐκ τῆς ἄνωθεν ἀποκαλύψεως ἔγιναν αὐτά φανερά εἰς αὐτόν; Διότι, λέγει, ποῖον θά εὕρωμεν τέτοιον ἄνθρωπον πού νά εἶναι ἀξιωμένος τοιαύτης χάριτος, ὥστε νά ἔχῃ τό Πνεῦμα τοῦ Θεοῦ μέσα του; «Καί εἶπεν εἰς τόν Ἰωσήφ· Ἀφοῦ ὁ Θεός σοῦ ἐφανέρωσεν ὅλα αὐτά, δέν ὑπάρχει ἄνθρωπος ἐξυπνότερός σου». Πρόσεχε ἐδῶ πῶς, ὅταν ὁ ἐφευρετικός Θεός θέλῃ νά πραγματοποιήσῃ τάς ἀποφάσεις του, δέν δύναται νά σταθῇ ἐμπόδιον κανένα ἀπό τά ἐνδιάμεσα γεγονότα. Διότι νά, σχεδόν ἐσφάγη, θά ἠμπορούσαμεν νά εἴπωμεν, ὑπό τῶν ἀδελφῶν καί ἐπωλήθη καί κατηγορήθη μέ κατηγορίαν, ἡ ὁποία ἐπέφερε τόν ἔσχατον κίνδυνον, καί ἐφυλακίσθη ἐπί μακρόν χρονικόν διάστημα καί ὕστερα ἀπό ὅλα αὐτά ἀνυψώθη, θά ἠμπορούσαμεν νά εἴπωμεν, καί εἰς αὐτόν τόν βασιλικόν θρόνον. «Ἀφοῦ ὁ Θεός σοῦ ἀπεκάλυψεν ὅλα αὐτά, δέν ὑπάρχει ἄλλος ἄνθρωπος ἐξυπνότερος καί σοφώτερος ἀπό ἐσένα. Σύ λοιπόν θά εὑρίσκεσαι εἰς τόν οἶκόν μου καί εἰς τάς διαταγάς σου θά ὑπακούῃ ὅλος ὁ λαός, ἐνῷ μόνον ὡς πρός τόν θρόνον ἐγώ θά εἶμαι ἀνώτερος ἀπό ἐσένα». Πρόσεχε, μέ ποῖον τρόπον ὁ φυλακισμένος γίνεται ἀπό τήν μίαν στιγμήν εἰς τήν ἄλλην βασιλεύς ὁλοκλήρου τῆς Αἰγύπτου καί πῶς ὁ κλεισθείς εἰς τήν φυλακήν ἀπό τόν ἀρχιμάγειρον ἀναβιβάζεται ἀπό τόν βασιλέα καί εἰς αὐτήν ἀκόμα τήν ὑψίστην τιμήν. Καί αὐτός ὁ ὁποῖος τόν ἠγόρασε καί ἔγινε κύριός του, ἔβλεπεν αἰφνιδίως αὐτόν πού εἶχε κλείσει εἰς τήν φυλακήν ὡς μοιχόν νά ἀναλαμβάνῃ τήν διακυβέρνησιν ὁλοκλήρου τῆς Αἰγύπτου.

Εἶδες πόσον μεγάλο πρᾶγμα εἶναι τό νά ὑπομένῃ κανείς τούς πειρασμούς μέ εὐχαρίστησιν; Διά τοῦτο καί ὁ Παῦλος ἔλεγεν· «Ἡ θλῖψις δημιουργεῖ ὑπομονήν, ἡ ὑπομονή δοκιμασμένον χαρακτῆρα, ὁ δοκιμασμένος χαρακτήρ ἐλπίδα, ἡ δέ ἐλπίς δέν ἐντροπιάζει»[1]. Πρόσεξε λοιπόν. Ὑπέφερε τάς θλίψεις μέ ὑπομονήν. Ἡ ὑπομονή τόν ἀπέ-

δοκιμὸν αὐτὸν ἀπειργάσατο· δοκιμὸς γινόμενος ἐλπίζων διετέλει· ἡ ἐλπὶς οὐ κατήσχυνεν. «Εἶπε δὲ πρὸς αὐτόν· ἰδοὺ καθίστημί σε σήμερον ἐπὶ πᾶσαν γῆν Αἰγύπτου. Καὶ περιελόμενος Φαραὼ τὸν δακτύλιον ἀπὸ τῆς χειρὸς αὐτοῦ, περιέθηκεν αὐτὸν ἐπὶ τὴν χεῖρα Ἰωσήφ, καὶ ἐνέδυσεν αὐτὸν στολὴν βυσσίνην, καὶ περιέθηκε κλοιὸν χρυσοῦν περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ δεύτερον αὐτοῦ, καὶ ἐκήρυξεν ἔμπροσθεν αὐτοῦ κήρυξ, καὶ κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς Αἰγύπτου». Ἐπειδὴ γὰρ τὸν Θεὸν εἶχε μεθ' ἑαυτοῦ, οὗτος αὐτῷ ταῦτα πάντα προηυτρέπισε, καὶ εἰς τὴν περιφάνειαν αὐτὸν ταύτην ἀνήγαγεν. «Εἶπε δὲ Φαραώ· ἄνευ σοῦ οὐδεὶς ἐξάρῃ τὴν χεῖρα αὐτοῦ ἐπὶ πάσῃ γῇ Αἰγύπτου. Καὶ ἐκάλεσε Φαραὼ τὸ ὄνομα Ἰωσήφ, Ψαμθομφανήχ», διὰ τῆς προσηγορίας τοῦ ὀνόματος διηνεκῆ τὴν μνήμην βουλόμενος ἐναποθέσθαι τῆς ἐνυπαρχούσης αὐτῷ σοφίας. Τοῦτο γὰρ ἑρμηνεύει, τῶν κρυπτῶν γνώστης· ἐπειδὴ γὰρ τὰ πᾶσιν ἄγνωστα εἰς φανερὸν ἤγαγε, σημαίνων τοῦτο αὐτὸ ὁ Φαραὼ τὴν προσηγορίαν αὐτῷ ἐπιτίθησι. Καὶ ἐπιδαψιλευόμενος τῇ τιμῇ, δίδωσιν αὐτῷ καὶ τὴν θυγατέρα Πετεφρῆ εἰς γυναῖκα.

Εἶτα ἐπειδὴ ὁμώνυμος ἦν οὗτος τῷ γενομένῳ αὐτοῦ δεσπότῃ, φησί, «Τοῦ ἱερέως Ἡλιουπόλεως». Καὶ ἵνα μάθωμεν λοιπὸν οἵαν ἄγων τὴν ἡλικίαν ὁ θυμάσιος οὗτος τοσαύτης ἠξιοῦτο τῆς ἀμοιβῆς, καὶ τοσούτους ἐπεδείξατο τοὺς ἄθλους, φησίν· «Ἰωσὴφ δὲ ἦν τριάκοντα ἐτῶν, ὅτε ἔστη ἐναντίον Φαραώ». Μὴ ἁπλῶς νομίσωμεν τῶν ἐτῶν τὸν χρόνον ἐγκεῖσθαι, ἀλλ' ἵνα μάθωμεν, ὅτι οὐκ ἔστιν οὐδενὶ ἀμελοῦντι τῆς ἀρετῆς ἀπολογία, οὐδὲ ἔξεστί τινι προβαλέσθαι νεότητα, ἔνθα ἀρετὴν ἐπιδείξασθαι δεῖ. Ἰδοὺ γὰρ οὗτος

------

4. Ἡ λέξις σημαίνει τὸν σωτῆρα τῆς χώρας. Εἰς τὸ κείμενον τῆς Π. Διαθήκης, ἔκδοσις Βιβλικῆς Ἑταιρείας, ὑπάρχει ἡ λέξις Ζαφνὰθ-πανεὰχ ποὺ ἑρμηνεύεται Κρυφιογνώστης, ἑρμηνεία τὴν ὁποίαν δίνει καὶ ὁ Χρυσόστομος.

5. Ἐννοεῖ τὴν Ἀσενέθ. Γέν. 41, 45.

δειξε δοκιμασμένον χαρακτῆρα. Ἀφοῦ ἀπεδείχθη δοκιμασμένος ἤλπιζε καὶ ἡ ἐλπὶς δὲν τὸν ἐντρόπιασεν. «Καὶ εἶπε πρὸς αὐτὸν ὁ Φαραώ. Ἰδοὺ σὲ καθιστῶ σήμερον διοικητὴν ὁλοκλήρου τῆς Αἰγύπτου. Καὶ ἀφοῦ ἔβγαλε τὸ δαχτυλίδι ἀπὸ τὸ χέρι του ἔβαλεν αὐτὸ εἰς τὸ χέρι τοῦ Ἰωσὴφ καὶ ἐνέδυσεν αὐτὸν μὲ στολὴν χρώματος βυσσίνου καὶ ἐκρέμασεν εἰς τὸν λαιμόν του χρυσὸν περιδέραιον καὶ ἀνεβίβασεν αὐτὸν εἰς τὸ δεύτερον ἐκ τῶν ἁρμάτων του καὶ κῆρυξ ἐκήρυττεν ἔμπροσθεν αὐτοῦ καὶ τὸν ἐγνώριζεν εἰς τὸν λαὸν καὶ τὸν ἀνεκήρυξε διοικητὴν ὁλοκλήρου τῆς Αἰγύπτου. Ἐπειδὴ δηλαδὴ εἶχε τὸν Θεὸν μαζί του, Αὐτὸς τοῦ ἡτοίμασεν ὅλα αὐτὰ καὶ τὸν ἀνύψωσεν εἰς τὴν λαμπρὰν αὐτὴν θέσιν. «Καὶ εἶπεν ὁ Φαραὼ εἰς τὸν Ἰωσήφ. Κανεὶς δὲν θὰ κινήσῃ τὸ χέρι του διὰ νὰ κάνῃ κάτι εἰς ὁλόκληρον τὴν Αἴγυπτον χωρὶς τὴν ἔγκρισίν σου. Καὶ ὠνόμασεν ὁ Φαραὼ τὸν Ἰωσὴφ Ψαμθομφανήχ»[4], θέλων μὲ τὸ ὄνομα αὐτὸ νὰ διατηρήσῃ διαρκῆ τὴν μνήμην τῆς σοφίας ποὺ εἶχεν ὁ Ἰωσήφ. Καθ' ὅσον αὐτὴ ἡ λέξις ἑρμηνεύεται γνώστης τῶν κρυφῶν. Ἐπειδὴ δηλαδὴ ἐφανέρωσεν ὅσα ὅλοι οἱ ἄλλοι ἠγνόουν, ἐπιθυμῶν νὰ ἐπισημάνῃ αὐτὸ τὸ γεγονὸς ὁ Φαραώ, δίδει αὐτὸ τὸ ὄνομα εἰς τὸν Ἰωσήφ. Καὶ ἐπαυξάνων τὴν τιμὴν δίδει εἰς αὐτὸν ὡς σύζυγον τὴν θυγατέρα τοῦ Πετεφρῆ[5].

Ἔπειτα ἐπειδὴ αὐτός, ὁ Πετεφρῆς, εἶχε τὸ ἴδιον ὄνομα μὲ αὐτὸν ποὺ ἦτο ἄλλοτε κύριος τοῦ Ἰωσήφ, ἡ Γραφὴ λέγει· «Τοῦ Πετεφρῆ, ὁ ὁποῖος ἦτο ἱερεὺς τῆς Ἡλιουπόλεως». Καὶ διὰ νὰ μάθωμεν τέλος, ποία ἦτο ἡ ἡλικία αὐτοῦ τοῦ θαυμαστοῦ ἀνθρώπου, ὅταν ἠξιοῦτο τόσης ἀμοιβῆς καὶ ἐπετέλεσε τοιούτους ἄθλους, ἡ Γραφὴ λέγει· «Ὁ Ἰωσὴφ ἦτο τριάκοντα ἐτῶν, ὅταν ἐνεφανίσθη ἐνώπιον τοῦ Φαραώ». Νὰ μὴ νομίσωμεν, ὅτι χωρὶς λόγον ἀναφέρεται ὁ ἀριθμὸς τῶν ἐτῶν, ἀλλὰ διὰ νὰ διδαχθῶμεν, ὅτι δὲν ὑπάρχει καμμία δικαιολογία δι' αὐτὸν ποὺ παραμελεῖ τὴν ἀρετήν, οὔτε ἐπιτρέπεται εἰς κάποιον νὰ προβάλῃ ὡς δικαιολογίαν τὴν νεανικήν του ἡλικίαν, ὅπου πρέπει νὰ ἐπιδείξῃ τὴν ἀρετήν του. Διότι, ἰδοὺ ὁ Ἰωσὴφ δὲν ἦτο μόνον

οὐ μόνον νέος ἦν, ἀλλὰ καὶ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει. Ἔστι γὰρ καὶ νέον ὄντα μὴ κεκτῆσθαι τὴν τοῦ σώματος εὐμορφίαν. Οὗτος δὲ μετὰ τῆς νεότητος καὶ καλὸς ἦν τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει, καὶ σχεδὸν ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει τυγχάνων, δοῦλος καὶ αἰχμάλωτος ἐγένετο. Δεκαεπτὰ ἐτῶν ἦν, φησίν, ἡνίκα κατήχθη εἰς Αἴγυπτον. Εἶτα ἐν αὐτῇ τῇ καμίνῳ τῆς νεότητος γεγενημένῳ ἐπιτίθεται ἡ ἀκόλαστος Αἰγυπτία, ἡ δέσποινα αὐτοῦ γεγενημένη, καὶ οὐδὲν οὕτω περιεγένετο τῆς ἀνδρείας τοῦ δικαίου· εἶτα τὸ δεσμωτήριον, καὶ ἡ ἐπὶ τοσοῦτον χρόνον ἐκεῖ ταλαιπωρία· καὶ ἔμενε καθάπερ ἀδάμας, οὐ μόνον οὐ γινόμενος ἀσθενέστερος, ἀλλὰ καὶ πλείονα ἰσχὺν προσλαμβάνων. Εἶχε γὰρ νευροῦσαν αὐτὸν τὴν ἄνωθεν χάριν. Καὶ ἐπειδὴ προλαβὼν τὰ παρ' ἑαυτοῦ πάντα ἐπεδείξατο, διὰ τοῦτο ἀπὸ τοῦ δεσμωτηρίου ἐπὶ τὴν ἀρχὴν πάσης ἐκαλεῖτο τῆς Αἰγύπτου.

5. Ταῦτα ἀκούοντες μηδέποτε ἐν ταῖς θλίψεσιν ἀπαγορεύωμεν, μηδὲ τοῖς οἰκείοις λογισμοῖς κατακολουθοῦντες δυσανασχετῶμεν· ἀλλὰ πολλὴν τὴν ὑπομονὴν ἐπιδεικνύμενοι τῇ ἐλπίδι τρεφώμεθα, εἰδότες τοῦ Δεσπότου ἡμῶν τὸ εὐμήχανον, καὶ ὅτι οὐ περιορῶν ἡμᾶς καταλιμπάνει πεῖραν λαβεῖν τῶν λυπηρῶν, ἀλλὰ βουλόμενος ἡμᾶς ἀγωνισαμένους λαμπρὸν ἀναδήσασθαι τὸν στέφανον. Οὕτω πάντες οἱ ἅγιοι εὐδοκίμησαν. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ἔλεγον· «Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ». Καὶ αὐτὸς ὁ Χριστὸς ἔλεγε τοῖς μαθηταῖς· «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε». Μὴ τοίνυν ἀσχάλλωμεν πρὸς τὰς θλίψεις, ἀλλ' ἀκούωμεν Παύλου λέγοντος, ὅτι «Οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται». Καὶ μὴ ξενιζώμεθα, μηδὲ δυσχεραίνωμεν, ἀλλὰ μετὰ πάσης ἀνδρείας καὶ ὑπομονῆς τὰ ἐπαγόμενα φέρωμεν, μὴ πρὸς τὰς θλίψεις ἀφορῶν-

---

6. Πράξ. 14, 22.
7. Ἰω. 16, 33.
8. Β´ Τιμ. 3, 12.

νέος, ἀλλὰ καὶ ὄμορφος εἰς τὴν ἐμφάνισιν καὶ ὡραῖος εἰς τὸ πρόσωπον. Καθ' ὅσον εἶναι δυνατὸν κάποιος νὰ εἶναι νέος, ἀλλὰ νὰ μὴ ἔχῃ τὴν ὡραιότητα τοῦ σώματος. Αὐτὸς ὅμως μαζὶ μὲ τὴν νεότητά του ἦτο καὶ ὄμορφος εἰς τὴν ἐμφάνισιν καὶ ὡραῖος εἰς τὸ πρόσωπον καὶ ἐνῷ εὑρίσκετο σχεδὸν εἰς τὸ ἄνθος τῆς ἡλικίας του, ἔγινε δοῦλος καὶ αἰχμάλωτος. Διότι, λέγει ἡ Γραφή, ἦτο δέκα ἑπτὰ ἐτῶν ὅταν κατέβη εἰς τὴν Αἴγυπτον. Ἔπειτα ὅταν εὑρίσκετο εἰς τὴν κάμινον τῆς νεότητος, τοῦ ἐπιτίθεται ἡ ἀκόλαστος Αἰγυπτία, αὐτὴ ποὺ ἦτο ἡ κυρία του, καὶ ὅμως οὔτε ἔτσι ἠμπόρεσε νὰ νικήσῃ τὴν ἀρετὴν τοῦ δικαίου. Ἔπειτα ἦλθεν ἡ φυλακὴ καὶ ἡ ἐπὶ τόσον χρόνον ἐκεῖ ταλαιπωρία, ἀλλ' ὅμως διετηρήθη καθαρὸς ὡς ἀδάμας ὄχι μόνον χωρὶς νὰ γίνῃ ἀσθενέστερος, ἀλλὰ καὶ προσλαμβάνων μεγαλυτέραν δύναμιν. Διότι εἶχε τὴν οὐράνιον χάριν ποὺ τὸν ἐνίσχυε. Καὶ ἐπειδὴ πρῶτος ἐπέδειξεν ὅ,τι ἐξηρτᾶτο ἀπ' αὐτόν, διὰ τοῦτο καὶ ἐκλήθη ἀπὸ τὴν φυλακήν, διὰ νὰ ἀναλάβῃ τὴν διακυβέρνησιν ὁλοκλήρου τῆς Αἰγύπτου.

5. Ἀκούοντες αὐτὰ ἂς μὴ διστάζωμεν ἐμπρὸς εἰς τὰς θλίψεις, οὔτε νὰ δυσανασχετῶμεν στηριζόμενοι εἰς τοὺς συλλογισμούς μας, ἀλλ' ἐπιδεικνύοντες μεγάλην ὑπομονὴν νὰ τρεφώμεθα μὲ τὴν ἐλπίδα, γνωρίζοντες τὴν ἐφευρετικότητα τοῦ Κυρίου μας, καὶ ὅτι δὲν μᾶς ἐγκαταλείπει, ἐπειδὴ μᾶς περιφρονεῖ, διὰ νὰ δοκιμάσωμεν τὰς θλίψεις, ἀλλ' ἐπειδὴ θέλει νὰ ἀγωνισθῶμεν καὶ νὰ φορέσωμεν τὸν λαμπρὸν στέφανον. Κατ' αὐτὸν τὸν τρόπον εὐδοκίμησαν ὅλοι οἱ ἅγιοι. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ἔλεγον· «Πρέπει νὰ εἰσέλθωμεν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ μέσῳ πολλῶν θλίψεων»[6]. Καὶ ὁ ἴδιος ὁ Χριστὸς ἔλεγεν εἰς τοὺς μαθητάς· «Εἰς τὸν κόσμον θὰ ἔχετε θλῖψιν»[7]. Ἂς μὴ ἀγανακτῶμεν λοιπὸν διὰ τὰς θλίψεις, ἀλλ' ἂς ἀκούωμεν τὸν Παῦλον, ὁ ὁποῖος λέγει, ὅτι, «Αὐτοὶ ποὺ θέλουν νὰ ζήσουν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, θὰ διωχθοῦν»[8]. Καὶ ἂς μὴ παραξενευώμεθα, οὔτε νὰ δυσανασχετῶμεν, ἀλλὰ μὲ μεγάλην ἀνδρείαν καὶ ὑπομονὴν νὰ ὑποφέρωμεν ὅσα ἔρχονται, χωρὶς νὰ

τες, ἀλλὰ πρὸς τὸ κέρδος τὸ ἡμῖν ἐντεῦθεν συλλεγόμενον· ἐμπορία γάρ ἐστιν αὕτη πνευματική.

Καὶ καθάπερ οἱ τὰ χρήματα συλλέγειν βουλόμενοι, καὶ τὴν ἐμπορίαν ταύτην τὴν βιωτικὴν μετιόντες, οὐκ ἂν ἑτέρως δυνηθεῖεν αὐξῆσαι τὴν οἰκείαν περιουσίαν, εἰ μὴ πολλοὺς κινδύνους ὑπομένοιεν κατὰ γῆν καὶ κατὰ θάλασσαν (καὶ γὰρ λῃστῶν ἐφόδους, καὶ πειρατῶν ἐπιβουλὰς ἀνάγκη ὑποστῆναι), καὶ ὅμως πάντα μετὰ πολλῆς τῆς προθυμίας καταδέχεσθαι ἑτοιμάζονται, τῇ προσδοκίᾳ τοῦ κέρδους οὐδεμίαν τῶν λυπηρῶν αἴσθησιν λαμβάνοντες, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς ἐννοοῦντας τὸν ἐντεῦθεν ἡμῖν συλλεγόμενον πλοῦτον καὶ τὴν πνευματικὴν ἐμπορίαν, προσήκει χαίρειν καὶ ἀγάλλεσθαι, καὶ μὴ σκοπεῖν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα, καθάπερ ὁ Παῦλος παραινεῖ λέγων· «Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα». Τοῦτο γὰρ πίστις, ὅταν μὴ τοῖς σωματικοῖς ὀφθαλμοῖς ἀρκώμεθα μόνον, ἀλλὰ τοῖς τῆς διανοίας ὄμμασι φανταζώμεθα τὰ μὴ ὁρώμενα. Ἐκεῖνα γὰρ μάλιστα τῶν διὰ τῶν σωματικῶν ὀφθαλμῶν ὁρωμένων ἀξιοπιστότερα ἡμᾶς ἡγεῖσθαι δεῖ.

Οὕτως ὁ πατριάρχης εὐδοκίμησε, πιστεύσας τῇ τοῦ Θεοῦ ὑποσχέσει, καὶ ἀνώτερος τῆς φύσεως γεγονὼς καὶ τῶν ἀνθρωπίνων λογισμῶν· διὸ «Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην». Ἐννόησον ὅτι δικαιοσύνη ἐστὶ τὸ πιστεύειν τοῖς παρὰ τοῦ Θεοῦ λεγομένοις. Ὅταν γὰρ ἐκεῖνος ὑπόσχηταί τι, μή μοι κατὰ ἀνθρωπίνην ἀκολουθίαν ἀπαίτει τὰ πράγματα, ἀλλ' ἀνώτερος τῶν τοιούτων γινόμενος λογισμῶν θάρσει τῇ τοῦ ὑποσχομένου δυνάμει. Οὕτως ἕκαστος τῶν δικαίων εὐδοκίμησεν, οὕτω καὶ ὁ θαυμάσιος οὗτος Ἰωσήφ, τοσούτων μετὰ τὰ ὀνείρατα ἐν μέσῳ κωλυμά-

9. Β΄ Κορ. 4, 18.
10. Ρωμ. 4, 3.

προσέχωμεν τὰς θλίψεις, ἀλλὰ πρὸς τὸ κέρδος, τὸ ὁποῖον παίρνομεν ἀπ' αὐτάς, καθ' ὅσον αὐταὶ εἶναι πνευματικὸν ἐμπόρευμα.

Καὶ ὅπως ἀκριβῶς αὐτοὶ ποὺ ἐπιθυμοῦν νὰ συγκεντρώσουν χρήματα καὶ ποὺ ἀσχολοῦνται μὲ τὸ ὑλικὸν ἐμπόριον, δὲν θὰ ἠμπορέσουν κατ' ἄλλον τρόπον νὰ αὐξήσουν τὴν περιουσίαν των, ἐὰν δὲν ὑπομείνουν πολλοὺς κινδύνους καὶ εἰς τὴν ξηρὰν καὶ εἰς τὴν θάλασσαν (καθ' ὅσον εἶναι ἀνάγκη νὰ ὑποστοῦν τὰς ἐφόδους τῶν ληστῶν καὶ τὰς ἐπιβουλὰς τῶν πειρατῶν), καὶ ὅμως ἑτοιμάζονται νὰ δεχθοῦν τὰ πάντα μὲ πολλὴν προθυμίαν, χωρὶς νὰ αἰσθάνωνται καθόλου τὰς θλίψεις λόγῳ τῆς προσδοκίας τοῦ κέρδους, κατὰ τὸν ἴδιον τρόπον καὶ ἡμεῖς συλλογιζόμενοι τὸν πλοῦτον ποὺ συγκεντρώνομεν ἀπὸ τὰς θλίψεις καὶ ἀπὸ τὸ πνευματικὸν αὐτὸ ἐμπόριον πρέπει νὰ χαίρωμεν καὶ νὰ ἀγαλλώμεθα καὶ νὰ μὴ ἔχωμεν ὡς σκοπόν μας τὰ ὁρατά, ἀλλὰ τὰ ἀόρατα, ὅπως ἀκριβῶς συμβουλεύει καὶ ὁ Παῦλος λέγων· «Ἂς μὴ προσέχωμεν αὐτά, τὰ ὁποῖα φαίνονται»[9]. Καθ' ὅσον αὐτὸ εἶναι πίστις, ὅταν δηλαδὴ δὲν ἀρκούμεθα μόνον εἰς τοὺς σωματικούς μας ὀφθαλμούς, ἀλλὰ φανταζώμεθα μὲ τὰ μάτια τῆς διανοίας αὐτὰ ποὺ δὲν φαίνονται. Πράγματι πρέπει νὰ θεωρῶμεν ὡς πιὸ βέβαια ἐκεῖνα κατ' ἐξοχήν, παρὰ αὐτὰ ποὺ βλέπομεν μὲ τοὺς σωματικούς μας ὀφθαλμούς.

Ἔτσι εὐδοκίμησεν ὁ πατριάρχης Ἀβραάμ, μὲ τὸ νὰ πιστεύσῃ δηλαδὴ εἰς τὴν ὑπόσχεσιν τοῦ Θεοῦ καὶ μὲ τὸ νὰ γίνῃ ἀνώτερος τῆς φύσεως καὶ τῶν ἀνθρωπίνων λογισμῶν. Διὰ τοῦτο «Καὶ τοῦ ἐλογαριάσθη πρὸς δικαίωσιν»[10]. Σκέψου ὅτι δικαιοσύνη εἶναι τὸ νὰ πιστεύῃς εἰς τοὺς λόγους τοῦ Θεοῦ. Ὅταν δηλαδὴ ἐκεῖνος ὑπόσχεται κάτι νὰ μὴ ζητῇς, σὲ παρακαλῶ, νὰ ἔρχωνται τὰ πράγματα κατὰ τὴν ἀνθρωπίνην συνήθειαν, ἀλλὰ νὰ παίρνῃς θάρρος ἀπὸ τὴν δύναμιν αὐτοῦ ποὺ δίνει τὴν ὑπόσχεσιν ἀποδεικνυόμενος ἀνώτερος ἀπὸ τέτοιας σκέψεις. Κατ' αὐτὸν τὸν τρόπον εὐδοκίμησεν ὁ καθένας ἀπ' τοὺς δικαίους, κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ θαυμαστὸς αὐτὸς Ἰωσήφ, ἂν καὶ

των γενομένων, οὐκ ἐταράχθη τὸν λογισμόν, οὐκ ἐθορυβήθη, ἀλλ' ἐρρωμένῳ τῷ φρονήματι πάντα γενναίως ἔφερεν, εἰδὼς ὡς οὐχ οἷόν τε διαπεσεῖν τὰ τῷ Θεῷ δόξαντα. Διὸ καὶ μετὰ δουλείαν, καὶ μετὰ δεσμωτήριον καὶ συκοφαντίαν τοσαύτην, τὴν ἀρχὴν ἐδέχετο πάσης τῆς Αἰγύπτου.

Ταῦτα δὴ πάντα λογιζόμενοι ἀντέχωμεν γενναίως πρὸς τὰ ἐπαγόμενα, εὐχαριστοῦντες ὑπὲρ πάντων τῷ φιλανθρώπῳ Θεῷ, καὶ τὴν παρ' αὐτοῦ ἀναμένοντες ἀντίληψιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

παρενεβλήθησαν πολλὰ ἐμπόδια μετὰ ἀπὸ τὰ ὄνειρα, ὅμως δὲν ἔχασε τὸ θάρρος του, δὲν ἐθορυβήθη, ἀλλὰ μὲ ἡρωϊκὸν φρόνημα ὑπέφερε τὰ πάντα μὲ γενναιοψυχίαν, ἐπειδὴ ἐγνώριζεν, ὅτι δὲν εἶναι δυνατὸν νὰ μὴ πραγματοποιηθοῦν, ὅσα ἔκρινε καλὰ ὁ Θεός. Διὰ τοῦτο καὶ μετὰ ἀπὸ τὴν δουλείαν καὶ μετὰ τὴν φυλάκισιν καὶ τὴν τόσον μεγάλην συκοφαντίαν, ἀνέλαβε τὴν διοίκησιν ὁλοκλήρου τῆς Αἰγύπτου.

Ἔχοντες λοιπὸν ὑπ' ὄψιν αὐτά, ἄς ὑπομένωμεν μὲ γενναιότητα ὅσα ἔρχονται, εὐχαριστοῦντες δι' ὅλα τὸν φιλάνθρωπον Θεὸν καὶ ἀναμένοντες τὴν βοήθειάν του, τὴν ὁποίαν εἴθε νὰ λάβωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΔ΄
(Γέν. 41, 46 - 45, 24)

«Ἐξῆλθε δὲ Ἰωσὴφ ἀπὸ προσώπου Φαραώ, καὶ διῆλθε πᾶσαν γῆν Αἰγύπτου· καὶ ἐποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας δράγματα· καὶ συνήγαγε σῖτον ὡς τὴν ἄμμον τῆς θαλάσσης».

1. Βούλεσθε καὶ σήμερον τὴν κατὰ τὸν Ἰωσὴφ ἱστορίαν ἐπεξέλθωμεν, καὶ ἴδωμεν πῶς τὴν ἀρχὴν τῆς Αἰγύπτου πάσης δεξάμενος ὁ θαυμάσιος οὗτος, διὰ τῆς προσούσης αὐτῷ συνέσεως ἅπαντας παρεμυθήσατο; «Ἐξῆλθε γάρ», φησίν, «ἀπὸ προσώπου Φαραώ, καὶ διῆλθε πᾶσαν γῆν Αἰγύπτου· καὶ ἐποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας δράγματα· καὶ συνήγαγε σῖτον ὡς τὴν ἄμμον τῆς θαλάσσης. Παραλαβὼν παρὰ τοῦ βασιλέως τὴν ἐξουσίαν ἅπασν, συνήγαγε, φησί, τὰ γεννήματα, καὶ ἐν ταῖς πόλεσιν ἀπετίθετο, προπαρασκευάζων ἱκανὴν παραμυθίαν τῇ μελλούσῃ γίνεσθαι ἐνδείᾳ. Εἶδες οἵας ἀμοιβὰς τῆς καρτερίας καὶ τῆς ὑπομονῆς καὶ τῆς ἄλλης ἀρετῆς καὶ ἐνταῦθα ἐδέξατο ὁ δίκαιος, ἀπὸ δεσμωτηρίου εἰς τὰ βασίλεια ἀνελθών;

«Ἐγένοντο δὲ αὐτῷ», φησί, «δύο υἱοί, πρὶν ἢ παραγενέσθαι τὰ ἔτη τῆς ἐνδείας· καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ πρώτου, Μανασσῆ· ὅτι ἐπιλαθέσθαι με, φησίν, ἐποίησεν ὁ Θεὸς πάντων τῶν πόνων μου, καὶ τῶν τοῦ πατρός μου». Σκόπει τοῦ ἀνδρὸς τὸ φιλόθεον, ὅπως τῇ προσηγορίᾳ τοῦ παιδὸς ἐναποτίθεται τὴν μνήμην ἁπάντων, ὥστε διηνεκῆ αὐτὸν ποιεῖσθαι τὴν εὐ-

1. Λησμόνισμα.

ΟΜΙΛΙΑ ΞΔ'
(Γέν. 41, 46 - 45, 24)

«Καὶ ἔφυγε κοντὰ ἀπ' τὸν Φαραὼ ὁ Ἰωσὴφ καὶ ἐπεσκέφθη ὅλην τὴν Αἴγυπτον. Καὶ ἡ γῆ ἐκαρποφόρησε πλουσίως κατὰ τὰ ἑπτὰ ἔτη τῆς εὐφορίας. Ὁ δὲ Ἰωσὴφ συνεκέντρωσε πάρα πολὺν σῖτον, ὅση εἶναι ἡ ἄμμος τῆς θαλάσσης».

1. Θέλετε νὰ συνεχίσωμεν καὶ σήμερον τὴν ἐξέτασιν τῆς ἱστορίας τῆς σχετικῆς μὲ τὸν Ἰωσὴφ καὶ νὰ μάθωμεν πῶς, ἀφοῦ ἀνέλαβε τὴν διακυβέρνησιν ὁλοκλήρου τῆς Αἰγύπτου ὁ θαυμαστὸς αὐτὸς ἄνθρωπος, ἐπαρηγόρησεν ὅλους τοὺς κατοίκους της μὲ τὴν σύνεσιν ποὺ τὸν διέκρινεν; Διότι λέγει ἡ Γραφή, «Ἔφυγεν ὁ Ἰωσὴφ ἀπὸ κοντὰ ἀπ' τὸν Φαραὼ καὶ ἐπεσκέφθη ὅλην τὴν Αἴγυπτον. Καὶ ἡ γῆ ἐκαρποφόρησε πλουσίως κατὰ τὰ ἑπτὰ ἔτη τῆς εὐφορίας. Ὁ δὲ Ἰωσὴφ συνεκέντρωσε πάρα πολὺν σῖτον, ὅση εἶναι ἡ ἄμμος τῆς θαλάσσης». Ἀφοῦ ἔλαβεν ὅλην τὴν ἐξουσίαν ἀπὸ τὸν βασιλέα, συνεκέντρωσε, λέγει, τὰ γεννήματα καὶ τὰ ἀπεθήκευσεν εἰς τὰς πόλεις καὶ προετοίμασεν ἔτσι ἱκανοποιητικὴν ἐσοδείαν διὰ τὴν ἐπικειμένην ξηρασίαν. Εἶδες ποίας ἀμοιβὰς ἔλαβεν ὁ δίκαιος διὰ τὴν καρτερίαν καὶ τὴν ὑπομονὴν καὶ τὴν ἄλλην ἀρετὴν μὲ τὸ νὰ ἀνέλθη ἀπὸ τὴν φυλακὴν εἰς τὰ ἀνάκτορα;

«Ἐπέκτησεν ὁ Ἰωσήφ», λέγει ἡ Γραφή, «δύο υἱοὺς προτοῦ νὰ ἔλθουν τὰ ἑπτὰ ἔτη τῆς πείνης. Καὶ ὠνόμασε τὸν πρῶτον Μανασσῆ[1], διότι εἶπεν, Ὁ Θεὸς μὲ ἔκαμε νὰ λησμονήσω ὅλους τοὺς ἰδικούς μου πόνους καὶ τοὺς πόνους τοῦ πατρός μου». Πρόσεξε τὴν πρὸς τὸν Θεὸν ἀγάπην τοῦ ἀνδρός, κατὰ ποῖον τρόπον μὲ τὸ ὄνομα τοῦ παιδιοῦ ὑπενθυμίζει ὅλα τὰ γεγονότα, διὰ νὰ ἐκφράζη διαρ-

χαριστίαν, ἵνα καὶ ὁ ἐξ αὐτοῦ γεννηθεὶς διὰ τῆς οἰκείας προσηγορίας εἰδέναι ἔχῃ τοὺς πειρασμοὺς καὶ τὴν ὑπομονήν, ἣν ἐπιδειξάμενος ὁ δίκαιος τὴν τοσαύτην ἀνῆλθε περιφάνειαν. «Ὅτι ἐπιλαθέσθαι με ἐποίησε πάντων τῶν πόνων μου, καὶ τῶν τοῦ πατρός μου». Τί ἐστι, «Πάντων τῶν πόνων μου»; Ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τήν τε προτέραν δουλείαν καὶ τὴν δευτέραν, καὶ τὴν ἐν τῷ δεσμωτηρίῳ ταλαιπωρίαν. «Καὶ πάντων τῶν τοῦ πατρός μου», τὸν χωρισμόν, ὃν ὑπέμεινεν ἔξω τῶν ἀγκαλῶν γενόμενος τῶν πατρικῶν, ὅτι ἐν ἀώρῳ ἡλικίᾳ μετὰ τοσαύτης ἀνατραφεὶς ἐπιμελείας δουλείαν ἀντὶ τῆς ἐλευθερίας ἠλλάξατο. «Καὶ τὸ ὄνομα τοῦ δευτέρου ἐκάλεσεν Ἐφραΐμ, ὅτι ηὔξησέ με», φησίν, «ὁ Θεὸς ἐν γῇ ταπεινώσεώς μου». Ὅρα καὶ τὴν τούτου προσηγορίαν εὐχαριστίας πεπληρωμένην. Οὐ μόνον γάρ, φησί, τῶν λυπηρῶν λήθην ἐποιησάμην, ἀλλὰ καὶ ηὐξήθην ἐν τῇ γῇ, ἐν ᾗ τοσαύτην ὑπέμεινα τὴν ταπείνωσιν, ὡς ἐν τοῖς ἐσχάτοις γενέσθαι, καὶ τὸν περὶ τοῦ ζῆν ἐπικρεμασθῆναί μοι κίνδυνον. Ἀλλὰ λοιπὸν ἄξιον ἀκοῦσαι τῶν ἑπομένων.

Μετὰ γὰρ τὴν εὐθηνίαν τῶν ἑπτὰ ἐτῶν, ἔφθασε καὶ τὰ ἔτη τοῦ λιμοῦ κατὰ τὴν προαγόρευσιν τοῦ Ἰωσήφ. Ἡ γὰρ τῶν πραγμάτων ἔκβασις λοιπὸν ἅπαντας ἐπαίδευσε τὴν προσοῦσαν τῷ ἀνδρὶ σοφίαν, καὶ πάντας ὑποκύπτειν αὐτῷ παρεσκεύαζε. Καὶ λιμοῦ σφοδροῦ γενομένου, τέως ἐν προοιμίοις οὐδεμίαν αὐτοὺς αἴσθησιν λαβεῖν τῆς ἐνδείας παρεχώρησεν. Ἐν πάσῃ γάρ, φησί, τῇ Αἰγύπτῳ ἦσαν ἄρτοι. Ἀλλὰ τῆς στενοχωρίας ἐπιταθείσης ἔκραξεν ὁ λαὸς πρὸς Φαραώ, οὐ φέροντες τὴν ἔνδειαν τὴν πολλήν· ὑπὸ τοῦ λιμοῦ καταναγκαζόμενοι ἐπὶ τὸν βασιλέα ἔτρεχον. Ἀλλ' ὅρα τούτου τὴν εὐγνωμοσύνην. «Εἶπε δὲ Φαραὼ τοῖς Αἰγυπτίοις· πορεύεσθε πρὸς τὸν Ἰωσήφ· καὶ ὃ ἐὰν εἴπῃ ὑμῖν ποιήσατε»· μονονουχὶ λέγων· τί πρὸς ἐμὲ κεχήνατε; Οὐχ ὁρᾶτε ὅτι ἐγὼ μὲν ἁπλῶς τὸ σχῆμα

2. Αὔξησις.

κῶς τὴν εὐγνωμοσύνην του πρὸς τὸν Θεόν, ὥστε καὶ ὁ υἱός του μὲ τὸ ὄνομά του νὰ ἠμπορέσῃ νὰ μάθῃ τοὺς πειρασμοὺς καὶ τὴν ὑπομονήν, τὴν ὁποίαν ἐπέδειξεν ὁ δίκαιος καὶ ἔφθασεν εἰς τόσον λαμπρὰν θέσιν. «Διότι ὁ Θεὸς μὲ ἔκαμε νὰ λησμονήσω ὅλους τοὺς ἰδικούς μου πόνους καὶ τοὺς πόνους τοῦ πατρός μου». Τί σημαίνει ἡ φράσις «ὅλους τοὺς πόνους μου»; Ἐδῶ νομίζω, ὅτι ὑπονοεῖ καὶ τὴν πρώτην καὶ τὴν δευτέραν δουλείαν καθὼς καὶ τὴν ταλαιπωρίαν τῆς φυλακῆς. «Καὶ τοὺς πόνους τοῦ πατρός μου», δηλαδὴ τὸν χωρισμόν, τὸν ὁποῖον ὑπέμεινεν, ὅταν εὑρέθη μακρὰν τῆς πατρικῆς του ἀγκάλης, διότι εἰς ἀνώριμον ἡλικίαν, ἐνῷ εἶχεν ἀνατραφῆ μὲ τόσην φροντίδα, ἀντὶ νὰ εἶναι ἐλεύθερος, ἔγινε δοῦλος. «Καὶ τὸν δεύτερον υἱὸν ὠνόμασεν Ἐφραΐμ[2], διότι», λέγει, «ὁ Θεὸς μὲ ηὐλόγησεν εἰς τὴν χώραν τῆς δυστυχίας μου». Πρόσεχε, ὅτι καὶ τὸ ὄνομα αὐτοῦ εἶναι γεμᾶτον ἀπὸ εὐγνωμοσύνην. Διότι ὄχι μόνον, λέγει, ἐλησμόνησα ὅλα τὰ λυπηρὰ γεγονότα, ἀλλὰ καὶ ἀπέκτησα μεγάλην τιμὴν εἰς τὴν χώραν, εἰς τὴν ὁποίαν ὑπέμεινα τόσην ταπείνωσιν, ὥστε νὰ ἀντιμετωπίσω τὸν ἔσχατον κίνδυνον νὰ χάσω τὴν ζωήν μου. Ἀλλ' ἀξίζει νὰ ἀκούσωμεν εἰς τὸ ἑξῆς τὰ ἑπόμενα.

Μετὰ τὴν εὐφορίαν λοιπὸν τῶν ἑπτὰ ἐτῶν, ἔφθασαν καὶ τὰ ἔτη τῆς πείνης σύμφωνα μὲ τὴν πρόρρησιν τοῦ Ἰωσήφ. Ὡς ἐκ τούτου ἡ ἔκβασις τῶν πραγμάτων ἀπεδείκνυεν εἰς ὅλους τὴν σοφίαν τὴν ὁποίαν εἶχεν ὁ Ἰωσὴφ καὶ προητοίμαζε τοὺς πάντας νὰ ὑποκύπτουν εἰς αὐτόν. Καὶ ὅταν ἦλθεν ἡ μεγάλη πεῖνα ἀπὸ τὴν ἀρχὴν δὲν τοὺς ἄφησε νὰ αἰσθανθοῦν καθόλου τὴν ἔλλειψιν τῶν τροφίμων. Διότι λέγει, «Εἰς ὁλόκληρον τὴν Αἴγυπτον ὑπῆρχεν ἄρτος». Ὅταν ὅμως ἐπεξετάθη ἡ ἔλλειψις ὁ λαὸς ἐφώναζε πρὸς τὸν Φαραώ, ἐπειδὴ δὲν ἠμποροῦσε νὰ ὑποφέρῃ τὴν μεγάλην πεῖναν. Πιεζόμενοι λοιπὸν ἀπὸ τὴν πεῖναν ἔτρεχον πρὸς τὸν βασιλέα. Ἀλλὰ κοίταξε τὴν εὐγνωμοσύνην του. «Εἶπεν ὁ Φαραὼ εἰς τοὺς Αἰγυπτίους· Πηγαίνετε εἰς τὸν Ἰωσὴφ καὶ κάνετε ὅ,τι σᾶς εἰπῇ»· ὡσὰν δηλαδὴ νὰ τοὺς ἔλεγε· Διατί στρέφεσθε πρὸς ἐμένα; Δὲν

περίκειμαι, ἐκεῖνος δέ ἐστιν ὁ τῆς σωτηρίας ἅπασιν ἡμῖν αἴτιος γενόμενος; Μὴ τοίνυν ἐκεῖνον καταλιμπάνοντες ἐπ' ἐμὲ τρέχετε, ἀλλ' ἄπιτε πρὸς ἐκεῖνον· «Καὶ ὃ ἐὰν εἴπῃ ὑμῖν, ποιεῖτε. 'Ανέῳξε δὲ 'Ιωσὴφ τοὺς σιτοβολῶνας, καὶ ἐπώλει τοῖς Αἰγυπτίοις».

Καὶ ἐπειδὴ πάντας ἐπενέμετο τοῦ λιμοῦ ἡ ἀνάγκη, «Πᾶσαι», φησίν, «αἱ χῶραι ἦλθον εἰς Αἴγυπτον ἀγοράζειν σῖτον· ἐπεκράτει γὰρ ὁ λιμὸς ἐν πάσῃ τῇ γῇ». Ὅρα μοι κατὰ μικρὸν ἀρχὴν λαμβάνουσαν τῶν ὀνειράτων τοῦ 'Ιωσὴφ τὴν ἔκβασιν. 'Επικρατήσαντος γὰρ τοῦ λιμοῦ, καὶ καταλαβόντος καὶ τὴν Χαναάν, ἔνθα κατῴκει ὁ 'Ιακὼβ ὁ τούτου πατήρ, «Μαθὼν ὅτι ἐστὶ πρᾶσις σίτου ἐν Αἰγύπτῳ, εἶπε», φησί, «τοῖς παισὶν αὐτοῦ· ἵνα τί ῥαθυμεῖτε; 'Ιδοὺ ἀκήκοα, ὅτι ἐστὶ σῖτος ἐν Αἰγύπτῳ. Κατάβητε πρίασθαι ἡμῖν μικρὰ βρώματα, ἵνα ζῶμεν, καὶ μὴ ἀποθάνωμεν». Τί, φησίν, ἐνταῦθα κάθησθε; Ἄπιτε εἰς τὴν Αἴγυπτον, καὶ τὰ πρὸς διατροφὴν ἡμῖν κομίζετε. Ταῦτα δὲ ἅπαντα ἐγίνετο, ἵνα τῇ ὄψει παραβάλλωσιν ἅπαντα οἱ τοῦ 'Ιωσὴφ ἀδελφοί, καὶ τὴν σύγκρισιν τοῦ ἐνυπνίου, ἣν αὐτοῖς συνέκριναν, ἡνίκα ἤκουσαν τοῦ 'Ιωσὴφ τὸ ὅραμα διηγουμένου, εἰς ἔργον ἀγάγωσι.

«Κατέβησαν γάρ», φησίν, «οἱ δέκα ἀδελφοί», καὶ τὸν Βενιαμὶν οὐκ ἔλαβον, ὃς ἦν ἀδελφὸς τοῦ 'Ιωσὴφ ὁμομήτριος. Εἶπε γὰρ ὁ πατὴρ αὐτοῦ· «Μή ποτε συμβῇ αὐτῷ μαλακία»· διὰ τὸ ἄωρον τῆς ἡλικίας ἐφείσατο τοῦ παιδός. 'Ελθόντες δέ, καθάπερ ἄρχοντα τῆς Αἰγύπτου προσεκύνησαν τὸν 'Ιωσὴφ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. Καὶ νῦν μὲν τέως ἀγνοοῦντες ἅπαντα ταῦτα ποιοῦσιν. 'Επειδὴ γὰρ οὐκ ὀλίγος γέγονεν ὁ μεταξὺ χρόνος, οὐκέτι τὸν χαρακτῆρα τοῦ ἀδελφοῦ ἐπεγίνωσκον. Εἰκὸς γὰρ ἐν ἡλικίᾳ γενόμενον ἐναλλαγήν τινα τοῦ χαρακτῆρος ἐργάσασθαι. Τὸ δὲ ὅλον οἶμαι καὶ οἰκονομίας εἶναι τοῦ τῶν ἁπάντων Θεοῦ, ὥστε μὴ δυνηθῆναι αὐτοὺς μήτε ἐκ τῆς διαλέξεως, μήτε ἐκ τῆς θέας ἐπιγνῶναι τὸν ἀδελφόν. Πόθεν γὰρ

βλέπετε, ὅτι ἐγὼ ἔχω ἁπλῶς μόνον τὸ ὄνομα τοῦ βασιλέως, ἐνῷ ἐκεῖνος εἶναι ὁ αἴτιος τῆς σωτηρίας ὅλων μας; Νὰ μὴ τρέχετε λοιπὸν πρὸς ἐμένα καὶ ἐγκαταλείπετε ἐκεῖνον, ἀλλὰ πηγαίνετε πρὸς αὐτόν. «Καὶ ὅ,τι σᾶς εἰπῇ, νὰ τὸ κάμετε. Καὶ ὁ Ἰωσὴφ ἤνοιξεν ὅλας τὰς σιταποθήκας καὶ ἐπώλει σῖτον εἰς τοὺς Αἰγυπτίους».

Καὶ ἐπειδὴ ἡ πεῖνα ἐβασάνιζε τοὺς πάντας, «Ὅλαι αἱ χῶραι», λέγει, «ἦλθον εἰς τὴν Αἴγυπτον διὰ νὰ ἀγοράσουν σῖτον· διότι ἡ πεῖνα ἐκυριαρχοῦσεν εἰς ὅλην τὴν γῆν». Πρόσεχε, παρακαλῶ, ὅτι σιγὰ - σιγὰ ἀρχίζουν νὰ ἐπαληθεύωνται τὰ ὄνειρα τοῦ Ἰωσήφ. Ὅταν δηλαδὴ ἡ πεῖνα ἐκυριάρχησεν εἰς ὅλην τὴν γῆν καὶ ἔφθασε καὶ εἰς τὴν Χαναάν, ὅπου ἐκατοικοῦσεν ὁ πατέρας του ὁ Ἰακὼβ ὁ ὁποῖος «Ὅταν ἔμαθεν, ὅτι εἰς τὴν Αἴγυπτον πωλεῖται σῖτος εἶπε», λέγει, «εἰς τοὺς υἱούς του· Διατί ἀδρανεῖτε; Νά, ἤκουσα, ὅτι ὑπάρχει σῖτος εἰς τὴν Αἴγυπτον. Κατεβῆτε νὰ ἀγοράσατε ὀλίγα τρόφιμα διὰ νὰ ζήσωμεν καὶ νὰ μὴ ἀποθάνωμεν. Τί κάθεστε ἐδῶ, λέγει. Πηγαίνετε εἰς τὴν Αἴγυπτον καὶ φέρετε τὰ ἀναγκαῖα διὰ τὴν διατροφήν μας. Ὅλα δὲ αὐτὰ συνέβαινον, διὰ νὰ ἀντιληφθοῦν οἱ ἀδελφοὶ τοῦ Ἰωσὴφ τὰ πάντα μὲ τὰ μάτια των καὶ διὰ νὰ ἐπαληθεύσουν τὴν ἐξήγησιν τοῦ ὀνείρου, τὴν ὁποίαν μόνοι τους ἔδωσαν, ὅταν ἤκουσαν τὸν Ἰωσὴφ νὰ διηγῆται τὸ ὄνειρον.

«Κατέβησαν οἱ δέκα ἀδελφοὶ τοῦ Ἰωσήφ», λέγει, «εἰς τὴν Αἴγυπτον», ἀλλὰ δὲν ἐπῆραν μαζύ τους τὸν Βενιαμίν, ὁ ὁποῖος ἦτο ἀδελφὸς τοῦ Ἰωσὴφ ἀπὸ τὴν ἰδίαν μητέρα, διότι εἶπεν ὁ πατήρ του· «μήπως συμβῇ εἰς αὐτὸν καμμία συμφορά». Ἐφοβήθη ἐξ αἰτίας τῆς μικρᾶς ἡλικίας τοῦ παιδιοῦ. Ἀφοῦ ἦλθον δὲ εἰς τὴν Αἴγυπτον προσεκύνησαν τὸν Ἰωσὴφ σὰν ἄρχοντα τῆς Αἰγύπτου ἕως ἐδάφους. Καὶ τώρα μὲν κάμουν εἰς τὴν ἀρχὴν ὅλα αὐτὰ χωρὶς νὰ τὸν γνωρίζουν. Ἐπειδὴ δηλαδὴ ἐμεσολάβησε πολὺς χρόνος ἀπὸ τότε ποὺ τὸν ἐπώλησαν, δὲν ἐγνώριζαν τὰ χαρακτηριστικὰ τοῦ ἀδελφοῦ των. Καθ' ὅσον ἦτο φυσικόν, ἐπειδὴ ἐνηλικιώθη, ἔγινε κάποια ἀλλαγὴ τῶν χαρακτηριστικῶν του. Ὅλα δὲ αὐτὰ νομίζω ὅτι εἶναι ἔργον τῆς οἰκονομίας

ἄν ποτε καὶ εἰς νοῦν τοῦτο ἐβάλλοντο; Καὶ γὰρ ἐνόμιζον αὐτὸν παρὰ τοῖς Ἰσμαηλίταις οἰκέτην γενόμενον λοιπὸν τὴν παρὰ τοῖς βαρβάροις δουλείαν ὑπομένειν. Καὶ αὐτοὶ μὲν οὐδὲν τοιοῦτον οὐδὲ εἰς διάνοιαν λαβεῖν δυνηθέντες οὐκ ἐπεγίνωσκον τὸν Ἰωσήφ, αὐτὸς δὲ παραχρῆμα θεασάμενος αὐτοὺς ἐπέγνω, καὶ λανθάνειν ἐσπούδαζε, καὶ ὡς ἀλλοτρίοις αὐτοῖς προσφέρεσθαι ἐβούλετο. «Ἠλλοτριοῦτο γάρ», φησίν, «ἀπ' αὐτῶν, καὶ ἐλάλησεν αὐτοῖς σκληρά· καὶ εἶπε· πόθεν ἥκατε;». Προσποιεῖται παντελῆ ἄγνοιαν, ἵνα πάντα μετὰ ἀκριβείας παρ' αὐτῶν μαθεῖν δυνηθῇ. Ἐπεθύμει γὰρ γνῶναι τὰ κατὰ τὸν πατέρα καὶ τὰ κατὰ τὸν ἀδελφόν.

2. Καὶ τέως μὲν πυνθάνεται ἐκ ποίας χώρας τυγχάνουσι, καί φασιν ἐκ τῆς Χαναὰν ἐλθεῖν ἀγοράσαι βρώματα. Ἡ τοῦ λιμοῦ, φασίν, ἀνάγκη τῆς ὁδοιπορίας ἡμᾶς ταύτης ἀνασχέσθαι πεποίηκε, καὶ διὰ τοῦτο καταλιπόντες τὰ οἰκεῖα ἐνταῦθα παραγεγόναμεν. «Καὶ ἐμνήσθη», φησίν, «Ἰωσὴφ τῶν ἐνυπνίων, ὧν εἶδεν αὐτός». Εἰς ἔννοιαν ἐλθὼν τῶν ὀνειράτων, καὶ εὑρὼν τὴν ἔκβασιν εἰς ἔργον ἐληλυθυῖαν, ἐβούλετο μετὰ ἀκριβείας ἅπαντα μαθεῖν. Διὸ καὶ μετὰ πολλῆς αὐτοῖς τῆς σφοδρότητος εὐθέως ἀποκρίνεται, καί φησι· «Κατάσκοποί ἐστε, καὶ κατανοῆσαι τὰ ἴχνη τῆς γῆς ἥκατε». Οὐχ ὑγιεῖ, φησί, γνώμῃ παραγεγόνατε. Ἐοίκατε τέχνῃ τινὶ καὶ κακουργίᾳ τὴν ἐνταῦθα ἄφιξιν πεποιηκέναι. Οἱ δὲ ἐναγώνιοι γενόμενοί φασιν· «Οὐχί, κύριε». Καὶ ὅπερ μαθεῖν ἐσπούδαζεν ὁ Ἰωσήφ, τοῦτο οἴκοθεν αὐτὸν διδάσκουσι, καί φασιν· «Οἱ παῖδές σου ἤλθομεν πρίασθαι βρώματα». Πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου, εἰρηνικοί ἐσμεν, οὐκ εἰσὶν οἱ παῖδές σου κατάσκοποι. Ἔτι περὶ ἑαυτῶν μόνον ἀπολογούμενοι, καὶ ὑπὸ τοῦ φόβου κατασεισθέντες τὴν διάνοιαν, οὐδέπω τὰ τῷ Ἰωσὴφ σπουδαζόμενα εἰρήκασι. Διὸ ἐπέμενε λέγων· «Οὐχί, ἀλλὰ τὰ ἴχνη τῆς γῆς ἤλθετε ἰδεῖν». Περιττῶς, φησί, ταῦτά μοι λέ-

τοῦ Θεοῦ τῶν πάντων, διὰ νὰ μὴ ἠμπορέσουν αὐτοὶ νὰ ἀναγνωρίσουν τὸν ἀδελφόν των, οὔτε ἀπὸ τὴν ἐμφάνισίν του οὔτε ἀπὸ τὴν φωνήν. Διότι πῶς θὰ ἦτο δυνατὸν νὰ τὸ βάλουν εἰς τὸν νοῦν των; Πράγματι ἐνόμιζον, ὅτι αὐτὸς εἶχε γίνει δοῦλος τῶν Ἰσμαηλιτῶν καὶ ὅτι τώρα πλέον ὑπομένει τὴν δουλείαν τῶν βαρβάρων. Καὶ αὐτοὶ μὲν δὲν ἐγνώρισαν τὸν Ἰωσήφ, ἀφοῦ δὲν ἠμπόρεσαν τίποτε τέτοιο νὰ φαντασθοῦν, αὐτὸς ὅμως μόλις τοὺς εἶδεν ἀμέσως τοὺς ἐγνώρισε καὶ ἐφρόντιζε νὰ παραμείνῃ ἄγνωστος καὶ ἐπεδίωκε νὰ τοὺς φέρεται ὡσὰν νὰ ἦσαν ξένοι. Διότι λέγει· «Ἐφέρετο εἰς αὐτοὺς ὡς ξένος καὶ ὡμίλησεν εἰς αὐτοὺς μὲ σκληρότητα καὶ εἶπεν· Ἀπὸ ποῦ ἤλθατε;». Προσποιεῖται τελείαν ἄγνοιαν, διὰ νὰ ἠμπορέσῃ νά μάθῃ ἀπ' αὐτοὺς τὰ πάντα μὲ λεπτομέρειαν. Διότι ἐπεθύμει νὰ μάθῃ τὰ σχετικὰ διὰ τὸν πατέρα του καὶ τὸν ἀδελφόν του.

2. Καὶ πρῶτον ἐρωτᾷ νὰ μάθῃ ἀπὸ ποίαν χώραν εἶναι καὶ ἀπαντοῦν, ὅτι ἦλθον ἀπὸ τὴν Χαναάν, διὰ νὰ ἀγοράσουν τρόφιμα. Ἡ πίεσις τῆς πείνης, λέγουν, μᾶς ἔκανε νὰ κάμωμεν αὐτὴν τὴν ὁδοιπορίαν καὶ διὰ τοῦτο ἤλθομεν ἐδῶ, ἀφοῦ ἀφήσαμεν τοὺς ἰδικούς μας. «Καὶ ὁ Ἰωσήφ», λέγει, «ἐνεθυμήθη τὰ ὄνειρα, τὰ ὁποῖα εἶχεν ἰδεῖ». Ἀφοῦ ἐνεθυμήθη τὰ ὄνειρα καὶ ἀντελήφθη, ὅτι ἐβγῆκαν ἀληθινά, ἤθελε νὰ μάθῃ τὰ πάντα μὲ ἀκρίβειαν. Διὰ τοῦτο καὶ τοὺς ἀποκρίνεται ἀμέσως μὲ πολλὴν σκληρότητα, καὶ λέγει· «Εἴσθε κατάσκοποι καὶ ἤλθατε νὰ κατασκοπεύσετε τὴν χώραν μου». Δὲν ἤλθατε, λέγει, μὲ καλὴν διάθεσιν. Φαίνεσθε νὰ ἔχετε κάνει τὴν ἐπίσκεψιν ἐδῶ μὲ κάποιον δόλον καὶ κάποιον κακὸν σκοπόν. Αὐτοὶ δὲ γεμᾶτοι ἀγωνίαν λέγουν· «Ὄχι, κύριε». Καὶ αὐτὸ τὸ ὁποῖον ἐπεδίωκε νὰ μάθῃ ὁ Ἰωσήφ, τὸ ἀποκαλύπτουν αὐτοὶ μόνοι των καὶ λέγουν· «Οἱ δοῦλοι σου ἤλθομεν νὰ ἀγοράσωμεν τρόφιμα». Ὅλοι εἴμεθα υἱοὶ ἑνὸς ἀνθρώπου, εἴμεθα φιλειρηνικοί, δὲν εἶναι οἱ δοῦλοι σου κατάσκοποι. Ἐπειδὴ ὅμως ὑπερίσπιζον μόνον τοὺς ἑαυτούς των καὶ ἐπειδὴ εἶχον χάσει τὰ λογικά των ἐξ αἰτίας τοῦ φόβου των, δὲν ἔλεγον ἐκεῖνα, τὰ ὁποῖα ἐπεδίωκε νὰ μάθῃ ὁ Ἰωσήφ. Διὰ τὸν λόγον αὐ-

γετε· καὶ γὰρ αὐτὸ τὸ σχῆμα τῆς παρουσίας ὑμῶν δείκνυσιν, ὅτι κακουργίᾳ τινὶ χρώμενοι ἐνταῦθα παραγεγόνατε.

Οἱ δὲ ὑπὸ τῆς ἀνάγκης αὐτῆς συνελαυνόμενοι, καὶ βουλόμενοι εἰς οἶκτον αὐτὸν ἐπικάμψαι, φασί· «Δώδεκά ἐσμεν οἱ παῖδες σου ἀδελφοί». Ὢ τῆς τῶν ῥημάτων ἀπάτης. Καὶ τὸν τοῖς ἐμπόροις παρ' αὐτῶν διαπραθέντα τῷ ἀριθμῷ συνῆψαν· καὶ οὐ λέγουσι, δώδεκα ἦμεν, ἀλλά, «Δώδεκά ἐσμεν ἀδελφοί· καὶ ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν». Τοῦτο γὰρ ἦν αὐτῷ τὸ σπουδαζόμενον γνῶναι, εἰ μὴ καὶ τὸν ἀδελφὸν τὰ αὐτὰ διατεθείκασιν. «Ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν· ὁ δὲ ἕτερος οὐχ ὑπάρχει». Καὶ οὐ λέγουσι τὴν αἰτίαν σαφῶς, ἀλλ' ἁπλῶς, «Οὐχ ὑπάρχει». Ἐκ τούτου εἰς ὑποψίαν ἐλθών, μήποτε καὶ εἰς τὸν Βενιαμὶν τὰ ὅμοια εἰργάσαντο, φησί· «Τοῦτό ἐστιν, ὃ εἴρηκα ὑμῖν, ὅτι κατάσκοποί ἐστε. Οὐ γὰρ μὴ ἐξέλθητε ἐντεῦθεν, ἕως οὗ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος ἔλθῃ ὧδε». Ἐκεῖνον ἰδεῖν βούλομαι· ἐπιθυμῶ θεάσασθαι τὸν τὰς αὐτάς μοι λύσαντα ὠδῖνας· ὑφορῶμαι γὰρ ὑμῶν ἐκ τῶν κατ' ἐμὲ γενομένων τὴν μισάδελφον γνώμην. Εἰ τοίνυν βούλεσθε, «Ἀποστείλατε ἕνα ἐξ ὑμῶν, καὶ ἀγάγετε αὐτόν· ὑμεῖς δὲ οἰκεῖτε τὸ δεσμωτήριον, ἕως ἂν ἐκεῖνος παραγίνηται. Ἐκεῖνος γὰρ παραγεγονὼς διδάξει, εἰ ἀληθῆ τὰ παρ' ὑμῶν λεγόμενα, καὶ ἐλευθερώσει ὑμᾶς πάσης ὑποψίας. Εἰ γὰρ μὴ τοῦτο γένοιτο, δῆλον ἔσται ὅτι κατάσκοποί ἐστε, καὶ διὰ τοῦτο ἐνταῦθα παραγεγόνατε. Καὶ ταῦτα εἰρηκώς, «Ἔθετο αὐτοὺς ἐν τῇ φυλακῇ».

Ὅρα πῶς αὐτῶν βασανίζει τὰς γνώμας, καὶ δι' ὧν εἰς τούτους ἐπιδείκνυται, τὴν φιλοστοργίαν δείκνυσι τὴν πρὸς τὸν ἀδελφόν. Μετὰ δὲ τρεῖς ἡμέρας καλέσας αὐτοὺς εἶπε· «Τοῦτο ποιήσατε, καὶ ζήσεσθε· τὸν γὰρ Θεὸν ἐγὼ φοβοῦμαι. Εἰ εἰρηνικοί ἐστε, ἀδελφὸς ὑμῶν εἷς κατασχεθήτω ἐν τῇ φυλακῇ· αὐτοὶ δὲ βαδίσατε καὶ ἀπάγετε τὸν ἀγορασμὸν τῆς σιτοδο-

τὸν ἐπέμενε, λέγων. «Ὄχι, ἤλθατε διὰ νὰ κατασκοπεύσετε τὴν χώραν μου». Μάταια, λέγει, μοῦ λέγετε αὐτά, καθ' ὅσον ἀκόμη καὶ ἡ ἐμφάνισίς σας δείχνει, ὅτι ἤλθατε ἐδῶ, διὰ νὰ κάνετε κάτι κακόν.

Αὐτοὶ δὲ πιεζόμενοι ἀπὸ τὴν ἀνάγκην αὐτὴν καὶ θέλοντες νὰ τὸν κάμουν νὰ τοὺς λυπηθῇ, λέγουν· «Ἡμεῖς οἱ δοῦλοι σου εἴμεθα δώδεκα ἀδελφοί». Ὢ ψεύτικοι λόγοι. Συμπεριέλαβον εἰς τὸν ἀριθμὸν καὶ αὐτόν, τὸν ὁποῖον ἐπώλησαν εἰς τοὺς ἐμπόρους. Καὶ δὲν λέγουν, ἤμεθα δώδεκα, ἀλλὰ «εἴμεθα δώδεκα ἀδελφοὶ καὶ ὁ μικρότερος ἀπὸ ἡμᾶς εὑρίσκεται κοντὰ εἰς τὸν πατέρα μας». Αὐτὸ πράγματι ἐπεδίωκε νὰ μάθῃ ὁ Ἰωσήφ, μήπως δηλαδὴ ἔκαναν τὰ ἴδια καὶ εἰς τὸν ἀδελφόν του. «Νά, ὁ μικρότερος εὑρίσκεται μὲ τὸν πατέρα μας, ὁ δέ ἄλλος δὲν ὑπάρχει. Καὶ δέν λέγουν καθαρὰ τὴν αἰτίαν, ἀλλ' ἁπλῶς «Δέν ὑπάρχει». Ἐξ αἰτίας αὐτοῦ, ἐπειδὴ ὑποψιάσθη, μήπως ἔκαμαν τὰ ἴδια καὶ εἰς τὸν Βενιαμίν, λέγει· «Συμβαίνει αὐτὸ ποὺ σᾶς εἶπα, ὅτι δηλαδὴ εἶσθε κατάσκοποι. Δὲν θὰ φύγετε ἀπ' ἐδῶ, ἕως ὅτου ἔλθῃ ἐδῶ ὁ μικρότερος ἀδελφός σας». Ἐκεῖνον ἐπιθυμῶ νὰ ἰδῶ, θέλω νὰ ἀντικρύσω αὐτὸν ποὺ ἐγεννήθη ἀπὸ τὴν ἰδίαν μὲ ἐμένα κοιλίαν. Διότι ὑποπτεύομαι τὴν κακὴν διάθεσίν σας πρὸς τὸν ἀδελφόν μου ἀπ' αὐτὰ ποὺ ἐκάματε εἰς βάρος μου. Ἐὰν λοιπὸν θέλετε, «Ἀποστείλατε ἕνα ἀπὸ σᾶς» καὶ φέρετε αὐτὸν ἐδῶ. Ἐσεῖς δὲ οἱ ὑπόλοιποι θὰ παραμείνετε εἰς τὴν φυλακήν, ἕως ὅτου ἔλθῃ ἐκεῖνος. Διότι ὅταν ἔλθῃ ἐκεῖνος θὰ διευκρινήσῃ ἐὰν εἶναι ἀληθινά, ὅσα σεῖς λέγετε, καὶ θὰ σᾶς ἀπαλλάξῃ ἀπὸ κάθε ὑποψίαν. Ἐὰν ὅμως δὲν συμβῇ αὐτό, θὰ ἀποδειχθῇ, ὅτι εἶσθε κατάσκοποι καὶ ὅτι δι' αὐτὸν τὸν λόγον ἤλθατε ἐδῶ. Καὶ ἀφοῦ εἶπεν αὐτά, «Ἔκλεισεν αὐτοὺς εἰς τὴν φυλακήν».

Πρόσεχε μὲ ποῖον τρόπον τοὺς δοκιμάζει καὶ μὲ ὅσα κάμνει εἰς αὐτοὺς ἀποδεικνύει τὴν ἀγάπην του πρὸς τὸν ἀδελφόν του. Καὶ μετὰ ἀπὸ τρεῖς ἡμέρας ἐκάλεσεν αὐτοὺς καὶ τοὺς εἶπε· «Κάμετε αὐτὸ καὶ θὰ ζήσετε, διότι καὶ ἐγὼ φοβοῦμαι τὸν Θεόν. Ἐὰν εἶσθε φιλήσυχοι, ἕνας ἀδελ-

σίας ὑμῶν, καὶ τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον ἀγάγετε πρός με, καὶ πιστευθήσεται τὰ ῥήματα ὑμῶν· εἰ δὲ μή, ἀποθανεῖσθε». Σκόπει σύνεσιν. Βουλόμενος καὶ τὴν περὶ τούτους εὔνοιαν ἐπιδείξασθαι, καὶ τοῦ πατρὸς τὴν ἔνδειαν παραμυθήσασθαι, καὶ περὶ τοῦ ἀδελφοῦ μαθεῖν τὸ ἀληθές, ἕνα κατασχεθῆναι προστάξας τοὺς ἄλλους ἀπελθεῖν ἐκέλευσεν. Ἀλλ' ὅρα μοι λοιπὸν ἐνταῦθα τὸν ἀδέκαστον δικαστήν, τὸ συνειδὸς αὐτῶν κατεξανιστάμενον, καὶ οὐδενὸς ἐλέγχοντος, οὐδὲ εἰς μέσον ἄγοντος, αὐτοὺς ἑαυτῶν κατηγόρους γινομένους. «Εἶπε γάρ», φησίν, «ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ· ναί· ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατεδέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ· ἕνεκεν οὖν τούτου ἐπῆλθεν ἡμῖν πᾶσα ἡ θλῖψις αὕτη».

Τοιοῦτον γὰρ ἡ ἁμαρτία· ἐπειδὰν τελεσθῇ καὶ εἰς ἔργον ἔλθῃ, τότε τῆς οἰκείας ἀτοπίας δείκνυσι τὴν ὑπερβολήν. Καὶ καθάπερ ὁ μεθύων, ὅταν μὲν πολὺν τὸν ἄκρατον ἐγχέῃ, οὐδεμίαν αἴσθησιν λαμβάνει τῆς ἐκ τοῦ οἴνου γινομένης λύμης, μετὰ δὲ ταῦτα διὰ τῆς πείρας αὐτῆς μανθάνει τῆς βλάβης τὸ μέγεθος· οὕτω καὶ ἡ ἁμαρτία· μέχρι μὲν ἂν τελεσθῇ, σκοτοῖ τὸν λογισμόν, καὶ καθάπερ νεφέλη πυκνή, οὕτω πηροῖ τὴν διάνοιαν· ὕστερον δὲ τὸ συνειδὸς κατεξανιστάμενον παντὸς κατηγόρου σφοδρότερον καταξαίνει τὴν διάνοιαν, καὶ δείκνυσι τῶν γεγενημένων τὴν ἀτοπίαν. Ὅρα γὰρ καὶ τούτους νῦν εἰς αἴσθησιν ἐρχομένους καὶ ὅτε περὶ τοῦ παντὸς εἶδον ἑαυτοῖς ἐπικρεμάμενον τὸν κίνδυνον, τότε ἐξομολογουμένους τὰ ὑπ' αὐτῶν γεγενημένα, καὶ λέγοντας· «Ναί· ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ». Οὐχ ἁπλῶς οὐδὲ μάτην, φησί, ταῦτα ὑπομένομεν, ἀλλὰ δικαίως, καὶ σφόδρα δικαίως· δίκας γὰρ δίδομεν τῆς ἀπανθρωπίας καὶ τῆς ὠμότητος, ἧς περὶ τὸν ἀδελφὸν ἐπεδειξάμεθα·

φός ἀπὸ σᾶς θὰ κρατηθῇ εἰς τὴν φυλακήν, ἐνῷ σεῖς οἱ ἄλλοι πηγαίνετε καὶ φέρετε τὸν ἀγορασθέντα σῖτον εἰς τὸν οἶκον σας καὶ ἔπειτα νὰ ὁδηγήσετε πρὸς ἐμένα τὸν μικρότερον ἀδελφόν σας. Ἔτσι θὰ γίνουν πιστευτοὶ οἱ λόγοι σας, ἀλλιῶς θὰ θανατωθῆτε». Πρόσεχε σύνεσιν. Ἐπειδὴ ἤθελε νὰ δείξῃ καὶ εἰς αὐτοὺς τὴν συμπάθειαν καὶ νὰ βοηθήσῃ τοῦ πατέρα του τὴν πεῖναν καὶ νὰ μάθῃ τὴν ἀλήθειαν διὰ τὸν ἀδελφόν του, ἀφοῦ ἐπρόσταξε νὰ κλεισθῇ εἰς τὴν φυλακὴν ὁ ἕνας, τοὺς ἄλλους διέταξε νὰ φύγουν. Ἀλλὰ πρόσεχε, παρακαλῶ, ἐδῶ τὸν ἀδέκαστον κριτήν, δηλαδὴ τὴν συνείδησίν των, ἡ ὁποία ἐπαναστατεῖ, χωρὶς νὰ τοὺς ἐλέγχῃ κανείς, οὔτε νὰ τοὺς ἀναφέρῃ καθόλου, αὐτοὶ οἱ ἴδιοι γίνονται κατήγοροι τοῦ ἑαυτοῦ των. Διότι λέγει, «Εἶπεν ὁ καθένας πρὸς τὸν ἀδελφόν του. Ναί, τιμωρούμεθα, διότι εἴμεθα ἔνοχοι διὰ τὸν ἀδελφόν μας τὸν Ἰωσήφ, διότι ἀδιαφορήσαμεν διὰ τὴν θλῖψιν τῆς ψυχῆς του, καὶ ὅταν μᾶς παρεκάλει, ἡμεῖς δὲν τὸν ἠκούσαμεν. Ἐξ αἰτίας τούτου λοιπὸν ἦλθεν εἰς ἡμᾶς ὅλη αὐτὴ ἡ στενοχώρια».

Πράγματι τέτοια εἶναι ἡ ἁμαρτία. Ὅταν πραγματοποιηθῇ, τότε ἀποκαλύπτει τὸ μέγεθος τῆς παρανομίας της. Καὶ ὅπως ἀκριβῶς ὁ μεθυσμένος, ὅταν μὲν πίνῃ πολὺν γνήσιον οἶνον, δὲν ἀντιλαμβάνεται καθόλου τὴν ἐξ αὐτοῦ ζημίαν, ἔπειτα ὅμως ἀπὸ τὴν πεῖραν μαθαίνει τὸ μέγεθος τῆς βλάβης, κατὰ τὸν ἴδιον τρόπον καὶ ἡ ἁμαρτία, ἕως ὅτου νὰ πραγματοποιηθῇ συσκοτίζει τὸ λογικὸν καὶ ὡς πυκνὸν νέφος ἀχρηστεύει τὸν νοῦν. Ἔπειτα ὅμως ἐξεγείρεται ἡ συνείδησις καὶ βασανίζει τὸν νοῦν χειρότερα ἀπὸ κάθε ἄλλον κατήγορον καὶ ἀποδεικνύει τὴν παρανομίαν τῶν ὅσων ἔγιναν. Κοίταξε λοιπὸν καὶ αὐτοὺς ποὺ τώρα συναισθάνονται τὴν ἁμαρτίαν καὶ ὅταν εἶδον, ὅτι διατρέχουν μεγάλον κίνδυνον δι' ὅλα αὐτά, τότε ἐξομολογοῦνται αὐτὰ ποὺ ἔκαμαν καὶ λέγουν· «Ναὶ τιμωρούμεθα, διότι εἴμεθα ἔνοχοι διὰ τὸν ἀδελφόν μας τὸν Ἰωσήφ, διότι δὲν ἐδώσαμεν σημασίαν εἰς τὴν θλῖψιν τῆς ψυχῆς του». Δὲν ὑποφέρομεν αὐτά, λέγει, χωρὶς λόγον, ἀλλὰ δίκαια καὶ μάλιστα πολὺ δίκαια. Διότι τιμωρούμεθα διὰ τὴν ἀπανθρωπίαν καὶ τὴν σκληρότητα, τὴν ὁποίαν ἐδείξαμεν εἰς τὸν

«Ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατεδέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ». Ἐπειδή, φησίν, ἀσυμπαθεῖς γεγόναμεν, καὶ πολλὴν ἐπεδειξάμεθα τὴν ὠμότητα, διὰ τοῦτο καὶ ἡμεῖς νῦν τῶν αὐτῶν πειρώμεθα· «Ἕνεκεν γὰρ τούτου ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ θλῖψις αὕτη».

3. Καὶ ταῦτα μὲν πρὸς ἀλλήλους διελέγοντο, νομίζοντες μηδενὸς τούτων ἐπακούειν τὸν Ἰωσήφ. Ὡς γὰρ ἀγνοῶν καὶ οὐκ εἰδὼς αὐτῶν τὴν γλῶτταν, παρεσκεύασεν ἑρμηνέα μεταξὺ ἀμφοτέρων ἑστάναι, καὶ τὰ παρ' αὐτοῦ διασαφεῖν ἐκείνοις, καὶ τὰ παρ' ἐκείνων αὐτῷ ἑρμηνεύειν. «Ταῦτα δὲ ἀκούων ὁ Ρουβὴν εἶπε πρὸς αὐτούς· οὐκ ἐλάλησα ὑμῖν, λέγων, μὴ ἀδικήσητε τὸ παιδάριον, καὶ οὐκ εἰσηκούσατέ μου; Καὶ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται». Οὐ συνεβούλευσα, φησί, τότε, οὐ παρεκάλεσα, ὥστε μηδεμίαν ἀδικίαν περὶ αὐτὸν ἐπιδείξασθαι; Διὰ τοῦτο νῦν «Τὸ αἷμα αὐτοῦ ἐκζητεῖται». Τῇ γὰρ γνώμῃ αὐτὸν ἀνείλετε· εἰ γὰρ καὶ μὴ διὰ τοῦ λαιμοῦ τὸ ξίφος ὤσατε, ἀλλὰ βαρβάροις ἀνδράσιν αὐτὸν πεπράκατε, καὶ χαλεπωτέραν θανάτου δουλείαν αὐτῷ ἐπενοήσατε· διὰ τοῦτο «Τὸ αἷμα αὐτοῦ ἐκζητεῖται νῦν». Ἐννόησον ὅσον ἐστὶν ὑπὸ τοῦ συνειδότος κατηγορεῖσθαι, καὶ τοῦτον τὸν κατήγορον διηνεκῶς ἔχειν ἐπικείμενον, καταβοῶντα καὶ τὴν παρανομίαν ὑπομιμνήσκοντα.

Καὶ ταῦτα ἤκουε μὲν Ἰωσήφ· αὐτοὶ δὲ οὐκ ᾔδεισαν, διὰ τὸ τὸν ἑρμηνέα μεταξὺ ἑστάναι· ἀλλ' οὐκ ἔτι λοιπὸν φέρειν ἠδύνατο, τῆς φύσεως τῆς ἀδελφικῆς καὶ τῆς συμπαθείας αὐτὸν ἐλεγχούσης. «Καὶ ἀποστραφείς», φησίν, «ἀπ' αὐτῶν ἔκλαυσεν», ὥστε μὴ κατάδηλος αὐτοῖς γενέσθαι. «Καὶ πάλιν προσῆλθε πρὸς αὐτούς, καὶ εἶπεν αὐτοῖς. Καὶ ἔλαβε τὸν Συμεῶνα, καὶ ἔδησεν αὐτὸν ἐναντίον αὐτῶν». Ὅρα πῶς πάντα ποιεῖ, ὥστε εἰς φόβον αὐτοὺς ἐμβαλεῖν, ἵνα ὁρῶντες τὰ δεσμὰ τοῦ Συμεών, δήλους ἑαυτοὺς ποιήσωσιν, εἴ τινα περὶ τὸν ἀδελφὸν συμπάθειαν ἐπιδείκνυνται.

ἀδελφόν μας. «Διότι δὲν ἐδώσαμεν σημασίαν εἰς τὴν θλῖψιν τῆς ψυχῆς του, ὅταν μᾶς παρεκάλει καὶ δὲν τὸν ἠκούσαμεν». Ἐπειδή, λέγει, ἀπεδείχθημεν ἀπάνθρωποι καὶ ἐδείξαμεν πολλὴν σκληρότητα, διὰ τοῦτο καὶ ἡμεῖς παθαίνομεν τώρα αὐτά. «Ἐξ αἰτίας αὐτοῦ λοιπὸν ἦλθεν εἰς ἡμᾶς ὅλη αὐτὴ ἡ στενοχωρία».

3. Καὶ αὐτὰ μὲν συνεζήτουν μεταξύ των, ἐπειδὴ ἐνόμιζον, ὅτι τίποτε ἀπ' αὐτὰ δὲν ἀκούει ὁ Ἰωσήφ. Διότι ὡσὰν νὰ ἠγνόει καὶ νὰ μὴ ἐγνώριζε τὴν γλῶσσαν των, ἔβαλε διερμηνέα μεταξὺ αὐτοῦ καὶ αὐτῶν, διὰ νὰ μεταφράζῃ τοὺς λόγους ἐκείνων εἰς αὐτὸν καὶ τοὺς λόγους αὐτοῦ εἰς ἐκείνους. «Ὅταν ἤκουσεν αὐτὰ ὁ Ρουβὴν εἶπε πρὸς αὐτούς· Δὲν σᾶς εἶπα νὰ μὴ κάνετε κακὸ εἰς τὸ παιδί, ἀλλὰ δὲν μὲ ἠκούσατε; Καὶ νά, τώρα τὸ αἷμα του ζητεῖ ἐκδίκησιν». Δὲν σᾶς συνεβούλευσα, λέγει, τότε, δὲν σᾶς παρεκάλεσα νὰ μὴ κάνετε κανένα κακὸν εἰς βάρος του; Διὰ τὸν λόγον αὐτὸν «Τὸ αἷμα του τώρα ζητεῖ ἐκδίκησιν». Ἐθανατώσατε αὐτὸν μὲ τὴν κακίαν σας, ἔστω καὶ ἂν δὲν ἐκτυπήσατε τὸ ξίφος εἰς τὸν λαιμόν του, ἀφοῦ τὸν ἐπωλήσατε εἰς τοὺς βαρβάρους καὶ ἐπενοήσατε δι' αὐτὸν δουλείαν χειροτέραν ἀπὸ τὸν θάνατον. Διὰ τοῦτο «Τὸ αἷμα του τώρα ζητεῖ ἐκδίκησιν». Σκέψου, πόσον δύσκολον εἶναι νὰ κατηγορῆσαι ἀπὸ τὴν συνείδησιν καὶ νὰ ἔχῃς διαρκῶς κοντά σου αὐτὸν τὸν κατήγορον νὰ σοῦ φωνάζῃ καὶ νὰ σοῦ ὑπενθυμίζῃ τὴν παρανομίαν σου.

Καὶ αὐτὰ μὲν τὰ ἤκουεν ὁ Ἰωσήφ, ἐνῷ αὐτοὶ δὲν τὸ ἀντελήφθησαν, ἐπειδὴ ἀνάμεσά τους ἦτο ὁ διερμηνέας. Δὲν ἠμποροῦσεν ὅμως νὰ ὑποφέρῃ ἄλλο, ἐπειδὴ τὸν ἤλεγχεν ἡ ἀδελφικὴ συγγένεια καὶ ἀγάπη. «Καὶ ὁ Ἰωσήφ», λέγει, «ἀπεμακρύνθη ἀπ' αὐτοὺς καὶ ἔκλαυσε», διὰ νὰ μὴ ἀποκαλυφθῇ. «Ἐπέστρεψε πάλιν ὅμως καὶ ὡμίλησεν εἰς αὐτούς. Ἔπειτα ἐπῆρε τὸν Συμεὼν καὶ τὸν ἔδεσεν ἐνώπιόν των». Πρόσεχε πῶς κάμνει τὰ πάντα μὲ τέτοιον τρόπον, ὥστε νὰ τοὺς κάμῃ νὰ φοβηθοῦν καὶ νὰ φανερώσουν, ἐὰν αἰσθάνωνται καθόλου ἀγάπην διὰ τὸν ἀδελφόν των, ὅταν ἰδοῦν τὸν Συμεὼν δέσμιον. Ὅλα αὐτὰ τὰ κάμνει δοκιμά-

Πάντα γὰρ ταῦτα ποιεῖ βασανίζων αὐτῶν τὴν γνώμην, καὶ γνῶναι βουλόμενος, εἰ μὴ καὶ πρὸς τὸν Βενιαμὶν τοιοῦτοι γεγόνασι. Διὰ τοῦτο καὶ τὸν Συμεῶνα ἐναντίον αὐτῶν δεσμεῖσθαι κελεύει, ἵνα βασανίσῃ αὐτοὺς μετὰ ἀκριβείας, καὶ ἴδῃ εἴ τινα φιλοστοργίαν περὶ αὐτὸν ἐνδείκνυνται. Ἡ γὰρ περὶ τοῦτον φειδὼ παρεσκεύαζεν ἐπιταχῦναι τὴν τοῦ Βενιαμὶν παρουσίαν, ὅπερ ἐβούλετο γενέσθαι, ὥστε πληροφορίαν λαβεῖν ἐκ τῆς τοῦ ἀδελφοῦ παρουσίας. «Καὶ ἐνετείλατο, φησίν, ἐμπλῆσαι τὰ ἀγγεῖα αὐτῶν σίτου, καὶ ἀποδοῦναι τὸ ἀργύριον ἑκάστῳ εἰς τὸν σάκκον αὐτοῦ, καὶ δοῦναι αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν. Καὶ ἐπιθέντες τοῖς ὄνοις αὐτῶν ἀπῆλθον».

Ὅρα πόσην φιλοτιμίαν ἐπιδείκνυται· καὶ ἄκοντας αὐτοὺς εὐεργετεῖ, οὐ τὸν σῖτον μόνον δεδωκώς, ἀλλὰ καὶ τὰ ἀργύρια. Λύσας δὲ εἷς ἐξ αὐτῶν τὸν μάρσιππον αὐτοῦ, ὥστε δοῦναι χορτάσματα τοῖς ὄνοις, ὁρᾷ τὸ ἀργύριον, καὶ εἶπε τοῖς ἀδελφοῖς αὐτοῦ. «Ἐπὶ τούτῳ ἐξέστη ἡ καρδία αὐτῶν, καὶ ἐταράχθησαν εἰς ἀλλήλους λέγοντες· τί τοῦτο ἐποίησεν ἡμῖν ὁ Θεός;» Ἐναγώνιοι πάλιν γεγόνασιν, ὑφορώμενοι μὴ καὶ τοῦτο προσθήκη ἐγκλημάτων αὐτοῖς γένηται, καὶ τὴν ἀπὸ τοῦ συνειδότος ἔχοντες κατηγορίαν, πάντα ἐπέγραφον τῇ ἁμαρτίᾳ τῇ εἰς τὸν Ἰωσὴφ ὑπ' αὐτῶν γεγενημένῃ. Παραγενόμενοι δὲ πρὸς τὸν πατέρα, καὶ ἅπαντα μετὰ ἀκριβείας αὐτῷ ἀπαγγείλαντες, διηγήσαντο τὴν ἀγανάκτησιν τὴν κατ' αὐτῶν γεγενημένην παρὰ τοῦ ἄρχοντος τῆς Αἰγύπτου, καὶ ὅτι ἔθετο αὐτοὺς ἐν φυλακῇ, ὡς κατασκόπους. «Εἴπαμεν δὲ αὐτῷ», φασίν, «ὅτι εἰρηνικοί ἐσμεν, καὶ ὅτι δώδεκά ἐσμεν ἀδελφοί· καὶ ὁ μὲν εἷς οὐχ ὑπάρχει, ὁ δὲ μικρότερος μετὰ τοῦ πατρὸς ἡμῶν. Εἶπε δὲ ἡμῖν· ἐν τούτῳ φανεῖσθε, ὅτι εἰρηνικοί ἐστε· ἀδελφὸν ἕνα ἄφετε ὧδε, καὶ ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον, καὶ γνώσομαι ὅτι οὐκ ἐστὲ κατάσκοποι». Ταῦτα πάλιν ἀνέξαινε τοῦ δικαίου τὰς ἀθυμίας. Μετὰ γὰρ τῆς

ζων τὴν ψυχήν των καὶ ἐπειδὴ ἤθελε νὰ μάθῃ μήπως ἔδειξαν καὶ πρὸς τὸν Βενιαμὶν τὴν ἰδίαν διαγωγήν. Διὰ τὸν λόγον αὐτὸν καὶ διατάσσει νὰ δέσουν ἐνώπιόν των τὸν Συμεών, ὥστε νὰ τοὺς δοκιμάσῃ μὲ προσοχὴν καὶ νὰ ἰδῇ ἐὰν αἰσθάνωνται δι' αὐτὸν κάποιαν ἀγάπην. Διότι τὸ ἐνδιαφέρον των δι' αὐτὸν θὰ ἔκαμνε νὰ ἔλθῃ γρηγορώτερον ὁ Βενιαμίν, πρᾶγμα τὸ ὁποῖον ἤθελε νὰ ἐπιτύχῃ, ὥστε νὰ βεβαιωθῇ ἀπὸ τὴν παρουσίαν τοῦ ἀδελφοῦ. «Καὶ διέταξε», λέγει, «νὰ γεμίσουν τοὺς σάκκους των μὲ σῖτον καὶ νὰ ἐπιστρέψουν εἰς τὸν καθένα τὰ χρήματά του θέτοντες αὐτὰ εἰς τὸν σάκκον τοῦ καθενὸς καὶ νὰ δώσουν εἰς αὐτοὺς τροφὰς διὰ τὸν δρόμον. Καὶ ἀφοῦ ἐφόρτωσαν τοὺς ὄνους των ἔφυγαν».

Πρόσεχε πόσην γενναιοδωρίαν δείχνει. Εὐεργετεῖ αὐτοὺς καὶ χωρὶς τὴν θέλησίν των, μὲ τὸ νὰ δώσῃ ὄχι μόνον τὸν σῖτον ἀλλὰ καὶ τὰ χρήματά των. Ὅταν ἕνας ἐξ αὐτῶν ἔλυσε τὸν σάκκον, διὰ νὰ δώσῃ εἰς τοὺς ὄνους νὰ φάγουν, βλέπει τὰ χρήματα καὶ τὸ εἶπεν εἰς τοὺς ἀδελφούς του. Ἐξ αἰτίας αὐτοῦ ἐξεπλάγησαν ὅλοι καὶ ἐταράχθησαν λέγοντες μεταξύ των. Τί εἶναι αὐτό, τὸ ὁποῖον μᾶς ἔκαμεν ὁ Θεός;». Ἐκυριεύθησαν πάλιν ἀπὸ ἀγωνίαν, φοβούμενοι μήπως καὶ ἀπὸ αὐτὸ τὸ γεγονὸς τοὺς προστεθῇ καὶ νέα κατηγορία καὶ ἐπειδὴ εἶχον τὴν κατηγορίαν ἀπὸ τὴν συνείδησιν, κατελόγιζον τὰ πάντα εἰς τὴν ἀδικίαν, τὴν ὁποίαν εἶχον διαπράξει εἰς βάρος τοῦ Ἰωσήφ. Ὅταν δὲ ἔφθασαν εἰς τὸν πατέρα των εἶπαν εἰς αὐτὸν τὰ πάντα μὲ λεπτομέρειαν καὶ διηγήθησαν τὴν ἐναντίον των ὀργὴν τοῦ ἄρχοντος τῆς Αἰγύπτου καὶ ὅτι τοὺς ἔκλεισεν εἰς τὴν φυλακὴν ὡς κατασκόπους. «Εἴπαμεν εἰς αὐτόν», λέγει, «ὅτι εἴμεθα φιλήσυχοι καὶ ὅτι εἴμεθα δώδεκα ἀδελφοὶ καὶ ὅτι ὁ ἕνας δὲν ὑπάρχει, ὁ δὲ μικρότερος εὑρίσκεται κοντὰ εἰς τὸν πατέρα του. Καὶ εἶπεν εἰς ἡμᾶς. Μὲ αὐτὸ θὰ φανῆτε, ὅτι εἶσθε φιλήσυχοι. Νὰ ἀφήσετε δηλαδὴ ἐδῶ ἕναν ἀδελφόν σας καὶ ἔπειτα νὰ φέρετε τὸν μικρότερον καὶ τότε θὰ πεισθῶ, ὅτι δὲν εἶσθε κατάσκοποι». Αὐτοὶ οἱ λόγοι ἔξυναν ἐκ νέου τὰς πληγὰς τοῦ δικαίου. Ὕστερα ἀπὸ τὴν λυπη-

διηγήσεως ταύτης τῆς λυπηρᾶς καὶ τοὺς ἑαυτῶν μαρσίππους κενώσαντες, ηὕρισκεν ἕκαστος τὸ ἀργύριον, καὶ ἐφοβήθησαν αὐτοί τε καὶ ὁ πατὴρ αὐτῶν.

'Αλλ' ὅρα μοι πάλιν ἐνταῦθα τὸν πρεσβύτην ἀποδυρόμενον. Τί γάρ φησι πρὸς αὐτούς; «'Εμὲ ἠτεκνώσατε· 'Ιωσὴφ οὐκ ἔστι, Συμεὼν οὐκ ἔστι, καὶ τὸν Βενιαμὶν λήψεσθε; 'Επ' ἐμὲ ἐγένοντο ταῦτα πάντα». Οὐκ ἤρκει μοι, φησί, τὸ πένθος τοῦ 'Ιωσήφ, ἀλλὰ προσεθήκατε τούτῳ καὶ τὸν Συμεών· καὶ οὐδὲ μέχρι τούτου ἵσταταί μοι τὰ δεινά, ἀλλὰ καὶ τὸν Βενιαμὶν λαβεῖν βούλεσθε. 'Επ' ἐμὲ ἐγένοντο ταῦτα πάντα». 'Ικανὰ τὰ ῥήματα δεῖξαι τοῦ πατρὸς διακοπτόμενα τὰ σπλάγχνα. Καὶ γὰρ ὥσπερ τὰ κατὰ τὸν 'Ιωσὴφ αὐτῷ ἀπηγόρευτο (ἐνόμιζε γὰρ θηρῶν κατάβρωμα γεγενῆσθαι), οὕτω καὶ τὰ κατὰ τὸν Συμεῶνα ἀπηγόρευσε· λοιπὸν δὲ καὶ περὶ τοῦ Βενιαμὶν ἐδεδοίκει. 'Αλλ' ὅμως ἀντεῖχεν ἔτι, καὶ οὐκ ἐδίδου τὸν παῖδα. «Εἶπε δὲ αὐτῷ Ρουβὴν ὁ πρωτότοκος αὐτοῦ· τοὺς δύο υἱούς μου ἀπόκτεινον, ἐὰν μὴ ἀγάγω αὐτὸν πρός σε. Δὸς αὐτὸν εἰς τὰς χεῖράς μου, κἀγὼ ἄξω αὐτὸν πρὸς σέ». 'Εμοὶ αὐτόν, φησί, πίστευσον, ἐμοὶ παράδος· ἐγώ σοι αὐτὸν ἐπανάξω.

4. Τοῦτο δὲ ἐποίει Ρουβήν, ἐννοῶν ὡς οὐχ οἷόν τε, μὴ τοῦ παιδὸς συγκατιόντος αὐτοῖς, πάλιν εἰς τὴν Αἴγυπτον ἀπελθεῖν, καὶ τὰ πρὸς διατροφὴν ὠνήσασθαι. 'Αλλ' οὐκ ἐνδίδωσιν ὁ πατήρ, ἀλλά φησιν· «Οὐ καταβήσεται ὁ υἱός μου μεθ' ὑμῶν». Εἶτα καὶ τὴν αἰτίαν λέγει, ὥσπερ ἀπολογούμενος τοῖς παισίν· «῞Οτι ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε, καὶ αὐτὸς μόνος καταλέλειπται. Καὶ συμβήσεται ὡς νέον κομιδῇ μαλακισθῆναι ἐν τῇ ὁδῷ, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου». Δέδοικα, φησί, τὸ νέον αὐτοῦ τῆς ἡλικίας, καὶ ὑφορῶμαι μὴ καὶ τῆς τούτου παραμυθίας ἀποστερηθεὶς μετ' ὀδύνης τὸν βίον καταλύσω. Μέχρι γὰρ ὅτε οὗτος σύνεστί μοι, δοκῶ μικράν τινα ἔχειν παραμυθίαν, καὶ ἡ τούτου συνουσία ὑποτέμνε-

ρὰν αὐτὴν διήγησιν, ἀφοῦ ἄδειασαν τοὺς σάκκους των, εὕρισκεν ὁ καθένας τὰ χρήματά του καὶ ἐφοβήθησαν καὶ αὐτοὶ καὶ ὁ πατέρας των.

Ἀλλὰ πρόσεχε πάλιν ἐδῶ, παρακαλῶ, τὸν γέροντα ποὺ κλαίει. Τί λέγει λοιπὸν εἰς αὐτούς; «Μὲ ἀφήσατε χωρὶς παιδιά· ὁ Ἰωσὴφ λοιπὸν δὲν ζῇ, ὁ Συμεὼν δὲν εἶναι ἐδῶ καὶ θὰ πάρετε καὶ τὸν Βενιαμίν; Ὅλα τὰ κακὰ εἰς ἐμένα ἦλθον». Δὲν μοῦ ἔφθανε, λέγει, τὸ πένθος τοῦ Ἰωσὴφ καὶ μοῦ προσεθέσατε καὶ τοῦ Συμεών. Καὶ δὲν σταματοῦν ἐδῶ αἱ συμφοραί, ἀλλὰ θέλετε νὰ πάρετε καὶ τὸν Βενιαμίν. «Ὅλα τὰ κακὰ εἰς ἐμένα ἦλθον». Οἱ λόγοι αὐτοὶ εἶναι ἀρκετοὶ νὰ ἀποδείξουν, ὅτι τὰ σπλάχνα τοῦ πατρὸς ἐσχίζοντο ἀπὸ τὸν πόνον. Διότι ὅπως ἀκριβῶς εἶχε χάσει τὸν Ἰωσὴφ (ἀφοῦ ἐνόμιζεν, ὅτι εἶχε γίνει τροφὴ τῶν θηρίων), κατὰ τὸν ἴδιον τρόπον ἔχασε καὶ τὸν Συμεὼν καὶ ὡς ἐκ τούτου ἐφοβεῖτο καὶ διὰ τὸν Βενιαμίν. Ἀλλ' ὅμως ἠρνεῖτο ἀκόμη καὶ δὲν ἔδιδε τὸ παιδί του. «Τότε εἶπεν εἰς αὐτὸν ὁ Ρουβήν, ὁ πρῶτος υἱός του. Νὰ σκοτώσῃς τοὺς δύο υἱούς μου ἐὰν δὲν σοῦ ἐπιστρέψω αὐτὸν ἐδῶ. Δός μου αὐτὸν καὶ ἐγὼ θὰ σοῦ τὸν ἐπιστρέψω». Νὰ ἐμπιστευθῇς αὐτὸν εἰς ἐμένα, λέγει, δός μου αὐτὸν καὶ ἐγὼ θὰ σοῦ τὸν ἐπιστρέψω.

4. Ἔλεγε δὲ αὐτὰ ὁ Ρουβήν, ἐπειδὴ ἀντελαμβάνετο, ὅτι δὲν ἦτο δυνατὸν νὰ ὑπάγουν πάλιν εἰς τὴν Αἴγυπτον καὶ νὰ ἀγοράσουν τὰ ἀναγκαῖα τρόφιμα, ἐὰν δὲν κατεβῇ μαζί των καὶ ὁ Βενιαμίν. Ὁ πατέρας ὅμως δὲν ὑποχωρεῖ, ἀλλὰ λέγει· «Δὲν θὰ ἔλθῃ μαζί σας ὁ υἱός μου». Ἔπειτα, ὡσὰν νὰ ἀπελογεῖτο εἰς τὰ παιδιά του λέγει καὶ τὴν αἰτίαν. «Ἐπειδὴ ὁ ἀδελφός του, ποὺ ἔχει τὴν ἰδίαν μητέρα μὲ αὐτόν, ἀπέθανε καὶ ἔχει μείνει μόνον αὐτός. Καὶ φοβοῦμαι μήπως πάθῃ κάτι εἰς τὸν δρόμον, ἀφοῦ εἶναι μικρός, καὶ τότε θὰ κατεβάσετε τὸ γηρασμένον σῶμα μου γεμᾶτον λύπην εἰς τὸν Ἅδην». Φοβοῦμαι, λέγει, τὸ νεαρὸν τῆς ἡλικίας του καὶ ὑποψιάζομαι, μήπως, ἀφοῦ χάσω καὶ τὸ κουράγιο ποὺ ἔχω ἀπ' αὐτόν, ἀποθάνω μέσα εἰς τὴν λύπην. Διότι, ὅσον αὐτὸς εἶναι κοντά μου, νομίζω, ὅτι ἔχω κάποιαν μι-

ται τὴν ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ ἀθυμίαν. Ἀλλ' ὁ μὲν πόθος ὁ περὶ τὸν Βενιαμὶν οὐ συνεχώρει τῷ πατρὶ τοῦτον προέσθαι. Ὁ δὲ λιμὸς σφοδρότερος ἐγίνετο, καὶ ἐπέλιπεν αὐτοῖς τὰ βρώματα. Καί φησιν ὁ πατήρ· ἀπελθόντες πάλιν κομίσατε μικρὰ βρώματα.

«Εἶπε δὲ αὐτῷ Ἰούδας· διαμαρτυρίᾳ διεμαρτύρατο ἡμᾶς ὁ ἄνθρωπος, λέγων· οὐκ ὄψεσθε τὸ πρόσωπόν μου, ἐὰν μὴ ὁ νεώτερος ὑμῶν ἀδελφὸς μεθ' ὑμῶν ᾖ. Εἰ μὲν οὖν ἀποστέλλεις τὸν ἀδελφὸν ἡμῶν, καταβησόμεθα, καὶ ἀγοράσομέν σοι βρώματα, εἰ δὲ μὴ ἀποστέλλεις, οὐ πορευσόμεθα. Ὁ γὰρ ἄνθρωπος εἶπεν ἡμῖν, ὅτι οὐκ ὄψεσθέ μου τὸ πρόσωπον, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος ᾖ μεθ' ὑμῶν». Μὴ νομίσῃς, φησίν, ἡμᾶς δύνασθαι ἄνευ τοῦ ἀδελφοῦ ἐκεῖ καταβῆναι. Εἰ γὰρ βούλει καὶ ἄπρακτον ἡμῶν γενέσθαι τὴν κάθοδον, καὶ πάντας ἡμᾶς κινδύνῳ περιβληθῆναι, ἀπίωμεν. Ἴσθι δὲ ὅτι διεμαρτύρατο ἡμᾶς, ὡς οὐκ ὀψόμεθα αὐτοῦ τὸ πρόσωπον, εἰ μὴ ὁ ἀδελφὸς ἡμῶν μεθ' ἡμῶν παραγένηται. Στενὰ πάντοθεν ἦν τῷ Ἰακώβ· διὸ καὶ ἀποδυρόμενός φησι πρὸς αὐτούς· «Τί ἐκακοποιήσατέ με, ἀπαγγείλαντες τῷ ἀνθρώπῳ, ὅτι ἐστὶν ὑμῖν ἀδελφός;». «Τί ἐκακοποιήσατέ με;». Διὰ τί, φησίν, ἐμοὶ τούτων τῶν κακῶν αἴτιοι γεγένησθε; Εἰ γὰρ μὴ τοῦτο ἐγνωρίσατε, οὐκ ἂν τοῦ Συμεὼν ἀπεστερήθην, οὐκ ἂν τοῦτον ἐπεζήτησεν. «Οἱ δὲ εἶπαν· ἐπηρώτησεν ἡμᾶς ὁ ἄνθρωπος, εἰ ἔτι ὁ πατὴρ ὑμῶν ζῇ, καὶ εἰ ἔστιν ὑμῖν ἀδελφός, καὶ ἀπηγγείλαμεν αὐτῷ. Μὴ ᾔδειμεν, ὅτι ἐρεῖ ἡμῖν, ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν;». Μὴ νομίσῃς, φησίν, ἡμᾶς ἑκόντας ὡμολογηκέναι τῷ ἀνδρὶ τὰ καθ' ἡμᾶς. Ἐπειδὴ γὰρ ὡς κατασκόπους ἡμᾶς ὑποπτεύσας κατεῖχεν, ἐπηρώτα δὲ με-

κρὰν παρηγορίαν καὶ ἡ συντροφιά του μειώνει τὴν λύπην μου διὰ τὸν χαμένον ἀδελφόν του. Καὶ ἡ μὲν ἀγάπη διὰ τὸν Βενιαμὶν δὲν ἄφηνε τὸν πατέρα νὰ τὸν ἐπιτρέψῃ νὰ μεταβῇ μαζί των, ἡ πεῖνα ὅμως ἐγίνετο περισσότερον σκληρὴ καὶ τὰ τρόφιμά τους ἐτελείωσαν. Καὶ εἶπεν εἰς αὐτοὺς ὁ πατήρ των· Πηγαίνετε πάλιν εἰς τὴν Αἴγυπτον καὶ ἀγοράσατε ὀλίγα τρόφιμα.

«Εἶπεν ὅμως εἰς αὐτὸν ὁ Ἰούδας. Ὁ ἄνθρωπος μᾶς τὸ διευκρίνησεν ὁλοκάθαρα καὶ εἶπεν· Δὲν θὰ ἐμφανισθῆτε ἐμπρός μου, ἐὰν δὲν εἶναι μαζί σας καὶ ὁ μικρότερος ἀδελφός σας. Ἐὰν λοιπὸν στείλῃς μαζί μας καὶ τὸν ἀδελφόν μας θὰ μεταβῶμεν εἰς τὴν Αἴγυπτον καὶ θὰ ἀγοράσωμεν τρόφιμα, ἐὰν ὅμως δὲν μᾶς τὸν δώσῃς, δὲν θὰ μεταβῶμεν, διότι ὁ ἄνθρωπος ἐκεῖνος εἶπε πρὸς ἡμᾶς. Δὲν θὰ ἰδῆτε τὸ πρόσωπόν μου ἐὰν δὲν εἶναι μαζί σας ὁ μικρότερος ἀδελφός σας». Νὴ νομίσῃς, λέγει, ὅτι ἡμεῖς ἠμποροῦμεν νὰ ὑπάγωμεν εἰς τὴν Αἴγυπτον χωρὶς τὸν ἀδελφόν μας. Ἐὰν λοιπὸν θέλῃς καὶ ἡμεῖς νὰ ὑπάγωμεν ἐκεῖ ἄσκοπα καὶ νὰ διακινδυνεύσωμεν ὅλοι, θὰ ὑπάγωμεν. Νὰ γνωρίζῃς ὅμως, ὅτι μᾶς τὸ διευκρίνησεν ὁλοκάθαρα καὶ εἶπεν, ὅτι δὲν θὰ ἴδωμεν τὸ πρόσωπόν του, ἐὰν δὲν εἶναι μαζί μας καὶ ὁ ἀδελφός μας. Ὁ Ἰακὼβ εὑρέθη εἰς δύσκολον θέσιν, διὰ τοῦτο καὶ ὀδυρόμενος λέγει πρὸς αὐτούς· «Διατί μοῦ ἐκάματε τέτοιο κακὸν καὶ εἴπατε εἰς τὸν ἄνθρωπον, ὅτι ἔχετε καὶ ἄλλον ἀδελφόν;». «Διατί μοῦ ἐκάματε τόσον κακόν;». Διατί, λέγει, μοῦ ἔχετε γίνει αἴτιοι τόσων κακῶν; Διότι, ἐὰν δὲν εἴχατε γνωστοποιήσει αὐτό, δὲν θὰ εἶχον στερηθῆ τὸν Συμεὼν καὶ οὔτε θὰ εἶχε ζητήσει τὸν Βενιαμίν. «Καὶ αὐτοὶ ἀπήντησαν. Μᾶς ἠρώτησεν ὁ ἄνθρωπος, ἐὰν ζῇ ἀκόμη ὁ πατέρας μας καὶ ἐὰν ἔχωμεν καὶ ἄλλον ἀδελφὸν καὶ ἡμεῖς εἴπομεν τὴν ἀλήθειαν. Μήπως ἐγνωρίζομεν, ὅτι θὰ μᾶς εἰπῇ νὰ φέρετε ἐδῶ τὸν ἀδελφόν σας;». Νὰ μὴ νομίσῃς, λέγει, ὅτι μὲ τὴν θέλησίν μας ὡμολογήσαμεν εἰς τὸν ἄνθρωπον τὴν οἰκογενειακήν μας κατάστασιν. Ἐπειδὴ δηλαδὴ μᾶς ὑπωπτεύθη ὡς κατασκόπους καὶ μᾶς ἐφυλάκισε καὶ μᾶς ἠρώτα μὲ ἀκρίβειαν διὰ τὴν

τὰ ἀκριβείας τὰ καθ' ἡμᾶς, διὰ τοῦτο βουλόμενοι μετὰ ἀληθείας πάντα αὐτὸν διδάξαι, ταῦτα εἰρήκαμεν.

Εἶπε δὲ πάλιν Ἰούδας πρὸς τὸν πατέρα αὐτοῦ· ἀπόστειλον τὸ παιδάριον μετ' ἐμοῦ, καὶ ἀναστάντες πορευσόμεθα, ἵνα ζῶμεν, καὶ μὴ ἀποθάνωμεν». Ἐμοί, φησίν, αὐτὸν ἐμπίστευσον, ἵνα ἤδη ἁψώμεθα τῆς ὁδοῦ. Οὐδὲ γὰρ ἔτι ἔσται ἡμῖν σωτηρίας ἐλπίς, τῶν βρωμάτων ἀναλωθέντων, καὶ οὐδαμόθεν ἑτέρωθεν εὑρισκόντων παραμυθίαν. «Ἐγὼ δὲ δέχομαι αὐτὸν παρὰ σοῦ· ἐὰν μὴ ἀγάγω αὐτόν, καὶ στήσω ἐναντίον σου, ἡμαρτηκὼς ἔσομαι εἰς σὲ πάσας τὰς ἡμέρας. Εἰ μὴ γὰρ ἐβραδύναμεν, ἤδη ἂν ὑπεστρέψαμεν δίς». Ἡ περὶ τὸν παῖδα, φησί, συμπάθεια πᾶσιν ἡμῖν τὸν ὄλεθρον μέλλει προξενεῖν. Φθάνομεν γὰρ ὑπὸ τοῦ λιμοῦ καταναλωθῆναι, εἰ μὴ βουληθῇς ἀπολύσας αὐτὸν ἐκπέμψαι ἡμᾶς.

Βλέπε λοιπὸν ἐνταῦθα, ἀγαπητέ, πῶς ἡ τοῦ λιμοῦ ἀνάγκη ἐνίκησε τὴν φιλοστοργίαν τοῦ πατρός. Ὁρῶν γὰρ οὐδεμίαν αὐτοὺς εὑρίσκοντας παραμυθίαν ἑτέραν, καὶ τὸν λιμὸν ἐπιτεινόμενον, φησίν· Εἰ οὕτως ἐστί, καὶ τοῦτο δεῖ πάντως γενέσθαι, καὶ οὐχ οἷόν τε ὑμᾶς κατελθεῖν, εἰ μὴ καὶ τοῦτον λάβοιτε, ὀφείλετε καὶ δῶρα ἀποκομίσαι τῷ ἀνδρί. Καὶ τὸ ἀργύριον δέ, ὅπερ ἐν τοῖς μαρσίπποις ὑμῶν εὑρήκατε, ἀπαγάγετε, καὶ ἕτερον ἀργύριον, ὥστε πρίασθαι. «Καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε, καὶ ἀναστάντες κατάβητε πρὸς τὸν ἄνθρωπον. Ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν ἐναντίον τοῦ ἀνθρώπου, καὶ ἀποστεῖλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα καὶ τὸν Βενιαμίν. Ἐγὼ γὰρ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι». Ὅρα πῶς τὴν ἄφατον αὐτοῦ φιλοστοργίαν ἐπιδείκνυται, ἣν περὶ τὸν Ἰωσὴφ ἐκέκτητο. Ἵνα γὰρ μή τις νομίσῃ περὶ τοῦ Βενιαμίν, ἡ

οἰκογένειάν μας, διὰ τοῦτο εἴπαμεν εἰς αὐτὸν ὅλα αὐτά, ἐπειδὴ ἠθέλομεν νὰ εἰποῦμεν εἰς αὐτὸν δι' ὅλα τὴν ἀλήθειαν.

«Καὶ ὁ Ἰούδας πάλιν εἶπε πρὸς τὸν πατέρα του. Στεῖλε τὸν μικρὸν μαζί μου καὶ θὰ ἀναχωρίσωμεν διὰ νὰ ὑπάγωμεν εἰς τὴν Αἴγυπτον, ὥστε νὰ ζήσωμεν καὶ νὰ μὴ ἀποθάνωμεν ἀπὸ τὴν πεῖναν». Εἰς ἐμένα, λέγει, νὰ ἐμπιστευθῇς τὸν μικρὸν, διὰ νὰ πάρωμεν ἤδη τὸν δρόμον. Καθ' ὅσον δὲν θὰ ὑπάρχῃ εἰς τὸ ἑξῆς ἐλπὶς σωτηρίας, ἀφοῦ τὰ τρόφιμά μας ἐξηντλήθησαν καὶ δὲν εὑρίσκομεν ἀπὸ πουθενὰ βοήθειαν. «Ἐγὼ θὰ παραλάβω αὐτὸν ἀπὸ τὰ χέρια σου. Ἐὰν δὲν τὸν ἐπιστρέψω καὶ δὲν τὸν παρουσιάσω ἔμπροσθέν σου θὰ εἶμαι ἔνοχος ἐνώπιόν σου εἰς ὅλην μου τὴν ζωήν. Ἐὰν δὲν καθυστερούσαμεν μὲ τὰς συζητήσεις αὐτάς, θὰ εἴχομεν ὑπάγει καὶ θὰ εἴχομεν ἐπιστρέψει δύο φοράς». Ἡ ἀγάπη σου διὰ τὸν μικρόν, λέγει, πρόκειται νὰ μᾶς καταστρέψῃ ὅλους. Κινδυνεύομεν λοιπὸν νὰ ἀποθάνωμεν ἀπὸ τὴν πεῖναν, ἐὰν δὲν θελήσῃς νὰ τὸν ἀφήσῃς καὶ νὰ φύγωμεν.

Βλέπε, λοιπόν, ἀγαπητέ μου, ἐδῶ πῶς ἡ πίεσις τῆς πείνης ἐνίκησε τὴν φιλοστοργίαν τοῦ πατρός. Διότι, ὅταν εἶδεν, ὅτι δὲν εὑρίσκουν καμμίαν ἄλλην βοήθειαν, τὴν στιγμὴν ποὺ ἡ πεῖνα ἐδυνάμωνε, λέγει· «Ἐὰν ἔτσι ἔχῃ ἡ κατάστασις καὶ πρέπει νὰ γίνῃ ὁπωσδήποτε αὐτὸ καὶ δὲν ἠμπορεῖτε νὰ μεταβῆτε εἰς τὴν Αἴγυπτον χωρὶς νὰ πάρετε μαζί σας καὶ αὐτόν, τότε νὰ πάρετε καὶ δῶρα διὰ τὸν ἄνθρωπον ἐκεῖνον. Ἀκόμη τὰ χρήματα, τὰ ὁποῖα εὑρήκατε εἰς τοὺς σάκκους σας, νὰ τὰ ἐπιστρέψετε καὶ νὰ πάρετε ἄλλα χρήματα διὰ τὴν καινούριαν ἀγοράν. «Καὶ πάρετε τὸν ἀδελφόν σας καὶ σηκωθῆτε νὰ ὑπάγετε πρὸς τὸν ἄνθρωπον αὐτόν. Ὁ δὲ Θεός μου ἂς σᾶς δώσῃ χάριν ἐνώπιον αὐτοῦ τοῦ ἀνθρώπου καὶ ἂς ἀποστείλῃ τὸν ἕνα ἀδελφόν σας ποὺ ἔμεινεν ἐκεῖ καὶ τὸν Βενιαμίν. Ἄλλως τε ἔτσι καὶ ἔτσι ἔχω χάσει τὸν υἱόν μου». Πρόσεχε πῶς δείχνει τὴν μεγάλην ἀγάπην του ποὺ ἔτρεφε διὰ τὸν Ἰωσήφ. Διότι, διὰ νὰ μὴ νομίσῃ κανείς, ὅτι διὰ τὸν Βενιαμὶν ἢ

περὶ τοῦ Συμεὼν εἰρῆσθαι τό, «Ἐγὼ γὰρ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι», διὰ τοῦτο προλαβὼν φησιν· «Ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν, καὶ ἀποστείλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα καὶ τὸν Βενιαμίν. Εἰ καὶ ὅτι, φησί, κἂν οὗτοι διασωθῶσιν, ἀλλ' «Ἐγὼ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι». Ἐννόει πῶς ὅλως τῇ εὐνοίᾳ τῷ Ἰωσὴφ ἦν προσκείμενος. Ὁρῶν γὰρ τοσούτων χορὸν παίδων αὐτοῦ περιεστῶτα, ἄτεκνον ἑαυτὸν εἶναι ἐνόμιζεν, ἐπειδὴ ἐκείνου ἀπεστερεῖτο.

«Λαβόντες δέ», φησίν, «οἱ ἄνδρες τὰ δῶρα, καὶ τὸ ἀργύριον διπλοῦν, καὶ τὸν Βενιαμίν, κατέβησαν εἰς Αἴγυπτον, καὶ ἔστησαν ἐναντίον Ἰωσήφ. Εἶδε δὲ αὐτοὺς ὁ Ἰωσήφ, καὶ τὸν Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ». Ὅπερ ἐπεθύμει, ἐθεάσατο τὸν αὐτῷ περιπόθητον. Εἶδεν εἰς ἔργον ἐξελθοῦσαν αὐτῷ τὴν σπουδήν. «Καὶ εἶπε», φησί, «τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ· εἰσήγαγε τοὺς ἀνθρώπους εἰς τὴν οἰκίαν, καὶ σφάξον θύματα· μετ' ἐμοῦ γὰρ φάγονται οἱ ἄνθρωποι. Ἰδόντες δὲ ὅτι εἰσήχθησαν εἰς τὸν οἶκον τοῦ Ἰωσήφ, εἶπαν· διὰ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις ἡμῶν τὴν ἀρχὴν ἡμεῖς εἰσαγόμεθα τοῦ συκοφαντῆσαι ἡμᾶς καὶ ἐπιθέσθαι ἡμῖν, τοῦ λαβεῖν ἡμᾶς εἰς παῖδας, ἡμᾶς τε καὶ τοὺς ὄνους ἡμῶν». Ὁ μὲν Ἰωσὴφ τὴν περὶ αὐτοὺς φιλοφροσύνην ἐπιδεικνύμενος ἅπαντα διετάττετο· ἐκεῖνοι δὲ καὶ οὕτως ἐναγώνιοι γίνονται, ὑφορώμενοι τὴ τῶν ἀργυρίων ἕνεκα δίκας εἰσπραχθῶσιν, ὡς καὶ ἐν τούτῳ κακουργήσαντες. Καὶ διὰ τοῦτο προσελθόντες τὴν αἰτίαν τοῦ ἀγῶνος κατάδηλον ποιοῦσι τῷ ἐπὶ τῆς οἰκίας, καὶ διηγοῦνται, ὅπως τὰ ἀργύρια ἐν τοῖς μαρσίπποις εὗρον, καί φασιν, ὅτι «Διὰ τοῦτο διπλοῦν νῦν ἐκομίσαμεν μεθ' ἑαυτῶν τὸ ἀργύριον, ὡς καὶ τὰ πρόβατα ἀποδοῦναι, καὶ πρίασθαι βρώματα».

5. Ὅρα, πῶς αἱ συμφοραὶ κατελέαναν αὐτῶν τὸν

διά τόν Συμεών είπε τό· «Ἄλλως τε ἔτσι καί ἔτσι ἔχω χάσει τόν υἱόν μου», διά τοῦτο ἐπρόλαβε καί εἶπεν· «Ὁ δέ Θεός μου ἄς σᾶς δώσῃ χάριν ἐνώπιον αὐτοῦ τοῦ ἀνθρώπου καί ἄς ἀποστείλῃ τόν ἕνα ἀδελφόν σας πού ἔμεινεν ἐκεῖ καί τόν Βενιαμίν». Διότι, λέγει, καί ἄν ἀκόμη αὐτοί σωθοῦν, ὅμως «Ἐγώ ἔτσι καί ἔτσι ἔχω χάσει τόν υἱόν μου». Σκέψου πῶς ὅλη ἡ ἀγάπη του ἦτο ἀφιερωμένη εἰς τόν Ἰωσήφ. Διότι, ἄν καί ἔβλεπεν, ὅτι τόν περιβάλλουν τόσον πολλά παιδιά, ὅμως ἐθεώρει τόν ἑαυτόν του ἄτεκνον, ἐπειδή εἶχε χάσει ἐκεῖνον.

«Ἀφοῦ οἱ ἀδελφοί ἐπῆραν», λέγει, «τά δῶρα καί τά χρήματα διπλᾶ καί τόν Βενιαμίν, κατέβησαν εἰς τήν Αἴγυπτον καί παρουσιάσθησαν εἰς τόν Ἰωσήφ. Καί ὁ Ἰωσήφ εἶδεν αὐτούς καί τόν ἀδελφόν του τόν Βενιαμίν». Αὐτό τό ὁποῖον ἐπεθύμει, ἔγινεν, εἶδε δηλαδή τόν πολυπόθητον ἀδελφόν του. Εἶδεν, ὅτι ἐπραγματοποιήθη αὐτό πού ἐπεδίωκε. «Καί εἶπε», λέγει, εἰς τόν διαχειριστήν τοῦ οἴκου του· Ὁδήγησε τούς ἀνθρώπους εἰς τήν οἰκίαν μου καί σφάξε σφαχτά, διότι μαζί μου θά φάγουν οἱ ἄνθρωποι αὐτοί. Ὅταν εἶδον οἱ ἀδελφοί, ὅτι ὡδηγήθησαν εἰς τήν οἰκίαν τοῦ Ἰωσήφ, εἶπαν μεταξύ των. Ὁδηγούμεθα εἰς τόν οἶκον αὐτοῦ ἐξ αἰτίας τῶν χρημάτων, τά ὁποῖα μᾶς ἐπεστράφησαν μέσα εἰς τούς σάκους μας κατά τό πρῶτον μας ταξίδι, διά νά μᾶς συκοφαντήσουν καί μᾶς τιμωρήσουν καί μᾶς πάρουν δούλους καί ἡμᾶς καί τούς ὄνους μας». Ὁ μέν Ἰωσήφ ἐπιδεικνύων τήν πρός αὐτούς ἀγάπην του, ἔδωσεν ὅλας τάς διαταγάς. Ἐκεῖνοι ὅμως καί ἔτσι κατέχονται ἀπό ἀγωνίαν, ἐπειδή σκέπτονται μήπως τιμωρηθοῦν διά τά χρήματα, ὡσάν νά διέπραξαν ἀπάτην καί εἰς τό σημεῖον αὐτό. Καί διά τοῦτο, ἀφοῦ προσῆλθον ἀποκαλύπτουν εἰς τόν διαχειριστήν τῆς οἰκίας τήν αἰτίαν τῆς ἀγωνίας, καί διηγοῦνται μέ ποῖον τρόπον εὗρῆκαν τά χρήματα εἰς τούς σάκκους των καί λέγουν, ὅτι «Τώρα ἔχομεν φέρει διπλᾶ χρήματα μαζύ μας, ὥστε καί τά προηγούμενα νά πληρώσωμεν καί τρόφιμα νά ἀγοράσωμεν.

5. Πρόσεχε πῶς αἱ συμφοραί κατεπράϋναν τήν ψυχήν

λογισμόν, καὶ ἐποίησαν αὐτοὺς ἐπιεικεστέρους. «Εἶπε δὲ αὐτοῖς· ἵλεως ὑμῖν, μὴ φοβεῖσθε· ὁ Θεὸς ὑμῶν, καὶ ὁ Θεὸς τοῦ πατρὸς ὑμῶν ἔδωκεν ὑμῖν θησαυροὺς ἐν τοῖς μαρσίπποις ὑμῶν· τὸ γὰρ ἀργύριον ὑμῶν εὐδοκιμοῦν ἀπέχω». Μὴ δειλιᾶτε, φησί, μηδὲ τούτου ἕνεκεν ἀγωνιᾶτε. Οὐδεὶς ὑμῖν ταύτης ἕνεκεν τῆς αἰτίας ἔγκλημα περιάψει· καὶ γὰρ τὸ ἀργύριον πεπληρώμεθα· τοῦ δὲ Θεοῦ ἡγεῖσθε καὶ τοῦτο γεγενῆσθαι, καὶ θησαυροὺς ὑμῖν δεῖξαι ἐν τοῖς μαρσίπποις ὑμῶν. Καὶ ταῦτα εἰρηκὼς ἐξήγαγε τὸν Συμεῶνα, καὶ ἤνεγκεν ὕδωρ νίψαι τοὺς πόδας αὐτῶν, καὶ χαρτάσματα ἔδωκε τοῖς ὄνοις αὐτῶν. Ὅρα πῶς ἡ εὐχὴ τοῦ πατρὸς πάντα αὐτοῖς κατευώδου· καὶ καθάπερ ἐκεῖνος αὐτοῖς ἐπηύξατο εἰπών, «Ὁ Θεὸς τοῦ πατρός μου χάριν ὑμῖν δῷ», οὕτως ἅπαντα ἐγίνετο· καὶ πᾶσαν φιλοφροσύνην περὶ αὐτοὺς ἐπεδείκνυτο καὶ πρὸ τῆς παρουσίας τοῦ Ἰωσὴφ ὁ τὴν οἰκίαν πεπιστευμένος. Ἡτοίμασαν δὲ τὰ δῶρα Ἰωσήφ. «Καὶ εἰσελθόντι αὐτῷ προσήνεγκαν, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ τὴν γῆν». Καὶ πάλιν πυνθάνεται αὐτῶν· εἰ ὑγιαίνει ὁ πατὴρ ὑμῶν, ὁ πρεσβύτης, ὃν εἴπατε, ἔτι ζῇ; Οἱ δὲ εἶπον· ὑγιαίνει ὁ παῖς σου ὁ πατὴρ ἡμῶν. Καὶ εἶπεν· εὐλογητὸς ὁ ἄνθρωπος ἐκεῖνος τῷ Θεῷ. Καὶ κύψαντες προσεκύνησαν. Εἶδε δὲ τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον, καὶ εἶπεν· οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν εἴπατε πρός με ἀγαγεῖν; Καὶ εἶπεν· ὁ Θεὸς ἐλεήσαι σε, τέκνον».

Σκόπει πόσην καρτερίαν ἐπιδείκνυται, καὶ ἔτι ἄγνοιαν προσποιεῖται, ἵνα διὰ τῶν ἑξῆς γενομένων δοκιμὴν αὐτῶν τῆς γνώμης λαβεῖν δυνηθῇ, ὅπως πρὸς τὸν Βενιαμὶν διάκεινται. Καὶ ἐπειδὴ ὑπὸ τῆς φύσεως αὐτῆς ἐνικᾶτο, «Συνεστρέφετο αὐτοῦ», φησί, «τὰ σπλάγχνα, καὶ ἐζήτει κλαῦσαι. Εἰσελθὼν δὲ εἰς τὸ ταμιεῖον, ἔκλαυσεν ἐκεῖ. Καὶ νιψάμενος τὸ πρόσωπον ἐξῆλθε»· καὶ λοιπὸν τὴν παρ' ἑαυτοῦ ἐπιδείκνυνται φιλοφροσύνην, καί φησι· «Παράθετε ἄρτους. Καὶ παρέ-

των καὶ ἔκαμαν αὐτοὺς περισσότερον ἐπιεικεῖς. «Εἶπε δὲ πρὸς αὐτούς· Μὴ φοβεῖσθε· ὁ Θεὸς σᾶς ἔδειξε τὴν εὐσπλαγνίαν του. Ὁ Θεός σας καὶ ὁ Θεὸς τοῦ πατρός σας, σᾶς ἔδωσε τοὺς θησαυροὺς αὐτοὺς εἰς τοὺς σάκκους σας. Τὸ ἀργύριόν σας ἦλθεν εἰς ἐμέ». Μὴ φοβεῖσθε, λέγει, οὔτε νὰ ἀγωνιᾶτε δι' αὐτό. Κανεὶς δὲν θὰ σᾶς κατηγορήσῃ δι' αὐτὸν τὸν λόγον, διότι ἐλάβομεν τὰ χρήματα. Νὰ ἀποδώσετε δὲ τὸ γεγονὸς αὐτὸ εἰς τὸν Θεὸν τὸ ὅτι σᾶς ἔδειξε καὶ χρήματα ἀκόμη εἰς τοὺς σάκκους σας. Καὶ ἀφοῦ εἶπεν αὐτά, ἔβγαλεν ἀπὸ τὴν φυλακὴν τὸν Συμεὼν καὶ διέταξε καὶ ἔφεραν εἰς αὐτοὺς νερό, διὰ νὰ πλύνουν τὰ πόδια των καὶ ἔδωσε τροφὰς διὰ τοὺς ὄνους των. Πρόσεχε πῶς ἡ εὐχὴ τοῦ πατρός των τοὺς κατευώδωνε καὶ ὅπως ἐκεῖνος τοὺς ηὐχήθη, ὅταν εἶπεν, «Ὁ Θεὸς τοῦ πατρός μου ἄς σᾶς δώσῃ χάριν», ἔτσι καὶ ἔγιναν ὅλα. Καὶ ἐξεδήλωνε πρὸς αὐτοὺς ὁ διαχειριστὴς τῆς οἰκίας τόσον ἐνδιαφέρον, προτοῦ νὰ ἔλθῃ ἀκόμη ὁ Ἰωσήφ. Ἡτοίμασαν δὲ τὰ δῶρα διὰ τὸν Ἰωσήφ. «Καὶ ὅταν ἦλθε μέσα τὰ προσέφεραν εἰς αὐτὸν καὶ τὸν προσεκύνησαν ἕως ἐδάφους. Εἶδε δὲ ὁ Ἰωσὴφ τὸν ἀδελφόν του τὸν ὁμομήτριον καὶ εἶπεν. Αὐτός εἶναι ὁ μικρότερος ἀδελφός σας, τὸν ὁποῖον εἴπατε, ὅτι θὰ φέρετε πρὸς ἐμέ; Καὶ εἶπε πρὸς αὐτόν· ὁ Θεὸς νὰ σὲ ἐλεήσῃ τέκνον μου».

Πρόσεχε πόσην ὑπομονὴν ἐπιδεικνύει καὶ ἀκόμη προσποιεῖται ἄγνοιαν, ὥστε μὲ αὐτὰ ποὺ θὰ ἐπακολουθήσουν, νὰ ἠμπορέσῃ νὰ δοκιμάσῃ τὴν ψυχήν των καὶ νὰ ἀντιληφθῇ πῶς διάκεινται ἀπέναντι εἰς τὸν Βενιαμίν. Καὶ ἐπειδὴ τὸν ἐνίκησεν ἡ φυσικὴ ἀγάπη πρὸς τὸν ἀδελφόν, «Εταράχθη», λέγει, «ὁ Ἰωσὴφ καὶ ἐζήτει νὰ εὕρῃ μέρος νὰ κλαύσῃ. Ἀφοῦ εἰσῆλθεν εἰς τὸ ἰδιαίτερον δωμάτιόν του ἔκλαυσεν ἐκεῖ. Καὶ μετὰ ἀπὸ ὀλίγον, ἀφοῦ ἔνιψε τὸ πρόσωπόν του, ἐπανῆλθεν». Εἰς τὸ ἑξῆς ἀποδεικνύει τὴν ἀγάπην του καὶ λέγει· «Ἑτοιμάσατε φαγητόν. Καὶ ἡτοίμασαν δι' αὐτὸν ἰδιαιτέρως, ὡσὰν βασιλέα καὶ ἄρχοντα τῆς Αἰγύπτου. Ἐπίσης χωριστὰ διὰ τοὺς ἀδελφούς του καὶ χωριστὰ διὰ τοὺς Αἰγυπτίους, οἱ ὁποῖοι ἔτρωγον μαζί του, διότι δὲν

θηκαν αὐτῷ μόνῳ· ἅτε δὴ ὡς βασιλεῖ καὶ ἄρχοντι πάσης Αἰγύπτου· Κἀκείνοις καθ' ἑαυτούς, καὶ τοῖς Αἰγυπτίοις τοῖς συνδειπνοῦσι μετ' αὐτοῦ καθ' ἑαυτούς. Οὐδὲ γὰρ ἐδύναντο οἱ Αἰγύπτιοι συνεσθίειν μετὰ τῶν Ἑβραίων· βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις. Ἐκάθισε δὲ ἐναντίον αὐτοῦ ὁ πρῶτος κατὰ τὰ πρεσβεῖα αὐτοῦ, καὶ ὁ νεώτερος κατὰ τὴν νεότητα αὐτοῦ». Τοῦτο ἐκείνους εἰς ἔκπληξιν ἦγε, καὶ ἐν ἀπορίᾳ καθίσταντο, πόθεν αὐτῷ ἡ γνῶσις ἐγένετο τῆς διαφορᾶς τῶν ἡλικιῶν. Καὶ πᾶσι δοὺς μερίδας, τῷ Βενιαμὶν πενταπλάσιον δίδωσι. Καὶ οὐδεὶς οὕτως αἰσθάνονται τῶν γινομένων, ἀλλ' ἐνόμισαν ἁπλῶς συντυχίᾳ τινὶ γίνεσθαι ταῦτα παρ' αὐτοῦ, ὡς ἅτε δὴ πρὸς νέον.

Καὶ τέλος λαβούσης τῆς ἑστιάσεως, «Καλέσας», φησίν, «ὁ Ἰωσὴφ τὸν ἐπὶ τῆς οἰκίας αὐτοῦ, ἐνετείλατο αὐτῷ, λέγων· πλῆσον τοὺς μαρσίππους τῶν ἀνθρώπων βρωμάτων, ὅσα ἂν δύνανται ἆραι, καὶ τὸ ἀργύριον ὡσαύτως ἑκάστου εἰς τὸν μάρσιππον αὐτοῦ, καὶ τὸ κόνδυ τὸ ἀργυροῦν ἔμβαλε εἰς τὸν μάρσιππον τοῦ νεωτέρου». Ὅρα πάλιν οἵαν μηχανὴν ἐξευρίσκει, ὥστε δοκιμὴν ἀκριβεστάτην λαβεῖν τῆς τῶν ἀδελφῶν γνώμης, ἣν περὶ τὸν Βενιαμὶν ἐπεδείκνυντο. Καὶ τούτων γενομένων, ἀπέλυσεν αὐτούς. Καὶ ἐπειδὴ ἥψαντο τῆς ὁδοῦ, «Εἶπε», φησί, «τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ· ἀναστὰς ἐπιδίωξον ὀπίσω αὐτῶν, καὶ ἐρεῖς· τί ὅτι ἀνταπεδώκατε πονηρὰ ἀντὶ καλῶν; Ἵνα τί ἐκλέψατέ μου τὸ κόνδυ τὸ ἀργυροῦν; Οὐ τοῦτό ἐστιν, ἐν ᾧ πίνει ὁ κύριός μου; Αὐτὸς δὲ οἰωνίζεται ἐν αὐτῷ. Πονηρὰ συντετέλεσται, ἃ πεποιήκατε». Εὑρὼν δὲ αὐτούς, φησίν, εἶπεν αὐτοῖς· τί τοῖς ἐναντίοις τὸν εὐεργέτην ἠμείψασθε; διὰ τί τὴν οἰκείαν πονηρίαν καὶ μέχρι τοῦ τοσαύτην περὶ ὑμᾶς τὴν φιλοφροσύνην ἐπιδειξαμένου ἐξετείνατε; διὰ τί οὐκ ᾐδέσθητε τοῦ ἀνδρὸς τὴν περὶ ὑμᾶς μεγαλοψυχίαν; Τίς ἡ τοσαύτη κακουργία; τίς ἡ μανία, ἣν ἐμάνητε; Οὐκ ἴστε ὅτι τοῦ-

ἐπετρέπετο νὰ συντρώγουν οἱ Αἰγύπτιοι μὲ τοὺς Ἑβραίους, διότι αὐτὸ εἶναι πολὺ μισητὸν εἰς τοὺς Αἰγυπτίους. Ἐκάθισαν δὲ οἱ ἀδελφοὶ ἐνώπιον τοῦ Ἰωσήφ, ὥστε ὁ πρωτότοκος νὰ εἶναι εἰς θέσιν ἀνάλογον τῆς ἡλικίας του καὶ ὁ νεώτερος εἰς θέσιν ἀνάλογον τῆς ἰδικῆς του ἡλικίας». Τὸ γεγονὸς αὐτὸ ἐξέπληξεν ἐκείνους καὶ τοὺς ἔκανε νὰ ἀποροῦν, ἀπὸ ποῦ αὐτὸς ἐγνώριζε τὴν διαφορὰν τῆς ἡλικίας τοῦ καθενός. Καὶ εἰς ὅλους ἔδωσε φαγητὸν κανονικόν, ἐνῷ τὸ φαγητὸν τοῦ Βενιαμὶν ἦτο πενταπλάσιον τῶν ἄλλων. Ἀλλὰ οὔτε καὶ ἔτσι ἀντιλαμβάνονται τὴν σημασίαν τῶν γεγονότων, ἀλλὰ ἐνόμισαν, ὅτι ἦτο μία ἁπλῆ σύμπτωσις, ὅσα ἔγιναν δι' αὐτόν, καὶ μία ἰδιαιτέρα περιποίησις ὡσὰν μικρότερος ποὺ ἦτο.

Καὶ ὅταν ἐτελείωσε τὸ γεῦμα, «Ἀφοῦ ἐκάλεσε», λέγει, «ὁ Ἰωσὴφ τὸν διαχειριστὴν τῆς οἰκίας του, διέταξεν αὐτὸν καὶ εἶπε· Γέμισε τοὺς σάκκους τῶν ἀνθρώπων αὐτῶν μὲ τρόφιμα, ὅσα εἶναι δυνατὸν νὰ χωρέσουν καὶ τὰ χρήματα τοῦ καθενὸς ἐξ αὐτῶν νὰ τὰ βάλῃς εἰς τὸν σάκκον του, τὸ δὲ ἀργυροῦν ποτήριόν μου νὰ τὸ βάλῃς εἰς τὸν σάκκον τοῦ νεωτέρου». Κοίταξε, ποῖον τέχνασμα ἐφευρίσκει πάλιν, ὥστε νὰ δοκιμάσῃ μὲ ἀκρίβειαν τὴν πρὸς τὸν Βενιαμὶν διάθεσιν τῶν ἀδελφῶν. «Καὶ ἀφοῦ ἔγιναν αὐτὰ τοὺς ἄφησε νὰ φύγουν. Καὶ μόλις ἐξεκίνησαν «Εἶπε», λέγει, «ὁ Ἰωσὴφ εἰς τὸν διαχειριστὴν τῆς οἰκίας του. Σήκω καὶ τρέξε γρήγορα πρὸς αὐτοὺς καὶ ὅταν τοὺς φθάσῃς θὰ τοὺς εἰπῇς· Διατί ἀνταπεδώσατε κακὰ ἀντὶ καλῶν; Διατί μοῦ ἐκλέψατε τὸ ἀργυροῦν ποτήριον; Δὲν εἶναι αὐτὸ τὸ ποτήριον μὲ τὸ ὁποῖον πίνει ὁ κύριός μου; Αὐτὸς προμαντεύει τὰ μέλλοντα διὰ τοῦ ποτηρίου αὐτοῦ. Κακῶς ἐκάματε, ὅσα ἐκάματε». Καὶ ὅταν τοὺς ἔφθασεν ὁ διαχειριστὴς εἶπε, λέγει, εἰς αὐτούς. Διατί ἀντεμείψατε τὸν εὐεργέτην σας μὲ τὸ κακόν; Διατί ἐπεκτείνατε τὴν πονηρίαν σας καὶ μέχρις αὐτοῦ ποὺ μὲ τόσην ἀγάπην σᾶς περιέβαλε; Διατί δὲν ἐντραπήκατε τὴν μεγαλοψυχίαν, τὴν ὁποίαν σᾶς ἐπέδειξεν αὐτὸς ὁ ἄνθρωπος; Τί κακία εἶναι αὐτὴ ποὺ σᾶς κατέχει; Τί μανία σᾶς ἔχει κυριεύσει; Δὲν

τό ἐστι τὸ σκεῦος, ἐν ᾧ ὁ κύριός μου οἰωνίζεται; Πονηρὰ ὑμῶν ἡ πρᾶξις, ὀλεθρία ἡ γνώμη, ἀσύγγνωστος ἡ ἐπιχείρησις, μεγάλη ἡ τόλμα, πᾶσαν πονηρίαν ὑπερακοντίζουσα.

«Οἱ δὲ εἶπαν αὐτῷ· ἵνα τί λαλεῖ ὁ κύριος κατὰ τὰ ῥήματα ταῦτα;». Τίνος ἕνεκεν, φησίν, ἐπιφέρεις ἡμῖν ἔγκλημα, οὗ πάντη ἐσμὲν ἀνεύθυνοι; «Μὴ γένοιτο τοῖς παισί σου ποιῆσαι κατὰ τὸ ῥῆμα τοῦτο»· μὴ ἡμῖν ποτε τοῦτο γένοιτο διαπράξασθαι. Οἱ γὰρ τὸ ἀργύριον διπλοῦν ἀπενεγκάμενοι, πῶς ἂν ὑφειλόμεθα ἀργύριον, ἢ χρυσίον; Εἰ δὲ τοῦτο νομίζεις, «Παρ' ᾧ ἂν εὑρεθῇ τὸ σκεῦος, ὅπερ ἐπιζητεῖς, αὐτὸς μὲν ἀποθνησκέτω, ὡς τοσοῦτον δράσας τολμηρόν· ἡμεῖς δὲ δοῦλοι ἐσόμεθα». Ἡ γὰρ ἀπὸ τοῦ συνειδότος παρρησία παρεσκεύαζεν αὐτοὺς μετὰ τοῦ θαρρεῖν ταῦτα διαλέγεσθαι. «Ὁ δέ», φησίν, «εἶπε· καὶ νῦν, ὡς λέγετε, οὕτως ἔσται. Παρ' ᾧ ἂν εὑρεθῇ τὸ κόνδυ, οὗτος ἔσται μου παῖς μόνος· ὑμεῖς ἀπολυθήσεσθε». Καὶ ταῦτα εἰπόντες ἐπέτρεπον αὐτῷ τὴν ἔρευναν ποιήσασθαι. Καὶ ἠρεύνα ἀπὸ τοῦ πρεσβυτέρου ἀρξάμενος, ἕως ἦλθεν εἰς τὸν Βενιαμίν. Καὶ τὸν ἐκείνου μάρσιππον ἀνοίξας εὑρίσκει τὸ κόνδυ. Τοῦτο ἐσκότωσεν αὐτῶν τὸν λογισμόν. «Καὶ διέρρηξαν», φησί, «τὰ ἱμάτια αὐτῶν, καὶ ἐπέθηκαν πάλιν τοὺς μαρσίππους αὐτῶν, καὶ ἐπέστρεψαν εἰς τὴν πόλιν».

Καὶ εἰσελθὼν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πρὸς τὸν Ἰωσήφ, ἔπεσον ἐναντίον αὐτοῦ ἐπὶ τὴν γῆν. Ὅρα ποσάκις τὴν προσκύνησιν ποιοῦνται. «Εἶπε δὲ αὐτοῖς Ἰωσήφ· τί τοῦτο πεποιήκατε; «Οὐκ οἴδατε ὅτι οἰωνισμῷ οἰωνίζομαι ἐν αὐτῷ; Εἶπε δέ», φησίν, «Ἰούδας· τί ἀντεροῦμεν, ἢ τί λαλήσομεν τῷ κυρίῳ, ἢ τί δικαιωθῶμεν; Ὁ δὲ Θεὸς εὗρε τὴν ἀδικίαν τῶν παίδων σου». Πάλιν ἑαυτοὺς ἀναμιμνήσκουσι τῶν ἤδη εἰς αὐτὸν ὑπ' αὐτῶν γεγενημένων. «Ἰδού ἐσμεν οἰκέται τῷ κυρίῳ ἡμῶν καὶ ἡμεῖς, παρ' ᾧ εὑρέθη τὸ κόνδυ». Τέως πολλὴν ἐπιδείκνυνται τὴν εὐγνωμοσύ-

γνωρίζετε, ὅτι αὐτὸ εἶναι τὸ ποτήριον, μὲ τὸ ὁποῖον ὁ κύριός μου προμαντεύει τὰ μέλλοντα; Ἡ πρᾶξις σας εἶναι πονηρά, ἡ σκέψις σας καταστρεπτική, ἡ ἐπιχείρησις ἀσυγχώρητος, μεγάλο τὸ τόλμημα ποὺ ὑπερβαίνει κάθε κακίαν.

«Καὶ ἐκεῖνοι ἀπήντησαν εἰς αὐτόν. Διατί ὁ κύριος ὁμιλεῖ μὲ τὰ λόγια αὐτά;». Διὰ ποῖον λόγον, λέγουν, μᾶς ἀποδίδεις κατηγορίαν διὰ τὴν ὁποίαν δὲν εἴμεθα καθόλου ὑπεύθυνοι; «Μὴ γένοιτο οἱ δοῦλοι σου νὰ κάνουν τέτοιο πρᾶγμα». Εἴθε νὰ μὴ γίνῃ ποτὲ νὰ κάνωμεν αὐτό. Διότι ἡμεῖς, οἱ ὁποῖοι ἐφέραμεν διπλᾶ χρήματα, πῶς θὰ ἐκλέπταμεν τὸ ἀργύριον ἢ τὸν χρυσόν; Ἐὰν ὅμως ἔχῃς αὐτὴν τὴν γνώμην, «Εἰς ὅποιον θὰ εὑρεθῇ τὸ σκεῦος, τὸ ὁποῖον ζητεῖς, αὐτὸς μὲν ἂς θανατωθῇ, διότι ἔκαμεν αὐτὴν τὴν παράτολμον ἐνέργειαν, οἱ δὲ ὑπόλοιποι θὰ γίνωμεν δοῦλοι. Ἡ συνείδησις δηλαδή, ὅτι εἶναι ἀθῷοι, τοὺς ἔκαμε νὰ συζητοῦν μὲ θάρρος αὐτά. «Καὶ αὐτός», λέγει, «ἀπήντησε· Καὶ τώρα ἂς γίνῃ, ὅπως σεῖς λέγετε. Εἰς αὐτὸν ποὺ θὰ εὑρεθῇ τὸ ποτήριον, αὐτὸς θὰ εἶναι δοῦλός μου, ἐνῷ σεῖς οἱ ἄλλοι θὰ εἶσθε ἐλεύθεροι». Καὶ ἀφοῦ εἶπαν αὐτὰ ἐπέτρεψαν εἰς αὐτὸν νὰ ἐρευνήσῃ. Καὶ ἐρευνοῦσε κάμνων ἀρχὴν ἀπὸ τὸν μεγαλύτερον, ἕως ὅτου ἔφθασεν εἰς τὸν Βενιαμίν. Καὶ ὅταν ἤνοιξε τὸν σάκκον ἐκείνου εὑρῆκε τὸ ποτήριον. Αὐτὸ τὸ πρᾶγμα ἐθόλωσε τὰ λογικά των. «Καὶ οἱ ἀδελφοί», λέγει, «ἔσχισαν τὰ ἱμάτιά των καὶ ἐφόρτωσαν πάλιν τοὺς σάκκους των καὶ ἐπέστρεψαν εἰς τὴν πόλιν».

Καὶ ὁ Ἰούδας καὶ οἱ ἀδελφοί του ἀφοῦ εἰσῆλθον εἰς τὸν οἶκον τοῦ Ἰωσὴφ ἔπεσαν κάτω ἔμπροσθέν του. Κοίταξε πόσας φορὰς προσκυνοῦν αὐτόν. «Εἶπε δὲ ὁ Ἰωσὴφ εἰς αὐτούς: Διατί ἐκάματε αὐτὸ τὸ πρᾶγμα; Δὲν γνωρίζετε, ὅτι μὲ αὐτὸ προμαντεύω τὰ μέλλοντα; Καὶ ὁ Ἰούδας ἀπήντησε. Ποίαν ἀντίρρησιν ἠμποροῦμεν νὰ φέρωμεν, τί νὰ εἰποῦμεν καὶ πῶς νὰ δικαιολογηθοῦμεν; Ὁ Θεὸς εὑρῆκε κάποιαν ἄλλην ἁμαρτίαν τῶν δούλων σου». Πάλιν ἐνθυμοῦνται τὰ ὅσα ἔκαμαν εἰς βάρος αὐτοῦ κατὰ τὸ παρελθόν. Ἰδοὺ εἴμεθα δοῦλοι εἰς τὸν κύριόν μας καὶ ἡμεῖς καὶ αὐτὸς εἰς τὸν ὁποῖον εὑρέθη τὸ ποτήριον». Τώρα πλέον ἐπι-

νην, καὶ ἑαυτοὺς ἅμα τῷ ἀδελφῷ τῇ δουλείᾳ ὑποτάττουσιν. «Εἶπε δέ», φησίν, «Ἰωσήφ· μή μοι γένοιτο ποιῆσαι τοῦτο. Ὁ ἄνθρωπος παρ' ᾧ εὑρέθη τὸ κόνδυ, αὐτὸς ἔσται μου παῖς· ὑμεῖς ἀνάβητε μετὰ σωτηρίας πρὸς τὸν πατέρα ὑμῶν».

6. Ὅρα πῶς, ὅπερ ἐδεδοίκει ὁ πατήρ, τοῦτο αὐτοῖς συμβέβηκε· καὶ θόρυβον ὑπομένουσι καὶ ταραχήν, οὐκ εἰδότες ὅ,τι πράξωσιν. «Ἐγγίσας δέ», φησίν, «Ἰούδας εἶπεν». (Ἐπειδὴ γὰρ καὶ αὐτὸς ἦν ὁ παρὰ τοῦ πατρὸς αὐτὸν δεξάμενος καὶ εἰπών· «Ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σέ, ἔσομαι ἡμαρτηκὼς ἐναντίον σου πάσας τὰς ἡμέρας»· διὰ τοῦτο πλησίον γεγονὼς διηγεῖται ἅπαντα μετὰ ἀκριβείας αὐτῷ, ἵνα εἰς συμπάθειαν αὐτὸν ἐφελκυσάμενος παρασκευάσῃ ἀφεῖναι τὸν παῖδα). Ἐγγίσας γὰρ αὐτῷ Ἰούδας εἶπε· δέομαι, κύριε, λαλησάτω ὁ παῖς σου». Σκόπει πῶς δι' ὅλου ὡς δεσπότῃ δοῦλος διαλέγεται· καὶ μνημόνευέ μοι τῶν ὀνειράτων τῶν δραγμάτων, ἐξ ὧν καὶ μείζονα τὸν κατ' αὐτοῦ φθόνον ἠκόνησαν, καὶ ἐκπλήττου τὴν εὐμήχανον τοῦ Θεοῦ σοφίαν, ὅπως τοσούτων κωλυμάτων ἐν μέσῳ γενομένων εἰς ἔργον ἅπαντα ἐξῄει. «Λαλησάτω», φησίν, «ὁ παῖς ἐναντίον σου, καὶ μὴ θυμωθῇς τῷ παιδί σου, κύριε. Σὺ ἠρώτησας τοὺς παῖδάς σου, λέγων· εἰ ἔχετε πατέρα, ἢ ἀδελφόν; καὶ εἴπαμεν τῷ κυρίῳ· ἔστιν ἡμῖν πατὴρ πρεσβύτερος καὶ παιδίον γήρως νεώτερον αὐτῷ, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν».

Ἐννόει μοι ἐνταῦθα, τίς ἦν ταῦτα ἀκούων ὁ Ἰωσήφ. Αὐτὸς δὲ μόνος ὑπολέλειπται τῇ μητρὶ αὐτοῦ· ὁ δὲ πατὴρ αὐτὸν ἠγάπησε». Τίνος ἕνεκεν καὶ ἐνταῦθα ψεύδεται οὕτω λέγων, ὅτι ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε, καίτοι τοῖς ἐμπόροις αὐτὸν ἀπέδοντο; Ἀλλ' ἐπειδὴ οὕτω τὸν πατέρα διέθηκαν, ὡς ἀναιρεθέντος αὐτοῦ

δεικνύουν μεγάλην εὐγνωμοσύνην καὶ κάμνουν δούλους καὶ τοὺς ἑαυτούς των μαζὶ μὲ τὸν ἀδελφόν των. «Εἶπε δὲ ὁ Ἰωσήφ», λέγει· «Δὲν εἶναι δυνατὸν νὰ κάμω αὐτό τὸ πρᾶγμα. Ὁ ἄνθρωπος, εἰς τὸν ὁποῖον εὑρέθη τὸ ποτήριον, αὐτὸς θὰ γίνῃ δοῦλος μου. Σεῖς οἱ ἄλλοι πηγαίνετε ἐλεύθεροι πρὸς τὸν πατέρα σας».

6. Πρόσεχε πῶς αὐτὸ ποὺ ἐφοβεῖτο ὁ πατὴρ των, αὐτὸ συμβαίνει εἰς αὐτούς. Καὶ καταλαμβάνονται ἀπὸ σύγχυσιν καὶ ταραχὴν χωρὶς νὰ γνωρίζουν τί νὰ κάμουν. «Καὶ ὁ Ἰούδας», λέγει, «ἀφοῦ ἐπλησίασεν αὐτὸν εἶπεν». (Ἐπειδὴ αὐτὸς ἦτο ἐκεῖνος ποὺ τὸν παρέλαβε ἀπὸ τὸν πατέρα του καὶ τοῦ εἶπεν· «Ἐὰν δὲν σοῦ τὸν ἐπιστρέψω, θὰ εἶμαι ἀπέναντί σου ἔνοχος εἰς ὅλην μου τὴν ζωήν». Διὰ τοῦτο ἀφοῦ ἐπλησίασε τὸν Ἰωσὴφ διηγεῖται εἰς αὐτὸν τὰ πάντα μὲ ἀκρίβειαν, ὥστε νὰ τοῦ προκαλέσῃ τὴν συμπάθειαν καὶ νὰ τὸν κάνῃ νὰ ἀφήσῃ ἐλεύθερον τὸν μικρὸν ἀδελφόν). «Ἀφοῦ λοιπὸν ἐπλησίασεν ὁ Ἰούδας, εἶπε· Σὲ παρακαλῶ, κύριε, νὰ ἐπιτρέψῃς νὰ ὁμιλήσῃ ὁ δοῦλος σου». Πρόσεχε ὅτι ὁμιλεῖ καθ' ὁλοκληρίαν ὡς δοῦλος πρὸς κύριον. Καὶ ἐνθυμήσου, παρακαλῶ, τὰ ὄνειρα μὲ τὰ δεμάτια, τὰ ὁποῖα ηὔξησαν περισσότερον τὸν φθόνον των καὶ θαύμαζε τὴν ἐφευρετικὴν σοφίαν τοῦ Θεοῦ, πῶς δηλαδή, ἂν καὶ παρενεβλήθησαν ἐν τῷ μεταξὺ τόσα πολλὰ ἐμπόδια, ὅμως ἐπραγματοποίησε τὰ πάντα. «Ἂς ἐπιτραπῇ», λέγει, «εἰς τὸν δοῦλόν σου νὰ ὁμιλήσῃ ἐνώπιόν σου καὶ νὰ μὴ θυμώσῃς, κύριε, μαζί του. Σὺ ἠρώτησες τοὺς δούλους σου. Ἔχετε πατέρα ἢ ἀδελφόν; Καὶ ἡμεῖς ἀπηντήσαμεν εἰς τὸν κύριόν μας. Ἔχομεν πατέρα πολὺ γέροντα καὶ αὐτὸς ἔχει μικρὸν υἱὸν καρπὸν τῶν γηρατειῶν του, ὁ δὲ ἀδελφός του ἀπέθανε».

Σκέψου, παρακαλῶ, ἐδῶ πῶς ᾐσθάνετο ὁ Ἰωσήφ, ὅταν ἤκουεν αὐτά. «Αὐτὸς ἔμεινε μόνος εἰς τὴν μητέρα ποὺ τὸν ἐγέννησε καὶ ὁ πατήρ του τὸν ἀγαπᾷ ἰδιαιτέρως». Διατί ψεύδεται καὶ ἐδῶ μὲ τὸ νὰ λέγῃ, ὅτι ὁ ἀδελφός του ἀπέθανεν, ἂν καὶ τὸν ἐπώλησαν εἰς τοὺς ἐμπόρους». Ἀλλ' ἐπειδὴ αὐτὴν τὴν εἴδησιν εἶχον δώσει εἰς τὸν πατέρα

καὶ ὑπὸ θηρίων βρωθέντος· ἄλλως δὲ καὶ ἐνόμισαν οὐ φέροντα τὴν δουλείαν τὴν παρὰ τοῖς βαρβάροις ἤδη τεθνηκέναι· διὰ τοῦτό φησι· «Καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν». «Εἶπας δὲ τοῖς παισί σου· καταγάγετε αὐτὸν πρός με, καὶ ἐπιμελοῦμαι αὐτοῦ. Καὶ εἶπας· ἐὰν μὴ καταβῇ ὁ ἀδελφὸς ὑμῶν μεθ' ὑμῶν, οὐ προσθήσεσθε ἰδεῖν τὸ πρόσωπόν μου. Ἐγένετο δὲ ἡνίκα ἀνέβημεν πρὸς τὸν παῖδά σου, πατέρα δὲ ἡμῶν, ἀπηγγείλαμεν αὐτῷ τὰ ῥήματα τοῦ κυρίου. Εἶπε δὲ ὁ πατὴρ ἡμῶν ἡμῖν· βαδίσατε πάλιν, ἀγοράσατε ἡμῖν μικρὰ βρώματα. Ἡμεῖς δὲ εἴπαμεν αὐτῷ· οὐ δυνησόμεθα καταβῆναι, ἐὰν μὴ ὁ ἀδελφὸς ἡμῶν καταβῇ μεθ' ἡμῶν. Εἶπε δὲ ὁ παῖς σου ὁ πατὴρ ἡμῶν· ὑμεῖς γινώσκετε, ὅτι δύο ἔτεκέ μοι ἡ γυνή, καὶ ἐξῆλθεν ὁ εἷς ἀπ' ἐμοῦ, καὶ εἴπατε ὅτι θηριόβρωτος γέγονε».

Σκόπει πῶς διὰ τῆς ἀπολογίας τοῦ Ἰούδα πάντα μετὰ ἀκριβείας μανθάνει ὁ Ἰωσὴφ τὰ μετὰ τὴν αὐτοῦ πρᾶσιν ἐν τῇ οἰκίᾳ γεγονότα, καὶ ὅπως τὸν πατέρα διέθηκαν, καὶ τίνα περὶ αὐτοῦ εἰρήκασι. «Νῦν οὖν, ἐὰν καὶ τοῦτον λάβητε, καὶ συμβῇ αὐτῷ μαλακία ἐν τῇ ὁδῷ, κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου». Οὕτω τοίνυν τοῦ πατρὸς ἡμῶν διακειμένου πρὸς τὸ παιδάριον, πῶς δυνησόμεθα ἰδεῖν αὐτοῦ τὸ πρόσωπον, τοῦ παιδαρίου μὴ ὄντος μεθ' ἡμῶν; «Ἐκκρέμαται γὰρ αὐτοῦ ἡ ψυχὴ ἐκ τῆς τούτου ψυχῆς. Καὶ κατάξουσιν οἱ παῖδές σου τὸ γῆρας τοῦ παιδός σου πατρὸς ἡμῶν μετὰ λύπης εἰς ᾅδου. Ὁ γὰρ παῖς σου ἐκδέδεκται τὸ παιδάριον παρὰ τοῦ πατρός, λέγων· ἐὰν μὴ ἀγάγω αὐτὸ πρὸς σέ, ἡμαρτηκὼς ἔσομαι ἐναντίον σου πάσας τὰς ἡμέρας». Ταύτας τὰς ὑποσχέσεις ἐποιησάμην πρὸς τὸν πατέρα ὑπὲρ τοῦ καὶ τὸν παῖδα δυνηθῆναι ἀγαγεῖν, καὶ πληρῶσαι τά σοι δόξαντα, καὶ

των, ὅτι δηλαδὴ ἐφονεύθη καὶ ἐφαγώθη ἀπὸ θηρία. Ἄλλως τε ἐπίστευον, ὅτι ἤδη εἶχεν ἀποθάνει μὴ δυνάμενος νὰ ἀνθέξη τὴν δουλείαν εἰς τοὺς βαρβάρους. Διὰ τοῦτο λέγει· «Καὶ ὁ ἀδελφός του ἀπέθανεν». «Καὶ εἶπες εἰς τοὺς δούλους σου· Νὰ φέρετε αὐτὸν εἰς ἐμὲ καὶ ἐγὼ θὰ φροντίσω δι' αὐτόν. Καὶ εἶπες ἀκόμη, ὅτι, ἐὰν δὲν ἔλθη ὁ ἀδελφός σας μαζί σας, δὲν πρόκειται νὰ παρουσιασθῆτε ἐδῶ καὶ νὰ ἰδῆτε τὸ πρόσωπόν μου. Καὶ ὅταν ἀνεβήκαμεν πρὸς τὸν δοῦλόν σου τὸν πατέρα μας, ἀνηγγείλαμεν εἰς αὐτὸν τοὺς λόγους τοῦ κυρίου μας. Ὁ δὲ πατὴρ μᾶς εἶπε. Πηγαίνετε πάλιν καὶ ἀγοράσατε ὀλίγα τρόφιμα. Ἡμεῖς δὲ ἀπηντήσαμεν εἰς αὐτόν· Δὲν θὰ ἠμπορέσωμεν νὰ ὑπάγωμεν, ἐὰν δὲν ἔλθη μαζί μας καὶ ὁ ἀδελφός μας. Καὶ ὁ δοῦλος σου καὶ πατήρ μας εἶπε· Γνωρίζετε, ὅτι δύο υἱοὺς ἐγέννησεν ἡ γυναίκα μου ἡ Ραχὴλ καὶ ὁ ἕνας ἐπῆγεν εἰς τοὺς ἀγροὺς μαζί σας καὶ εἴπατε, ὅτι κατεσπαράχθη ἀπὸ θηρία».

Πρόσεχε πῶς ὁ Ἰωσὴφ μὲ τὴν ἀπολογίαν τοῦ Ἰούδα μαθαίνει μὲ ἀκρίβειαν ὅλα ὅσα συνέβησαν εἰς τὴν οἰκίαν του μετὰ ἀπὸ τὴν πώλησίν του, πῶς δηλαδὴ ἐδικαιολογήθησαν εἰς τὸν πατέρα των καὶ τί εἶπαν διὰ τὸν ἴδιον. «Τώρα λοιπόν», συνέχισεν ὁ πατήρ, «ἐὰν πάρετε καὶ αὐτὸν καὶ τοῦ συμβῇ κάποιο κακὸν καθ' ὁδόν, θὰ ὁδηγήσετε τὸν γέροντα πατέρα σας μὲ λύπην εἰς τὸν ᾅδην». Ἀφοῦ λοιπὸν ὁ πατήρ μας ἔτσι διάκειται πρὸς τὸν μικρόν, πῶς θὰ ἠμπορέσωμεν νὰ ἀντικρύσωμεν τὸ πρόσωπόν του, ἐὰν δὲν εἶναι μαζί μας ὁ μικρὸς μας ἀδελφός; «Διότι ἡ ζωή του ἐξαρτᾶται ἀπὸ τὴν ζωὴν ἐκείνου καὶ οἱ δοῦλοι σου θὰ ρίξουν εἰς τὸν ᾅδην μὲ λύπην τὸν δοῦλόν σου πατέρα μας. Ἐγὼ ὁ δοῦλός σου ἀνέλαβον ὑπεύθυνα τὸν μικρὸν αὐτὸν ἀπὸ τὸν πατέρα καὶ τοῦ εἶπα· Ἐὰν δὲν σοῦ φέρω αὐτὸν ἔμπροσθέν σου, θὰ εἶμαι ὑπεύθυνος ἀπέναντί σου ὅλας τὰς ἡμέρας τῆς ζωῆς μου». Αὐτὰς τὰς ὑποσχέσεις ἔδωσα εἰς τὸν πατέρα μου, ὥστε νὰ ἠμπορέσω καὶ τὸν μικρὸν νὰ φέρω καὶ νὰ ἱκανοποιήσω τὴν ἐπιθυμίαν σου καὶ νὰ απο-

δεῖξαι ὡς ἀληθῶς εἰρήκαμεν, καὶ οὐδὲν ψεῦδος τῶν παρ' ἡμῶν λεχθέντων.

Νῦν οὖν παραμενῶ παῖς ἀντὶ τοῦ παιδὸς οἰκέτης τοῦ κυρίου· τὸ δὲ παιδάριον ἀναβήτω μετὰ τῶν ἀδελφῶν. Πῶς γὰρ ἀναβήσομεν πρὸς τὸν πατέρα, τοῦ παιδαρίου μὴ ὄντος μεθ' ἡμῶν; Ἵνα μὴ ἴδω τὰ κακά, ἃ εὑρήσει τὸν πατέρα μου». Συνέχεε ταῦτα τὸν Ἰωσήφ, καὶ ἱκανὴν αὐτῷ παρέσχεν ἀπόδειξιν καὶ τῆς εἰς τὸν πατέρα τιμῆς, καὶ τῆς περὶ τὸν ἀδελφὸν φιλοστοργίας. Καὶ οὐκέτι ἠδύνατο φέρειν, οὐδὲ ἀνέχεσθαι τῶν παρεστηκότων αὐτῷ, ἀλλὰ πάντας ἀπωσάμενος, καὶ μόνος μεταξὺ αὐτῶν ἀπολειφθείς, ἀφεὶς φωνὴν μετὰ κλαυθμοῦ ἀναγνωρίζεται τοῖς ἀδελφοῖς. Καὶ τοῦτο γνωστὸν ἐγένετο ἐν πάσῃ τῇ βασιλείᾳ, καὶ εἰς τὸν οἶκον Φαραώ. «Καί φησι πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· ἐγώ εἰμι Ἰωσήφ. Ἔτι ὁ πατήρ μου ζῇ;». Θαυμάσαι μοι ἔπεισιν ἐνταῦθα καὶ τοῦ μακαρίου τούτου τὴν τοσαύτην εὐτονίαν, καὶ ὅτι ἤνεγκε μέχρι τούτου σχηματίσασθαι, καὶ μὴ γνωρίσαι τὰ καθ' ἑαυτόν, κἀκείνους μάλιστα ἐκπλαγῆναι, ὅπως ἠδυνήθησαν στῆναι καὶ διᾶραι λοιπὸν τὸ στόμα, πῶς οὐκ ἀπέπτη ἀπ' αὐτῶν ἡ ψυχή, πῶς οὐκ ἐξέστη αὐτῶν ἡ διάνοια, πῶς οὐ κατέδυσαν εἰς τὴν γῆν.

«Οὐκ ἠδύναντο», φησίν, «οἱ ἀδελφοὶ αὐτοῦ ἀποκριθῆναι αὐτῷ· ἐταράχθησαν γάρ». Εἰκότως, ἐννοοῦντες τίνα μὲν αὐτὸν αὐτοὶ διέθηκαν, οἷος δὲ αὐτὸς περὶ αὐτοὺς γέγονε, καὶ λογιζόμενοι τὴν περιφάνειαν ἐν ᾗ καθειστήκει, περὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς σωτηρίας ἠγωνίων. Διὰ τοῦτο βουλόμενος αὐτοὺς παραθαρρῦναι, φησίν· «Ἐγγίσατε πρός με». Μὴ μακρύνητε ἑαυτούς· μὴ νομίζετε, φησίν, οἰκείᾳ γνώμῃ τὰ κατ' ἐμὲ ὑμᾶς πεπρᾶχθαι. Οὐ τοσοῦτον τῆς ὑμετέρας ἐγένετο περὶ

δείξω, ὅτι εἴπομεν τὴν ἀλήθειαν καὶ δὲν ὑπάρχει κανένα ψεῦδος εἰς τοὺς λόγους μας.

«Τώρα λοιπὸν ἂς μείνω ἐγὼ δοῦλος ἀντὶ τοῦ παιδιοῦ, ὑπηρέτης εἰς τὸν κύριον, τὸ δὲ παιδὶ ἂς φύγῃ μαζὶ μὲ τοὺς ἀδελφούς. Διότι πῶς εἶναι δυνατὸν νὰ ἐπιστρέψωμεν εἰς τὸν πατέρα χωρὶς νὰ εἶναι μαζί μας ὁ Βενιαμίν; Διὰ νὰ μὴ ἰδῶ τὴν συμφορὰν ποὺ θὰ εὕρῃ τὸν πατέρα μου, δὲν θὰ γίνῃ ποτὲ αὐτό». Οἱ λόγοι αὐτοὶ συνεκίνησαν τὸν Ἰωσὴφ καὶ τοῦ ἔδιναν ἱκανοποιητικὴν ἀπόδειξιν καὶ διὰ τὸν σεβασμὸν πρὸς τὸν πατέρα καὶ διὰ τὴν ἀγάπην πρὸς τὸν Βενιαμίν. Καὶ ὁ Ἰωσὴφ δὲν ἠμποροῦσε πλέον νὰ ὑποφέρῃ ἄλλο, οὔτε ἠμποροῦσε νὰ συγκρατηθῇ ἐνώπιον ὅλων τῶν παρευρισκομένων καὶ ἀφοῦ ἔδιωξεν ὅλους καί, ἀφοῦ ἔμεινε μόνος μεταξὺ αὐτῶν, ἔβγαλε μεγάλην φωνήν, καὶ μὲ κλάματα ἀποκαλύπτεται εἰς τοὺς ἀδελφούς του. Τὸ γεγονὸς αὐτὸ ἔγινε γνωστὸν εἰς ὁλόκληρον τὴν Αἴγυπτον καὶ εἰς τὰ ἀνάκτορα τοῦ Φαραώ. «Καὶ λέγει ὁ Ἰωσὴφ εἰς τοὺς ἀδελφούς του. Ἐγὼ εἶμαι ὁ Ἰωσήφ. Ὁ πατήρ μου ζῇ ἀκόμη;». Ἀξίζει νὰ θαυμάσετε ἐδῶ καὶ τὴν τόσον μεγάλην ἀντοχὴν τοῦ μακαρίου αὐτοῦ ἀνδρὸς καὶ τὸ ὅτι ἠμπόρεσε νὰ προσποιηθῇ μέχρις αὐτοῦ τοῦ σημείου καὶ νὰ μὴ ἀποκαλύψῃ τὸν ἑαυτόν του καὶ νὰ θαυμάσετε περισσότερον ἐκείνους, πῶς ἠμπόρεσαν νὰ σταθοῦν ὄρθιοι εἰς τὰ πόδια των, νὰ ἀνοίξουν τὸ στόμα των, πῶς δὲν ἔφυγεν ἡ ψυχή των, πῶς δὲν τοὺς ἔφυγεν ὁ νοῦς των, πῶς δὲν ἐβυθίσθησαν εἰς τὴν γῆν.

«Καὶ δὲν ἠμποροῦσαν», λέγει, «οἱ ἀδελφοί του νὰ ἀρθρώσουν λέξιν πρὸς αὐτόν, διότι ἔνοιωσαν μεγάλην ταραχήν. Καὶ ἦτο φυσικόν, διότι ἐσκέπτοντο κατὰ ποῖον τρόπον αὐτοὶ συμπεριεφέρθησαν πρὸς αὐτὸν καὶ πῶς αὐτὸς συμπεριεφέρθη πρὸς αὐτοὺς καί, σκεπτόμενοι τὴν δόξαν, εἰς τὴν ὁποίαν εἶχε φθάσει, ἐφοβοῦντο, θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, καὶ δι' αὐτὴν ἀκόμη τὴν ζωήν των. Διὰ τοῦτο, ἐπειδὴ ἤθελε νὰ τοὺς ἐνθαρρύνῃ, λέγει· «Πλησιάσατε πρὸς ἐμέ». Μὴ ἀπομακρύνεσθε. Μὴ νομίζετε, λέγει, ὅτι μὲ τὴν ἰδικήν σας θέλησιν ἔγινεν ὅ,τι ἔγινεν εἰς ἐμέ. Δὲν ἦτο τόσον μεγάλης σημασίας ἡ κακία σας εἰς βά-

ἐμὲ πονηρίας, ὅσον τῆς τοῦ Θεοῦ σοφίας, καὶ τῆς ἀφάτου φιλανθρωπίας, ἵνα ἐνταῦθα παραγενόμενος, νῦν ἐν καιρῷ καὶ ὑμῖν τὰ πρὸς διατροφὴν χορηγῆσαι δυνηθῶ, καὶ πάσῃ τῇ χώρᾳ. «Καὶ εἶπε», φησίν, «ἐγὼ εἰμι Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον. Νῦν οὖν μὴ λυπεῖσθε». Μὴ ὑμᾶς, φησί, τοῦτο ταραττέτω, μηδὲ σκληρὸν ὑμῖν λογισθῇ τὸ γεγενημένον. Θεοῦ γὰρ οἰκονομία τὰ γινόμενα. «Εἰς γὰρ ζωὴν ἀπέστειλέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν. Τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, καὶ ἔτι λοιπὸν πέντε ἔτη, ἐν οἷς οὐκ ἔσται ἀροτρίασις, οὐδὲ ἀμητός. Ἀπέστειλε γάρ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς. Νῦν οὖν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε, ἀλλ' ὁ Θεός».

7. Ὅρα, πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον παραμυθεῖται αὐτούς, λέγων μὴ αὐτοῖς αὐτὸν ἐπιγράφειν τὴν αἰτίαν, καὶ τὴν εἰς Αἴγυπτον αὐτοῦ κάθοδον, ἀλλὰ τὸν Θεὸν τοῦτο πεποιηκέναι, ὥστε εἰς ταύτην αὐτὸν ἐλθεῖν τὴν περιφάνειαν. Ὁ Θεός, φησίν, ἀπέστειλέ με, καὶ ἐποίησέ με ὡς πατέρα Φαραώ, καὶ κύριον παντὸς τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς Αἰγύπτου. Ἐκείνη, φησίν, ἡ δουλεία ταύτην μοι τὴν ἀρχὴν προεξένησεν, ἐκείνη ἡ πρᾶσις εἰς ταύτην με τὴν περιφάνειαν ἤγαγεν, ἐκείνη ἡ θλῖψις ταύτης μοι τῆς εὐδοκιμήσεως ὑπόθεσις γέγονεν, ἐκεῖνος ὁ φθόνος ταύτην μοι τὴν δόξαν ἔτεκε. Ταῦτα μὴ μόνον ἀκούωμεν, ἀλλὰ καὶ μιμώμεθα, καὶ οὕτω τοὺς κακῶς ἡμᾶς διατιθέντας παραμυθώμεθα, ἀλλοτριοῦντες ἐπ' αὐτῶν τὰ καθ' ἡμῶν γινόμενα, καὶ μετὰ πολλῆς εὐγνωμοσύνης ἅπαντα φέροντες, καθάπερ ὁ θαυμάσιος οὗτος.

Ἐπεὶ οὖν, φησίν, ἐπείσθητε παρ' ἐμοῦ, ὅτι οὐχ ὑμῖν ἐπιγράφω τὰ εἰς ἐμὲ παρ' ὑμῶν γεγενημένα, ἀλλ' ὑμᾶς μὲν ἀπαλλάττω τῶν ἐγκλημάτων, τῷ δὲ

ρος μου, ὅσον ἡ σοφία τοῦ Θεοῦ καὶ ἡ ἀπερίγραπτη φιλανθρωπία του, ὥστε, ἀφοῦ ἔλθω ἐδῶ, νὰ ἠμπορέσω τώρα εἰς τὴν κατάλληλον εὐκαιρίαν νὰ προσφέρω τὰ ἀναγκαῖα τρόφιμα καὶ εἰς σᾶς καὶ εἰς ὁλόκληρον τὴν χώραν. «Καὶ εἶπε», λέγει, «Ἐγὼ εἶμαι ὁ Ἰωσὴφ ὁ ἀδελφός σας, τὸν ὁποῖον ἐπωλήσατε εἰς τὴν Αἴγυπτον. Μὴ λυπεῖσθε ὅμως τώρα». Μὴ σᾶς στενοχωρῇ αὐτὸ τώρα, λέγει, οὔτε νὰ θεωρῆτε σκληρὸν ὅ,τι ἔγινε. Καθ' ὅσον, ὅσα ἔγιναν, ἔγιναν σύμφωνα μὲ τὴν θείαν οἰκονομίαν. «Πράγματι ὁ Θεὸς μὲ ἔστειλεν ἐδῶ πρὶν ἀπὸ σᾶς διὰ τὴν σωτηρίαν τῆς ζωῆς σας. Τὸ ἔτος αὐτὸ εἶναι τὸ δεύτερον τῆς πείνης εἰς τὴν γῆν καὶ ὑπολείπονται ἀκόμη ἄλλα πέντε, κατὰ τὰ ὁποῖα δὲν θὰ γίνεται οὔτε ὄργωμα καὶ σπορά, οὔτε θερισμός. Ὁ Θεὸς μὲ ἔστειλεν ἐδῶ πρὶν ἀπὸ σᾶς, διὰ νὰ σᾶς ἐξασφαλίσω τὴν ζωὴν ἐπάνω εἰς τὴν γῆν. Ὥστε λοιπὸν δὲν μὲ ἐστείλατε σεῖς ἐδῶ, ἀλλ' ὁ Θεός».

7. Βλέπε μὲ ποῖον τρόπον τοὺς παρηγορεῖ καὶ μίαν καὶ δύο καὶ τρεῖς φορὰς λέγων νὰ μὴ καταλογίζουν εἰς τοὺς ἑαυτούς των τὴν αἰτίαν τῆς πωλήσεως καὶ τὸν ἐρχομόν του εἰς τὴν Αἴγυπτον, ἀλλὰ νὰ πιστεύουν, ὅτι αὐτὸ τὸ ἔκαμεν ὁ Θεός, διὰ νὰ φθάσῃ αὐτὸς εἰς τὴν τόσην δόξαν. Ὁ Θεός, λέγει, μὲ ἔστειλεν ἐδῶ καὶ μὲ ἔκανε πατέρα τοῦ Φαραώ, κύριον ὁλοκλήρου τοῦ οἴκου του καὶ ἄρχοντα ὅλης τῆς Αἰγύπτου. Ἐκείνη ἡ δουλεία, λέγει, μοῦ ἔδωσεν αὐτὸ τὸ ἀξίωμα, ἐκείνη ἡ πώλησις μὲ ἔφερεν εἰς τὴν τόσον ἔνδοξον θέσιν, ἐκείνη ἡ θλῖψις ἔγινεν αἰτία αὐτῆς τῆς προόδου μου, ἐκεῖνος ὁ φθόνος μοῦ ἐδημιούργησεν αὐτὴν τὴν δόξαν. Ἂς μὴ ἀκούωμεν μόνον αὐτά, ἀλλὰ καὶ νὰ τὰ μιμούμεθα καὶ νὰ παρηγοροῦμεν κατ' αὐτὸν τὸν τρόπον αὐτούς, οἱ ὁποῖοι μᾶς ἔχουν ἀδικήσει, ἀφοῦ λησμονοῦμεν αὐτά, τὰ ὁποῖα αὐτοὶ μᾶς ἔχουν κάνει, καὶ νὰ ὑποφέρωμεν τὰ πάντα μὲ εὐγνωμοσύνην, ὅπως ἀκριβῶς ὁ θαυμάσιος αὐτὸς ἄνθρωπος.

Ἀφοῦ λοιπόν, λέγει, ἐπεισθῆτε ἀπὸ ἐμένα, ὅτι δὲν σᾶς καταλογίζω, ὅσα ἐκάματε εἰς ἐμένα, ἀλλὰ ἐσᾶς μὲν ἀπαλλάσσω ἀπὸ τὴν κατηγορίαν, ἀποδίδω δὲ τὰ πάντα

Θεῷ τὸ πᾶν λογίζομαι, τῷ ἐκεῖνα πάντα οἰκονομήσαντι, ἵνα μοι τὸ τῆς παρούσης δόξης προσγένηται· «Σπεύσαντες οὖν ἀνάβητε πρὸς τὸν πατέρα μου, καὶ εἴπατε αὐτῷ· τάδε λέγει ὁ υἱός σου Ἰωσήφ· ἐποίησέ με ὁ Θεὸς κύριον πάσης γῆς Αἰγύπτου. Κατάβηθι οὖν πρός με, καὶ μὴ ἀναμείνῃς· καὶ κατοικήσεις ἐν γῇ Γεσέμ, καὶ ἔσῃ ἐγγύς μου σύ, καὶ οἱ υἱοί σου, καὶ οἱ υἱοὶ τῶν υἱῶν σου, καὶ τὰ πρόβατα, καὶ οἱ βόες, καὶ ὅσα σοί ἐστι, καὶ ἐκθρέψω σε (ἔτι γὰρ πέντε ἔτη λιμός), ἵνα μὴ ἐκτριβῇς σύ, καὶ οἱ υἱοί σου, καὶ πάντα τὰ ὑπάρχοντά σου. Ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσι, καὶ οἱ ὀφθαλμοὶ Βενιαμὶν τοῦ ἀδελφοῦ μου, ὅτι τὸ στόμα μου τὸ λαλοῦν πρὸς ὑμᾶς. Ἀπαγγείλατε τῷ πατρί μου πᾶσαν τὴν δόξαν μου τὴν ἐν Αἰγύπτῳ, καὶ ὅσα εἴδετε, καὶ ταχύναντες καταγάγετε αὐτόν». Ταῦτα ἅπαντα διαλεχθείς, καὶ ἀρκούντως αὐτοὺς παραμυθησάμενος, καὶ ἐντειλάμενος εἰπεῖν τὰ παρ' αὐτοῦ τῷ πατρί, καὶ ταχέως αὐτὸν ἐπαναγαγεῖν, «Ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον τοῦ Βενιαμὶν ἔκλαυσεν» (ἐκεῖνος γὰρ ἦν αὐτῷ ὁμομήτριος), «κἀκεῖνος πάλιν ἔκλαυσεν ἐπ' αὐτῷ· καὶ κατεφίλησε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔκλαυσεν ἐπ' αὐτοῖς». Καὶ τότε μετὰ τὴν τοσαύτην διάλεξιν καὶ τὰ δάκρυα καὶ τὴν συμβουλήν, ἣν πρὸς αὐτοὺς ἐποιήσατο, μόλις ἠδυνήθησαν λαλῆσαι πρὸς αὐτόν. «Μετὰ ταῦτα γάρ», φησίν, «ἐλάλη-

Ταῦτα δὲ διεβοήθη εἰς τὸν οἶκον Φαραώ, καὶ ἐχάρη, καὶ πάντες οἱ ἐν τῷ οἴκῳ. Ἐχαροποίησε, φησί, πάντας ὁ ἀναγνωρισμὸς τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. «Καὶ εἶπε», φησίν, «ὁ βασιλεὺς τῷ Ἰωσήφ· εἶπον τοῖς ἀδελφοῖς σου· τοῦτο ποιήσατε· γεμίσατε τὰ φορεῖα ὑμῶν σίτου, καὶ ἀπέλθετε. Καὶ ἀναλαβόντες τὸν πατέρα ὑμῶν ἥκατε πρός με, καὶ δώσω ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου· σὺ δὲ ἔντειλαι ταῦτα, λαβεῖν

εἰς τὸν Θεόν, ὁ ὁποῖος ἐσχεδίασεν ὅλα αὐτά, ὥστε νὰ ὁλοκληρωθῇ ἡ παροῦσα δόξα μου, «Σπεύσατε λοιπὸν καὶ πηγαίνετε εἰς τὸν πατέρα μου καὶ εἴπατε εἰς αὐτόν· Αὐτὰ λέγει ὁ υἱός σου ὁ Ἰωσήφ. Ὁ Θεὸς μὲ κατέστησε κύριον ὁλοκλήρου τῆς Αἰγύπτου. Ἔλα λοιπὸν ἐδῶ καὶ μὴ περιμένῃς. Θὰ κατοικήσῃς εἰς τὴν χώραν Γεσὲμ καὶ θὰ εἶσαι πλησίον μου σὺ καὶ οἱ υἱοί σου καὶ οἱ υἱοὶ τῶν υἱῶν σου καὶ τὰ πρόβατα καὶ τὰ βόδια σου καὶ ὅ,τι ἄλλο ἔχεις καὶ ἐγὼ θὰ σοῦ δώσω τροφὴν (διότι ἀκολουθοῦν ἀκόμη ἄλλα πέντε ἔτη πείνης. Νὰ ἔλθῃς διὰ νὰ μὴ χαθῇς καὶ σὺ καὶ οἱ υἱοί σου καὶ ὅλα τὰ ὑπάρχοντά σου. Ἰδού, οἱ ὀφθαλμοί σας βλέπουν, βλέπουν καὶ οἱ ὀφθαλμοὶ τοῦ Βενιαμὶν τοῦ ἀδελφοῦ μου, ὅτι τὸ στόμα μου εἶναι αὐτὸ ποὺ ὁμιλεῖ σὲ σᾶς. Ἀναγγείλατε εἰς τὸν πατέρα μου ὅλην τὴν εἰς τὴν Αἴγυπτον δόξαν μου καὶ ὅσα εἴδατε καὶ πηγαίνετε γρήγορα καὶ νὰ τὸν φέρετε ἐδῶ». Ἀφοῦ τοὺς εἶπεν ὅλα αὐτὰ καὶ τοὺς παρηγόρησεν ἀρκετὰ καὶ ἀφοῦ τοὺς ἔδωσεν ἐντολὴν νὰ εἰποῦν τὰς παραγγελίας του εἰς τὸν πατέρα των καὶ νὰ τὸν φέρουν γρήγορα κοντά του «Ἔπεσεν εἰς τὸν τράχηλον τοῦ Βενιαμὶν καὶ ἔκλαυσε» (διότι ἐκεῖνος ἦτο ὁμομήτριος ἀδελφός του), «καὶ ἐκεῖνος πάλιν ἔκλαυσε μαζί του. Καὶ ἐφίλησεν ὁ Ἰωσὴφ ὅλους τοὺς ἀδελφούς του καὶ ἔκλαυσεν εἰς τὴν ἀγκάλην των». Καὶ τότε μετὰ ἀπὸ τὴν τόσην συζήτησιν καὶ τὰ δάκρυα καὶ τὴν συμβουλήν, τὴν ὁποίαν εἶχε δώσει εἰς αὐτούς, μόλις καὶ μετὰ βίας ἠμπόρεσαν νὰ ὁμιλήσουν εἰς αὐτόν. Διότι, λέγει, «Μετὰ ἀπὸ αὐτὰ ὡμίλησαν εἰς αὐτόν».

Τὸ γεγονὸς αὐτὸ διεδόθη γρήγορα εἰς τὸν οἶκον τοῦ Φαραὼ καὶ ἐχάρη καὶ αὐτὸς καὶ ὅλοι οἱ ἄνθρωποί του. Ἐχαροποίησε, λέγει, τοὺς πάντας ἡ ἀναγνώρισις τῶν ἀδελφῶν τοῦ Ἰωσήφ: «Καὶ ὁ βασιλεύς», λέγει, «εἶπεν εἰς τὸν Ἰωσήφ. Νὰ εἰπῇς εἰς τοὺς ἀδελφούς σου. Νὰ κάνετε τὰ ἑξῆς. Νὰ γεμίσετε τὰ σκεύη σας μὲ σῖτον καὶ πηγαίνετε εἰς τὴν χώραν σας. Καί, ἀφοῦ λάβετε τὸν πατέρα σας, νὰ ἔλθετε πρὸς ἐμὲ καὶ ἐγὼ θὰ σᾶς δώσω ἀπ' ὅλα τὰ ἀγαθὰ τῆς Αἰγύπτου. Σὺ νὰ δώσῃς τὴν ἑξῆς διαταγήν. Νὰ

αὐτοὺς ἁμάξας τοῖς παιδίοις καὶ ταῖς γυναιξίν». Ὅρα καὶ τὸν βασιλέα, πῶς ἤδη φροντίζει περὶ τῆς τοῦ Ἰακὼβ ἐπανόδου. «Καὶ ἀναλαβόντες», φησί, «τὸν πατέρα ὑμῶν παραγίνεσθε, καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν. Πάντα γὰρ τὰ ἀγαθὰ Αἰγύπτου ὑμῖν ἔσται. Ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραήλ. Ἔδωκε δὲ Ἰωσὴφ αὐτοῖς ἁμάξας κατὰ τὰς ἐντολὰς τοῦ βασιλέως· καὶ πᾶσι μὲν ἔδωκε δισσὰς στολάς, τῷ δὲ Βενιαμὶν ἔδωκε τριακοσίους χρυσούς, καὶ πέντε ἐξαλλασσούσας στολάς, καὶ τῷ πατρὶ αὐτοῦ ἀπέστειλεν ὁμοίως, καὶ δέκα ὄνους αἴροντας ἀπὸ τῶν ἀγαθῶν Αἰγύπτου, καὶ δέκα ἡμιόνους αἴροντας ἄρτους τῷ πατρὶ αὐτοῦ εἰς τὴν ὁδόν. Καὶ ταῦτα ἅπαντα δοὺς ἐξαπέστειλε τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἐπορεύθησαν· καὶ εἶπεν αὐτοῖς· μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ».

Ὅρα γνώμην φιλόσοφον. Οὐ μόνον αὐτὸς πᾶσαν αὐτοῖς ἀφῆκε τὴν ὀργήν, καὶ τῶν ἐγκλημάτων αὐτοὺς ἀπήλλαξεν, ἀλλὰ καὶ αὐτοῖς παραινεῖ, μὴ ὀργίζεσθαι κατὰ τὴν ὁδόν, μηδὲ ὑπὲρ τῶν γεγενημένων ἀλλήλους ἐγκαλεῖν. Εἰ γὰρ ἡνίκα εἱστήκεισαν πρῴην ἐπὶ τοῦ Ἰωσήφ, ἔλεγον πρὸς ἑαυτούς· 'Ναί, ἐν ἁμαρτίαις ἐσμὲν περὶ τοῦ Ἰωσήφ, τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν αὐτοῦ τὴν θλῖψιν', καὶ ἐπιστὰς ὁ Ρουβὴν ἔλεγεν, 'Οὐκ εἶπον ὑμῖν, μὴ ἀδικήσητε τὸ παιδάριον, καὶ οὐκ εἰσηκούσατέ μου;'· πολλῷ μᾶλλον εἰκὸς ἦν αὐτὸν κατεξανίστασθαι αὐτῶν. Καὶ διὰ τοῦτο καταστέλλων αὐτῶν τὸν θυμόν, καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, φησί· «Μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ», ἀλλ' ἐννοήσαντες ὅτι οὐδεμίαν ὑμῖν αἰτίαν ἐπήγαγον ὑπὲρ τῶν εἰς ἐμὲ γεγενημένων, καὶ αὐτοὶ πρὸς ἀλλήλους εὐνοϊκῶς διατεθῆτε.

Τίς ἂν κατ' ἀξίαν τὴν ἀρετὴν τοῦ δικαίου τούτου θαυμάσειεν, ὃς τὴν ἐν τῇ Καινῇ φιλοσοφίαν μετὰ πολλῆς τῆς δαψιλείας ἀπεπλήρωσε· καὶ ὅπερ ὁ Χριστὸς

λάβετε ἁμάξας ἀπὸ τὴν Αἴγυπτον καὶ νὰ μεταφέρετε τὰ παιδιά καὶ τὰς γυναῖκας σας». Πρόσεχε μὲ ποῖον τρόπον φροντίζει καὶ ὁ βασιλεὺς ἀκόμη διὰ τὸ ταξίδι τοῦ Ἰακώβ. «Καὶ ἀφοῦ λάβετε», λέγει, «τὸν πατέρα σας, νὰ ἔλθετε καὶ νὰ μὴ λυπηθῆτε τὰ πράγματα ποὺ θὰ ἀφήσετε. Διότι ὅλα τὰ ἀγαθὰ τῆς Αἰγύπτου θὰ εἶναι ἰδικά σας. Ἐπραγματοποίησαν δὲ ὅλα αὐτὰ οἱ υἱοὶ τοῦ Ἰακώβ. Καὶ ὁ Ἰωσὴφ ἔδωκεν εἰς αὐτοὺς ἁμάξας, ὅπως διέταξεν ὁ βασιλεύς, καὶ εἰς ὅλους ἔδωκεν ὡς δῶρον διπλᾶς στολάς, εἰς δὲ τὸν Βενιαμὶν τριακόσια χρυσᾶ νομίσματα καὶ πέντε ἀλλαγὰς ἐνδυμάτων, εἰς τὸν πατέρα του ἔστειλε τὰ ἴδια καὶ δέκα ἡμιόνους φορτωμένους ἀπὸ τὰ ἀγαθὰ τῆς Αἰγύπτου καὶ δέκα ἡμιόνους φορτωμένους μὲ ἄρτους διὰ τὸν πατέρα νὰ ἔχῃ τροφὴν διὰ τὸ ταξίδι. Καί, ἀφοῦ ἔδωκεν ὅλα αὐτά, ἄφησεν ἐλευθέρους τοὺς ἀδελφούς του νὰ φύγουν καὶ ἀνεχώρησαν, ἀφοῦ εἶπεν εἰς αὐτούς· Νὰ μὴ ὀργίζεσθε καθ' ὁδὸν ὁ ἕνας ἐναντίον τοῦ ἄλλου».

Πρόσεχε φιλοσοφημένην σκέψιν. Ὄχι μόνον αὐτὸς ἄφησε κάθε ὀργὴν ἐναντίον των καὶ τοὺς ἀπήλλαξεν ἀπὸ τὰς κατηγορίας, ἀλλὰ καὶ συμβουλεύει αὐτοὺς νὰ μὴ διαπληκτίζωνται καθ' ὁδόν, οὔτε νὰ κατηγοροῦνται μεταξύ των, δι' ὅσα συνέβησαν. Διότι, ἐὰν ὅταν ἐστάθησαν ἐνωρίτερον ἀπέναντι εἰς τὸν Ἰωσήφ, ἔλεγον μεταξύ των, «Πράγματι εἴμεθα ἔνοχοι διὰ τὸν ἀδελφόν μας, διότι ἀδιαφορήσαμεν διὰ τὴν θλῖψιν του», καὶ ἀφοῦ ἐσηκώθη ὁ Ρουβὴν ἔλεγε, 'Δὲν σᾶς εἶπα νὰ μὴ κάνετε κακὸν εἰς τὸν μικρόν, καὶ δὲν μὲ ἠκούσατε'; πολὺ περισσότερον τώρα ἦτο φυσικὸν αὐτὸς νὰ ἐξοργίζεται ἐναντίον των. Διὰ τοῦτο λοιπόν, καταπραΰνων τὸν θυμόν των καὶ τὴν μεταξὺ των φιλονεικίαν, λέγει· «Νὰ μὴ ὀργίζεσθε καθ' ὁδὸν ὁ ἕνας ἐναντίον τοῦ ἄλλου», ἀλλ' ἀφοῦ σκεφθῆτε, ὅτι δὲν σᾶς κατελόγισα καμμίαν κατηγορίαν, δι' ὅσα ἐκάματε εἰς βάρος μου, καὶ σεῖς νὰ ἔχετε ἀγάπην μεταξύ σας.

Ποῖος θὰ ἠμποροῦσε νὰ θαυμάσῃ ἐπάξια τὴν ἀρετὴν τοῦ δικαίου αὐτοῦ ἀνδρός, ποὺ ἐξεπλήρωσεν ἐξ ὁλοκλήρου τὴν φιλοσοφίαν τῆς Καινῆς Διαθήκης; Καὶ αὐτὸ τὸ ὁποῖον

παραινεῖ λέγων τοῖς ἀποστόλοις, «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς», τοῦτο οὗτος καὶ πολλῷ πλέον ἐποίησεν; Οὐδὲ γὰρ μόνον τοσαύτην ἀγάπην ἐπεδείξατο περὶ τοὺς ἀνελόντας αὐτόν, τό γε εἰς αὐτοὺς ἧκον, ἀλλὰ πάντα ποιεῖ, ὥστε διδάξαι αὐτούς, ὅτι οὐδὲ ἥμαρτόν τι εἰς αὐτόν.

Ὢ φιλοσοφίας ὑπερβολή, ὢ εὐγνωμοσύνης ἐπίτασις, καὶ τῆς πρὸς Θεὸν ἀγάπης δαψίλεια. Μὴ γὰρ ὑμεῖς, φησίν, εἰς ἐμὲ ταῦτα διεπράξασθε; Ἡ τοῦ Θεοῦ περὶ ἐμὲ κηδεμονία ταῦτα γενέσθαι συνεχώρησεν, ἵνα καὶ ἐμοὶ τῶν ὀνειράτων τὴν ἔκβασιν παράσχηται, καὶ ὑμῖν ἀρκοῦσα σωτηρίας ὑπόθεσις γένωμαι. Τὸ ἐν θλίψεσιν οὖν, ἢ πειρασμοῖς γενέσθαι, πολλῆς τῆς περὶ ἡμᾶς τοῦ φιλανθρώπου Θεοῦ κηδεμονίας καὶ προνοίας ἐστὶ τεκμήριον. Μὴ τοίνυν ἐκ παντὸς τρόπου τὴν ἄνεσιν καὶ τὴν ἄδειαν ἐπιζητῶμεν, ἀλλὰ καὶ ἐν ἀνέσει τυγχάνοντες, καὶ ἐν θλίψεσι γινόμενοι, ὁμοίως τὴν εὐχαριστίαν ἀναπέμπωμεν τῷ Δεσπότῃ, ἵνα τὴν εὐγνωμοσύνην θεασάμενος, δαψιλεστέραν τὴν περὶ ἡμᾶς ἐπιδείξηται κηδεμονίαν, ἧς γένοιτος πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

3. Ματθ. 5. 44.

συνιστᾷ εἰς τοὺς ἀποστόλους, λέγων, «Ἀγαπᾶτε τοὺς ἐχθρούς σας, νὰ εὔχεσθε δι' ἐκείνους, οἱ ὁποῖοι σᾶς καταρῶνται»*, αὐτὸ καὶ ἀκόμη περισσότερον ἔκαμνεν ὁ Ἰωσήφ. Πράγματι ὄχι μόνον ἔδειξε τόσον μεγάλην ἀγάπην πρὸς τούς φονεῖς του, ἀλλὰ καὶ κάμνει τὸ πᾶν, ὥστε νὰ τοὺς ἐξηγήση, ὅτι δὲν ἔκαμαν τίποτε τὸ κακόν εἰς βάρος του.

Ὢ ὑπερβολικὴ εὐσέβεια, ὢ μεγάλη εὐγνωμοσύνη καὶ ἄπειρη ἀγάπη πρὸς τὸν Θεόν. Διότι λέγει, μήπως ἐσεῖς τὰ ἐκάματε αὐτά; Ἡ φροντὶς τοῦ Θεοῦ δι' ἐμὲ ἐπέτρεψε νὰ γίνουν αὐτά, ὥστε καὶ νὰ ἐπαληθεύσῃ τὰ ὄνειρά μου, καὶ νὰ γίνω ἀφορμὴ τῆς σωτηρίας σας. Τὸ νὰ εὑρεθῶμεν λοιπὸν ἐν μέσῳ θλίψεων καὶ πειρασμῶν αὐτὸ εἶναι ἀπόδειξις τῆς φροντίδος καὶ τῆς προνοίας τοῦ Θεοῦ δι' ἡμᾶς. Νὰ μὴ ἐπιζητῶμεν λοιπὸν μὲ κάθε τρόπον τὴν ἄνεσιν καὶ τὴν ἡσυχίαν μας, ἀλλά, καὶ ὅταν ἀκόμη ἔχωμεν κάθε ἄνεσιν καὶ ὅταν ἀντιμετωπίζωμεν θλίψεις, νὰ ἀναπέμπωμεν μὲ τὸν ἴδιον τρόπον τὴν εὐχαριστίαν εἰς τὸν Κύριον, ὥστε βλέπων τὴν εὐγνωμοσύνην μας, νὰ δείξῃ μεγαλυτέραν φροντίδα δι' ἡμᾶς, τὴν ὁποίαν εὔχομαι νὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα, συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς

------

* Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰν εἰς τὸ κεφάλαιον, τὸν στίχον καὶ τὴν σελίδα ποὺ εὑρίσκεται τὸ χωρίον.

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

Β

Γ

Δ

Ε

Ζ

Η

Θ

Ι

Κ

Π

Ρ

Ω

ΠΕΡΙΕΧΟΜΕΝΑ

Στοιχειοθεσία, Ἐκτύπωσις:

TYPO EXPRESS

Βελισσαρίου 35 ☎ 841-623

Βιβλιοδεσία:
Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ

Κεντρική πώλησις:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 19 — Θεσσαλονίκη — Τηλ. 200-621